ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας, καὶ
ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδι-
δόντα δέ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς
ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ
περὶ γονέας καὶ πατρίδα καὶ φίλους. ἕπεσθαι δὲ δοκεῖ

παραγγελόμενα A.G. pr. *οἳ προστ.*] *προστ. δὲ* A. *οὗτοι*] *αὐτοὶ* D.G. *ἡλικίᾳ*] *τῇ ἡλικίᾳ* Stob. *ᾗ*] *εἰ* R. 6. *παῖδες*] *παῖδες οἱ* D. Stob. *διδασκαλία* A. *πλεῖστον*] *μέρος* add. A.D. mg. r. R. *κλοπῆς*] Ante hoc *πλωτοὺς*, ut videtur, delet R. *οἵων δὴ*] *οἵων* A.R. Stob. 7. *κολάζονται* A.I.R. *οὓς—ἐγκαλοῦντας* D.G., qui *οὓς—δικάζουσι δὲ καὶ* mg. r., Zonaras. *οὗ ἕνεκα*] *οὕνεκα* A. *μισήσουσι* D. *μισοῦσιν*, omisso *μὲν*, R. *δικάζονται—ἡγεμὼν* Stob. Ecl. eth. vol. 2, p. 724 Gaisf. *ἥκιστα* A.D. pr., *οὐκ ἥκιστα* D. corr. *οὐχ ἥκιστα* G. Stob. bis, et qui *μάλιστα* s. v. r. R. *ἀποδοῦναι* D. Stob. bis. *καὶ τοῦτον*] *τοῦτον* D.G. Stob. *ἔχειν ἀμελῶς* D. *καὶ περὶ πατρίδα καὶ περὶ φίλους* D. Stob. bis.

6. *καὶ ἄλλων*] Conf. s. 16 et de mendacii debitique non soluti apud Persas ignominia Herodot. 1, 138, Plut. Mor. p. 829 C. ZEUN.

τιμωροῦνται, *vindicant*, *κολάζουσι*, *castigant*, ut *τιμωρία* referatur ad exigendam vindictam legibus debitam, *κόλασις* ad emendationem et cohibitionem peccantis. Ita ratio distinguit quæ usus subinde confundit. Vid. Gellius N. A. 6, 14. Aristot. Rhet. 1, 10: *Διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ*. WYTTENB. Qui multa addit prioris voc. exempla. Schneiderus Plat. Protag. p. 324 C.: *Τιμωροῦνται καὶ κολάζονται οὓς ἂν οἴωνται ἀδικεῖν*.

7. *ἀχαριστίας*] Eandem legem memorat Ammianus 23 extr., Seneca Benef. 3, 6. SCHN. Themist. Orat. 22, p. 268 D. Conf. etiam Comment. 2, 2, 13, ubi *ἀχαριστίας εἰς γονέας δίκην* memorat. Pollux 8, 31 inter *δικῶν ὀνόματα* ponit etiam *ἀχαριστίας*. Xenophontis locum respicit Ælian. N. A. 8, 3.

μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη με-
8 γίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδάσκου- [8]
σι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται
εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς ὅτι καὶ τοὺς πρεσβυ-
τέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας.
διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα
δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι τοὺς πρεσ-
βυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. διδάσκουσι
δὲ καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς
τοῦτο συμβάλλεται ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ
πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα πρὶν ἂν ἀφῶσιν οἱ ἄρ-
χοντες, καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ
παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. φέρον-
ται δὲ οἴκοθεν σῖτον μὲν ἄρτον, ὄψον δὲ κάρδαμον, πιεῖν
δὲ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι.
πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ ἀκοντίζειν.
μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες
ταῦτα πράττουσιν, ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρ-
9 χονται. οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη [9]
ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι κοιμῶνται μὲν περὶ τὰ
ἀρχεῖα, ὥσπερ προειρήκαμεν, καὶ φυλακῆς ἕνεκα τῆς

μάλιστα δοκεῖν A. et qui δοκεῖ R. ἡ] καὶ ἡ R. om. Stob. bis. 8. σωφρονοῦντας, ut videtur, R. pr. διδάσκουσι—ἰσχυρῶς om. A.R. εἰς τοῦτο] ἐν τούτῳ G. pr. συλλαμβάνεται D. καὶ ante τοὺς πρεσβ., add. D. Stob., ante πειθ. G. δὲ καὶ] καὶ R. ἐγκράτειαν A.R. Zonaras. ἐγκρατεῖς εἶναι D.G. Stob. καὶ γ. Stob. σημήνωνται R. pr. φέρουσι s. v. r. R. σῖτα G.M. ἄρτους D.G.M. Stob. ποιεῖν A. ἤν] ἄν D. ἐάν Stob. τοῦ om. D. πρὸς δὲ τούτοις] πρὸ δὲ τούτων A.R., hic s. v. r. ponens post voc. obscurum τῆς διατριβῆς ὧν εἶπεν ἄνω. καὶ τοξ.] τοξ. G. Zonaras. ἑπτὰ καὶ δέκα L. ταῦτα] τοῦτο R. αὐτὰ G. ἔρχονται A.R. 9. τὰ] α in ras. G. s. v. hic et infra, pr. fortasse τε vel τ', quasi τἀρχεῖα. προείρηται D.G. Stob.

8. γαστρὸς] τροφῆς Zonaras.

κάρδαμον] De καρδάμου natura et usu Suidas in h. v.: Ἐπισχετικὰ οὔρων. Conf. Cicero Fin. 2, 28. Tusc. 5, 34. SCHN. Conf. de ὄψῳ καρδάμῳ Wyttenb. ad Plut. Mor. p. 101 D.

κώθωνα] Poculum fictile, proprie Laconicum et militare, cujus formam referebat id quo utebantur Persæ. Quantum ex Plutarcho Lycurg. c. 9, Poll. 6, 96, 97, Athen. 11, 10, et Hesych. colligere licet, altius paulo erat, unam ansam habens et ἄμβωνας, i. e. cujus non recta assurgunt latera, sed protuberant. HUTCH. Persas ὑδροποτέοντας memorat Herodot. 1, 71. SCHN. V. infra 1, 5, 12.

ἓξ ἢ ἑπτακαίδεκα] Herodot. 1, 136, annum vicesimum, Strabo 15, p. 733 vicesimum et quartum præfinit. SCHN. Conf. de ἓξ pro ἑκκαίδεκα posito annot. ad H. Gr. 4, 5, 17, infra 1, 4, 16.

εἰς τοὺς ἐφήβους ἐξέρχονται] Sic infra 1, 2, 13. STEPH.

πόλεως καὶ σωφροσύνης· δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι· παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς τοῖς ἄρχουσι χρῆσθαι ἥν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ. καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν, ἔτι δὲ γέρρον καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ', ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο [10]

καὶ] *κατὰ* s. v. r. R. *χρῆσθαι*] *σθαι* et sequens *ἥν* in lit. G., ut *χρήσασθαι* et, ut Stob., *ἂν* fortasse fuerit pr. *δέωνται*] *τῶν παίδων δηλονότι* s. v. r. R. *δέῃ*] *δέῃ τι* D. Stob. *μένουσι*] *μέν εἰσὶ* sic s. v. r. R. *ἐξίῃ*] *ἐξαγάγῃ* D. litteras *ιῃ* et *β* in ras. G. *ἐξάρῃ* Stob. *ἐξάγει τὴν ἡμ. τῆς φυλακῆς* A.E.R. *τὰς ἡμισείας φυλακὰς καταλείπει* D.G. et qui *τὰς δ'* I.M. *τὰς ἡμισείας φυλὰς καταλείπει* Stob., sed *ἡμίσεως* Trinc., *φυλακὰς* A., uterque omisso *τ'* ante *ἡμισείας*, quod vulgo additur. *ἐξάγει μὲν τὴν ἡμισείαν τῆς φυλακῆς, τὰς δὲ ἡμισείας φυλακὰς καταλείπει* K. Zonaras vol. I, p. 147 A.: *Ὅταν δὲ ἐπὶ θήραν ἐξῄει ὁ βασιλεὺς, ἐξῆγε τῆς μοίρας αὐτῶν τὴν ἡμίσειαν, ἐθήρων δὲ κοινῇ, ὅτι συγγενὴς αὐτοῖς ἐδόκει αὐτοῖς* (l. *αὕτη*) *ἡ μελέτη τῇ ἀσκήσει τῇ πρὸς τὸν πόλεμον.* *καὶ* ante *παρὰ* om. D. post *φαρέτραν* s. v. r. G. *κουλεῷ* B.D. corr. *κωλεῷ* R. pr. *κοπίδια* A.R., nisi hic quidem *κοπίδα* potius, etiam s. 13 simili ductu scriptum. *ἀφεῖναι* G.M. *ἓν ἀφεῖναι* D. *δ' ἂν*] *δὲ ἐὰν* Stob.

9. *φυλακῆς*] *φυλὰς* præter s. 5, ubi *δώδεκα φυλαὶ*, s. 12: *Αἱ δ' αὖ μένουσαι φυλαί.* Sed hic non solum *φυλὰς*, quamvis necessarium, si pluralis ponitur, unius Stobæi fide nititur, verum etiam manifesto duplex antiquitus exstitit scriptura, quæ conjuncta, ut in K., fide caret.

φαρέτραν—σάγαριν] Anab. 4, 4, 16: *Ἄνδρα ἔχοντα τόξον Περσικὸν καὶ φαρέτραν καὶ σάγαριν.* STEPH. Strabo 15, p. 734, de Persis: *Ὁπλίζονται δὲ γέρρῳ ῥομβοειδεῖ, παρὰ δὲ τὰς φαρέτρας σαγάρεις ἔχουσι καὶ κοπίδας.*

παλτὰ δύο] V. ad Anab. 1, 5, 15.

ἐὰν] In formis *ἄν, ἐάν, ἥν* Xenophontis quoque libri ita variant ut non solum in singulis fides eorum admodum sit levis, sed etiam omnis ab eo usus formæ *ἄν*, quamvis nunc in illis non minus fere crebræ quam in libris Platonis, alienus videatur, sicut Thucydidem *ἥν* tantum et *ἐὰν* dixisse ex grammaticorum testimoniis colligi dixi ad Thes. Steph. v. *Ἐὰν* p. 4 A., *ἂν* autem librariis esse relinquendum p. 6 A. In Cyropædiæ quidem libro primo sequum triginta fere numerentur exempla formæ *ἥν*, duo vel quattuor, libris inter *ἥν* et *ἐὰν* interdum variantibus, formæ *ἐάν*, semel tantum *ἂν* est in omnibus 1, 3, 18, aliquoties illatum pro *ἥν*, ut 1, 1, 3, vel pro *ἐάν*, ut 1, 6, 16, ubi plerique *ἄνπερ*, quum alibi apud Xenophontem *ἐάνπερ* sit et *ἥνπερ*, et hoc ipso loco, ubi *ἐὰν* Stobæus, qui paullo ante *ἄν τι* pro *ἥν τι*. Et quanquam in aliis Xenophontis scriptis non eadem est triplicis formæ testimoniorum inter se ratio, modo *ἐὰν* prævalente modo *ἥν*, *ἂν* tamen omnium minimum habet fidei et ab libris ipsis præsidii. Quibuscum consentientis Anab. 1, 5, 3, in *ἄν τις* Athenæi 9, p, 390 C. non majorem esse auctoritatem quam codicum, hos autem in omni hoc rerum genere sæpissime fallere ita ut rectas verasque formas tantum non prorsus aboleverint, dixi præf. ad Anab. p. viii. seqq. Non minus enim mirum sit si in ead. 6, 6, 15, Xenophon maluerit *Ἀγασίαν, ἂν φήσῃ*, pro *ἥν* vel *ἐάν*, quam ib. 24, *νόμιζε δὲ, ἂν ἐμὲ νῦν ἀποκτείνῃς*, et H. Gr. 2, 4, 16, *νῦν δὲ, ἂν ἀφῆτε·* 3, 9, 11, *καὶ νῦν γε, ἄν*, Hier. 3, 1, *δέ, ἄν*, sequente mox *δέ, ἐάν*, pro *δ' ἐὰν* et *γ' ἐάν*, aut hic *δ' ἄν*, pro *δ' ἐάν*, quod ex

δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμών ἐστιν αὐτοῖς καὶ αὐτός τε θηρᾷ καὶ τῶν ἄλλων ἐπιμέλεται ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ εἶναι αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον. καὶ γὰρ πρῲ ἀνίστασθαι ἐθίζει καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις, ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ. καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν τί ἐν τῇ θήρᾳ ἄπεστι τῶν ἐν πολέμῳ
11 παρόντων. ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν ἄριστον ἔχοντες [11]
πλεῖον μέν, ὡς τὸ εἰκός, τῶν παίδων, τἄλλα δὲ ὅμοιον. καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσειαν, ἢν δέ τι δεήσῃ ἢ

10. ἐπιμέλλονται A. αὐτοῖς ἐστι D.G. Stob. Libri ἐπιμελεῖται. θηρῶσιν] θηρῷεν D.G. αὐτοῖς om. G. εἶναι post πόλεμον D.G., quorum hic mg. r. (τ)ὶ τὸ θηρᾶν πρὸς τὸ πολεμεῖν. αὔτη D. τῶν] πραγμάτων R. s. v. r. Libri πρωί. ψύχει—θάλπει G. corr. s. v. r. ἀνάγκη δὲ] ἀνάγκη D. θήγεσθαι] θάλπεσθαι A.R. omisso quod D.G. add. ἐν τῇ θήρᾳ. ἀνθίσταται D. ἀνθίστηται R. μὲν in lit. G., post γὰρ L. δήπου om. G., δεῖ D., qui δήπου pr., sed δεῖπου corr. ὁμόσε] ἤτοι κατ' εὐθεῖαν s. v. r. R. ἐπιφερόμενον] θηρίον s. v. r. R. τι—ἄπεστι] τί ἐν τῇ θήρᾳ ὃ ἄπεστι Stob. ἐν τῇ θήρᾳ τί ἄπεστι D.G.M. τῷ ante πολέμῳ om. D.G. 11. ἐπὶ τὴν θήραν] ἐν τῇ θήρᾳ D. pr., corr. in mg. et textu. πλέον Stob. τὸ εἰκὸς] εἰκὸς D.G.M. καὶ εἰκότως Stob., qui om. τῶν. τἆλλα A.R. sæpius. μὲν om. R. Libri ἀριστήσαιεν, sed ἀριστησ in ras. G. δέ τι] μή τι A.R. δεήσῃ] δέῃ D.G. ἢ om. D.G.

Stobæo restitui, idemque faciendum puto locis omnibus quibus ἂν sive pro ἢν sive pro ἐὰν librarii intulerunt Xenophonti.

10. ἐπιμέλονται—ἐπιμελεῖται] De tollenda apud Xenophontem forma contracta v. præf. ad Anab. p. xiii. Nihilo plus tribuendum videtur exemplis Platonicis, ut hic quoque barytona tantum usus sit, etiam apud Thucydidem in libris nonnullis in alteram mutata, ut sæpissime in Xenophonteis, per Cyropædiam quidem sic ut vel A. et G., multo sæpius D. et illi inter se discrepent. V. dicta ad Thes. Stephani. Maxime vero infinitivum expulerunt librarii, ut ejus et in Cyropædia pauca relicta sint exempla in melioribus, velut 4, 5, 39, 46; 5, 2, 20, et apud alios perrara sint vestigia, ut dixi ad Steph.

αὕτη] Articulus in libris Xen. et Stobæi omnibus interpositus et repetitus a Zonara delendus videtur, ut Comment. 4, 6, 15: Νομίζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου, ubi expunxi cum Corae, sæpissime sic post οὗτος ab librariis interpositum, velut H. Gr. 7, 1, 44, infra 8, 7, 24. Ceterum eadem de venatione infra 8, 1, 34: Ταύτην ἡγούμενος ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι. Cyneg. 12, 1 seqq., Dio Chrys. Or. 3, vol. 1, p. 142.

πρῲ] V. ad 1, 4, 16. Conf. autem cum his Œcon. 5, 4.

θήγεσθαι] Infra 2, 1, 13: Θήγειν τὸ φρόνημα· 6, 2, 33: Ὁ τὴν λόγχην ἀκονῶν ἐκεῖνος καὶ τὴν ψυχήν τι παρακονᾷ. ut in Œcon. 21, 3, ἀκονᾶν τὰς ψυχάς. STEPH.

11. ὡς τὸ εἰκὸς] Sic Anab. 3, 1, 21; Ages. 2, 31, et alibi, sed sæpe etiam ὡς εἰκός.

ἀριστήσαιεν] Etsi formis optativi singularis in αις et αι pro ειας et ειε sæpe usus est Xenophon, pluralis

θηρίου ἕνεκα ἐπικαταμεῖναι ἢ ἄλλως ἐθελήσωσι διατρῖψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου, καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵν' ἐάν τι καὶ ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι ὅ τι ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πει-
12 νῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ πιεῖν διψῶντι. αἱ δ' αὖ [12]
μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα ἃ παῖδες ὄντες ἔμαθον καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. εἰσὶ δὲ καὶ

ἐθελήσωσι A. *θελήσωσι* I. *ἐθελήσωσιν* R., qui mox *ἐνδιατρίψαι*, deleto *ἐν* et s. v. r. *βραδύναι*. *βουληθῶσι* D.G. *τὸ*] *τὸ οὖν* A. *τὸ γοῦν* R. *τὴν ὑστέραν* A. *τὴν αὔριον* s. v. r. R. *αὖ* om. A.R. *τούτω τὼ ἡμέρα* Stob. *τούτω* (sed *ω* fort. corr.) *τὰ ἡμέρα* (pr. *ἥμερα*) D. *τὼ ἡμέρα*, sed sed ut erasum aliquid videatur super *α*, e alia m. s. v. *τούτω* et mg. r. *τὰ ἡμέρα* G. *τούτῳ τῷ ἡμέρα* K. et qui *ἡμέραι*[α] M. *τούτω τὼ ἡμέραι*, sed *ας* super *τω τὼ* et *ρα* alia m., ut fiat *τούτας*, L. *ταύτας τὰς ἡμέρας* A.I. *τὰς ἡμέρας ταύτας* Zonaras. *ἕνεκεν* R., sed *εν* in lit., pr. *α*. *ἵν' ἐάν τι καὶ* A.R. *ἵνα καὶ ἐάν τι* D.G. et qui *ἄν* Stob. *δύνονται* A. et *ο* in lit. R. *εἰ δέ*] *ἣν δέ* R. pr. *ἔχωσιν*] *ἐσθίωσιν* Stob. *ἀειδῶς* R. pr. *ὕδωρ*] *ἔχωσι* post hoc delet R. *μὲν ἡδὺ* A.R. Stob. *ἡδὺ μὲν* D.G. Libri *μάζα*. *φαγεῖν* s. v. D. *ἡδὺ* om. A. *πιεῖν διψῶντι* A.R. Stob. *διψῶντι πιεῖν* D.G. 12. *μένουσι* pr. G., corr. s. v. r. *φυλαὶ*] *αι* in ras. G., pr. fortasse *φυλακαί*. *διατρίβουσι*] *ι* in ras. G., pr. fortasse *–σαι*, ut R. s. v., qui *μελετῶσι* et *σαι* s. v. *ἐμάνθανον* Stob. *καὶ* ante *διαγ*. om. D.

tamen in *αιεν* exempla omnia fere adeo sunt incerta ut librorum hic in *ἀριστήσαιεν* consensui non plus tribuendum videatur quam apud Demosth. p. 1257, 10, ubi *ἀριστήσειαν* Dionysius vol. 6, p. 987, 5, aut eorundem et Suidæ v. *Ὑποπέμψαιεν* in hoc, Anab. 2, 4, 22, ubi solus ille ipse Suidas servavit *μείνειαν*, in libris Xenophontis in *μείναιεν*, *μείνοιεν*, *μένοιεν* mutatum, sicut Reip. Athen. 2, 15, *στασιάσαιεν* conjungitur cum *στασιάσειαν*, libris in utroque consentientibus, qui alibi sæpe inter utrumque variant.

ἔχωσιν] Cic. Tusc. 5, 34, 99: "Xenophon Persas negat ad panem adhibere quidquam præter nasturtium," confert Steph., prælaturus alioqui Stob. *ἐσθίωσιν*, ut sequitur *πίνωσιν*.

ἀναμνησθήτω πῶς ἡδύ] *πῶς* cum adjectivo vel adverbio conjunctum, non ut *ὡς* cum ipso conjungitur adverbio vel adjectivo et est *quam*, sed ad totam sententiam refertus vertendumque est *ut*. Anab. 7, 7, 27: *Ἴθι δὴ ἀναμνήσθητι πῶς μέγα ἡγοῦ τότε καταπρᾶξαι ἃ νῦν καταστρεψάμενος ἔχεις.* Comment. 4, 2, 23: *Νῦν δὲ πῶς οἴει με ἀθύμως ἔχειν;* Julianus Epist. 6: *Οἶσθα πῶς εἰμι βραδύς.*

ἡδὺ] Loci sententiam expressit Athenæus 4, p. 157 E. SCHN. Qui quod posuit *μᾶζαν καὶ κάρδαμα*, de eo multis disputat Steph., recteque animadvertit *ἄρτον* comparandi caussa post *μᾶζαν* memorari, cui anteponatur vel in prov. *ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον*. Conf. 6, 2, 28. *Κάρδαμα* autem Athenæum ex præcedentibus intulisse vidit Hutchinson.

δημόσιοι τούτων ἀγῶνες καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δεήσῃ ἢ κακούργους ἐρευνῆσαι ἢ λῃστὰς ὑποδραμεῖν ἢ καὶ ἄλλο τι ὅσα ἰσχύος τε καὶ τάχους ἔργα ἐστί. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται
13 εἰς τοὺς τελείους ἄνδρας. ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου [13]
οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε. πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ ὑπὲρ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. ἢν δέ που δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, οἷόνπερ γράφονται οἱ Πέρσαι ἔχοντες, ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ

δημόσια I. τῶν φυλῶν A.R. φυλῇ D.G. Stob. ἀνδρειότατοι R. pr., ut videtur. καὶ εὐπ. in mg. r. G. νῦν s. v. r. G. om. K.L. ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε R. et qui ἐπαίδευσεν A.D. et G. corr. r., qui pr. αὐτοὺς, οἳ παῖδας ὄντας ἐπαίδευσαν, ut L. ὅστις παῖδας ὄντας αὐτοὺς ἐπαίδευσε Stob. μένουσι τῶν] μένουσιν D. ἀρχαὶ] πᾶσαι add. Stob. ex s. 13. ἢ φρ.] φρ. A.R. δεήσῃ] δέῃ R. Stob. κακούργους] ουρ in lit. D. ἄλλο τι] ἄλλα Stob. ἰσχύος τε καὶ τάχους D.G.M. ἰσχύος ἢ τάχους ἄλλα A. et qui ἢ in lit. et τάχους s. v. r. R. τάχους καὶ ἰσχύος Stob. τὰ] τὰ ἐν τοῖς ἐφήβοις I. διατελέσωσιν D.I.R. Stob. τελέσωσιν A.G.M. 13. ἐκ τῶν ἐφήβων post χρόνου om. A. R. αὖ] δ' αὖ D.R., qui delet δ' et mox bis ponit πέντε. διάγουσιν ὧδε A.R., ut s. 9. ὧδε διάγουσι G. Stob., cujus A. om. ὧδε, et qui -σιν D.K.M. μὲν s. v. r. R. ἤν] ἐάν Stob. ὑπὲρ A.I.R. περὶ D.G. Stob. ἤδη om. A. ἢν] ἐὰν Stob. δὲ] δὴ D. δέῃ A.R. Stob. δεήσῃ D.G. παιδευόμενοι Stob. ἀγχίμαχα fortasse D. pr., qui ε in lit. καλούμενα] a corr. D. τε om. A.R. οἷόνπερ—ἔχοντες om. Stob. Zonaras.

12. εὐπιστότατοι] De scriptura per ι, ut ἀπιστεῖν dicitur et ἀπιστία, post Æm. Portum et Stephanum, qui recte repudiavit Leonclavii ει inferentis opinionem, v. Valckenar. ad Herodot. 6, 108.

λῃστὰς ὑποδραμεῖν] Cursu comprehendere vel fugientem reprehendere interpretatur Budæus Comment. p. 389. Possis etiam interpretari Cursu subsequi et prehendere. STEPH. Thes. v. Ὑποτρέχω p. 459 A. Est potius antequam aufugiant subire et prævertere.

τὰ δέκα] Intell. τὰ ἐν τοῖς ἐφήβοις δέκα, ut 1, 5, 4. STEPH. Respicit s. 9.

ἄλλο τι] Refertur ad δεήσῃ.

δυναμένων] I. 9. ἀκμαζόντων, ut Plut. Mor. p. 793 C.: Ἀκμάζων καὶ δυνάμενος ἀνήρ. Dio Chr. Or. 27, vol. 1, p. 529: Εἰ γένοιτο ἀδύνατος ἐκ δυναμένου. Quod addito dativo dicit Lysias p. 195, 30: Οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δ' οὔπω δυνάμενοι, et alibi.

κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται πλὴν οἱ τῶν παίδων διδάσκαλοι. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι γεγονότες ἢ τὰ πεντήκοντα ἔτη ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους.
14 οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς [14] ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ καὶ τὰ ἴδια πάντα. καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστοι καὶ τῶν ἄλλων ὁ βουλόμενος, οἱ δὲ γεραίτεροι ἀκούσαντες ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμος διατελεῖ τὸν λοιπὸν βίον.

15 Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, [15] μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προειρημένα. λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ

καὶ αἱ om. D. *καθίστανται*] *γίνονται* s. v. r. R. *εἴκοσι* A.D. *ἂν* om. A.R. pr. *πλεῖόν τι* A.R. *πλεῖον* D.G.M. *πλέον* Stob. *γ. ἢ τὰ π. ἔτη* A.R. et sine *τὰ* I. *ἢ π. ἔτη γ.* D.G. Stob. 14. *ἑαυτῶν*] *αὐτῶν* Stob. *τά τε κοινὰ καὶ ῥάδια πάντα* A. et qui *τὰ ἴδια* R. eodemque ordine Zonaras. *πάντα* post *κοινὰ* D.G. Stob. *θανάτου*] *κρίσεις* R. s. v. r. *αἱροῦνται πάσας* Stob. *ἐκλέγονται* s. v. r. R. *ἤν*] *ἐάν* Stob. *ἢ* prius om. D.G. *ἢν* A. *ἐλλίπῃ* Junt. *ἐλλείπει* R., sed ult. in *η* mutans, *ἐκλίπῃ* G., qui s. *κ* erasit quid simile lit. λ, K.M. *ἐκλείπῃ* A. Stob. A. *ἐπιλείπῃ* D. *ἐκφαίνουσι* D. *ἕκαστοι* A.I.L. corr. R. *ἕκαστον* D.G. Stob. *ὁ βουλόμενος*] *οἱ βουλόμενοι* G. pr., ut videtur. *ἐκκρίνουσιν*] *ἐκχωρίζουσιν* R. s. v. r. *διατελεῖ τὸν λοιπὸν βίον* R. et, qui *λοιπὸν* s. v., A. eodemque ordine Zonaras. *τὸν λοιπὸν βίον διατελεῖ* D.G. 15. *ἡ* om. A.R. erasit fere D. *ἂν* post *γὰρ* D. *δηλωθεῖεν* fortasse D. pr., ut B. *δηλωθῇ* pr., fortasse R. *μὲν* om. A.

13. *ἀγχέμαχα*] In Stobæi *ἄγχιμα* fortasse *ἀγχίμαχα* latet hic et 7, 4, 15, ut *ἀγχίνους* et similia dicuntur. SCHN. De mirabili consensu grammaticorum in tuendo *ε* pro *ι*, quamvis nullus probaverit *ἀγχεμαχητής*, v. Lobeck. ad Phryn. p. 685.

οἷόνπερ γράφονται] Fischerus ad hæc verba adscripserat: Si verba genuina, neque a Grammaticis adscripta. SCHN. Omittunt Stobæus et Zonaras: atque etiamsi Xenophon cogitaret Persas in prœlio Marathonio pictos in stoa Pœcile, tamen non erat quod æqualibus, qui etiam vivos sæpe vidissent, ita demonstraret.

μάχαιραν] Supra s. 9, *σάγαριν* vocavit, quod vocabulum etiam h. l. restitui vult Wyttenbach. Sic iterum 2, 1, 9, et 4, 2, 22. sed 2, 1, 19, *μάχαιρα δὲ ἡ σάγαρις ἐν τῇ δεξιᾷ.* Nihil igitur novandum censeo. SCHN. Conf. de his Persarum pugionibus, quos Græci *ἀκινάκας* dicunt, Ker Porter. *Travels in Georgia, Persia* etc. vol. 1, p. 596. Xen. Eq. 12, 11: *Ὡς δὲ τοὺς ἐναντίους βλάπτειν, μάχαιραν μὲν μᾶλλον ἢ ξίφος ἐπαινοῦμεν. ἐφ' ὑψηλοῦ γὰρ ὄντι τῷ ἱππεῖ κοπίδος μᾶλλον ἡ πληγὴ ἢ ξίφους ἀρκέσει.*

καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι] Strabo 15, p. 734: *Στρατεύουσι δὲ καὶ ἄρχουσιν ἀπὸ εἴκοσιν ἐτῶν ἕως πεντήκοντα πεζοί τε καὶ ἱππεῖς.* SCHN.

15. *δώδεκα*] Hunc esse numerum gentis Pasargadarum seu *ὁμοτίμων* in-

τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας πέμπουσιν, οἱ δὲ μὴ δυνάμενοι οὐ πέμπουσιν. οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι, τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν, οἳ δ' ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους. οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίγνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται· καὶ ἡ πολιτεία αὕτη ἐστὶν ἡ Περσῶν καὶ ἡ ἐπι-
16 μέλεια αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. καὶ [16]
νῦν δὲ ἔτι ἐμμένει μαρτύρια καὶ τῆς μετρίας διαίτης αὐτῶν

πᾶσι om. R. διδασκαλίας δίκαια D. καιοσύνης in ras. G. παῖδας] ἑαυτῶν παῖδας Stob. οἱ δὲ—πέμπουσιν om. D. οὐ in ras. G. οἳ δ' ἂν] οἵ in lit., pr. οἷσι, et αὖ post ἂν s. v. r. R. ἵνα Stob. νεανισκεύεσθαι citat Pollux 2, 20. νεανιεύεσθαι G. corr. mg. r. συναυλ. A. G. R. οἳ δ' ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις D. G. M. οἳ δ' ἂν αὖ ἐν τοῖς παισὶ μὴ διατελέσωσιν ἢ ἐν τοῖς ἐφήβοις A. R., qui pr. ἐφήβοις pro παισὶ, et qui διαγένωνται Stob. εἰσέρχονται A. R. ἔρχονται D.G.M. Stob. οὕτως A. δὴ om. R. διεληλ. Stob. πολιτεία αὕτη ᾗ A.G.R. πολιτεία αὕτη ἐστὶν ἡ περσῶν καὶ ἐπιμέλεια αὕτη ᾗ D.M. ἐστιν ἡ περσῶν καὶ ἡ ἐπιμέλεια αὕτη addit G. mg. r. οἴονται] ε s. αι A. οἵ s. v. et τ cum seq. χ ductu quodam conjungit D. 16. μαρτύρια A. μαρτυρια sine accentu D.R. μαρτυρία G.

ter Persas, non universæ nationis, censet Heeren *Ideen* etc. vol. 2, p. 438. SCHN.

ἀργοῦντας] Otiantes liberaliter, vacuos a necessario quærendi victus negotio. Xenophon cum in rerum judicio tum in verborum usu subinde λακωνίζει. Laco videns Atheniensem ἀργίας condemnari ἐκέλευσεν ἐπιδεῖξαι αὐτῷ τὸν τὴν ἐλευθέριον δίκην ἡττηθέντα, ut est in Plut. Apophth. p. 221 C. Huc spectabat Lycurgi institutum in Vita Plut. c. 24. Ut igitur ἔργον erat opus illiberale, ita ἀργία etiam liberale, occupatum in actionibus liberalibus. Aliter et contra apud alios Græcos, auctore Hesiodo Op. 309: Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος. De quo v. Xen. Comment. 1, 2, 56 s. Ἀργίαν sapientis otium philosophi dixit Eur. Med. 294: de Lacedæmoniis Isocr. Busir. p. 225 B. Ælian. tamen V. H. 2, 5, eos vehementer tempori pepercisse neminique civium concessisse ῥᾳστωνεύειν μηδὲ ῥᾳθυμεῖν: scilicet hoc erat nihil agere, illud nil illiberalis operis agere. Idem 10, 14, Socratis dictum refert ὅτι ἡ ἀργία ἀδελφὴ τῆς ἐλευθερίας ἐστί. Martialis 12, 4, ingenuam pigritiam dixit. WYTTENB.

καλῶν] Conf. 8, 7, 6.

νεανισκεύεσθαι] Juventutem transigere; νεανιεύεσθαι, juveniliter gloriari. V. ad Plut. Mor. p. 12 B. WYTTENB.

καὶ ἡ πολιτεία —— αὕτη] Molestum duplex αὕτη, quorum prius tacito delevit Schneiderus, suspectum facit additamentum ἐστὶν—αὕτη, etiam a Wyttenbachio ejectum, quod etsi facile potuit excidere, satis tamen erat πολιτείαν dici, ut s. 15.

16. καὶ νῦν δὲ—διαίτης] De Persis

καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ ἀποπτύειν καὶ τὸ ἀπομύττεσθαι καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι, αἰσχρὸν δὲ ἔτι καὶ τὸ ἰόντα ποι φανερὸν γενέσθαι ἢ τοῦ οὐρῆσαι ἕνεκα ἢ καὶ ἄλλου τινὸς τοιούτου. ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ πῃ ἀποχωρεῖν. ταῦτα μὲν δὴ κατὰ πάντων Περσῶν ἔχομεν λέγειν· οὗ δ' ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις ἀρξάμενοι ἀπὸ παιδός.

καὶ τὸ ἀπομ.] καὶ ἀπομ. A. et qui ἀποπτύειν καὶ s. v. et delet καὶ ἀποπτύειν post ἀπομ. R. φύσης] πνεύματος s. v. r. R. ἔτι] ἐστι A.I.R. τὸ] τὸν A. ποι Heindorfius. Libri που. πῃ] ποι G.R. ἔχω D. et λέγειν mg. ὁ] ὅδε ὁ D. ὡρμήθη] prius η in ras. D. et mg. πράξεις.

hodiernis Olivier *Voyage dans la Perse* vol. 5, p. 19: "Nous avouerons que nous fûmes surpris lorsque nous vîmes, à Kermanchah, à Téhéran, à Ispahan et partout où nous avons passé, la petite quantité de nourriture qui suffit à un Persan, et dont il se contente lors même qu'il peut se livrer sans dépense à tout son appétit. Il mange en général fort peu de viande, et ne fait guère usage, parmi elles, que du mouton, de l'agneau, du chevreau et de la poule; il touche rarement au bœuf, au chameau, au pigeon, et jamais au porc, au gibier et au poisson; il préfère se nourrir de riz, de laitage, d'herbage et de fruits. Il aime beaucoup les sucreries, les confitures, les bonbons de tout espèce; il prépare une infinité des sorbets avec le suc de fruits, qu'il aromatise avec le musc, l'ambre, l'eau de rose, l'eau de saule, l'essence de girofle et celle de canelle, etc." V. ad 1, 3, 4.

ἐκπονεῖσθαι τὴν δίαιταν] Victum, id est cibum et potum. Comment. 1, 2, 4: Ὅσα γ' ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν. SCHN.

ἀποπτύειν — ἀπομύττεσθαι] Coram aliis videlicet, ἀντίον ἄλλου, ut ait Herodotus 1, 133. SCHN. Schol. Aristoph. Thesm. 616: Ἐπισχετικά ἐστιν οὔρου τὰ κάρδαμα καὶ πτύσματος. καὶ διὰ τοῦτό φασι τοὺς Πέρσας αὐτοῖς χρῆσθαι. ὅτι μὲν γὰρ χρῶνται, καὶ Ξενοφῶν φησι, Φυλάττονται πολλὰ οὐρεῖν, ὥσπερ καὶ πτύειν καὶ ἀπομύττεσθαι. Ubi notabile πτύειν pro ἀποπτύειν, etiam 8, 8, 8, illato pro simplici, quod est in omnibus 8, 1, 42, et hic quoque restituendum videtur. Et πτύειν ἀντίον Herodotus 1, 99, πτύειν ἐν τῷ φανερῷ Dio Chr. Or. 13, vol. 1, p. 429, item de Persis.

φύσης—φαίνεσθαι] i. e. ἀποψοφεῖν, seu turpiore verbo πέρδεσθαι. SCHN.

ἢ τοῦ—τοιούτου] Deleturus erat Valcken. ad Herodot. 4, 113, "Nisi Zonaras eadem in suo codice legisse videretur Annal. 3, p. 110 B. (148 A.)" Sed Zonaræ non gravior quam codicum auctoritas. Agnoscit vero etiam schol. Aristoph. modo cit., et ἐς ποταμὸν οὔτε ἐνουρέουσι οὔτε ἐμπτύουσι Herodot. 1, 138 et 133, οὐρῆσαι ἀντίον ἄλλου.

ἄλλῃ—πῃ] Per sudores exhalatur. Ammianus 23 extr. "Super his nec stando mingens nec ad requisita naturæ secedens facile visitur Persa: ita observantius hæc aliaque pudenda declinant." Varronis locum apud Nonium: "Persæ propter exercitationes pueriles modicas eam sunt consecuti corporis siccitatem, ut neque spuerent neque emungerentur, sufflatoque corpore essent:" comparavit Victorius V. L. 10, 15, et Muretus V. L. 4, 14. SCHN.

οὗ] Cyri.

ΚΕΦ. Γ.

Κῦρος γὰρ μέχρι μὲν δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον
ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων δια-
φέρων ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι καὶ εἰς
τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. ἐκ δὲ τούτου τοῦ
χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ
τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουεν αὐτὸν
καλὸν κἀγαθὸν εἶναι. ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς
2 τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. ὡς δὲ ἀφί- [2]
κετο τάχιστα καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς
πατέρα ὄντα, εὐθὺς οἷα δὴ παῖς φύσει φιλόστοργος ὢν
ἠσπάζετό τε αὐτὸν ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος
καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμη-
μένον καὶ ὀφθαλμῶν ὑπογραφῇ καὶ χρώματος ἐντρίψει
καὶ κόμαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις· ταῦτα
γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες καὶ οἱ
κάνδυες καὶ οἱ στρεπτοὶ οἱ περὶ τῇ δέρῃ καὶ τὰ ψέλια τὰ

1. γὰρ μέχρι μὲν A.D.I. γὰρ μέχρι G.M. μὲν γὰρ δὴ μέχρι μὲν δὴ, deleto altero δὴ, R. πλεῖον] πλείω fortasse pr. R. πλειόνων D.G. correctus in ν. αὐτῆς] ἑαυτῆς A. γὰρ] γὰρ αὐτὸν D.M. et s.v.r. G. αὐτὸν post κἀγαθὸν D.G. καὶ ἀγαθὸν A.M.R. αὐτή τε] τε s. v. R. 2. φύσει φ. ὢν A. R. φ. φύσει D.G. φιλῶν] φϊλὸν A. προσθέταις D.R. pr. γὰρ] γὰρ δὴ D. οἱ κάνδυες] χιτῶνες περσικοὶ s. v. A. οἱ περὶ A.H.R. περὶ D.G. δέρρῃ A.R. ψέλια A.D. ψέλλια G.R. ut s. 3. τὰ περὶ H. περὶ A.D.G.R.

1. *αὐτή τε*] Similiter verbo postponitur Comment. 2, 1, 9: *Πράγματα ἔχειν αὐτούς τε καὶ ἄλλους παρέχειν.* Thuc. 5, 16: *Πόνων πεπαῦσθαι καὶ αὐτὸς καὶ τοὺς πολίτας παῦσαι·* 8, 55: *Ὁ Πεδάρητος αὐτός τε καὶ τὸ περὶ αὐτὸν ἐπικουρικὸν ἔχων.*

τὸν Κῦρον τὸν υἱὸν] Sic Conv. 9, 1: *Ὁ Λύκων ὁ πατὴρ*, quæ adeo sunt insolentia ut nomina glossematis speciem habeant.

2. *ἀσπάζοιτο*] Ad hoc exemplum Longus Past. 4, p. 120 ed. Vill. informavit Daphnidem, qui agnitis veris parentibus *τὸν πατέρα καὶ τὴν μητέρα πρὸ τῶν ἄλλων ἐφιλοφρονεῖτο καὶ ὡς πάλαι εἰδὼς προσεστερνίζετο.* WYTTENB.

ὀφθαλμῶν ὑπογραφῇ etc.] Ambitiosam hanc ornatus rationem gentes orientales in luxum effusiores excogitarunt. Ita olim Jezebelem, ut regiam præ se ferret gravitatem, oculos fuco ornasse legimus 2 Reg. 9. 30. Ad quem locum LXXII. habent *ἐστιμμίσατο τοὺς ὀφθαλμοὺς*, i. e. stibio depinxit. Hoc enim lapide ideo in pingendis oculis homines, decoris nimium studiosi, utebantur, quod eos non nigravit tantum, sed etiam dilatavit; ut Plin. N. H. 33, 6. Medos vero inprimis hujusmodi se cultu ornasse testatur etiam Plutarch. Crass. c. 24, ubi de Surena *Μηδικώτερον ἐσκευασμένος ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει.* HUTCH. Œcon. 10, 5: *Τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀνδρεικέλῳ·* 10, 2, *ἐντετριμμένην ψιμυθίῳ—ἐγχούσῃ.*

Μηδικὰ] Conf. 8, 1, 40.

οἱ κάνδυες] Candys, Persarum vestis, quam Medis acceptam referunt. Ab his enim teste Strabone 11, p. 525 s. ad illos vestitus omnisque adeo vitæ ratio manavit. HUTCH. Conf. autem Anab. 1, 5, 8.

περὶ ταῖς χερσὶν, ἐν Πέρσαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι καὶ αἱ δίαιται εὐτελέστεραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος· ἐρωτώσης δὲ αὐτὸν τῆς μητρὸς πότερος καλλίων αὐτῷ δοκεῖ εἶναι, ὁ πατὴρ ἢ οὗτος, ἀπεκρίνατο ἄρα ὁ Κῦρος, Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων μέντοι ὅσων ἑόρακα, ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ ταῖς θύραις πολὺ
3 οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. ἀντασπαζόμενος δὲ ὁ [3]
πάππος αὐτὸν καὶ στολὴν καλὴν ἐνέδυσε καὶ στρεπτοῖς καὶ ψελίοις ἐτίμα καὶ ἐκόσμει, καὶ εἴ που ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. ὁ δὲ Κῦρος ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος ἥδετο τῇ στολῇ, καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ καὶ ἰδεῖν ἵππον
4 σπάνιον. δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ [4]
Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧττον τὰ οἴκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας

ταῖν χεροῖν G. ἐσθῆτος G. corr. s.v.r. λαμ ante φαυλότεραι delet R. αἱ δίαιται A.R. δίαιται D.G. ἐμβλ.] καὶ ἐμβλ. D. ὡς κ. μοι ὁ π. ὦ μῆτερ Hermogenes Walz. Rhett. vol. 3, p. 306, 11. ἐρωτησάσης D. αὐτὸν τῆς μ.] τῆς μ. αὐτὸν D.G. καλλίων αὐτῷ δοκεῖ] καλλίων δοκεῖ αὐτῷ D. δοκεῖ καλλίων αὐτῷ G. Libri ἑώρακα. ἐπὶ] ἐν D.G. ταῖς θύραις] θύραις A.R. 3. ὁ πάππος αὐτὸν A.I.R. αὐτὸν ὁ ἀστυάγης D.G. εἰώθει] ult. in lit. D. καὶ ἰδεῖν] ἰδεῖν A. σπάνιον G.M. πάνυ σπάνιον ἦν A. πάνυ σπάνιον D. σπάνιον ἦν K.R. 4. δὲ] δὲ δὴ A.D. et qui δὴ in lit. R. τῷ] σὺν τῷ A.D. ὡς om. A. ἧττον R. in lit., pr. fortasse εἴτω, ἧσσον A. ὡς ἧσσον G.M. ὡς ἥκιστα D. τὰ om. A. προσήγαγεν] προσῆγεν A.R. Athen. 9, p. 368 A. αὐτῷ καὶ] αὐτῷ Athen.

ταῖς χερσὶν] Sic Anab. l.c., quum ἐν χεροῖν pro χερσὶν male inferant nonnulli infra 2, 3, 20.

ἐπὶ ταῖς θύραις] regiæ. Ad has enim aulici homines obambulare solebant, ut præsto semper essent, si qua in re rex eorum opera uti vellet. HUTCH. V. ad Anab. 1, 9, 3. Malcolm *History of Persia*, vol. 1, p. 481 sec. ed. "The name Deri is derived from *Der*, the Greek *θύρα*, the German *Thür*, and our *door*. For it was the usage of the Persians, as it is of the Ottoman *Porte*, to name what approaches royalty from the gate, while we name it from the *court* within the gate: so that the Deri language may be rendered precisely by the *lingua corteggiana* of the Italians."

3. ἐτίμα] V. 8, 2, 10, Anab. 1, 2 extr., Joseph. Ant. Jud. 11, 6, 10. ZEUN. Iisdem muneribus hodie donari quos rex Persarum honoret narrat Morier *A second Journey through Persia*, p. 93.

ἱππεύειν μανθάνων] Conf. Herodot. 1, 136. ZEUN. V. ad 4, 3, 23.

ὀρεινῇ] V. ad 7, 5, 67.

4. τὰ οἴκαδε] Pro οἴκοι dictum propter ποθοίη. Alioqui aut τὰ οἴκοι aut οἴκαδε dicendum fuisse animadvertit Wyttenb. Et alterum præbet A.

καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. τὸν δὲ Κῦρον ἔφασαν λέγειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάρια ταῦτα διατείνειν τὰς χεῖρας καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ, φάναι τὸν Ἀστυάγην, οὐ γὰρ πολύ σοι δοκεῖ εἶναι κάλλιον τόδε τὸ δεῖπνον τοῦ ἐν Πέρσαις; τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται, Οὐχί, ὦ πάππε, ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι ἢ παρ' ὑμῖν· παρ' ἡμῖν μὲν γὰρ ἄρτος καὶ κρέα εἰς τοῦτο ἄγει, ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πάλαι ἥκο-
5 μεν. Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ ἀχθό- [5]
μενοι ταῦτα περιπλανώμεθα· γενόμενος δὲ καὶ σύ, ἔφη, γνώσει ὅτι ἡδέα ἐστίν. Ἀλλὰ καὶ σέ, φάναι τὸν Κῦρον, ὁρῶ, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα. καὶ τὸν Ἀστυάγην ἐπερέσθαι, Καὶ τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, λέγεις; Ὅτι σε, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον, ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρει τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος ὅτι πλέα σοι ἀπ' αὐτῶν ἐγέ-

ὅσα] ὅσα τε A. Supra v. aliquid ut δή R. τὰ om. A. λεκάρια A. et, ut videtur, G. pr. λεκάνια nunc, ut L.R. λεκανίδια B.I. ἀγγεῖα D. εἶναι post δοκεῖ A.R. post δεῖπνον D.G. οὐχὶ] οὐκ A. et qui κ in lit. R. παρ' ἡμῖν ἡ ὁδὸς] ἡ ὁδὸς παρ' ἡμῖν D. παρ' ἡμῖν μὲν] μὲν B. ἡμᾶς μὲν D.G. κρέας D.G. ἄγει] ἀπάγει A. et qui ἀποδιώκει s.v.r. R. ὅποι D.R. ὅπῃ A.G.M. πάλαι s.v.R. 5. γενόμενος A. καὶ σὺ ἔφη] ἔφη καὶ σὺ D.G. Libri γνώσῃ. ἡδέα] ταῦτα add. D.G. mg. ἀλλὰ om. G.M. ὁρῶ post κῦρον A.G.M. et s.v. R. post βρώματα D. ἐπέρεσθαι hic et s. 8. A.D.G.R. ἐπαίρεσθαι R. pr. λέγεις A.G.M. et s.v.R. ταῦτα λέγεις I. ταῦτα λέγεις οὕτως D. θίγῃς] στείχῃς, ut videtur, R. pr. ἀποκαθαίρει] ἀποκαθαίρῃ G. ἀποκάθαιρε libri Athen. 9, p. 410 C. afferentis ὅταν—ἐγένετο. ἀποκαθαίρεις A.D.G. et s.v.r. R. πλέα A.G.L. (cui καταπλέα falso tribuit Wyttenb.) R., qui πεπληρωμ cum compendio ενη s.v.r. καταπλέα D.I. Athen.

παροψίδας] Ut ambigue dictum notat Athen. 9, p. 368 A, ubi de duplici agit signif. Vasis et Obsonii, quarum hanc probat, priorem rejicit Phrynichus p. 176. Obsonii significationem poscere ἐμβάμματα recte judicat Hemsterh. ad Poll. 10, 87, cui nihil adversatur sequens λεκάρια.

λεκάρια] De forma λεκάριον etiam apud Phrynichum p. 176 Lob. et Pollucem 10, 86, aliosque reperta et fortasse alibi quoque pro λεκάνια restituenda dixi ad Steph. v. Λεκάνιον. Hic quidem λεκάριον A. clarissime, G. vero ita exhibet ut litteræ ν, scriptæ fere ut ρ, pars superior alio atramento imposita videatur ρ superne clauso, certe colore nonnihil differat pars litteræ superior et aperta ab inferiori et pr., ut videtur, clausa superne.

ἄρτος καὶ κρέα] Etiam Strabo 15, p. 734, quotidianum Persarum victum post exercitationes esse perhibet κρέα ὀπτὰ ἢ ἑφθὰ ἐξ ὕδατος. SCHN.

6 νετο. πρὸς ταῦτα δὲ τὸν Ἀστυάγην εἰπεῖν, Εἰ τοίνυν οὕτω [6]
γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας
οἴκαδε ἀπέλθῃς. ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ
παραφέρειν καὶ θήρεια καὶ τῶν ἡμέρων. καὶ τὸν Κῦρον,
ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν, Ἦ καὶ δίδως, φάναι, ὦ
πάππε, πάντα ταῦτά μοι τὰ κρέα ὅ τι βούλομαι αὐτοῖς
7 χρῆσθαι; Νὴ Δία, φάναι, ὦ παῖ, ἔγωγέ σοι. ἐνταῦθα δὴ
τὸν Κῦρον λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν
πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ, Σοὶ μὲν τοῦτο
ὅτι προθύμως με ἱππεύειν διδάσκεις, σοὶ δ' ὅτι μοι παλτὸν
ἔδωκας· νῦν γὰρ τοῦτ' ἔχω· σοὶ δ' ὅτι τὸν πάππον καλῶς
θεραπεύεις, σοὶ δ' ὅτι μου τὴν μητέρα τιμᾷς· τοιαῦτα
8 ἐποίει, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα. Σάκᾳ δὲ, φάναι [7]
τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν
δίδως; ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε καὶ τιμὴν
ἔχων προσάγειν τοὺς δεομένους Ἀστυάγους καὶ ἀποκω-
λύειν οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. καὶ τὸν
Κῦρον ἐπερέσθαι προπετῶς ὡς ἂν παῖς μηδέπω ὑποπτήσ-
σων, Διὰ τί δὴ, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; καὶ τὸν
Ἀστυάγην σκώψαντα εἰπεῖν, Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς
οἰνοχοεῖ καὶ εὐσχημόνως; οἱ δὲ τῶν βασιλέων τούτων
οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι καὶ καθαρείως ἐγχέουσι καὶ

6. δὲ] η s. v. r. G. δὴ L. γε om. M. θήρεια Stephanus. θηρια vel θηρία A.D.G.R. δίδως] δίδως μοι D.L. φάναι om. D. πάντα ταῦτά μοι A.G. ταῦτα πάντα D. ταῦτά μοι R. ὅ τι] ἂν add. D. et βούλωμαι pr. νὴ] νι A. ναὶ D. ἔγωγέ σοι ὦ παῖ D. 7. βασιλέως ψυχῆς τὸ διαδοτικὸν καὶ τὸ μνημονεύειν ὧν ὑφ' εὖ πάθοι τοι mg. G. διαδόναι A. σοὶ] σὺ G. pr. ter et in tertio corr. R. τοῦτο] δίδωμι add. D. με] μεν A. ἔδωκας] τοῦτο add. D. ἐποίει] ποιεῖν D. διαδοῦναι D. 8. σακᾶ D. erasa lit. post ᾶ, et infra σακᾶς, σακᾶν, σακᾶ. ὃν] τὸν A.G.R. τε] γε A. G.R. δοκεῖ A. εἶναι om. R. παῖς] ἐποίει add. K. δὴ] δε (sic) D. οὕτως D. καθαρείως citant Pollux 6, 27, Eustath. Od. p. 1402, 56. καθαρίως A.D.G. καθαρῶς R. ἐκχέουσιν D. ὡς οἰοχονοῦσιν οἱ μῆδοι mg. G.

6. *νεανίας*] Ut adolescens et robustus, non, ut nunc es, puer et infirmus, domum redeas. Hinc *νεανικὸς*, magnus, *νεανικὸν κρέας* ap. Aristoph. Pl. 1137. WYTTENB.

7. *τοῦτ' ἔχω*] *παλτόν*. Scilicet hucusque equitans *ἀκοντίῳ* usus fuerat. Conf. 6, 2, 16. SCHN.

8. *ὃν ἐγὼ μάλιστα τιμῶ*] Nam *ᾠνοχόουν*, teste Athenæo 10, p. 424 E., *παρὰ τοῖς ἀρχαίοις οἱ εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱὸς* Hom. Od. O, 141. HUTCH.

ὑποπτήσσων] Pro *ὑποπτήσσοντα* dictum quasi præcedentia recta oratione enuntiata fuissent, ut infra 1, 4, 26: *Κῦρον λέγεται καὶ ἣν εἶχε στολὴν ἐκδύντα δοῦναί τινι, δηλῶν ὅτι τοῦτον μάλιστα ἠσπάσατο.* Hom. Il. B, 350: *Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα—ἀστράπτων ἐπιδέξια.* Conf. ad 8, 8, 10. *Ὡς ἂν* sic est 5, 4, 29.

τούτων] Abest infra s. 9, etsi iidem utrobique dicuntur.

καθαρείως] Hanc formam metrum poscit in locis poetarum, de quibus

διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην καὶ
προσφέρουσιν ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ
9 μέλλοντι πίνειν. Κέλευσον δή, φάναι, ὦ πάππε, τὸν [8]
Σάκαν καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι
πιεῖν ἐγχέας ἀνακτήσωμαί σε, ἢν δύνωμαι. καὶ τὸν κελεῦ-
σαι δοῦναι. λαβόντα δὴ τὸν Κῦρον οὕτω μὲν δὴ εὖ κλύ-
σαι τὸ ἔκπωμα ὥσπερ Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ
πρόσωπον σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν
καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ ὥστε τῇ μητρὶ καὶ
τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν. καὶ αὐτὸν δὲ
τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον
καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ
σε ἐκ τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον
οἰνοχοήσω καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. οἱ δ' ἄρα
τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν διδῶσι τὴν φιάλην, ἀρύ-
σαντες ἀπ' αὐτῆς τῷ κυάθῳ εἰς τὴν ἀριστερὰν χεῖρα

τὰς φιάλας D. *ἐκδοῖεν* D.M. *ἔκπομα* hic et infra A.G. et partim corr. s. v. L.M.R. *εὐληπτότατον* A. *τα* alterum s. v. r. G. *πιεῖν* M. 9. *κέλευσον*] *κάλεσον* D. *φάναι* om. D. *ὦ* om. A.G.R. *τὸν σάκα* G. pr. M. ω s. *τὸν* et *α* s. *α* in *αν* mutatum r. G. *τῷ σάκᾳ* L. corr. *ἐκχέας* A.G.M. *ἐνχέας* R. *ἀνακτήσομαι* D. corr. R. pr. *σε* s. v. D. *κελεῦσαι*] *καλέσαι* D. corr. s. v. *δὴ*] *δὲ* D. *μὲν δὴ*] *μὲν* D. *κλύσαι*] *καθᾶραι* s. v. r. R. *τὸν σ.* D.R. *τὸ* s. v. D. *πῶς* A.D.G.M. *ἀστυάγῃ* B.D.R. pr. *δὲ*] *δὴ* G.M. *ἀποπηδῆσαι* M. *φάναι* om. M. *ἐκπίωμαι* D., sed fortasse corr. in ω. *δ' ἄρα*] *γὰρ* D.M. *ὡς ἀπορροφῶσιν οἱ οἰνοχόοι τῶν βασιλέων καὶ διὰ τί* mg. G. *δίδωσι* A.G.M. *ἐνδιδῶσι* D. corr. *ἐνδίδωσι* pr.

dictum ad Thes. Steph., etsi aliis aliorum locis ibidem citatis scribitur *καθάριος* et *καθαρίως* et plerumque *καθαριότης*, apud Eustathium tamen in Opusc. *καθαρειότης*. Libri Pollucis in omnibus his variant inter *ι* et *ει*.

τοῖς τρισὶ δακτύλοις] Hoc fere modo pocula sustinere solebat elegantior quivis pincerna. Philostr. Epist. 23: *Πάντα με αἵρει τὰ σά· καὶ ὁ λινοῦς χιτὼν—καὶ τῶν τριῶν δακτύλων αἱ συνθέσεις, ἐφ' ὧν ὀχεῖται τὸ ποτήριον.* Heliodor. Aeth. 7, 27: *Καὶ ἅμα προσέφερε τῇ Ἀρσάκῃ προσηνές, κερασάμενος εὔρυθμόν τέ τι καὶ ἄκροις τοῖς δακτύλοις ἐποχῶν τὴν φιάλην.* HUTCH. Gregor. Naz. Orat. 16, p. 249 B.: *Παῖδας παρεστάναι . . κύλικας ἐπ' ἄκρων δακτύλων ἔχοντας, ὡς οἷόν τε εὐπρεπέστατα τε ὁμοῦ καὶ ἀσφαλέστατα.* Qui æmulatus videtur Philonem Jud. vol. 1, p. 478 s. WYTTENB. Eumath. Ism. 5, p. 166: *Ὁ δὲ πεισθεὶς πρὸς αὐτὴν ἐκόμισε τὸ ποτήριον· ἡ δ' ὅλαις χερσὶν ὑπεδέξατο, κἂν ὡς παρθένος ἄκροις δακτύλοις ἐδέξατο.*

9. *πως*] Damnavit Schæfer. ad Gregor. p. 1025, nec equidem ejus usum intelligo, cum supra s. 8, simplex *εὐσχημόνως* de eadem re positum sit. SCHN. *εὖ πως* confert contra se ipsum Schæfer. ad Plut. vol. 5, p. 480.

ἀπ' αὐτῆς] Al. *ἐπ' αὐτῆς*, quæ scriptura falsa est, si poculum phialæ institit. Scilicet Wyttenbach. Ecl. Hist. p. 375, censuit phialam fuisse ollam planiorem ac latiorem, in qua positum poculum pincerna convivis porrigeret. Itaque ab hac specie Timotheum Athenæi 10, p. 433 D. clypeum vocasse *φιάλην Ἄρεως*. Laudat deinde locos Athenæi 5, p. 199 B.; 11, p. 495 B. et p. 501 B.; 502 A. B.

ἐγχεάμενοι καταρροφοῦσι, τοῦ δὴ εἰ φάρμακα ἐγχέοιεν μὴ λυσιτελεῖν αὐτοῖς. ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώ- [9] πτων, Καὶ τί δὴ, ἔφη, ὦ Κῦρε, τἆλλα μιμούμενος τὸν Σάκαν οὐκ ἀπερρόφησας τοῦ οἴνου; Ὅτι, ἔφη, νὴ Δία ἐδεδοίκειν μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. καὶ γὰρ ὅτε εἱστίασας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις,

ἐκχεάμενοι A.G. corr. s. v. M. καταρροφῶσι G. corr. s. v. καταροφοῦσιν R., addito s. v. ρ, omissis autem τοῦ δὴ—αὐτοῖς. ἐκχέοιεν A.G. corr. s. v. ἔχοιεν D. pr. 10. τούτων D. τί δὴ] δὴ τί R. ἔφη post ἐπισκόπτων (sic pr.) add. D. τἄλλα] τὰ ἄλλα D. νὴ δία ἔφη B.D. ἐδεδοίην E.M. γὰρ om. D. εἱστίασας A.R. εἱστίας D. εἱστίασ cum compendio syllabae *as* super σ, sed in ras., pr. fortasse σαι, ut L. εἱστίας σαι σὺ, et mg. εἱστείας σύ. ἐκχέαντα A.R. pr. ἐγχέοντα D.

Postremo contenti erimus. Nam e locis poetarum ibi appositis satis apparet vasis latioris genus fuisse. Attici argenteas ἀργυρίδας, aureas χρυσίδας dixerunt. Homerus Il. 23, 270. ἀμφίθετον ἀπύρωτον φιάλην celebravit, de qua multa dubitarunt Grammatici. Cratinus φιάλας βαλανειομφάλους, i. e. tholi instar cavas, dixit. Ion Chius juxta κύπελλα easdem memoravit μεσομφάλους vocans. Theopompus in Althæa: Λαβοῦσα πλήρη χρυσέαν μεσόμφαλον φιάλην. Quæ si vino plena fuit, poculum insistere in ea non potuit. Pherecrates ὀμφαλωτὰς χρυσίδας nuncupavit. Χρυσίδι σπένδων est in Cratini versu. In altero Hermippi: Χρυσίδ' οἴνου πανσέληνον ἐκπιὼν ὑφείλετο. Unde patet et forma et usus ad bibendum. Pindarus Olymp. 7. initio φιάλαν ἀμπέλου ἔνδον καχλάζοισαν δρόσῳ nominat, ubi morem vetustum sequitur, quo socer genero lecto in convivio propinabat phialam vino plenam: de quo Aristoteles apud Athenæum 13, p. 576. et Chares ibidem p. 575. In Isthmion. 6, 58, phiala libat Hercules: item Jason Pyth. 4, 343. Vinum distribuitur convivis φιάλαις ἀργυρέαις Nem. 9, 122. Quid? quod ipse Xenophon Conv. 2, 23, καὶ ὁ παῖς ἐγχεάτω μοι τὴν μεγάλην φιάλην. Hinc facilis erit loci hujus nostri interpretatio, ubi a phiala distingui videri possit s. 8, τὸ ἔκπωμα. Sed statim sectione sequente 9, τὸ ἔκπωμα synonymum est phialæ. Itaque dubitari non potest scripturam ἐπ' αὐτῆς plane ferri non posse, sed esse absurdam. Dubitationem mihi fecerat observatio Wyttenbachiana, quæ vana et falsa esse e locis supra positis facile convincitur. SCHN.

τῷ κυάθῳ] Κύαθος erat trulla ænea, qua vinum de cratera hauriebant, et ab usu tali ἀρυστὴρ appellatur a Polluce 6, 19; 10, 75. HUTCH. Plura Athen. 10, p. 424 A., etiam e Xenophonte citans.

ἐγχεάμενοι] Sibi infundentes, ut Conv. 2, 26: Ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, et alibi, ut dixi ad Steph. v. Ἐγχέω, quum ἐγχέοιεν non ad ipsos referri possit pincernas.

καταρροφοῦσι] Persas primos instituisse ut ministri cibos prægustarent, Suidas tradit ad Ἐδέατρος, quod dicit ὄνομα Ἑλληνικὸν, ἡ δὲ χρεία Περσική· ἦν δὲ προγεύστης τὸ πρῶτον καὶ προησθιεν τοῦ βασιλέως εἰς ἀσφάλειαν. HUTCH. Καταρροφεῖν est sorbere et in ventrem demittere, ἀπορροφεῖν, aliquantum e vino sorbere. WYTTENB.

τοῦ—μὴ λυσιτελεῖν] Conf. 1, 6, 40.

γενεθλίοις] Herodotus 1, 133: Ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι τῇ ἕκαστος ἐγένετο· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ἵππον —προτιθέαται ὅλους ὀπτοὺς ἐν καμίνοισι. Plat. Alc. 1, p. 121 C.: Ἐπειδὰν γένηται ὁ παῖς ὁ πρεσβύτατος (regis Persarum), οὗπερ ἡ ἀρχὴ, πρῶτον μὲν ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως, ὧν ἂν ἄρχῃ, εἶτα εἰς τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ βασιλέως γενέθλια ἅπασα θύει καὶ ἑορτάζει ἡ Ἀσία. Zosimus Hist. 2, 27, 2: Τοῦ πατρὸς αὐτῷ Περσῶν βασιλεύοντος, καὶ τὴν γενέθλιον ἐπιτελοῦντος κατὰ τὸν Περσῶν νόμον ἡμέραν. HUTCH.

σαφῶς κατέμαθον φάρμακα ὑμῖν αὐτὸν ἐγχέαντα. Καὶ
πῶς δὴ σὺ τοῦτο, ἔφη, ὦ παῖ, κατέγνως; Ὅτι νὴ Δί'
ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλο-
μένους. πρῶτον μὲν γὰρ ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας
ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. πάντες μὲν γὰρ ἅμα ἐκεκρά-
γειτε, ἐμανθάνετε δὲ οὐδὲν ἀλλήλων, ᾔδετε δὲ καὶ μάλα
γελοίως, οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος ὤμνυτε ἄριστα
ᾄδειν· λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἔπειτ'
εἰ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ,
ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. ἐπελέλησθε δὲ παντάπασι
σύ τε ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι ὅτι σὺ ἄρχων. τότε
γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον ὅτι τοῦτ' ἄρ' ἦν ἡ
ἰσηγορία ὃ ὑμεῖς τότ' ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε.
11 καὶ ὁ Ἀστυάγης λέγει, Ὁ δὲ σὸς πατὴρ, ἔφη, ὦ παῖ, [10]
πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς
ποιεῖ; Διψῶν παύεται, ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ
γὰρ οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. καὶ ἡ μήτηρ
εἶπεν, Ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, τῷ Σάκᾳ οὕτω πολεμεῖς;

σὺ τοῦτο ἔφη] ἔφη σὺ τοῦτο D., sed pr. fortasse ἔφησ. τοῦτο ante κατέγνως delet L., pallidissimo atramento add. G. ὅτι] ὅτἂν D. δία] δι' ἔφη D. δία ἔφη R. μὲν γὰρ] γὰρ D. ἃ post ταῦτα A.G. pr. εἰᾶτε A.G. et corr. R. ποιεῖτε A., pr. fortasse ποεῖτε, G. pr. ἐκεκράγειτε] ει in lit. D.R., pr. η. οὐδὲν] οὐδὲ ἓν D. pr. μᾶλλα A. δὲ] μὲν s. v. R. ὠμνύετε D.G. ὠμνύετε δὲ A.R. δὲ] δὴ R. ᾄδειν ἄρ. D. ἑαυτοῦ] σαυτοῦ A.G. pr. ἔπειτ' εἰ I.R. ἐπεί τε A.G. ἔπειτε L. ἐπεὶ D.L. mg. M. ὀρχεῖσθε M.R. pr. ὀρθοῦσθε G. pr. ἠδύνασθαι D. pr. R. pr. ἐπελέλησθε] ἐπελέληθας G., sed ι s. ε et σθε s. θας. ἡ ante ἰσ. om. D.L. 11. λέγει] εἶπεν D. ἔφη om. D. παῖ] πε D. pr. μεθύσεται A. Hic mg. G. ὁ κομψὸς οἰνοχόος μέθης ποιητικός. σὺ ὦ] ὦ σὺ ὦ D. οὕτω τῷ σακᾷ D.

ἐμανθάνετε] Aristot. Eth. 6, p. 267 ed. Oxon.: Λέγομεν τὸ μανθάνειν συνιέναι πολλάκις. HUTCH.

ἐκεκράγειτε] Qui nunquam -εισαν dixerunt Attici, ne -ειτε quidem dicere potuisse videntur, sed -ειτε, ut scribendum sit ἐκεκράγετε. Quam formam præbent libri qui Demosth. p. 586, 16, inferunt verbum ab illo non scriptum illic. Sic ἀπωλώλετε conjeci H. Gr. 3, 5, 8. Hanc enim primæ et secundæ pers. plur. plusquamperf. formam certis poetarum exemplis confirmavit Elmslejus ad Aristoph. Ach. 323, quum diphthongus in illis certo careat exemplo.

ὠμνύετε] ὤμνυτε potius Xenophonteum videri dicetur ad 6, 4, 6. Sic 1,4,10 ἐπεδείκνυε illatum pro ἐπεδείκνυ. Ὤμνυτε omnes Anab. 2, 5, 32.

ἰσηγορία] Tangit Atheniensium ἰσηγορίαν.

11. διψῶν παύεται] I.e. non ad ebrietatem usque bibit, sed ut sitim tantum restinguat. Herodot. 1, 133: Σίτοισι δὲ ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖσι καὶ οὐκ ἁλέσι· καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους πεινῶντας παύεσθαι, ὅτι σφι ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι.

πολεμεῖς] Alia verbi improprie dicti exempla v. ap. Steph. Thes.

τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν οὗτος ὁ μιαρώτατος ἀποκωλύει. ἀλλ᾿ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς ἂν ἄρξαις αὐτοῦ; καὶ τὸν Κῦρον φάναι, Στὰς ἂν ὥσπερ οὗτος ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα ὁπότε βούλοιτο παριέναι ἐπ᾿ ἄριστον, λέγοιμ᾿ ἂν ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας· εἶθ᾿ ὁπότε ἥκοι ἐπὶ τὸ δεῖπνον, λέγοιμ᾿ ἂν ὅτι λοῦται· εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ᾿ ἂν ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον ὥσπερ οὗτος ἐμὲ
12 παρατείνει ἀπὸ σοῦ κωλύων. τοσαύτας μὲν αὐτοῖς εὐ- [11]
θυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δ᾿ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

13 Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον. ἡ δὲ ἀπεκρίνατο ὅτι βούλοιτο μὲν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν εἶναι
14 νομίζειν καταλιπεῖν. ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν [12]
Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ᾿ ἐμοὶ, πρῶτον μὲν τῆς παρ᾿ ἐμὲ εἰσόδου σοι οὐ Σάκας ἄρξει, ἀλλ᾿ ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμὲ, ἐπὶ σοὶ ἔσται· καὶ χάριν σοι εἴσομαι ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. ἔπειτα δὲ ἵπποις τοῖς ἐμοῖς χρήσει καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ, καὶ ὁπόταν

φάναι om. D.M. μισοῖ A. et fortasse G. pr. ἐπιθυμῶν R. pr. προδραμεῖν G. corr. s. v. ἂν] δὴ ἂν D. παριέναι] εἰσιέναι D.G. s. v. r. οὔπω] οὐ D. ὁπότε] Libri ὁπόταν, nisi quod εἰ δὲ πάλιν D. pro εἶθ᾿ ὁπόταν. Conf. 8, 1, 44. ἥκοι] η prius in ras. D., οι in lit. R., ut οι an η sit dubites. λοῦται R. λούεται A.D.G. εἰ] ἐπειδὰν A.G.R. σπουδάζῃ et οι s. η L.M. σπουδάζει R. pr. —ῃ corr. 12. βασιλικὸν τὸ χαρίζεσθαι τὰ δυνατὰ mg. G. τοιαύτας D. τινος] ος G. in ras. τινα A., sed α in lit., D.R. π. τοῦτο D. 13. ἐπεὶ] ἐπειδὴ D. μανδάνη] αὕτη ἤδη add. D. ἂν post μὲν s. v. r. G. χαρίσθαι et σα s. v. L. 14. ἢν μένῃς] ἐὰν μείνῃς D. μὲν s. v. R. βούλει bis G. et infra ante λέγων. σοι] σοι ἔφη μᾶλλον D. Libri χρήσῃ, sed D. alterum η in ras., itemque mox πορεύσῃ, διώξῃ, sed πορεῦσαι pr. et διώξεις R. ὁπόταν] ὅταν D.

σπουδάζει πρός τινας] Seria agit cum aliis, cujus signif. exempla attulimus ad Steph. Thes. p. 621 A.

παρατείναιμι] Recte cum Casaubono ad Athenæum p. 285, mora excruciare interpretatur Zeunius. Conf. Comment. 3, 13, 6. SCHN.

14. ὁδὸν] V. supra 4. ZEUN.

ἀπίῃς, ἔχων ἄπει οὓς ἂν αὐτὸς ἐθέλῃς. ἔπειτα δὲ ἐν τῷ
δείπνῳ ἐπὶ τὸ μετρίως σοι δοκοῦν ἔχειν ὁποίαν βούλει
ὁδὸν πορεύσει. ἔπειτα τά τε νῦν ἐν τῷ παραδείσῳ θηρία
δίδωμί σοι καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ ἐπειδὰν
τάχιστα ἱππεύειν μάθῃς, διώξει, καὶ τοξεύων καὶ ἀκοντί-
ζων καταβαλεῖς ὥσπερ οἱ μεγάλοι ἄνδρες. καὶ παῖδας δέ
σοι ἐγὼ συμπαίκτορας παρέξω, καὶ ἄλλα ὁπόσα ἂν βούλῃ
15 λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις. ἐπεὶ ταῦτα εἶπεν ὁ [13]
Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον πότερον βού-
λοιτο μένειν ἢ ἀπιέναι. ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ
εἶπεν ὅτι μένειν βούλοιτο. ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς
μητρὸς διὰ τί εἰπεῖν λέγεται, Ὅτι οἴκοι μὲν τῶν ἡλίκων
καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ ἀκοντίζων
καὶ τοξεύων, ἐνταῦθα δὲ οἶδ' ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν
ἡλίκων· καὶ τοῦτο εὖ ἴσθι, ὦ μῆτερ, ἔφη, ὅτι ἐμὲ πάνυ
ἀνιᾷ. ἢν δέ με καταλίπῃς ἐνθάδε καὶ μάθω ἱππεύειν, ὅταν
μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ
πεζικὰ ῥᾳδίως νικήσειν, ὅταν δ' εἰς Μήδους ἔλθω, ἐνθάδε
πειράσομαι τῷ πάππῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱπ-
16 πεὺς συμμαχεῖν αὐτῷ. τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιο- [14]
σύνην, ὦ παῖ, πῶς μαθήσει ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν

ἄπει] ἀπίοις A. ἀπίῃς B.G. ἀποίῃς L. correcti mg. δὲ ἐν] μὲν A.G. corr. s. v. r. τὸ] τῷ G. corr. s. v. ὁποίαν] ὅπου ἂν D. βούλῃ A. νῦν] νῦν ὄντα D. συμπέκτορας A.R. pr. σ s. κ r. G. συμπαίστορας D. ὁπόσα] ὅσα D.G. 15. ἐπεὶ] ἐπεὶ δὲ D. ἠρώτα D. πότερον] α ante ον erasit D. et post hoc pergit ποτε βούλοι. ἠμέλησεν G. corr. in pr. εἶπε omissis ὅτι μένειν R. καὶ εἰμὶ] εἰμὶ r. G. καὶ τ. καὶ ἀκ. D. ἐνθάδε D. οἶδ'] εὖ οἶδ' D.G. s. v. ὦ μῆτερ post ἔφη D. οἶμαί σοι] οἴομαι D. ἀγαθῶν ἱππέων] ἀγαθὸς ἱππεύων G. ἀγαθῶς ἱππεύων A.G. corr. 16. καὶ ante τὴν delet R. μαθήσῃ A.D.G., sed D. ult. in ras.

ἐν τῷ παραδείσῳ] Feras paradisis inclusas alere voluptatisque simul et corporis exercendi causa agitare consueverunt Persarum reges. Ita Xen. Anab. 1, 2, 7: Ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους· et infra 8, 1, 38. Philostr. Vit. Apollon. c. 38, p. 46: Μέλλων δέ ποτε πρὸς θήραν γίγνεσθαι τῶν ἐν τοῖς παραδείσοις θηρίων, ἐς οὓς λέοντές τε ἀπόκεινται τοῖς βαρβάροις καὶ ἄρκτοι καὶ παρδάλεις. Curt. 8, 1, 11: "Barbaræ opulentiæ in illis locis haud ulla sunt majora indicia quam magnis nemoribus saltibusque nobilium ferarum greges clausi. Spatiosas ad hoc eligunt silvas, crebris perennium aquarum fontibus amœnas. Muris nemora cinguntur, turresque habent venantium receptacula." HUTCH. Œcon. 9, 13, Gell. N. A. 2, 20, Plin. 8, 25, ipsumque vocabulum Persicum perhibentem Poll. 9, 13, addit Zeunius.

15. ὅταν εἰς Μήδους ἔλθω, ἐνθάδε πειράσομαι] Interpungendum potius ἐνθάδε πειράσομαι, quam ut in A.D.G. et vulgo fit, ὅταν δ' εἰς Μήδους ἔλθω ἐνθάδε. Et sic ed. Amstelod. et Schæferus.

διδασκάλων; καὶ τὸν Κῦρον φάναι, Ἀλλ', ὦ μῆτερ, ἀκριβῶ ταῦτά γε ἤδη. Πῶς σὺ οἶσθα; τὴν Μανδάνην εἰπεῖν. Ὅτι, φάναι, ὁ διδάσκαλός με ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην καὶ ἄλλοις καθίστη δικάζειν. καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς ἔλαβον ὡς οὐκ ὀρθῶς
17 δικάσας. ἦν δὲ ἡ δίκη τοιαύτη. παῖς μέγας μικρὸν ἔχων χιτῶνα παῖδα μικρὸν μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτὸν τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δ' ἐκείνου αὐτὸς ἐνέδυ. ἐγὼ οὖν τούτοις δικάζων ἔγνων βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόττοντα ἑκάτερον χιτῶνα ἔχειν. ἐν τούτῳ αὖ με ἔπαισεν ὁ διδάσκαλος, λέξας ὅτι ὁπότε μὲν τοῦ ἁρμόττοντος εἴην κριτὴς, οὕτω δέοι ποιεῖν, ὁπότε δὲ κρῖναι δέοι ποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι τίς κτῆσις δικαία ἐστὶ, πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι· ἐπεὶ δ', ἔφη, τὸ

ἀκριβῶ I.R. ἀκριβῶς A.D.G. ταυτα A.G. pr. R. et qui τε pro γε I. ταύτην D.G. corr. ἤδη A.G. pr., ut videtur, in quo οἶδα et ἤδη ita conjuncta ut utrum fuerit pr. nescias, I.R. οἶδα D. εἰπεῖν τὴν μ. D. ποτε] δήποτε D. 17. τοιάδε D. μικρὸν] ὀλίγον R. pr. ἕτερον παῖδα D. ἀμφίασε G. pr., qui mg. κύρου κρίσις, et alia m. δίκη παιδὸς μικροῦ μέγαν χιτῶνα ἔχοντος καὶ μικρὸν μεγάλου, δι' ἣν ἐπλήγη ὁ κῦρος παῖς ὤν. ἐγὼ γοῦν R. pr. Libri ἁρμόζοντα. ἐν δὲ τούτῳ omisso αὖ D. ἐν τούτῳ δ' αὖ R. λέγων D. ὅτι om. A.D.G.M.R., add. Junt. ἁρμότοντος D. ἁρμόττοντος fortasse M. ἁρμόζοντος A.G.R. εἴην] εἴη A.G. pr. R. κατασταθείην ante τοῦ ἁρμ. D. ποτέρου] ὁποτέρου D.G. πότερον D. βίᾳ] μίᾳ A. rescriptus. τὸν ποιησάμενον] τὸ ποιῆσαι μόνον A. πονησάμενον G. mg. r. R. ἢ τὸν πρ. D. ἐπεὶ δ' ἔφη R. ἐπεί γ' ἔφη H. ἔπειτα δ' ἔφη D.G. s. v. r. ἐπειδὰν δὲ γνῶ G. pr. ἐπειδὰν δ' ἔγνω G. corr. A.

αὐτῷ] Repetitum post nomen notavimus ad Anab. 6, 5, 17. Sic infra 17.

16. ἀκριβῶ ταῦτά γε ἤδη] Etsi sequens οἶσθα commendare videatur οἶδα, quod cum ἀκριβῶς conjungit Xen. Œcon. 2, 3, et alibi, Aristoph. Nub. 100, Av. 156, Demosth. p. 28, 11, alterum tamen prætuli quum propter se ipsum tum propter eandem depravationem s. 17. Sic Hesychius Ἠκρίβωτο, ἀκριβῶς ᾔδει. Similiter autem apud Dionys. Ant. Rom. 4, 81: Ὅπου ὁ γενόμενος ἐξ ἰδιώτου τύραννος πᾶσαν ἀκριβοῖ τὴν τυραννικὴν κακίαν, hæc codicis Vaticani scriptura in ἀκριβῶς διεξήλασε depravata. Ταῦτα sunt τὰ δίκαια s. 17.

17. ἁρμόττοντα] Xenophonti constanter reddendum esse in quo libri plerumque consentiunt ἁρμόττω, ter tantum ad alterum aberrantes, ut paullo infra et 1, 4, 18, nonnulli, et omnes 2, 1, 16; 7, 5, 59; 8, 4, 21, Eq. 12, 1, exceptis tamen locis libri de rep. Laced., ubi de Spartanorum harmostis dici videtur Laconice, pluribus dictum ad Thes. Steph.

ἐν τούτῳ αὖ] Scriptura ἐν τούτῳ δ' αὖ mihi olim ad δ' οὖν ducere visa est, quæ aptissimæ hic particulæ sunt, quum αὖ insolentius, δὲ autem correctoris videatur. Pro ἐν Weiskius ἐπὶ, ut 2, 3, 10, ἐπ' αὐτῷ τούτῳ παιόμενος. Paullo aliter 4, 2, 36.

ποιησάμενον] Medium utramque hic potestatem habet, qui sibi vestem ipse fecit et qui vestem ab alio sibi confici curavit. WYTTENB.

ἔπειτα δὲ ἔφη] Heindorfius malebat, ἐπειδὴ, ἔφη, ut infiniti modi ab ἐπειδὴ pendeant: qua de structura

μὲν νόμιμον δίκαιον εἶναι, τὸ δ' ἄνομον βίαιον, σὺν τῷ
νόμῳ ἐκέλευεν ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι.
οὕτως ἐγώ σοι, ὦ μῆτερ, τά γε δίκαια παντάπασιν ἤδη
ἀκριβῶ· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη,
18 οὗτος ἐπιδιδάξει. Ἀλλ' οὐ ταὐτά, ἔφη, ὦ παῖ, παρὰ τῷ [15]
πάππῳ καὶ ἐν Πέρσαις δίκαια ὁμολογεῖται. οὗτος μὲν γὰρ
τῶν ἐν Μήδοις πάντων ἑαυτὸν δεσπότην πεποίηκεν, ἐν
Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. καὶ ὁ σὸς
πρῶτος πατὴρ τὰ τεταγμένα μὲν ποιεῖ τῇ πόλει, τὰ τεταγ-
μένα δὲ λαμβάνει, μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχή, ἀλλ' ὁ
νόμος ἐστίν. ὅπως οὖν μὴ ἀπολεῖ μαστιγούμενος, ἐπειδὰν
οἴκοι ᾖς, ἂν παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ
τὸ τυραννικόν, ἐν ᾧ ἐστι τὸ πλεῖον οἴεσθαι χρῆναι πάντων
ἔχειν. Ἀλλ' ὅ γε σὸς πατήρ, εἶπεν ὁ Κῦρος, δεινότερός
ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλεῖον ἔχειν· ἢ οὐχ
ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον
ἔχειν; ὥστε θάρρει, ὡς ὅ γε σὸς πατὴρ οὔτ' ἄλλον οὐδένα
οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψει.

ΚΕΦ. Δ.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε καὶ αὐτοῦ ἐτρέφετο. καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο ὥστε οἰκείως

μὲν s. v. r. R. οὖν ante ἐκέλευεν add. D., s. v. r. L.R., qui pr. fortasse νῦν. ἐκέλευεν ἀεὶ A.G.R. ἐκέλευσε ἀεὶ M. ἐκέλευεν δεῖν D. L. mg. τὴν om. A.G.R. σοι] σοι, ἔφη D. ὦ om. G. ἤδη ἀκριβῶ] οἶδα ἀκριβῶς G. mg. r. et, ut videtur, M. ἔφη post οὗτος initio versus, ut promineat, D. 18. παρὰ] παρά τε D.R.L. s. v. r. καὶ—δίκαια] τὰ δίκαια ἐν πέρσαις D. δεσπότην ἑαυτὸν D. ἐν] καὶ ἐν D. τὰ bis om. et ποιεῖ ἃ ποιεῖ D.R., alterum τὰ om. A, τύχη G.R. ψ s. v. r. G. ἀπολεῖ R. pr.—ῆ corr. ἀπόλει et η s. v. D. ἀπόλῃ A.G. ἀπολῇ L. ᾖς Heindorfius. Libri ἴῃς, εἴῃς G. corr., qui mg. τυραννικὸν ἡ πλεονεξία. πλέον D.R. ἁπάντων D. μεῖον ἢ πλεῖον] invertit D., sed β s. πλεῖον, α s. μεῖον ponens. ἢ—ἔχειν om. A.G. mg. r. αὑτοῦ R. πλ. μαθόντα] μὴ διδάξας πλ. D. ἀποπέμψεται D.

adire jubet Wolfium ad Platonis Sympos. p. 9. SCHN. Ἐπεὶ, quod restitui, et ἐπειδὴ cum infinitivo conjuncta notavimus ad Thes. Steph. Ἔγνω autem factum videtur ex ascripto γνω i. e. γνώμη, ut D. mg. habet compendium voc. ὡραῖον.

18. πρῶτος] Ordo naturalis postulabat καὶ ὁ σὸς πατὴρ πρῶτος. SCHN. Conf. autem 3, 1, 11; 5, 1, 13.

ἡ ψυχή] Tribuit τῇ ψυχῇ Xen. quodvis appetentiæ genus earumque etiam rerum cum quibus alioqui nihil commune illam habere et quarum desiderio corpus potius quam eam affici vulgo creditur. Qua de re copiose Schediasm. 1, 1, dissero. STEPH.

τοῦ βασιλικοῦ τὸ τυρ.] Discrimen exponit Comment. 4, 6, 12. ZEUN.

διακεῖσθαι, ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο, προσιὼν
καὶ ἔνδηλος ὢν ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς, ὥστε εἴ τι
τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον τοῦ Κύρου
δεῖσθαι διαπράξασθαί σφισιν. ὁ δὲ Κῦρος, εἰ δέοιντο
αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν
2 περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. καὶ ὁ Ἀστυάγης ὅ τι [2]
δέοιτο αὐτοῦ ὁ Κῦρος οὐδὲν ἐδύνατο ἀντέχειν μὴ οὐ χαρί-
ζεσθαι. καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ οὐδέποτε ἀπέλειπε
τὸν πάππον οὐδὲ κλάων ποτὲ ἐπαύετο, ἀλλὰ δῆλος ἦν
πᾶσιν ὅτι ὑπερεφοβεῖτο μή οἱ ὁ πάππος ἀποθάνῃ· καὶ γὰρ
ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο
Κῦρος καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων ὅ τι
οἴοιτο χαριεῖσθαι, ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυ-
άγην.

3 Καὶ ἦν μὲν ἴσως πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παι- [3]
δείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι
λόγον ὧν ἐποίει καὶ λαμβάνειν παρ' ἄλλων ὁπότε δικάζοι,
ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς ἀεὶ
τοὺς παρόντας ἀνηρώτα πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα
αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι ταχὺ
ἀπεκρίνετο, ὥστ' ἐκ πάντων τούτων ἡ πολυλογία συνε-
λέγετο αὐτῷ· ἀλλ' ὥσπερ γὰρ ἐν σώματι, ὅσοι νέοι ὄντες
μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεται τὸ νεαρὸν αὐτοῖς ὃ κατη-
γορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας
οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία,

1. ἀνήρτητο] ἀνεκτήσατο A.G. corr. s. v. r. σα s. τη r. D. ἀνηρτήσατο L.M. ἀσπάζοιτο R. pr. ὥστε] καὶ add. D. εἴ τι] ἐπεὶ A.G. corr. mg. τοῦ κύρου] κύρου D.R. εἰ] ὅ, τι D. 2. ἀστ.] δὲ add. D. ἀντιλέγειν D.G. mg. R. γὰρ D. mg. ἀπέλειπε Stephanus. Libri ἀπέλιπε. Libri κλαίων. ἀλλὰ δῆλος] δῆλος δὲ D. μὴ] ὅτι μὴ A.G. ἀποθάνοι D. ἐν νυκτὶ I.R. corr., pr. νυκτός. κῦρος] ὁ κῦρος D. 3. ἴσως] ὁ κῦρος add. D.R. κῦρος G.M. Hic G. et L. mg. ἢ (κ' sic fere G.) ὥσπερ (ὡς L.) παιδίσκος ἔτι ἄνηβος ὢν, quæ sic ut sunt in L. post πολυλ. inserit D. δικάζειν A. ἔτι δὲ καὶ—παρεῖναι Stob. Fl. 36, 31, qui om. ἀεί. τυγχάνει G.M.R. ἀπεκρίνατο A.G. σώμασιν D. Stob. σ s. τ r. G. τὸ ν. αὐτοῖς] τι s. τὸ r. G. τι ν. αὐτοῖς I.K. τι αὐτοῖς ν. K. Stob. ὃ] ὅτι A. κύρου] ὁ κῦρος D., et mox θρασύς. ἁπλότης] τις add. D. πρᾳότης τις Stob., sed πραό τις A.

1. ἀνήρτητο] ἀνεκτήσατο in libros meliores irrepsit ex s. 2, vel 1, 3, 9, quos locos contulit Steph. in marg.

2. ἀντέχειν] Ita usurpavit H. Gr. 2, 2, 16. SCHN.

τὸν πάππον—ὁ πάππος] Repetitur αὐτοῦ ipso nomine, quo Cyrus quasi loquens informatur. Sic Anab. 2, 6, 8: Ἱκανὸς ἐμποιῆσαι τοῖς παροῦσιν ὡς πειστέον εἴη Κλεάρχῳ. WYTTENB.

3. τὸ νεαρὸν] Plut. Pomp. c. 2: Τῷ νεαρῷ καὶ ἀνθοῦντι διέφαινεν ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. ZEUN.

ὥστ' ἐπεθύμει ἄν τις ἔτι πλείω αὐτοῦ ἀκούειν ἢ σιωπῶντι παρεῖναι.

4 Ὡς δὲ προῆγεν αὐτὸν ὁ χρόνος σὺν τῷ μεγέθει εἰς ὥραν [4] τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ, αἰδοῦς δ' ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις, καὶ τὸ σκυλακῶδες τὸ πᾶσιν ὁμοίως προσπίπτειν οὐκέθ' ὁμοίως προπετὲς εἶχεν. οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ ἃ κρείττων ᾔδει ὤν, ταῦτα προυκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν, καὶ κατῆρχεν ἤδη ἀναπηδῶν ἐπὶ τοὺς ἵππους ἢ διατοξευσόμενος ἢ διακοντιούμενος ἀπὸ τῶν ἵππων οὔπω πάνυ ἔποχος ὤν, ἡττώ-
5 μενος δὲ αὐτὸς ἐφ' ἑαυτῷ μάλιστα ἐγέλα. ὡς δ' οὐκ ἀπε- [5]
δίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν ὃ ἡττῷτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ

ὥστ'] ὥστε καὶ D.M. ἐπεθύμει ἄν τις D.G. mg. r. ἐπιθυμίαν τις εἶχεν A.G. et qui εἶχε R. ἀκούειν αὐτοῦ D. Stob. 4. προσῆγεν A. ὁ χρ. αὐτὸν D. γίγνεσθαι D. βραχυτέροις] μανοτέροις D. ἡσυχετέρα G. pr. et fortasse D. pr. ἐνεπίμπλατο] ἐνπίμπλατο A. ἐνεμπίπλατο D. ἐνεπίπλατο R. ἐρυθαίνεσθαι A. ὁπότε καὶ σ. G.M. πᾶσιν ὁμοίως] πᾶσιν D. οὐκέτ' ὁμοίως A. οὐκέτι ὁμοίως D. προπετῶς D.G. s. v. r. δὴ] δὲ G. s. v. πάμπαν om. D. ᾔδει ὢν] ἤδη ἦν A.G. ἐξῆρχε] ταῦτα ἐξῆρχε D.R.G. mg. r. ἤδη ἀναπηδῶν] ἢ διαναπηδῶν A.G.R. ἐπὶ τοὺς ἵππους] ἐν τοῖς ἵπποις, corr. s. v., D. et ἢ διακοντιζόμενος ἢ διατοξευόμενος. 5. ἃ ἥττωτο D. ἃ ἡττῷτο Stob. Fl. 29, 72, citans οὐκ ἀπεδ. — ἄμεινον ποιεῖν. Hic mg. G. r. ὅτι ἡσσώμενος καὶ μὴ ὀργιζόμενος ἀλλ' ἐπαναλαμβάνων ἐπὶ τὸ τέλειον ἀφικνεῖται. ἐκυλινδ. R. Stob. βελτίων D.

ἢ ab ἐπεθύμει pendet, ut jam Homerus dixit βούλεσθαι ἢ et post eum alii.

σκυλακῶδες] Imitatur Synesius de Prov. p. 90 A. WYTTENB. Alia ratione usus est comparatione catulorum Plato Reip. 7, p. 539 B. SCHN.

ταῦτα προυκαλεῖτο] Præpos. εἰς, quam addit Plut., ubi huc respicit, Mor. p. 514 B.; 632 C., omissæ exempla Plat. et Demosthenis v. in Thes. Steph.

ἐξῆρχε — κατῆρχεν] ἐξάρχω magis valet de ratione et primo initio i. e. consilio: κατάρχω, de facto et quasi posteriore initio. Sic inter ἄρχω et ἐπάρχω, καταρροφῶ et ἀπορροφῶ variatur 1, 1, 4; 3, 9 et 10. WYTTENB.

ἤδη ἀναπηδῶν] ἢ διαναπηδῶν probavit Wyttenbach. in Eclogis histor. p. 378. Sed certamen æqualium non in eo erat, quis melius et celerius equum ascenderet; hic enim primus equitationis artis gradus non poterat Cyrum diu morari, qui jam aliquatenus ἔποχος erat, et se firmiter in equo tenere poterat. Igitur arte jaculandi ex equis invicem æmulabantur. SCHN.

5. ἀλλὰ] Post τί sic est etiam 1, 5, 14. Eur. Heracl. 805–7.

μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἥλιξι, ταχὺ δὲ πα-
ρῄει διὰ τὸ ἐρᾶν τοῦ ἔργου, ταχὺ δὲ τὰ ἐν τῷ παραδείσῳ
θηρία ἀνηλώκει διώκων καὶ βάλλων καὶ κατακαίνων, ὥστε
ὁ Ἀστυάγης οὐκέτ᾽ εἶχεν αὐτῷ συλλέγειν θηρία. καὶ ὁ
Κῦρος αἰσθόμενος ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα
πολλὰ παρέχειν, ἔλεγε πρὸς αὐτόν, Ὦ πάππε, τί σε δεῖ
θηρία ζητοῦντα πράγματ᾽ ἔχειν; ἀλλ᾽ ἐὰν ἐμὲ ἐκπέμπῃς
ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ ὅσα ἂν ἴδω θηρία, ἐμοὶ
6 *ταῦτα τρέφεσθαι. ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν* [6]
θήραν οὐκέθ᾽ ὁμοίως λιπαρεῖν ἐδύνατο ὥσπερ παῖς ὤν, ἀλλ᾽
ὀκνηρότερον προσῄει. καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο
ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας
ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ ἴδοι εἰ καιρὸς εἴη,
καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ ὁπότε ἐγχω-
ροίη· ὥστε ὁ Σάκας ὑπερεφίλει ἤδη καὶ οἱ ἄλλοι
πάντες.
7 *Ἐπεὶ δ᾽ οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυ-* [7]
μοῦντα ἔξω θηρᾶν, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ καὶ φύ-
λακας συμπέμπει ἐφ᾽ ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν
δυσχωριῶν φυλάττοιεν αὐτὸν καὶ εἰ τῶν ἀγρίων τι φανείη
θηρίων. ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο

δὲ τὰ] *δὲ καὶ τὰ* D. *παραδείσσῳ* A. *οὐκ ἐπεῖχεν* A. *οὐκ ἐπεῖγεν* G., sed mg. r. *οὐκ ἔτ᾽ εἶχεν.* *δύναιτο*] *δύναται* D.G. *οἱ* om. A. *ἐὰν*] *ἢν* D. *νομιῶ* G. mg. r. *ἐμοὶ—τρ.*] *σέ μοι ταῦτα τρέφειν* D. 6. *οὐκέθ᾽* R. *οὐκέτι* A.D.G. *πρὸς τὸν* om. G., *πρὸς* addens r. *ἐγίνετο* A. *ἐγένετο* G. *ἴδοι*] *προΐδοι* D. *ἐγχωροίη*] *ἐν καιρῷ εἴη εἰσιέναι* D.R. Et post hæc *καὶ ὁπότε οὐκ ἐν καιρῷ*, ut post *ἐγχωροίη* mg. M., *καὶ ὁπότε καιρὸς εἴη* pro iisdem A.G.M. in textu, quæ delevit Zeunius, *οὐ* tacito post *ὁπότε* addito tolerabiliora fecit Stephanus, quæ in annot. memorat tanquam "non necessariam adjectionem." *ἤδη ὑπερ* (β α) R. *αὐτὸν ὥσπερ* post *ἤδη* add. D.G. mg. r. *οἱ* om. A.G. *ἔξω θηρᾶν*] *τῆς ἔξω θήρας* D. *συμπέμπει*] *ἐκπέμπει* B.M. *δυσχωριῶν* Stephanus post Philelphum. *δυσχερειῶν* A.D.G. *δυσχεριῶν* M. *θηρίων*] *θηρίον* A.R. s. v. r. *θηρῶν* D. corr. mg. *οὖν*] *γοῦν* R. pr.

6. *ἃ—ἐμέμφετο, αὐτὸς—ἐγίγνετο*] Anab. 3, 5, 5: *Ἃ γὰρ ὅτε ἐσπένδοντο διεπράττοντο, μὴ κάειν τὴν βασιλέως χώραν, νῦν αὐτοὶ κάουσιν ὡς ἀλλοτρίαν.*

ἐγχωροίη] H. Gr. 2, 3, 16: *Ὁ δὲ ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακαλύειν.*

7. *θηρᾶν*] "If we refer to the Cyropædia (l. 1), we shall find that little change has taken place in the mode of hunting in Persia since the days of Cyrus. The slaughter of game is sometimes immense on these parties; for when the beasts are driven into the valleys, they find an enemy behind each rock, and the firing that is kept up incessantly alarms them so much, that they know not where to go to for safety." Morier, *A second Journey through Persia*, p. 393.

ποίοις οὐ χρὴ θηρίοις πελάζειν καὶ ποῖα χρὴ θαρροῦντα
διώκειν. οἱ δ' ἔλεγον ὅτι ἄρκτοι πολλοὺς ἤδη πλησιάσαν-
τας διέφθειραν καὶ κάπροι καὶ λέοντες καὶ παρδάλεις, αἱ
δὲ ἔλαφοι καὶ δορκάδες καὶ οἱ ἄγριοι οἶες καὶ οἱ ὄνοι οἱ
ἄγριοι ἀσινεῖς εἰσιν. ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας
ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θηρία· πολλοὺς
8 γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. καὶ ὁ [8]
Κῦρος πάντα ταῦτα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν
ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουσεν
ἐδίωκεν οὐδὲν ἄλλο ὁρῶν ἢ ὅπῃ ἔφευγε. καί πως διαπηδῶν
αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξε-
τραχήλισεν. οὐ μὴν ἀλλ' ἐπέμεινεν ὁ Κῦρος μόλις πως,
καὶ ὁ ἵππος ἐξανέστη. ὡς δ' εἰς τὸ πεδίον ἦλθεν, ἀκον-
τίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα.
καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες
ἐλοιδόρουν αὐτὸν καὶ ἔλεγον εἰς οἷον κίνδυνον ἔλθοι, καὶ
ἔφασαν κατερεῖν αὐτοῦ. ὁ οὖν Κῦρος εἱστήκει καταβε-
βηκώς, καὶ ἀκούων ταῦτα ἠνιᾶτο. ὡς δ' ᾔσθετο κραυγῆς,
ἀνεπήδησεν ἐπὶ τὸν ἵππον ὥσπερ ἐνθουσιῶν, καὶ ὡς εἶδεν
ἐκ τοῦ ἀντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει καὶ
διατεινάμενος εὐστόχως βάλλει εἰς τὸ μέτωπον καὶ κατέσχε
9 τὸν κάπρον. ἐνταῦθα μέντοι ἤδη καὶ ὁ θεῖος αὐτῷ ἐλοιδο- [9]
ρεῖτο, τὴν θρασύτητα ὁρῶν. ὁ δ' αὐτοῦ λοιδορουμένου
ὅμως ἐδεῖτο ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι εἰσκομίσαντα
δοῦναι τῷ πάππῳ. τὸν δὲ θεῖον εἰπεῖν φασιν, Ἀλλ' ἢν
αἴσθηται ὅτι ἐδίωκες, οὐ σοὶ μόνον λοιδορήσεται, ἀλλὰ
καὶ ἐμοί, ὅτι σε εἴων. Καὶ ἢν βούληται, φάναι αὐτόν,
μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. καὶ σύγε, εἰ

ὁποίοις—ὁποῖα D. ἄρκτοι] ἄρκτοι τε D. λέοντες καὶ κάπροι D. ὄϊες libri, ὄειες R. pr. οἱ ὄνοι ἄγριοι A. οἱ ἄγριοι ὄνοι G. ἀσινεῖς om. A. ἐασιν A. 8. ταῦτα πάντα D. ἐκπηδήσαντα A.R. corr. mg. σαν L. in lit. ὅπῃ A.M. ὅποι D.G.R. ἐπέμενεν D.R. καὶ ὁ] ὁ D. ἀντίου] ἐναντίου D. εὐστόχως] εὐτυχῶς A.G. corr. mg., M. 9. ἐᾶσαι] αὐτὸν add. D. ἐδίωκες] ἔδωκας A. et fortasse G. pr. μόνῳ I. καὶ ἢν] κἂν D. αὐτὸν φάναι D.

δορκάδες] V. ad 2, 4, 20.

οἱ ὄνοι οἱ ἄγριοι] V. ad 2, 4, 20.

χρῆμα] Herodot. 1, 36: Ἐν τῷ Μυσίῳ Οὐλύμπῳ ὑὸς χρῆμα γίνεται μέγα, et ὑὸς χρῆμα μέγιστον. HUTCH.

βάλλει] Conf. Xen. Cyneg. 10, 16 cum annot. Schneideri.

κατέσχε τὸν κάπρον] Silii Pun. 2, 97: "Ille procul campo linquentem retia cervum vulnere sistebat," confert Fischerus.

9. σύγε] Hoc præcipit Apollon. De pron. p. 68 A.: Σύγε Ἀττικοὶ καθάπερ καὶ τὸ ἔγωγε· τινὲς ἐν δυσὶ μέρεσι λόγου, τοῦ γε ἐν παραθέσει κειμένου, ἐπεὶ αἱ ἐπεκτεινόμεναι ἐν πρώ-

βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος ὅ τι βούλει ταῦτα
ὅμως χάρισαί μοι. καὶ ὁ Κυαξάρης μέντοι τελευτῶν εἶπε,
Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας βασιλεὺς
10 εἶναι. οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία ἐδίδου τε τῷ [10]
πάππῳ καὶ ἔλεγεν ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. καὶ
τὰ ἀκόντια ἐπεδείκνυ μὲν οὔ, κατέθηκε δὲ ᾑματωμένα
ὅπου ᾤετο τὸν πάππον ὄψεσθαι. ὁ δὲ Ἀστυάγης ἄρα
εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως ὅσα σὺ
δίδως, οὐ μέντοι δέομαί γε τούτων οὐδενὸς, ὥστε σε κινδυ-
νεύειν. καὶ ὁ Κῦρος ἔφη, Εἰ τοίνυν μὴ σὺ δέει, ἱκετεύω, ὦ
πάππε, ἐμοὶ δὸς αὐτὰ, ὅπως τοῖς ἡλικιώταις ἐγὼ διαδῶ.
Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν διαδί-
11 δου ὅτῳ σὺ βούλει καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. καὶ ὁ [11]
Κῦρος λαβὼν ἐδίδου τε ἄρας τοῖς παισὶ καὶ ἅμα ἔλεγεν,
Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν ὅτε τὰ ἐν τῷ παραδείσῳ
θηρία ἐθηρῶμεν· ὅμοιον ἔμοιγε δοκεῖ εἶναι οἷόνπερ εἴ τις
δεδεμένα ζῷα θηρῴη. πρῶτον μὲν γὰρ ἐν μικρῷ χωρίῳ ἦν,
ἔπειτα λεπτὰ καὶ ψωραλέα, καὶ τὸ μὲν αὐτῶν χωλὸν ἦν,
τὸ δὲ κολοβόν· τὰ δ' ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία ὡς
μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δὲ λιπαρὰ ἐφαίνετο. καὶ αἱ

βούλη G. ει in lit. η hic et post ὅπως D. ἔφη om. D. ὅ τι βούλει add. D.R. om. A.G. ταῦτα] τοῦτο D.M. mg. R. ὅμως] ὅπως A.G. ὁ πάππος B. χάρισαί μοι] χαρίσαιμι A.G. pr. ἡμῶν post βασιλεὺς D. 10. ἐπεδείκνυε μὲν οὖ M. et G. corr. ἐπεδείκνυ μὲν οὖ L. corr., uterque pr. ἐπιδεικνυμένου. ἐπιδεικνύμενος A. ἐδείκνυεν μὲν οὖ D. ἐδείκνυε μὲν οὖ R. κατέθηκε δὲ R. pr. τέθεικε δὲ M.R. corr. et G. corr., pr., ut videtur, καὶ τέθεικεν, ut L. pr. καὶ τέθεικε, nunc κατέθηκε δέ. κατέθηκεν A. κατέθηκεν δὲ B. ὁ δὲ] καὶ ὁ B. σὺ] μοι D. γε om. D. σε om. A. μὴ σὺ] σὺ μὴ R. Libri δέῃ, sed ῃ R. in lit. ὦ om. D. τοῖς ἡλ. post διαδῶ D. διαδιδῶ R. ὅτῳ] ὅτι R. pr. σὺ om. D. θέλεις A.G. 11. ἄρας] ἄρα M., ut videtur, et corr. s. v. alia m. D. ὅτε] ὅτι A.R. ὅμοιον] ὅμοιον γὰρ D.R. ἐδόκει A.G.R. δοκεῖ ἐκεῖνα D. ζῶια D. ζῶα A.G.R. θηρεύῃ A. θηρεύοι D. λεπτὰ] καὶ λεπτὰ I.

τοις καὶ ἐν τρίτοις. ἐν μὲν οὖν τῷ τόνῳ οὐχ οἷόν τε διελέγξαι τὴν παραγωγὴν, ἐν δὲ τῇ Δωρικῇ τύγα οὔσῃ συνάγεται καὶ τὸ σύγε. Libri plerumque sic ut dignosci vix possit conjuncte an divise sit legendum.

τιμωρησάμενος] Additum in nonnullis ὅ τι βούλει conf. cum H. Gr. 4, 8, 6, τιμωρήσασθαι ὅ τι δύναιτο, sed hic fortasse est varietas proximi εἰ βούλει potius quam cum illo moleste conjungendum.

σὺ γὰρ] Xenophonti obversatum videtur regium illud ludicrum in pervulgata de puero Cyro historia ap. Herodot. 1, 114, 115. WYTTENB.

ἐθέλεις] In formis θέλω et ἐθέλω ita ludunt libri Xenophontis, ut operam sit perditurus qui ex illis legem quandam velit eruere, secundum quam aut hiatus vitandi caussa, quæ nonnullorum fuit opinio, formam θέλω prætulerit, aut in formulis quibusdam, velut ἢν θεὸς θέλῃ, hoc maluerit quam ἐθέλῃ. Itaque ego semper illi quoque, ut aliis multis, velut Herodoto, restituendum duco ἐθέλω.

μὲν ἔλαφοι ὥσπερ πτηναὶ ἥλλοντο πρὸς τὸν οὐρανὸν, οἱ δὲ κάπροι ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους ὁμόσε ἐφέροντο· ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τ' ἦν αὐτῶν· καλλίω δὴ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα εἶναι ταῦτα ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα. ἀλλ' ἆρα ἂν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ θήραν; Καὶ ῥᾳδίως
12 γ' ἂν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. καὶ ὁ Κῦρος εἶπε, [12]
Τίς οὖν ἂν ἡμῖν Ἀστυάγει μνησθείη; Τίς γὰρ ἂν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι; Ἀλλὰ μὰ τὸν Δία, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ οἷός τ' εἰμὶ λέγειν ἔγωγε οὐδ' ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλὰξ τις καὶ ἠλίθιος γένωμαι. παιδάριον δ' ὢν δεινότατος λαλεῖν ἐδόκουν εἶναι. καὶ οἱ παῖδες εἶπον, Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδ' ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσει πράττειν, ἀλλ' ἄλλου τινὸς τὸ ἐπὶ σὲ
13 ἀνάγκη ἔσται δεῖσθαι ἡμᾶς. ἀκούσας δὲ ταῦτα ὁ Κῦρος [13
ἐδήχθη, καὶ σιγῇ ἀπελθὼν διακελευσάμενος ἑαυτῷ τολμᾶν εἰσῆλθεν, ἐπιβουλεύσας ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο. ἤρξατο οὖν ὧδε.

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδρᾷ σε τῶν οἰκετῶν καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρήσει; Τί ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω; Ἢν δὲ αὐτόματος πάλιν ἔλθῃ, πῶς ποιήσεις; Τί δὲ, ἔφη, εἰ μὴ μαστιγώσας γε, ἵνα μὴ

ἥλλαυτο G. corr. s. v. ἥλοντο D.R. πρὸς] εἰς G. δὴ] δ' D. ἄρα A.R. τὴν θήραν D. γ'] τ' A.R. et in ras. G. κελεύει A.R. 12. οὖν ἂν] ἂν οὖν D. ἡμῖν] ὑμῖν D. ὑμῶν M. ἀστυάγει] πρὸς ἀστυάγην D.R. πρὸς mg. r. et άγη in lit. L. τὸν δία] τὴν ἥραν D. λέγειν ἔ. οἷός τ' εἰμὶ D. δεινότατος Leonclavius. Libri δεινότατον. πρᾶγμα] εἶναι add. D. ἂν D. om. A.G. s. v. r. δυνήσει D. δυνήσῃ A.G.R. σὲ] σοὶ D.R. δεῖσθαι —ἐδ. καὶ G. mg. r. 13. εἰσῆλθεν καὶ ἐπιβ. D. πῶς D. αὐτῷ D. οὖν om. D. γοῦν R. pr. ἀποδρᾷ σε A. ἀποδράσῃ D.R. ἀποδρᾷ G.M. et mox οἰκετῶν σε. χρήσει B. pr. χρήσῃ A.B. corr. G.R. χρῇ D., idemque ἀναγκάζω, ποιεῖς, χρῶμαι, M. ἄλλο] δ' ἄλλο D. δὴ ἄλλο M. δήσας] αὐτὸν add. D. πάλιν ἔλθῃ] σοι πάλιν ἐπέλθῃ D. σοι πάλιν ἔλθῃ R. ποιήσῃς G.R. pr. εἰ μὴ] ἢ R. μαστ.—ἀρχῆς D. in summa pagina.

11. ἥλλοντο πρὸς τὸν οὐρανὸν] Conf. ad 6, 1, 3. SCHN. Theocritus 5, 144: Ἐς οὐρανὸν ὕμμιν ἀλεῦμαι.

12. τὸν Δία] τὴν Ἥραν, ut D., 8, 4, 12, et alibi sæpe ap. Xenoph.

13. χαρίεν] Hunc adjectivi, alterum adverbii accentum perhibet Eustath. ad Anab. 3, 5, 12 citatus.

ἀποβουκολήσαιμι] Si, ut malus bubulcus, a grege seducens perderem. WYTTENB. Qui plurima addidit simplicis et compositorum exempla, quæ cum aliis v. in Thes. Steph.

αὖθις τοῦτο ποιῇ, ἐξ ἀρχῆς χρήσομαι; Ὥρα ἄν, ἔφη ὁ
Κῦρος, σοὶ παρασκευάζεσθαι εἴη ὅτῳ μαστιγώσεις με, ὡς
βουλεύομαί γε ὅπως σε ἀποδρῶ λαβὼν τοὺς ἡλικιώτας ἐπὶ
θήραν. καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών·
ἔνδοθεν γάρ, ἔφη, ἀπαγορεύω σοι μὴ κινεῖσθαι. χαρίεν
γάρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβου-
14 κολήσαιμι. ἀκούσας ταῦτα ὁ Κῦρος ἐπείθετο μὲν καὶ [14]
ἔμεινεν, ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν σιωπῇ διῆγεν. ὁ
μέντοι Ἀστυάγης ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς,
βουλόμενος αὐτῷ χαρίζεσθαι ἐξάγει ἐπὶ θήραν, καὶ πεζοὺς
πολλοὺς καὶ ἱππέας συναλίσας καὶ τοὺς παῖδας καὶ συν-
ελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία ἐποίησε μεγάλην
θήραν. καὶ βασιλικῶς δὴ παρὼν αὐτὸς ἀπηγόρευε μηδένα
βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη θηρῶν. ὁ δὲ Κῦρος οὐκ
εἴα κωλύειν, ἀλλ', Εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με
θηρᾶν, ἄφες τοὺς κατ' ἐμὲ πάντας διώκειν καὶ ἀγωνίζεσθαι
15 ὅπως ἕκαστος κράτιστα δύναιτο. ἐνταῦθα δὴ ὁ Ἀστυάγης [15]
ἀφίησι, καὶ στὰς ἐθεᾶτο ἁμιλλωμένους ἐπὶ τὰ θηρία καὶ
φιλονεικοῦντας καὶ διώκοντας καὶ ἀκοντίζοντας. καὶ Κύρῳ
ἥδετο οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ

ποιῇ M. ποιοῖ A.D.G. ποιεῖ R. ἐξ] ἔπειτα ἐξ D.G. s. v. r. R. παρασκ. σοι D. ὅπῃ με μαστιγώσῃς D. πῶς D. καὶ ὁ ἀ. G. mg. r. καλῶς ἔφη] ἔφη καλῶς R. γὰρ ἔφη] γὰρ D. χαρίεν D. χάριεν A.G.R. εἰ ἕνεκα] εἶναι εἰ εἵνεκα G. et qui ἕνεκα M.R. εἶναι εἵνεκα I. εἶναι εἰ ἕνεκα M. κρεαδίων] Pollux 6, 33. 14. ἀκούσας δὴ ταῦτα D. ἔμενεν D. ὢν] ὢν καὶ D. χαρίσασθαι D. πολλοὺς ante πεζοὺς G. post ἱππέας B., qui pr. fortasse ἱππεῖς. τὰ θηρία om. D. δὴ] δὲ D. αὐτὸς παρὼν D. ἀπηγόρευσεν fortasse D. pr. ἐμπλησθῇ R., sed ῇ in lit. θηρῶν] βάλλων D. εἰ] ἢ A. ἔφη om. D. πάντας τοὺς κατ' ἐμὲ D. διαγωνίζεσθαι D. κράτιστα] τὰ κράτιστα D. 15. φιλονικ. A. κύρῳ] τῷ κύρῳ D.

ὥρα ἂν—εἴη] Sine οὖν sic s. 28. et infra 3, 1, 43; 4, 4, 5. SCHN.

14. πρὶν Κῦρος ἐμπλησθείη θηρῶν] Nepotem Astyagis insigni beneficio demereri studet, ideoque regium illi quendam honorem comites præstare voluit. Apud Persas autem in venatione nemini, priusquam rex telum emisisset, bestiam ferire licuit. Unde Ctesias Pers. ap. Phot. cod. 72, p. 41, 35: Μετεώρου δὲ φερομένου τοῦ θηρίου, βάλλει ἀκοντίῳ Μεγάβυζος καὶ ἀναιρεῖ. καὶ ὀργίζεται Ἀρτοξέρξης, ὅτι πρὶν ἢ αὐτὸς τύχῃ Μεγάβυζος ἔβαλε, καὶ προστάσσει τὴν κεφαλὴν τὸν Μεγάβυζον ἀποτμηθῆναι. Quem morem sustulisse Artaxerxem Longimanum testatur Plutarch. Apophth. p. 173 D: Πρῶτος δὲ πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους. HUTCH.

δύναιτο] Optativum post imperativum restitui 8, 2, 16: Κέλευε αὐτοὺς ὁπόσα ἕκαστος δύναιτο πορίσαι μοι χρήματα. 3, 2, 30: Τοῖς παρ' ὑμῶν ὑμεῖς αὖ ἐπιστέλλετε ὅτι ὑμῖν σύμφορον δοκοίη εἶναι.

15. ἁμιλλωμένους ἐπὶ τὰ θηρία] Anab. 3, 4, 44: Ὥρμησαν ἁμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον.

σκύλακι γενναίῳ ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν ηὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ἠσθάνετο οὐδ' ὁπωστιοῦν φθονερῶς. τέλος δ' οὖν πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπῄει. καὶ τὸ λοιπὸν οὕτως ἥσθη τῇ τότε θήρᾳ ὥστε ἀεὶ ὁπότε οἷόν τ' εἴη συνεξῄει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε καὶ τοὺς παῖδας Κύρου ἕνεκα. τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενός.

16 Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη γενομένου αὐτοῦ ὁ [16]
υἱὸς τοῦ Ἀσσυρίων βασιλέως γαμεῖν μέλλων ἐπεθύμησεν
αὐτὸς θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον. ἀκούων οὖν ἐν τοῖς
μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι
ἀθήρευτα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν.
ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς
καὶ πελταστάς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ
θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα. ἀφικόμενος
δὲ ὅπου ἦν αὐτοῖς τὰ φρούρια καὶ ἡ φυλακή, ἐνταῦθα
17 ἐδειπνοποιεῖτο, ὡς πρῲ τῇ ὑστεραίᾳ θηράσων. ἤδη δὲ [17]
ἑσπέρας γενομένης ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται
ἐκ πόλεως καὶ ἱππεῖς καὶ πεζοί. ἔδοξεν οὖν αὐτῷ πολλὴ

ἀναγκάζοντι D.G. πλησιάσει, sed ει s. v. in lit. R. ὀνόματι R. pr. τοῦ] τὸν D. καταγελῶντος A.G. pr. ὁπωστιοῦν] ὅπως γοῦν A.G. ὁπωσοῦν R. ἥσθη τῇ τότε θήρᾳ] ἥδετο τῇ θήρᾳ D. δὴ] οὖν G. οὐδενί D. 16. δὲ] γοῦν B. ἐκδέκα D. γενομένου αὐτοῦ H.R. γινομένου αὐτοῦ A.G. αὐτοῦ γιγνομένου D. τοῦ] ὁ τοῦ τῶν D. αὐτῶν A.R. ἀθήρευτα] ἅτε ἀθ. ὄντα D. δασίων R. pr. εἰς] ἐς A.G.R. ἡ om. A.R. πρῲ] πρὸ, ut videtur, G. pr., qui πρῲι (sic) corr. πρὸς A.L.R. πρω inserto s. v. ὶ D. 17. γιγνομένης D. πόλεος A. ἱππῆς D.

εὐφραίνετο] In ηὐφραίνετο consentiunt libri 2, 2, 5, augmentum, ut omnes hoc loco, in talibus plerumque negligentes. Quod constanter restituendum dixi præf. ad Anab. p. xi.

οὐδ' ὁπωστιοῦν φθονερῶς ad ἐπαινοῦντα refertur.

τὸ λοιπὸν dictum ut 2, 3, 24, et alibi pro postea.

ἡδονῆς—κακοῦ] Est fere locus communis in significatione regiæ indolis ac beneficentiæ. Ecphantus Stob. Serm. 46, p. 335: Ἀγαθῶν μὲν πάντων αἴτιος ἐσεῖται, κακῶν (l. κακῶ L. DIND.) δὲ οὐδενός. Plat. Epin. p. 699 E., Philo p. 346 C., etc. Aristides vol. 1, p. 83, Ælian. V. H. 1, 30. WYTTENB.

τῶν Ἀσσυρίων βασιλέως] Regis nomen tacet etiam 1, 5, 2; 4, 1, 8, quod, ut in re ficta, ipse ignoraret, ut jam Zeunius animadvertit.

πρῲ] Forma legitima plerumque abolita apud Xenophontem, ut dixi ad H. Gr. 1, 1, 30, et præf. ad Anab. p. ix, hic ipsæ librorum varietates ostendunt quomodo librarios obstupefecerit.

17. διαδοχῇ—τῇ φυλακῇ] Sic verbum διαδέχεσθαι dativo jungitur infra 8, 6, 13. SCHN. Sic ἐκ διαδοχῆς ἀλλήλοις Demosth. p. 46, 1, et alii ad Thes. Steph. citati.

στρατιὰ παρεῖναι· δύο γὰρ ὁμοῦ ἦσαν φυλακαὶ, πολλούς τε αὐτὸς ἧκεν ἔχων ἱππέας καὶ πεζούς. ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς, καὶ λαμπρότερόν τ' ἂν φανῆναι τὸ ἔργον τῆς θήρας καὶ ἱερείων ἂν πολλὴν ἀφθονίαν ἐνόμιζε γενέσθαι. οὕτω δὴ πρῴ ἀναστὰς ἦγε τὸ στράτευμα, καὶ τοὺς μὲν πεζοὺς κατέλιπεν ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ ἐνταῦθα κατέμεινεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας, τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοσε καταθεῖν, καὶ ἐκέλευσε περιβαλλομένους ὅτῳ τις ἐπιτυγχάνοι ἐλαύνειν πρὸς ἑαυτόν. οἱ μὲν δὴ ταῦτα ἔπραττον.

18 *Σημανθέντων δὲ τῷ Ἀστυάγει ὅτι πολέμιοί εἰσιν ἐν τῇ* [18]
χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους καὶ τοὺς ἱππέας ἡσυχίαν ἔχοντας, ἔστησαν καὶ οἱ Μῆδοι. ὁ δὲ Κῦρος ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδὶ, ἐκβοηθεῖ καὶ αὐτὸς πρῶτον τότε ὅπλα ἐνδὺς, οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι·

γὰρ] *μὲν* D. *μὲν* R. *ὁμοῦ ἦσαν φυλάξαι* A.G. pr., *κ* s. v. r. *φυλακαὶ ὁμοῦ οὖσαι* D. pr., *ἦσαν* corr., R. *πολλούς τε*] *καὶ πολλούς τε* A.G.R. *πολλοὶ δὲ οὓς* D. *ἱερίων* D. *ἂν πολλὴν*] *παμπόλλην* A.G. et *ἂν* addens s. v. R. *γενήσεσθαι* D. Libri *πρωί.* *τὸ στράτευμα*] *στράτευμα* G. *τὸν στρατὸν* D. *καταλείπει* D. *προσπελάσας* B. *μεθ' αὐτοῦ* (sic) D. *ἐκέλευε* D.G.R. Suidas v. *Περιβαλλομένους.* *περιβαλομ.* A. *ὅτῳ*] *ὅπως* A.D. corr. G.R. Suidas. *ἐπιτυγχάνοι* R. Suidas. *ἐπιτυγχάνει ἐντυγχάνοι* D. *ἑαυτόν*] *τοῦτον* A.G.R. *αὐτόν* Suidas. 18. *ἀστυάγῃ* D. *ἐν τῇ χώρᾳ*] *ἐπὶ τῆς χώρας* R. pr. *ἐκβοηθεῖ* D. *πρὸς*] *εἰς* R. pr. *ὄρεια* D. *ἐσήμαινε*] *αινε* in lit. D. *ἀνθρώπων* R. *ὁ δὲ*] *ὁ* D. *πανσυδία* D. pr. abraso *α*. *πασσυδεὶ* R. pr.

ἱερείων] Pecudum, non victimarum, ut Anab. 4, 4, 9; 5, 7, 13, et apud alios multos. HUTCH.

περιβαλλομ.] Conf. H. Gr. 4, 8, 18.

18. *ἀνθρώπους*] Pedites. SCHN.

ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδὶ, ἐκβοηθεῖ καὶ αὐτός] Sic sæpe in utroque membro ponitur particula. Aristoph. Plut. 1084: *Ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους πίνειν, ξυνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.* Infra 7, 5, 47.

πασσυδὶ] Quum H. Gr. 4, 4, 9 et Ages. 2, 19 *πασσυδίᾳ* pro *πασσυδὶ* restitutum sit ex bonis omnibus, mirum nisi hic quoque verum sit *πασσυδίᾳ*, ut ego conjeceram ad Agesilaum. V. ad Thes. Steph.

οὔποτε οἰόμενος] H. Gr. 2, 4, 13: *Νῦν τοι παραγεγένηνται οὓ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ ηὐχόμεθα.*

ἐξοπλίσασθαι] Verbum *ἐξοπλίζεσθαι* quid differat a simplici *ὁπλίζεσθαι*, docui in Indice ad Anabasin v. *Τιθέναι* p. 465 ed. Oxon. SCHN.

μάλα δὲ καλὰ ἦν καὶ ἁρμόττοντα αὐτῷ ἃ ὁ πάππος περὶ
τὸ σῶμα ἐπεποίητο. οὕτω δὴ ἐξοπλισάμενος προσήλασε
τῷ ἵππῳ. καὶ ὁ Ἀστυάγης ἐθαύμασε μὲν τίνος κελεύσαν-
19 τος ἥκοι, ὅμως δὲ εἶπεν αὐτῷ μένειν παρ' ἑαυτόν. ὁ δὲ [19]
Κῦρος ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, Ἦ οὗτοι,
ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις
ἠρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ
ἐλαύνοντες; Κἀκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ
πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν
ἱππαρίων ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν
τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ,
ὅσον τὸ στῖφος τῶν ἱππέων ἕστηκε συντεταγμένον; οἳ ἢν
ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται ἡμᾶς πάλιν
ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ
μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦν-
τας, φοβήσονται οὗτοι καὶ οὐ κινήσονται, οἱ δ' ἄγοντες
εὐθὺς ἀφήσουσι τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς
ἐλαύνοντας.

20 Ταῦτ' εἰπόντος αὐτοῦ ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. [20]
καὶ ἅμα θαυμάζων ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει κελεύει

καὶ] *καὶ εὖ* D. *ἁρμόζοντα* A.G.R. *ὁ ἀστυάγης*] *ἀστυάγης ἰδὼν* D. *ἥκει* R., sed *ει* fortasse in lit. *ἑαυτόν*] *ἑαυτῷ* B. 19. *ἐναντίους* D. *ἔφη* om. R. *ἠρεμοῦντες* D. *κἀκεῖνοι*] *καὶ ἐκεῖνοι* D. *πονηροὶ*] Hermogenes Walz. Rhett. vol. 3. p. 306, 11 ex h. l. *αὐτοί τε πονηροί εἰσι καὶ ἐπὶ πονηρῶν ἵππων ὀχοῦνται.* *χρήματα*] *κτήματα* D. *χρὴ*] *χρὴ ἔφη* D. *λελαύνειν* A. *ἐπ'* in lit. R. *συντεταγμένον*] *σὺν τοῖς ἵπποις* A.G. et post *συντετ.* I.M., ut videtur, etsi *γρ. συντεταγμένον* tribuitur M. mg., R., *σὺν* s. v. posito. *οἳ ἢν*] *οἳ ἂν* D. pr. *ἢ ἂν* D. corr. *ἢ ἢν* G. *ἢν—πάρεστιν* Suidas v. Ὑποτεμέσθαι. *οὔπω ἡ*] *οὐδέπω* D. *ἢν*] *ἐὰν* D. *φοβηθήσονται* D.M. *ἀφήσουσιν εὐθὺς* D. 20. *εἰπόντος αὐτοῦ*] *εἰπὼν* D.R. *ἀστυάγῃ* D.

ἃ ὁ πάππος ἐπεποίητο] Recte *ἅ οἱ ὁ πάππος* corrigebat Weiskius. SCHN. Pronomen eidem verbo deest Anab. 4, 5, 14: *Καὶ γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν*, ubi nonnulli addiderunt *αὐτοῖς*.

τῷ ἵππῳ] Reiskius in Actis Erudit. 1750, p. 306, conjecit *τῷ πάππῳ*, non male. SCHN. Hæc constructio sæpius est ap. Xen., alteri nihil prodest *προσήλαυνε μάλα ἰσχυρῶς ἱδροῦντι τῷ ἵππῳ* H. Gr. 4, 5, 7.

μένειν παρ' ἑαυτόν] Conf. 4, 2, 23.

19. *ἐπὶ πονηρῶν ἱππαρίων*] Infra 5, 1, 14, eadem forma ad majorem contemptum, *μοχθηρὰ ἀνθρώπια.* STEPH.

καὶ ἐκεῖνοι—κἀκεῖνοι] De crasi modo facta modo neglecta, ut bis in D., conf. præf. ad Anab. p. xiii.

οἳ—ἐκεῖνοι] Demosth. p. 86, 6: *Ὃς τὸν μὲν Καρύστιον, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρεσβείας ἐπέμψατε ἀπαιτοῦντες, τοῦτον τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι.*

20. *ταῦτα εἰπόντος αὐτοῦ ἔδοξε τε λέγειν*] Demosth. p. 272, 11: *Ὅτε τούτου μέλλοντος λέγειν ἀπήλασεν αὐτὸν ἡ βουλή.* ZEUN. Similia notavimus ad Anab. 5, 2, 24.

τὸν υἱὸν λαβόντα τάξιν ἱππέων ἐλαύνειν ἐπὶ τοὺς ἄγοντας
τὴν λείαν. ἐγὼ δέ, ἔφη, ἐπὶ τούσδε, ἣν ἐπὶ σὲ κινῶνται,
ἐλῶ, ὥστε ἀναγκασθῆναι ἡμῖν προσέχειν τὸν νοῦν. οὕτω
δὴ ὁ Κυαξάρης λαβὼν τῶν ἐρρωμένων ἵππων τε καὶ ἀν-
δρῶν προσελαύνει. καὶ ὁ Κῦρος ὡς εἶδεν ὁρμωμένους,
ἐξορμᾷ, καὶ αὐτὸς πρῶτος ἡγεῖτο ταχέως, καὶ ὁ Κυαξάρης
μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελείποντο. ὡς δ'
εἶδον αὐτοὺς πελάζοντας οἱ λεηλατοῦντες, εὐθὺς ἀφέντες
21 τὰ χρήματα ἔφευγον. οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο, [21]
καὶ οὓς μὲν κατελάμβανον εὐθὺς ἔπαιον, πρῶτος δὲ ὁ
Κῦρος, ὅσοι δὲ παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν
τούτους ἐδίωκον, καὶ οὐκ ἀνίεσαν, ἀλλ' ᾕρουν τινὰς αὐτῶν.
ὥσπερ δὲ κύων γενναῖος ἄπειρος ἀπρονοήτως φέρεται πρὸς
κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο, μόνον ὁρῶν τὸ παίειν
τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν προνοῶν. οἱ δὲ πολέμιοι
ὡς ἑώρων πονοῦντας τοὺς σφετέρους, προυκίνησαν τὸ
στῖφος, ὡς παυσομένους τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν
22 προορμήσαντας. ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνίει, ἀλλ' [22]
ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον ἐδίωκε καὶ ἰσχυρὰν
τὴν φυγὴν τοῖς πολεμίοις κατέχων ἐποίει, καὶ ὁ Κυαξάρης

ἐλαύνειν] ἐλάσαι D. ἣν] ἣ in lit., pr. fortasse ἃ, R. ἐλῶ] ἐλάσω A.G.R. ἀναγκασθῆναι R. ἂν ἀναγκασθῆναι A.G. ἀναγκασθήσονται D. οὕτως A. λαβὼν] τινας, ut videtur, s. v. r. R. ἱππέων A., et qui punctum sub ε ponit G., R. συνεξορμᾷ G. s. v. r. συνεξορμᾷ εὐθὺς D. ἀπελίποντο R. pr. κτήματα D. 21. ὑπετέμνοντο] Supra hoc aliquid, quod male ἀνεχαιτίζοντο legit Schneiderus, quum sit aliud quid, obscure R. αὐτὸν A. ἀνήεσαν D.G. pr. ἀλλ'] ἀλλὰ καὶ D. κύων] παραβολὴ mg. D. παράδειγμα ἀπὸ γενναίου κυνὸς mg. G. ὥσπερ—φέρεται afferens Demetrius De eloc. s. 89, 274, priori loco omittit ἄπειρος. utroque ἐπὶ κάπρον φέρεται. οὕτως D. προυκίνησαν R. προεκίνησαν D.G.M. προκινῆσαν A. ἐπὶ fortasse G. pr. 22. ἀνιεὶς A.G.R. ἰσχυρὰν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς κατεῖχε καὶ φεύγειν πάντας ἐποίει B. et omissis verbis καὶ φεύγειν πάντας, sed cum vacuo spatio capiendis iis idoneo, A. ἰσχυρὰν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς κατείχειν ἐποίει C. et qui κατείκεν V. ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις (mg. alia m. addit ἰσχυρῶς καθὼς εἶχεν) ἐποίει κατέχων (hoc punctis infra notans) ἐποίει D. ἰσχυρὰν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς καθὼς εἶχεν ἐποίει G.M. ἰσχυρὰν φυγὴν τοῖς πολεμίοις ἐποίει R. ἰσχυρὰν τὴν φ. τοὺς πολεμίους (sed s. v. bis οις) ἰσχυρῶς κατέχειν (sed ω s. ει) ἐποίει H. ἰσχυρὰν φ. τοῖς π. κατέχειν (et s. v. καὶ ἰσχυρῶς) ἐποίει I.

ἐλῶ] Librorum meliorum scriptura ἐλάσω coarguit eandem formam Anab. 7, 7, 55. Nam constanter Xenophonti futurum est ἐλᾶν.

21. πρὸς κάπρον] Demetrii ἐπὶ κάπρον φέρεται conf. cum Cyneg. 3, 10, ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται. SCHN.

κατέχων] Verbum κατέχειν participio junctum habet Plut. Arati c. 29, κατεῖχε διώκων. Arrianus Anab. 2, 27, 6: Τοῖς τε βέλεσιν ἐπὶ πολὺ κατεῖχον οἱ Μακεδόνες ἀναστέλλοντες τοὺς προμάχους. Similiter κατέχοντα κυνοδρομεῖν Xenoph. Cyneg. 6, 22, et

μέντοι ἐφείπετο, ἴσως καὶ αἰσχυνόμενος τὸν πατέρα, καὶ
οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ τοιούτῳ
εἰς τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι
ὄντες. ὁ δὲ Ἀστυάγης ὡς ἑώρα τοὺς μὲν ἀπρονοήτως
διώκοντας, τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμένους
ὑπαντῶντας, δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου μὴ
εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόντες πάθοιέν τι,
23 ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. οἱ δ' αὖ πολέμιοι ὡς [23]
εἶδον τοὺς Μήδους προκινηθέντας, διατεινάμενοι οἱ μὲν τὰ
παλτὰ, οἱ δὲ τὰ τόξα εἱστήκεσαν, ὡς ἐπειδὴ εἰς τόξευμά
γε ἀφίκοιντο στησομένους, ὥσπερ τὰ πλεῖστα εἰώθεσαν
ποιεῖν. μέχρι γὰρ τοσούτου, ὁπότε ἐγγύτατα γένοιντο,
προσήλαυνον ἀλλήλοις καὶ ἠκροβολίζοντο πολλάκις μέχρι
ἑσπέρας. ἐπεὶ δὲ ἑώρων τοὺς μὲν σφετέρους φυγῇ εἰς ἑαυ-
τοὺς φερομένους, τοὺς δ' ἀμφὶ τὸν Κῦρον ἐπ' αὐτοὺς ὁμοῦ
φερομένους, τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γι-
γνόμενον ἤδη τοξεύματος, ἐκκλίνουσι καὶ φεύγουσιν ὁμό-
θεν διώκοντας ἀνὰ κράτος· ᾕρουν δὲ πολλούς· καὶ τοὺς
μὲν ἁλισκομένους ἔπαιον καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ
πίπτοντας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστησαν πρὶν πρὸς
τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. ἐνταῦθα μέντοι δεί-

ἀφείπετο G.M. ἴσως] ἴσως μὲν D. οἱ] εἰ R. pr. ἀπαντ. fortasse pr. R. εὐθὺς] αὐτοῖς D. πολεμίους] ἐναντίους B. 23. ἴδον D. εἱστήκεσαν M.R. εἱστήκεισαν A.G. ἔστησαν D. ὡς ἐπειδὴ εἰς] ἀλλ' εἰς A. et qui ὡς s. v. r. G. ὡς ἂν ἐπειδὴ εἰς D.R. τόξευμά γε] τόξευμα A.G.R. ἀφίκοντο A.G. στησόμενοι D. corr. G. corr. R. εἰώθασιν D. μέχρι γὰρ] μέχρι καὶ R. γίγνοιντο D. μέχρι R. μέχρις A.D.G. ἕως B. τὸν om. D. ὁμοῦ ἐπ' αὐτοὺς ἀγομένους D. et qui ἀγομένους s. v. M. ἐγκλί-νουσι C. ἐγκλίνουσιν D. ὁμόθεν διώκοντας] οἱ δὲ ἅτε ὁμόθεν διώκοντες D.R. ἀνακράτος A., ut infra 25, διαστόματος, R. ἀνὰ κράτος· ᾕρουν δὲ πολλούς] ᾕρουν πολλοὺς κατὰ κράτος D. Spiritum in ᾕρουν G. corr., ut videtur. δὲ cum interp. post κράτος om. etiam R. μὲν om. R. καὶ ἄνδρας καὶ ἵππους B. κατέκαιον A. ἔκαιον D. et ν s. v. al. m. πρὶν] Libri πρὶν ἢ vel πρινή.

9, 20: Ῥιπτοῦσι δὲ καὶ εἰς τὴν θάλατταν, ἐὰν κατέχωνται. SCHN. Qui eadem ad H. Gr. 4, 6, 10: Μάλα κατεῖχον βάλλοντες καὶ ἀκοντίζοντες οἱ Ἀκαρνᾶνες. Dio Chrys. Or. 20, vol. 1, p. 495: Κατέχει διώκουσα (canis) δι' ὁποίων ἂν ποτε ἴῃ χωρίων. Alia v. in Thes. Steph. Ἰσχυρὰ φυγὴ est 7, 1, 26: Ὥστε ταχὺ ἰσχυρὰ φυγὴ ἐγένετο τοῖς πολεμίοις. Schneiderus autem quod putabat duplicem fuisse scripturam in libris ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἐποίει et ἐδίωκε καὶ ἰσχυρῶς κατεῖχε καὶ φυγεῖν πάντας ἐποίει, confirmat R. Ejeci certe ἰσχυρῶς.

23. ὡς] ἂν correctoris additamentum, qualis etiam 1, 6, 1, ὡς cum futuro conjunctum auxit particula ab Atticis nunquam cum futuro conjuncta. Sed quum ἀλλ' quid sit non liqueat, posui quod potuit scribere Xenophon ὡς ἐπειδή.

ἐκκλίνουσι] Anab. 1, 8, 19: Πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι.

πρὶν] ἢ sic delevi etiam Ages. 2, 4, ubi omittit H. Gr. 4, 3, 8. V. ad Anab. 4, 5, 1.

σαντες μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέσχον. ἐκ τού-
24 του δὴ ἀνῆγεν ὁ Ἀστυάγης, μάλα χαίρων καὶ τῇ ἱππο- [24]
κρατίᾳ, καὶ τὸν Κῦρον οὐκ ἔχων ὅ τι χρὴ λέγειν, αἴτιον μὲν ὄντα εἰδὼς τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. καὶ γὰρ τότε ἀπιόντων οἴκαδε μόνος τῶν ἄλλων ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο, καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ.
25 Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο, καὶ οἵ τε ἄλλοι [25]
πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς, ὅ τε Ἀστυάγης καὶ πρόσθεν τιμῶν αὐτὸν τότε ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ. Καμβύσης δὲ ὁ τοῦ Κύρου πατὴρ ἥδετο μὲν πυνθανόμενος ταῦτα, ἐπεὶ δ' ἤκουσεν ἔργα ἀνδρὸς ἤδη διαχειριζόμενον τὸν Κῦρον, ἀπεκάλει δή, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἐπιτελοίη. καὶ ὁ Κῦρος δὲ ἐνταῦθα λέγεται εἰπεῖν ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο καὶ ἡ πόλις μέμφοιτο. καὶ τῷ Ἀστυάγει δὲ ἐδόκει εἶναι ἀναγκαῖον ἀποπέμπειν αὐτόν. ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς οὓς αὐτὸς ἐπεθύμει λαβεῖν καὶ ἄλλα συσκευάσας πολλὰ ἔπεμπε καὶ διὰ τὸ φιλεῖν αὐτὸν καὶ ἅμα ἐλπίδας ἔχων μεγάλας ἐν αὐτῷ ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν καὶ ἐχθροὺς ἀνιᾶν. ἀπιόντα δὲ τὸν Κῦρον

ἔνεδρά τις R. 24. ἀνήγαγεν D. μάλα] μᾶλα A. μᾶλλον G. καὶ τῇ] τῇ R. ὑποκρατίᾳ A. ὅτι χρὴ λέγειν] λέγειν ὅτι χρὴ D. εἰδὼς ὄντα D. τῶν ἄλλων μόνος D. μόνως A. κεῖνος A. ἐθεᾶτο καὶ μόλις αὐ om. A.G. mg. r. ἀστυάγῃ D. μάλλα A. ἐπίπροσθε A.G. ποιούμενοι A. pr. προάγοντας D. αὐτοῦ A.G.R. ἑαυτοῦ D. Suidas v. Ἐπίπροσθεν, τὸν δὲ κῦρον ἀφελκύσαντες ἦγον ἐπ. π. τοὺς π. ὅτι—ἣ γρ. 25. ἐγένετο B. διὰ] ἐπὶ D. πρόσθε A. πατὴρ s. v. r. G. ἐπειδὴ D. ἀνδρὸς ἤδη ἔργα D. διαχ.] διαπραττόμενον D. δὴ om. D. ἐπίχειρα A.G. corr. mg. r. ἀποτελοίη D.R. καὶ ὁ κῦρος δὲ] καὶ τὸν κῦρον δὴ D. corr. s. v. r. καὶ ὁ κῦρος R. λέγεται] λεγε in lit. D. μέμφοιτο] αὐτῷ add. D. καὶ τῷ ἀστυάγει δὲ] τῷ οὖν ἀστυάγῃ D. ἀστυάγει] ει in ras. G., in lit. R. ἀν. εἶναι D. ἵππους τε] ἵππους G. δοὺς] δὴ R. αὐτὸς] αὐτῷ, sed delens, R. πολλὰ] παντοδαπὰ D. ἀπέπεμπε D. ἔχειν D. ἀπιόντα] Ante hoc nonnihil vacui spatii A.

24. καὶ τῇ ἱπποκρατίᾳ—μαινόμενον] Recte Stephanus ab Homero sumptum putat, Il. E, 185: Οὐχ ὅγ' ἄνευθε θεοῦ τάδε μαίνεται· Θ, 355: Ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς, ubi ἐνθουσιᾶν πρὸς μάχην explicat Eustathius. HUTCH. V. 8, 3, 30. Respondent autem inter se καὶ τῇ ἱπποκρατίᾳ et καὶ τὸν Κῦρον.

θέᾳ] Refertur ad ἐθεᾶτο. WEISK.

25. καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς] Conf. 1, 2, 1, λέγεται καὶ ᾄδεται.

προὔπεμπον ἅπαντες καὶ παῖδες καὶ ἥλικες καὶ ἄνδρες καὶ
γέροντες ἐφ' ἵππων καὶ Ἀστυάγης αὐτὸς, καὶ οὐδένα
26 ἔφασαν ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι. καὶ Κῦρον [26]
δὲ αὐτὸν λέγεται σὺν πολλοῖς δακρύοις ἀποχωρῆσαι.
πολλὰ δὲ δῶρα διαδοῦναί φασιν αὐτὸν τοῖς ἡλικιώταις
ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει, τέλος δὲ καὶ ἣν εἶχε στολὴν
τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, δηλῶν ὅτι τοῦτον μάλι-
στα ἠσπάζετο. τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ
δῶρα λέγεται Ἀστυάγει ἀπενεγκεῖν, Ἀστυάγην δὲ δεξά-
μενον Κύρῳ ἀποπέμψαι, τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς
Μήδους καὶ εἰπεῖν, Εἰ βούλει, ὦ πάππε, ἐμὲ καὶ αὖθις
ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν εἴ τῴ τι ἐγὼ
δέδωκα· Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι ὥσπερ
Κῦρος ἐπέστειλεν.
27 Εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου ἐπιμνησθῆναι, λέγεται, [27]
ὅτε Κῦρος ἀπῄει καὶ ἀπηλλάττοντο ἀπ' ἀλλήλων, τοὺς
συγγενεῖς φιλοῦντας τῷ στόματι ἀποπέμπεσθαι αὐτὸν νόμῳ
Περσικῷ· καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι· ἄνδρα

πάντες A.G. ἵππων] Post hoc ἔιτεπερ D., sed ει partim erasum, cetera punctis notata. ὥστις D. pr. ὅστις corr. δακρύων ἀπετρέπετο D. δακρύοντ' ἀποτρέπεσθαι R. Hic mg. r. G. ἀποχωρεῖ κῦρος δακρύων ἐς πέρσας καὶ διαδιδούς. 26. λέγεται post δακρύοις D. δάκρυσι R. δοῦναι D. αὐτόν φασι D. στολὴν τὴν] στολὴν D., qui mox δῆλον ὅτι τούτῳ ὃν μ. ἠσπ. Hic mg. r. G. ᾧ τὰ ἴδια ἐνδύματα δίδοται ἐκεῖνος μᾶλλον ἀσπαστός. ἀποπέμψαι] εἰς μή δὲ (duplici accentu) πάλιν ἀποπέμψαι add. A. ὦ πάππε εἰ βούλει με D. αὖθις] πάλιν A.D.R. ἰέναι D. in mg. ὡς] εἰς R. σε] σε ἡδέως καὶ D. ἡδέως add. mg. r. G. Idem al. m. in altero mg. αἱ τῶν βασιλέων δωρεαὶ ἀρηρυῖαι μενέτωσαν, ἵνα ἀναίσχυντοι ζῶεν οἱ βασιλεῖς. αἰσχυνάμενον A. εἴ τῳ] ὅτῳ D. τι s. v. r. R. ἔδωκα R. ἀπέστειλεν G.R. 27. φιλοῦντας] τὸν κῦρον add. D. αὐτὸ G. pr. νόμῳ] νόμῳ τῷ R.

οὐδένα ὅντινα] Plat. Theæt. p. 170 A: Καί φαμεν οὐδένα ὅντινα οὐ τὰ μὲν αὐτὸν ἡγεῖσθαι τῶν ἄλλων σοφώτερον, τὰ δὲ ἄλλους ἑαυτοῦ. Thucyd. 3, 39: Τίνα οἴεσθε ὅντινα οὐκ ἀποστήσεσθαι. iterum 3, 46. Plura Heind. ad Phæd. p. 233. SCHN. Alia Thes. Steph.

δηλῶν] De nominativo post accusativum v. ad 1, 3, 8.

26. στολὴν] De qua 1, 3, 3. Ceterum Araspæ dedit vestem. V. 5, 1, 2. SCHN.

λαβόντας καὶ δεξαμένους] Ammonius λαβεῖν μέν ἐστιν, inquit, τὸ κείμενόν τι ἀνελέσθαι, δέξασθαι δὲ τὸ διδόμενον ἐκ χειρός. Ipse potius cum Stephano crediderim λαβόντας dici simpliciter qui sumpsissent quod in manus tradebatur; at vero δεξαμένους qui in accipiendo ea se grata habere et beneficentiam ea tradentis agnoscere ostendissent. HUTCH.

27. παιδικοῦ λόγου] Zeunius jocum, sermonem amatorium vertit. Contra Agesilai 8, 2: Μετεῖχε μὲν ἥδιστα παιδικῶν λόγων, συνεσπούδαζε δὲ πᾶν ὅ τι δέοι φίλοις, rectius simpliciter jocos interpretatur, ut in Œcon. 2. 7, πράγματα παιδικὰ sunt ludi, res ludicræ. SCHN.

ἄνδρα] Artabazum 7, 5, 48.

δέ τινα τῶν Μήδων μάλα καλὸν κἀγαθὸν ὄντα ἐκπεπλῆ-
χθαι πολύν τινα χρόνον ἐπὶ τῷ κάλλει τοῦ Κύρου, ἡνίκα
δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτὸν, ὑπολειφθῆναι·
ἐπεὶ δ᾽ οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν τῷ Κύρῳ καὶ εἰπεῖν,
Ἐμὲ μόνον οὐ γιγνώσκεις τῶν συγγενῶν, ὦ Κῦρε; Τί δὲ,
εἰπεῖν τὸν Κῦρον, ἦ καὶ σὺ συγγενὴς εἶ; Μάλιστα, φά-
ναι. Ταῦτ᾽ ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι·
πολλάκις γάρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα.
Προσελθεῖν γάρ σοι, ἔφη, ἀεὶ βουλόμενος ναὶ μὰ τοὺς
θεοὺς ᾐσχυνόμην. Ἀλλ᾽ οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγ-
28 *γενῆ γε ὄντα· ἅμα δὲ προσελθόντα φιλῆσαι αὐτόν. καὶ* [28]
τὸν Μῆδον φιληθέντα ἐρέσθαι, Ἦ καὶ ἐν Πέρσαις νόμος
ἐστὶν οὗτος συγγενεῖς φιλεῖν; Μάλιστα, φάναι, ὅταν γε
ἴδωσιν ἀλλήλους διὰ χρόνου ἢ ἀπίωσί ποι ἀπ᾽ ἀλλήλων.
Ὥρα ἂν εἴη, ἔφη ὁ Μῆδος, μάλα πάλιν σε φιλεῖν ἐμέ·
ἀπέρχομαι γὰρ, ὡς ὁρᾷς, ἤδη. οὕτω καὶ τὸν Κῦρον φιλή-
σαντα πάλιν ἀποπέμπειν καὶ ἀπιέναι. καὶ ὁδόν τε οὔπω
πολλὴν διηνύσθαι αὐτοῖς καὶ τὸν Μῆδον ἥκειν πάλιν
ἱδροῦντι τῷ ἵππῳ· καὶ τὸν Κῦρον ἰδόντα, Ἀλλ᾽ ἦ, φάναι,
ἐπελάθου τι ὧν ἐβούλου εἰπεῖν; Μὰ Δία, φάναι, ἀλλ᾽ ἥκω
διὰ χρόνου. καὶ τὸν Κῦρον εἰπεῖν, Νὴ Δί᾽, ὦ σύγγενες, δι᾽

δέ R. *δὴ* A.D.G. *μάλα*] *ἄνδρα* A.G. *τινα*] *δή τινα* D. *λειφθῆναι* A., initio vocabuli evanido. *ὦ κ. τῶν σ.* D.R. *τί*] *τῷ* A.D. corr. G.R. *σὺ* om. A.R. *ἐνορᾷς* A.G. pr. R. *γὰρ δοκῶ σε* A.R., qui delevit *σε* post *γὰρ*, *δοκῶ γάρ σε* D., *πολλάκις* cum præcedentibus jungens. *γάρ σε δοκῶ* G. *ναὶ μὰ*] *νὴ* D. *μὰ* R. *οὐκ ἔδει*] *οὐ δοκεῖ* A.G. corr. mg. r. 28. *ἐρέσθαι* A. *ἔρεσθαι* D.G.R. *μάλλιστα* A. *εἴη* om. G. *εἴη σοι* post *ἔφη* D. *μάλα* om. et *σε* s. v. al. m. D. *πάλιν*] *πάνυ* R. *οὕτως* A. om. D. præcedentibus jungit R., ut A. *πάλιν φ.* D. *τε* om. D. *πολλὴν* post *αὐτοῖς* D. *διερύσθαι* A.G. pr. et qui al. m. *η* super *ε* et *εῖ* super *υ* L. *διεληλύσθαι* D. *αὐτοὺς* A.D. pr. G. *αὐτῷ* R. *πάλιν ἥκειν* R. *ἱδρῶντι* D. *ἠβούλου* A.G., qui hic mg. *μακρὸς ὁ τοῦ πόθου χρόνος τοῖς ποθοῦσι δοκεῖ.* *σύγγενες*] *συγγενὲς* A. *ες* s. v. in ras. in *ης* mutat G.

τοὺς συγγενεῖς] Honor nominis multis tributus a rege. Hinc Darius præmii loco Zorobabelicum appellari voluit cognatum Darii, narrante Josepho Antiq. 11, 3. De Alexandro refert Arrianus Anab. 7, 11, 2: *Καὶ ὅσους* (*τῶν Περσῶν τοὺς ἐπιλέκτους* scilicet) *συγγενεῖς ἀπέφηνε, τούτοις δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μόνοις.* Hæc cum Casaubono ad Athenæum p. 99 et Hutchinsono Zeunius. Addit Weiskius (ad 8, 6, 16) Curtii locum 3, 3, qui XV millia cognatorum regis in exercitu Darii memorat, et comparare jubet Brissonium de regno Persarum p. 132, Freinsheimiumque ad Curtium. SCHN.

28. *νόμος*] Conf. 5, 5, 6, Ages. 5, 4. Herod. 1. 134: *Ἐντυγχάνοντες δ᾽ ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι τῷδε ἄν τις διαγνοίη εἰ ὁμοῖοί εἰσι οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους φιλέουσι τοῖσι στόμασι κ.τ.λ.* Strabo 15, p. 734. ZEUN. Schol. Dionis Chrys. (ad Or. 7, vol. 1, p. 242) vol. 2, p. 583. Regios Persarum principes ita inter se salutantes conspexerat Ker Porter *Travels in Georgia, Persia,* etc. vol. i. p. 290.

ἱδροῦντι τῷ ἵππῳ] Sic Anab. 1, 8, 1; H. Gr. 4, 5, 7. ZEUN.

ὀλίγου γε. Ποίου ὀλίγου; εἰπεῖν τὸν Μῆδον. οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε τοιοῦτον ὄντα; ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ τῶν ἔμπροσθεν δακρύων καὶ εἰπεῖν αὐτῷ θαρρεῖν ἀπιόντι, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου, ὥστε ὁρᾶν ἐξέσται κἂν βούληται ἀσκαρδαμυκτί.

ΚΕΦ. Ε.

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν ἐν Πέρσαις ἐνιαυτὸν λέγεται ἐν τοῖς παισὶν ἔτι γενέσθαι. καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν ὡς ἡδυπαθεῖν ἐν Μήδοις μεμαθηκὼς ἥκοι· ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων ὥσπερ καὶ αὐτοὶ ἡδέως καὶ πίνοντα, καὶ εἴ ποτ' ἐν ἑορτῇ εὐωχία γένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο ἢ προσδεόμενον, καὶ πρὸς τούτοις δὲ τἆλλα κρατιστεύοντα αὐτὸν ἑώρων ἑαυτῶν, ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον αὐτῷ οἱ ἥλικες. ἐπεὶ δὲ διελθὼν τὴν παιδείαν ταύτην ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν καὶ μελετῶν ἃ χρῆν καὶ καρτερῶν καὶ αἰδούμενος τοὺς πρεσβυτέρους καὶ πειθόμενος τοῖς ἄρχουσι.

2 Προϊόντος δὲ τοῦ χρόνου ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει, ὁ δὲ Κυαξάρης ὁ τοῦ Ἀστυάγους παῖς, [2]

καὶ ὅσον] ὅσου L. πρόσθε D. ἀπιόντα D. βούληται] ται erasit R. ἀσκαρδαμυκτὶ E.H.R. Pollux 2, 67. ἀσκαρδαμυκτεὶ A., qui—εῖ, D.G., sed D. pr. σκαρδαμυτεί, α et κ s.v. 1. εἰς πέρσας D. ἐνιαυτὸν] μὲν add. D. ἔτι s.v. al. m. D. μεμ. ἐν Μήδοις D. ὥσπερ καὶ] ὥσπερ D. γένοιτο] προσγένοιτ' ἂν D. αὐτὸν] ἑαυτὸν A. δὲ] δὲ καὶ D. τἆλλα] τὰ et λλα s. v. r. G. τ' ἀκρατιστεύοντα L. ἑαυτῶν] περὶ ἅπαντα D. et addito ταῦτα R. οἱ ἥ. αὐτῷ D. διῆλθε—καὶ εἰσῆλθεν D. Hic mg. G. ἐναντιοῦται ἡροδότῳ. χρῆν Zeunius. Libri χρή. χρὶ pr. L. καρτερῶν] ἃ ἔδει add. D.R. 2. ἀστυάγεω D.

2. Ἀστυάγους] Cum Xenophonte unus consentire videtur Josephus, qui quem X. vocat Cyaxarem eundem appellat Darium Medum Ant. Jud. 10, 11. (Ut Zonaras vol. i, p. 148 A.: Ἀστυάγους τὴν ζωὴν μεταλλάξαντος, ὁ παῖς ἐκείνου Κυαξάρης, οὗτος δὲ καὶ Δαρεῖος ὠνόμαστο, τὴν πατρικὴν ἀρχὴν διεδέξατο.) Sed ceteri scriptores, ut Herodotus, Ctesias (de quo Photius cod. 72: Οὐχ Ἡροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ' ἐνίων διαφωνεῖ. φησὶν οὖν αὐτίκα περὶ τοῦ Ἀστυάγους ὡς οὐδὲν αὐτοῦ (immo αὐτῷ) Κῦρος πρὸς γένος ἐχρημάτιζεν· οὗτος δὲ αὐτὸν καὶ Ἀστυΐγαν καλεῖ. Λυχνοποιὸν Cyri dicit Dio Chrys. Or. 15, vol. i, p. 453. L. D.), Justinus, Strabo, Eusebius, Polyænus, ignorant Cyaxarem Astyagis filium, et Astyagem faciunt ultimum Medorum regem, Herodotus 1, 109, etiam ἄπαιδα ἔρσενος γόνου. Recentiores, ut Hutchinsonus, qui fidem Xenophontis defendere conantur, omnem operam perdere recte existimantur: quem satis apparet aliud spectasse quam fidem historicam. ZEUN. Non minus inanes sunt disputationes de sequenti ὁ τῶν Ἀσσυρίων βασιλεὺς ejusque nomine, ut dictum ad 1, 4, 16.

τῆς δὲ Κύρου μητρὸς ἀδελφὸς, τὴν βασιλείαν ἔσχε τὴν Μήδων. ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς κατεστραμμένος μὲν πάντας Σύρους, φῦλον πάμπολυ, ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Ὑρκανίους, πολιορκῶν δὲ καὶ Βακτρίους, ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε τῶν πέριξ ῥᾳδίως ἄρξειν· ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο ἐδόκει
3 εἶναι. οὕτω δὴ διαπέμπει πρός τε τοὺς ὑπ' αὐτὸν πάντας [3]
καὶ πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα καὶ πρὸς τὸν Καππαδοκῶν καὶ πρὸς Φρύγας ἀμφοτέρους καὶ πρὸς Παφλαγόνας καὶ Ἰνδοὺς καὶ πρὸς Κᾶρας καὶ Κίλικας, τὰ μὲν καὶ διαβάλλων τοὺς Μήδους καὶ Πέρσας, λέγων ὡς μεγάλα τ' εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ καὶ συνεστηκότα εἰς ταὐτὸ, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν, καὶ κινδυνεύσοιεν, εἰ μή τις αὐτοὺς φθάσας ἀσθενώσοι, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες καταστρέψασθαι. οἱ μὲν δὴ καὶ τοῖς λόγοις

βασιλείαν ἔσχε I. (hunc enim dicere opinor Valckenarii *MS.*) P. *βασιλείαν εἶχεν* A.L. et haud dubie G. pr., qui corr. ita ut pr. agnosci nequeat *ἀρχὴν ἔλαβε*, ut D. *τὴν* A.G. pr. *τῶν* D.R. Hic autem mg. G.M. *τὸν βαλτάσαρα λέγει τὸν τοῦ ναβουχοδονόσορος ἔγγονον.* *κατεστραμμένος* D. *καταστρεψάμενος* A.G. *καταστρατευσάμενος* H.R. *μὲν* om. D. *σύρους*] *ἀσυρίους* A.R., ut solent, *ἀσσυρίους* G. *πάμπολυ*] *οὐ μικρὸν* D. *τὸν*] *τῶν* A.G.R. *ἀρραβίων* G.R. *καὶ βακτρίους*] *βακτρίους* D. *γε* om. D. *τῶν*] *αὐτῶν* D. *ἂν τῶν* R. *φυλῶν* A.G. pr. R. *ἐδόκει τοῦτο* D. 3. *διαπέμπεται* D.R. *ὑπ' αὐτὸν*] *ὑφ' ἑαυτὸν* D., qui hic in mg. *ἔνθα κροῖσος ἐπὶ μήδους καὶ πέρσας κεκίνηται*, Zonaras. *τὸν λυδῶν*] *τῶν λυδῶν* G.R. pr. et fortasse A. pr. *καὶ πρὸς τῶν* (sic etiam D.) *κ.* G. mg. r. om. A. *φρύγας*] *τοὺς φρύγας* A.G. *παφλαγόνας*] *τοὺς παφλαγόνας* G. *ἰνδοὺς*] *ἰνδοὺς δὲ* D. *κᾶρας καὶ* ante *παφλαγόνας* D. *μὲν καὶ*] *μὲν* G. *τοὺς μήδους*] *πρὸς αὐτοὺς μήδους* D.R. *λέγων*] *τὰ δὲ καὶ λέγων* H.R. *ταῦτα*] *ταῦτα τὰ* B.D. *ταυτὰ* G. corr. *τοῦτο* A.G. pr. *τὸ αὐτὸ* D.R. *εἶεν*] *καὶ συνεστήκοιεν εἰς ἓν* add. D.R. *ἓν* mg. r. G. *κινδυνεύοιεν* D. *κινδυνεύσειεν* G. *κινδυνεύειεν* et *ο* s. v. R., qui etiam *ἀσθενώσοι* in lit. *ω* et *οι*. *ἰόντες* D. *ε* s. v. al. m. L. *ἰόντας* A.G.

κατεστραμμένος] Quum perpetua sit perfectorum et aoristorum in participio maxime permutatio, huic simillima est infra 7, 5, 53, ubi *καταστρεψάμμεθα* E. pro *κατεστράμμεθα*.

Ἀραβίων βασιλέα] Infra 2, 1, 2, est idem ὁ Ἀράβιος, nomine Μάραγδος. SCHN.

3. *Κροῖσον*] Secundum Herodot. 1, 46, 77, Crœsus potius inita societate cum Babyloniis bellum intulit Persis, horum ut opes frangeret, quæ bello subactis Medis valde auctæ erant. ZEUN.

τὰ μὲν καὶ διαβάλλων] Anab. 7, 5, 8: Ὁ γὰρ Ἡρακλείδης καὶ τοῦτο διεβεβλήκει ὡς οὐκ ἀσφαλὲς εἴη τείχη παραδιδόναι ἀνδρὶ δύναμιν ἔχοντι. Nihil autem opus correctoris additamento *τὰ δὲ καὶ* ante *λέγων*, quum ne *λέγων* quidem desideraretur omissum. Nec minus recte dicitur *τὰ μὲν* non sequente *τὰ δὲ* quam *τὰ δὲ* non præcedente *τὰ μέν*.

συνεστηκότα εἰς ταὐτὸ] Idem esse quod Herodianus dicat 4, 10, 5: Τὰ λοιπὰ ἔθνη εὐάλωτα ἔσεσθαι αὐτοῖς κατὰ ἔθνη καὶ κατὰ συστήματα ἀρχόμενα, Xenophon vero non ita, sed *τὸ κοινὸν*, pluribus disputat Steph. ad 1, 1, 4.

κινδυνεύσοιεν] Dicitur de periculosis et metuendis, ut Anab. 5, 6, 19: Ὅτι κινδυνεύσει μεῖναι τοσαύτη δύναμις ἐν Πόντῳ.

τούτοις πειθόμενοι συμμαχίαν αὐτῷ ἐποιοῦντο, οἱ δὲ καὶ
δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ τοι-
4 αῦτα ἦν αὐτῷ. Κυαξάρης δὲ ὁ τοῦ Ἀστυάγους παῖς [4]
ἐπεὶ ᾐσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν
συνισταμένων ἐφ' ἑαυτὸν, αὐτός τε εὐθέως ὅσα ἐδύνατο
ἀντιπαρεσκευάζετο καὶ εἰς Πέρσας ἔπεμπε πρός τε τὸ κοι-
νὸν καὶ πρὸς Καμβύσην τὸν τὴν ἀδελφὴν ἔχοντα καὶ
βασιλεύοντα ἐν Πέρσαις. ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεό-
μενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν, εἴ
τινας πέμποι στρατιώτας τὸ Περσῶν κοινόν. ἤδη γὰρ καὶ
ὁ Κῦρος διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη ἐν τοῖς
5 τελείοις ἀνδράσιν ἦν. οὕτω δὴ δεξαμένου τοῦ Κύρου οἱ [5]
βουλεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς
Μήδους στρατιᾶς. ἔδοσαν δὲ αὐτῷ καὶ προσελέσθαι δια-
κοσίους τῶν ὁμοτίμων, τῶν δ' αὖ διακοσίων ἑκάστῳ τέτ-
ταρας ἔδωκαν προσελέσθαι καὶ τούτους ἐκ τῶν ὁμοτίμων·
γίγνονται μὲν δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ χιλίων τούτων
ἑκάστῳ ἔταξαν ἐκ τοῦ δήμου τῶν Περσῶν δέκα μὲν πελ-
ταστὰς προσελέσθαι, δέκα δὲ σφενδονήτας, δέκα δὲ τοξότας·
καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται, μύριοι δὲ πελ-
τασταὶ, μύριοι δὲ σφενδονῆται· χωρὶς δὲ τούτων οἱ χίλιοι
6 ὑπῆρχον. τοσαύτη μὲν δὴ στρατιὰ τῷ Κύρῳ ἐδόθη. ἐπεὶ [6]

ποιοῦνται D. ταῦτα D.R. 4. ἀστυάγους R. ἀστυάγεω A.D.G. τε om. D. ἐπιβουλὴν] καὶ τὴν ἐνέδραν add. A. τῶν συνισταμένων] αὐτῶ συνισταμένην D. ἐφ' ἑαυτὸν] ἐπ' αὐτὸν in litura R. εὐθὺς R. παρασκευάζετο D. πέρσας] δὲ add. D. πρὸς] καὶ πρὸς A. τε] γε A.G. πρὸς] πρὸς τὸν D. δεόμενος] υ, ut videtur, post δε erasit G. πέμπει G. ἐκπέμπει B. 5. δεξαμένου] δοξαζομένου A.G. τῆς] ἧς in ras., ut pr. aliud, velut ων, fuisse videatur, G. στρατιᾶς] βοηθείας D., qui paullo ante in mg. ση. τὴν κύρου στρατίαν. καὶ—ὁμ.] διακ. τῶν ὁμ. προσελέσθαι D. τέτταρας ἔδωκαν] τέτταρας ἄνδρας ἐκ τῶν ὁμοίων ἔδοσαν D. ἄνδρας post τέσσαρας add. G. mg. r. καὶ—ὁμοτίμων om. D. ἐκ om. A. μὲν om. G. ἑκάστῳ ἔταξαν] ἔδοσαν προσελέσθαι ἑκάστῳ D. ἐγιγοντο sic R. μύριοι μὲν] μὲν μύριοι D. δέκα σφενδονήτας D. mg. r., ut mox μύριοι σφενδονῆται. τῷ om. D.

τὰ—δέκα ἔτη] V. 1, 2, 12.

5. τῆς εἰς Μήδους στρατιᾶς] Exercitus mittendi auxilio Medorum, non, ut Stephanus, στρατείας, expeditionis adversus Medos. ZEUN. Thuc. 3, 26: Ἐπειδὴ τὰς ἐς τὴν Μυτιλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν, confert Hertleinius.

τῶν ὁμοτίμων] Hi fuere principes quidam viri, sic dicti, quod honore erant et dignitate pares: qui, ut proceres fere alii omnes, ad fores regiæ morari consuevere: ut infra 7, 5, 85: Ὥσπερ ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, etc. HUTCH.

ἔδοσαν προσελέσθαι] Hæc ex scholio irrepsisse putabat Stephanus. Sed similis repetitio 1, 1, 3; 7, 2, 11; 8, 8, 3. HUTCH.

δὲ ᾑρέθη τάχιστα, ἤρχετο πρῶτον ἀπὸ τῶν θεῶν· καλλιε-
ρησάμενος δὲ τότε προσῃρεῖτο τοὺς διακοσίους. ἐπεὶ δὲ
προσείλοντο καὶ οὗτοι δὴ τοὺς τέτταρας ἕκαστοι, συνέ-
λεξεν αὐτοὺς καὶ εἶπε τότε πρῶτον ἐν αὐτοῖς τάδε.
7 Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ νῦν πρῶ- [7]
τον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς ἃ μὲν καλὰ ἡ
πόλις νομίζει, προθύμως ταῦτα ἐκπονοῦντας, ἃ δὲ αἰσχρὰ
ἡγεῖται, παντελῶς τούτων ἀπεχομένους. ὧν δ' ἕνεκα αὐτός
τε οὐκ ἄκων εἰς τόδε τὸ τέλος κατέστην καὶ ὑμᾶς παρεκά-
8 λεσα δηλῶσαι ὑμῖν βούλομαι. ἐγὼ γὰρ κατενόησα ὅτι οἱ [8]
πρόγονοι χείρονες μὲν ἡμῶν οὐδὲν ἐγένοντο· ἀσκοῦντες
γοῦν κἀκεῖνοι διετέλεσαν ἅπερ ἔργα ἀρετῆς νομίζεται· ὅτι
μέντοι προσεκτήσαντο τοιοῦτοι ὄντες ἢ τῷ τῶν Περσῶν
9 κοινῷ ἀγαθὸν ἢ αὑτοῖς, τοῦτ' οὐκέτι δύναμαι ἰδεῖν. καίτοι [9]
ἐγὼ οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων ὡς
μηδὲν πλεῖον ἔχωσιν οἱ ἐσθλοὶ γενόμενοι τῶν πονηρῶν,
ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι οὐχ ἵνα μη-
δέποτε εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὡς διὰ ταύτην
τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφρα-
νούμενοι οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμού-
μενοι δεινοὶ γενέσθαι οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύ-
σωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λεγειν εὖ
πείθοντες ἀνθρώπους πολλὰ καὶ μεγάλα ἀγαθὰ διαπρά-
ξασθαι· καὶ οἱ ταῦτα τὰ πολεμικὰ ἀσκοῦντες οὐχ ὡς μαχό-
μενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦσιν, ἀλλὰ νομί-

6. ἐπειδὴ δὲ D. ἤρχετο] ἤρξατο μὲν D. το s. v. ponens. Hic mg. G. ἰσοκράτης, πρῶτον μὲν εὐσέβει τὰ πρὸς τοὺς θεούς. προῄρητο A.G. pr. προσείλοντο—ἕκαστοι] προσείλετο D. εἶπε—τάδε] εἶπε πρῶτον ἐν αὐτοῖς ταῦτα G. τότε om. R. 7. προσειλόμην A.G. μὲν] μᾶλλον add. D. εἶναι ἡγεῖται D. τε om. A. προεκάλεσα A. 8. οὐδὲν χείρους ὑμῶν D. et ρες super υς. χείρους etiam R. μὲν om. G. ἐκεῖνοι B.R. pr. τῶν om. D. αὐτοῖς codices, nisi quod R. spir. in lit. ἢ αὐτοῖς bis G. οὐκέτι τι δύναμαι G. οὐ δύναμαι D.R. εἰδεῖν A. κατιδεῖν D. συνιδεῖν R. pr. 9. ἔγωγε D. Stob. Fl. 29, 74, citans καίτοι—10. ἀφρ. οὐδὲ μίαν A.G.R. πλέον D.R. Stob. ἐσθλοὶ] ἀγαθοὶ D.G. mg. r. Stob. οἵ τε] οἵ γε A.G.R. ὡς—εὐφρανούμενοι] ὅπως—εὐφραίνωνται Stob. et qui εὐφραίνονται s. v. posito νόμενοι D. παύσονται L.R., qui pr. fortasse παύωνται, ω in ras. D. ἐλπίζουσι A.G.R. πολλοὺς ἀνθρώπους μεγάλα D. διαπράξεσθαι D.G.R. correcti. οἱ ταῦτα τὰ A.G. pr., καὶ οἵ τε αὖ τὰ corr. οἵ τε αὖ τὰ D. οἵ τ' αὖ τὰ Stob. παύσονται R. ἐκπονοῦνται D. νομίζουσι Stob.

7. τέλος] Imperium. Schol. Hom. Il. K, 56: Τέλος σημαίνει ποτὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα, ὡς ἔστιν εὑρεῖν παρά τε Θουκυδίδῃ καὶ Ξενοφῶντι καὶ Εὐριπίδῃ.

9. ὡς εὐφρανούμενοι οὕτω παρασκευάζονται] Conf. 5, 1, 27: 7, 5, 45, et ubi cum accus. participii, 5, 5, 47. διαπράξασθαι] V. ad 2, 4, 23.

ζοντες καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι πολὺν μὲν
ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ
10 ἑαυτοῖς καὶ πόλει περιάψειν. εἰ δέ τινες ταῦτα ἐκπονήσαντες [10]
πρίν τινα καρπὸν ἀπ' αὐτῶν κομίσασθαι περιεῖδον αὑτοὺς
γήρᾳ ἀδυνάτους γενομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπον-
θέναι οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι καὶ
εὖ σπείρων καὶ εὖ φυτεύων, ὁπότε καρποῦσθαι ταῦτα δέοι,
ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν καταρ-
ρεῖν. καὶ εἴ τίς γε ἀσκητὴς πολλὰ πονήσας καὶ ἀξιόνικος
γενόμενος ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτός μοι
11 δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης. ἀλλ' ἡμεῖς, ὦ [11]
ἄνδρες, μὴ πάθωμεν ταῦτα, ἀλλ' ἐπείπερ σύνισμεν ἡμῖν
αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκηταὶ ὄντες τῶν καλῶν
κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὓς ἐγὼ σαφῶς
ἐπίσταμαι ἰδιώτας ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. οὐ
γάρ πω οὗτοι ἱκανοί εἰσιν ἀγωνισταί, οἳ ἂν τοξεύωσι καὶ
ἀκοντίζωσι καὶ ἱππεύωσιν ἐπιστημόνως, ἢν δέ που πονῆσαι
δέῃ, τούτῳ λείπωνται, ἀλλ' οὗτοι ἰδιῶταί εἰσι κατὰ τοὺς
πόνους· οὐδέ γε οἵτινες ἀγρυπνῆσαι δέον ἡττῶνται τού-
του, ἀλλὰ καὶ οὗτοι ἰδιῶται κατὰ τὸν ὕπνον· οὐδέ γε οἱ
ταῦτα μὲν ἱκανοί, ἀπαίδευτοι δὲ ὡς χρὴ καὶ συμμάχοις καὶ
πολεμίοις χρῆσθαι, ἀλλὰ καὶ οὗτοι δῆλον ὡς τῶν μεγίστων
12 παιδευμάτων ἀπείρως ἔχουσιν. ὑμεῖς δὲ νυκτὶ μὲν δήπου [12]
ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ δύναισθ' ἂν χρῆσθαι, πόνους δὲ

καὶ ἑαυτοῖς καὶ πόλει A.G.R. καὶ αὐτοῖς καὶ τῇ πόλει D. καὶ τῇ πόλει καὶ αὐτοῖς Stob. 10. εἰ] οἱ G. et qui ει s. v. al. m. ἀπ' αὐτῶν καρπὸν Stob. ἑαυτοὺς B. γινομένους περιεῖδον Stob. ὁπότε αὐτὸν καρποῦσθαι D.G. mg. r. ὅτε ἀποκαρποῦσθαι Stob. γε om. Stob. ἀσκητὴς ἀλλη- τὴς D.G. corr. r. Stob. οὐδ' ἂν om. D. μοι] ἔμοιγε D. Stob. 11. εἴπερ D. κἀγαθῶν] καὶ τῶν ἀγαθῶν D. ἐπίσταμαι] αὐτοὺς ἰδὼν add. D. αὐτὸς ἰδὼν G. mg. r. ὑμᾶς A.D.R. γάρ] γάρ τι D. ἀγωνισταὶ] ἀγωνίζεσθαι et s. v. ονται D. καὶ—καὶ] ἢ—ἢ D. δέῃ] δέσι A.G. τοῦτο R. λείπονται G. οὐδέ] οὐδ οἵ A.G. pr., ut videtur, R εἴτινες A.D.R. pr. ἰδιῶται] εἰ τιν add. D. οὐδέ γε οἱ] οὐδ' οἵ γε οἱ A. οὐδ οἱ γε οἱ G. pr., ut videtur, L., qui etiam ὐ in litura R. ὡς] ὅτι D., sed ν ὅ s. v. r. 12. δύναισθ' ἂν] δύνασθε D. πόνους—νομίζετε citans Longin. De subl. c. 28, πόνον ἡγεμόνα bis, tum κάλλιστον— χαίρετε.

10. ἀσκητὴς] Vulgatum ἀθλητὴς correxi. Non quivis ἀσκητὴς est ἀθλητής, sed omnis ἀθλητὴς est etiam ἀσκητής. Conf. dicta ad Comment. 3, 12, 1, H. Gr. 6, 3, 16. Ita etiam melius convenit sequens ἀσκηταὶ ὄντες. SCHN. Ἀναγώνιστος ex h. l. citans Suidas male interpretatur ὁ μὴ ἀγωνισάμενος pro ἀγωνιζόμενος.

12. ὅσαπερ] H. Gr. 6, 1, 15: Ἱκανὸς νυκτὶ ὅσαπερ ἡμέρᾳ χρῆσθαι. Ages. 6, 6.

πόνους] Eadem sententia apud Pind. Nem. 1, 109, Oppian. Cyn. 1, 54, infra 7, 5, 80, Liv. 5, 4. HUTCH. Gell. N. A. 16, 1. VALCK.

τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε, λιμῷ δὲ ὅσαπερ ὄψῳ διαχρῆσθε, ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων φέρετε, κάλλιστον δὲ πάντων καὶ πολεμικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. τοὺς δ' ἐπαίνων ἐραστὰς ἀνάγκη κτᾶσθαι τὰ αἴτια. διὰ τοῦτο πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον
13 ἡδέως ὑποδύεσθε. εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν ἄλλῃ [13]
γιγνώσκων, ἐμαυτὸν ἐξαπατῶ· ὅ τι γὰρ μὴ τοιοῦτον ἀποβήσεται παρ' ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει. ἀλλὰ πιστεύω τοι τῇ πείρᾳ καὶ τῇ ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ καὶ τῇ τῶν πολεμίων ἀνοίᾳ μὴ ψεύσειν με ταύτας τὰς ἀγαθὰς ἐλπίδας. ἀλλὰ θαρροῦντες ὁρμώμεθα, ἐπειδὴ καὶ ἐκποδὼν ἡμῖν γεγένηται τὸ δόξαι τῶν ἀλλοτρίων ἀδίκως ἐφίεσθαι. νῦν γὰρ ἔρχονται μὲν οἱ πολέμιοι ἄρχοντες ἀδίκων χειρῶν, καλοῦσι δὲ ἡμᾶς ἐπικούρους οἱ φίλοι· τί οὖν ἐστιν ἢ τοῦ ἀλέξασθαι
14 δικαιότερον ἢ τοῦ τοῖς φίλοις ἀρήγειν κάλλιον; ἀλλὰ μὴν [14]
κἀκεῖνο οἶμαι ὑμᾶς θαρρεῖν, τὸ μὴ παρημεληκότα με τῶν θεῶν τὴν ἔξοδον ποιεῖσθαι· πολλὰ γάρ μοι συνόντες ἐπίστασθε οὐ μόνον τὰ μεγάλα ἀλλὰ καὶ τὰ μικρὰ πειρώμενον ἀεὶ ἀπὸ θεῶν ὁρμᾶσθαι. τέλος εἶπε, Τί δεῖ ἔτι λέγειν; ἀλλ' ὑμεῖς μὲν τοὺς ἄνδρας ἑλόμενοι καὶ ἀναλαβόντες καὶ τἄλλα παρασκευασάμενοι ἴτε εἰς Μήδους· ἐγὼ δ' ἐπανελθὼν πρὸς τὸν πατέρα πρόειμι δή, ὅπως τὰ τῶν πολεμίων ὡς τάχιστα μαθὼν οἷά ἐστι παρασκευάζωμαι ὅ τι

διαχρῆσθαι D. κάλλιστον δὲ καὶ πάντων πολ. D. πολεμικώτατον D.I. Longinus. πολιτικώτατον A.G.R. πᾶσι D. ἐπαίνων] τοῦ ἐπαίνου D. ἐπαίνου R. διὰ τοῦτο] ἐπὶ τούτῳ D. pr., ut videtur, M. κτᾶσθαι τὰ αἴτια D. mg. r. om. M.R. ὑποδύεσθαι D. et in lit. R., unde καὶ ante διὰ τοῦτο addidit Zeunius ex Philelpho. 13. ἄλλη A.D. pr. G. (qui ἄλλῃ) L. pr. R. ἄλλως ἢ D. γὰρ G. s. v. m. ant. γὰρ μὴ] γάρ μοι R. παρ' ὑμῶν ἀποβ. D. τῇ πείρᾳ καὶ τῇ ὑμετέρᾳ καὶ τῇ D., mg. r. addens ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ καὶ τῇ, et post πολεμίαν s. v. ead. m. r. ἀνοίᾳ. ψεύσειν] ει a corr. et ν s. v. D. ταύτας s. v. R. ἐκποδῶν A.D.G. pr. ὑμῖν D. μὲν G. s. v. r. ἄρχοντες in lit. D., ut agnosci nequeat quid pr. οἱ φ. ἐπικούρους D. 14. ἀλλὰ μὴν καὶ διὰ τοῦτο ὑμᾶς οὐχ ἥκιστα οἶμαι θαρρεῖν D. μὴν καὶ in lit. R. ἐκεῖνο διὰ τοῦτο οὐχ ἥκιστα G. mg. r. κἀκεῖνο N. καὶ ἐκεῖνο A. οἴομαι A.G.R. με] μετὰ A.G. pr., ut videtur, με, τὰ corr. καὶ] τὸ καὶ A. καὶ τὸν G., qui hic mg. εὐσεβῶς, ut B. ὅρα λόγον ἀσεβοῦς. V. id. 8,7,17. εἶπε] ἔφη D. λέγειν ἔτι D. ἑλόμενοι καὶ ἀναλαβόντες] ἑλόμενοί τε ἅμα D. τἄλλα om. D. παρεσκευασμένοι ἴτε A.G.R. παρασκευασάμενοί τε D. ἐς A.G.R. δὴ] ἤδη D. παρασκευάσω ὑμῖν D.

λεόντων] Qui nullum præter aquam expetunt potum. BRODÆUS.

πολεμικώτατον] Alienum ab hac oratione πολιτικώτατον, in qua de πολεμικοῖς maxime agitur, ut s. 9, est ταῦτα τὰ πολεμικά, frustra defendit Schæfer. ad Gregor. p. 934, loco Athenæi 14, p. 627 C: Οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπελάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν.

ἂν δέωμαι, ὅπως ὡς κάλλιστα σὺν θεῷ ἀγωνιζώμεθα. οἱ μὲν δὴ ταῦτα ἔπραττον.

ΚΕΦ. Ϛ.

Κῦρος δὲ ἐλθὼν οἴκαδε καὶ προσευξάμενος Ἑστίᾳ πατρῴᾳ καὶ Διὶ πατρῴῳ καὶ τοῖς ἄλλοις θεοῖς ὡρμᾶτο ἐπὶ τὴν στρατείαν, συμπρούπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ. ἐπειδὴ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. τούτων δὲ φανέντων οὐδὲν ἄλλο ἔτι οἰωνιζόμενοι ἐπορεύοντο, ὡς οὐδένα λήσοντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα.

2 Προϊόντι δὲ τῷ Κύρῳ ὁ πατὴρ ἤρχετο λόγου τοιοῦδε. [2] Ὦ παῖ, ὅτι μὲν οἱ θεοὶ ἵλεῴ τε καὶ εὐμενεῖς πέμπουσί σε καὶ ἐν ἱεροῖς δῆλον καὶ ἐν οὐρανίοις σημείοις· γιγνώσκεις δὲ καὶ αὐτός. ἐγὼ γάρ σε ταῦτα ἐπίτηδες ἐδιδαξάμην, ὅπως μὴ δι' ἄλλων ἑρμηνέων τὰς τῶν θεῶν συμβουλίας συνείης, ἀλλ' αὐτὸς καὶ ὁρῶν τὰ ὁρατὰ καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκοις καὶ μὴ ἐπὶ μάντεσιν εἴης, εἰ βούλοιντό σε ἐξαπατᾶν ἕτερα λέγοντες ἢ τὰ παρὰ τῶν θεῶν σημαινόμενα, μηδ' αὖ, εἴ ποτε ἄρα ἄνευ μάντεως γένοιο,

δύνωμαι D.G. corr. ἀγωνιζοίμεθα D.R. 1. ὁρμᾶτο D. τὴν στρατείὰν A. duplici accentu et ει in ι, vel vicissim, mutato. τὴν στρατειὰν D. στρατιὰν G. τὴν στρατιὰν R. καὶ s. v. r. G. om. R. ἐπεὶ D.R. αἴσιαι R. ἄλλο om. D. οὐθένα D. pr., ut videtur, qui δ in ras. et accentum pr. gravem, ut α in fine versus ad οὐδὲν additum videri possit, quamvis ead. m. et eodem atramento, sed paullo nigrius, scriptum videatur. ἂν post οὐδένα add. A.D.G.R. ἀνα L. λήσοντα] λήσαντα A. ἄλλο οὐ ἄ (littera, velut ν, erasa et in λ mutata) η̈ (hoc ὐ in mutat corr.) σαντα D. λύσαντα R. et qui α s. λ. ead. fortasse m., G. et qui λήσαντα mg. al. m. L. τὰ s. v. al. m. D. 2. ὅτι μὲν ὦ παῖ θεοί σε D., omisso mox σε. δῆλον καὶ ἐν G. mg. r. δὲ καὶ] δὲ A. ε in ras. G., ut καὶ compendio scriptum et anguste insertum fortasse non sit pr. manus. συμβουλὰς D. συνίης A.G.R. ἀλλ' αὐτὸς s. v. R. αὐτὸς καὶ] καὶ αὐτὸς D. γινώσκεις A.D.G. pr. γινώσκῃς G. corr. et qui οι s. v. al. m. L. γινώσκεις vel γινώσκῃς in lit. R. εἴης R. corr. ἴῃς A.G. ἦς D. pr., ut videtur, qui εἴης corr., G. s. v. m. ant. addito ab alio corr. εἴης in mg. ἀπατᾶν D. ἢ add. D.G. s.v.m. ant. om. A.R. τὰ παρὰ] παρὰ τὰ R.

1. Ἑστίᾳ πατρῴᾳ] Manifestum est nationis suæ deos, ceremonias et cognomina deorum assignari Persis a Xenophonte. SCHN. V. 7, 5, 57. De diis πατρῴοις sive gentis auctoribus Thes. Steph. v. Πατρῷιος p. 620—621.

οὐδένα λήσοντα] Particulæ ἂν locum non esse animadvertit Schæfer. ad Demosth. vol. 1, p. 277, sustuleratque aliter hæc corrigens jam Reiskius Act. Erudit. a. 1750, p. 306. Futuro hic opus esse intellexerat jam Zeunius.

2. ἱεροῖς—σημείοις] Extis et fulguribus s. tonitribus. ZEUN.

ὁρατὰ—ἀκουστὰ] Ut fulgur, avium volatus, exta, omina, cantus avium, tonitru. ZEUN.

αὐτός] Ut Xenophon Anab. 5, 6, 29.

ἕτερα λέγοντες] Locum Xenophontis in mente habuisse videtur Arrian. Anab. 4, 4, 3: Ἀρίστανδρος δὲ οὐκ ἔφη παρὰ τὰ ἐκ τοῦ θείου σημαινόμενα ἄλλα ἀποδείξεσθαι, ὅτι ἄλλα ἐθέλει

ἀποροῖο θείοις σημείοις ὅ τι χρῷό γε, ἀλλὰ γιγνώσκων διὰ
τῆς μαντικῆς τὰ παρὰ τῶν θεῶν συμβουλευόμενα, τούτοις
3 πείθοιο. Καὶ μὲν δή, ὦ πάτερ, ἔφη ὁ Κῦρος, ὡς ἂν ἵλεῳ [3]
οἱ θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι
κατὰ τὸν σὸν λόγον διατελῶ ἐπιμελόμενος· μέμνημαι
γάρ, ἔφη, ἀκούσας ποτέ σου ὅτι εἰκότως ἂν καὶ παρὰ θεῶν
πρακτικώτερος εἴη ὥσπερ καὶ παρ' ἀνθρώπων ὅστις μὴ
ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ' ὅτε τὰ ἄριστα
πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῷτο· καὶ τῶν φίλων
4 δ' ἔφησθα χρῆναι ὡσαύτως οὕτως ἐπιμέλεσθαι. Οὐκοῦν [4]
νῦν, ἔφη, ὦ παῖ, διά γ' ἐκείνας τὰς ἐπιμελείας ἥδιον μὲν
ἔρχει πρὸς τοὺς θεοὺς δεησόμενος, ἐλπίζεις δὲ μᾶλλον
τεύξεσθαι ὧν ἂν δέῃ, ὅτι συνειδέναι σαυτῷ δοκεῖς οὐπώ-
ποτ' ἀμελήσας αὐτῶν; Πάνυ μὲν οὖν, ἔφη, ὦ πάτερ, ὡς
5 πρὸς φίλους μοι ὄντας τοὺς θεοὺς οὕτω διάκειμαι. Τί γάρ, [5]

ἄρα om. A.R.G. mg. r. μάντεως ἄνευ D. ἀποροῖς] οι in ras. et lit. G., qui pr. fortasse η vel ει, ἀποροῖο E.R. θείοις in lit. R., pr. fortasse ποίοις, ὅτι χρῷό γε] ὅπως χρῷο D. βουλευόμενα A.G.R. σημαινόμενα M. 3. ἔφη ὦ πάτερ D. Stob. Fl. 48, 68, citans s. 3—6. ὦ om. R. ὡς ἂν M. ὧν ἂν A.G. ὅπως ἂν Stob. ὁπόταν R. θέλωσιν A.D. δύνωμαι A.G. διατελέσω D.G. mg. r. R. Stob. Libri ἐπεμελούμενος. ἔφη om. D. Stob. τῶν θεῶν D.G. s. v. r. Stob. κολακεύειν R. pr. κολακεύει sic B. τὰ om. A. Stob. μεμνῷτο] ῃ s. v. r. G. μεμνῇτο L. μεμνοίῳτο D. μέμνηται Stob. οὕτως om. D.R. punctis notat G. Libri ἐπιμελεῖσθαι. 4. διά γ'] δι' D. Stob. Libri ἔρχῃ. δεησόμενος] θεοὺς ὄντας οὕτω διακειμένους G. mg. r. τεύξασθαι D. ξυνειδέναι ἑαυτῷ Stob. προσφιλεῖς μοι τοὺς θεοὺς ὄντας D. Stob.

ἀκοῦσαι Ἀλέξανδρος, quod in nonnullis in τοῦ—σημαινομένου corruptum. Frequentis autem pron. ἄλλος et ἕτερος constructionis cum παρὰ exempla v. in Thes. Steph., si ἕτερα λέγοντες παρὰ τὰ παρὰ potius quam inserto ἢ scribendum, ut conjecit Poppo, etsi exigua est unius R. fides, et Comment. 1, 3, 4: Οἵτινες παρὰ τὰ παρὰ τῶν θεῶν σημαινόμενα ποιοῦσί τι, Stephani tantum est conjectura pro παρὰ τὰ vel τὰ παρὰ vel, ut est in bonis duobus, παρὰ τὰ ὑπό.

ἀποροῖς] Optativi in οῖς vel οῖ pro οίης vel οίη, hic ne ad sonum quidem suavis, exempla apud Xenophontem quum nullius omnia sint fidei et legitimorum copia obruantur, hoc loco etiam var. ἀποροῖο dubium reddit quæ vera sit forma. Medio certe, ut alibi activo, usus est Anab. 7, 3, 29: Ἠπορεῖτο τί (al. ὅ τι) ποιήσει· Ven. 8, 3: Ὁ λαγῶς ἀπορούμενος ὅπου κατακλινῇ. Contra H. Gr. 3, 5, 1: Ἀπορῶν τί χρῷτο τοῖς πράγμασιν, omisso etiam γε, hic quoque inutili.

3. παρὰ θεῶν] Plut. Mor. p. 465 B: Ὥσπερ ὁ Ξενοφῶν παρῄνει τῶν θεῶν εὐτυχοῦντας μάλιστα μεμνῆσθαι καὶ τιμᾶν, ὅπως ὅταν ἐν χρείᾳ γενώμεθα, θαρροῦντες αὐτοὺς παρακαλῶμεν, ὡς εὐμενεῖς ὄντας ἤδη καὶ φίλους. HUTCH.

μεμνῷτο ex Xenophonte laudat Etym. M. p. 579, 1, et Schol. Hom. Il. Ψ, 36: Παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε (ut apud. Hom. μεμνέῳτο) ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρου παιδείας πρώτῳ, Ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο. τὸ δὲ ἀνάλογον διὰ τοῦ η προσκειμένου τοῦ ι, παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992), Ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου. Formam μεμνῇτο reperies in Platonis Reip. 7, p. 134. Apud Andoc. p. 18, 30 legitur nunc εἰκότως δ' ἂν αὐτῶν μεμνῆσθε, ubi codex Vratisl., μεμνῆσθαι sed μεμνῇσθε saltem erat scribendum. V. ad Anab. 1, 7, 5. SCHN.

ἔφη ὁ πατήρ, μέμνησαι ἐκεῖνα ἅ ποτε ἐδόκει ἡμῖν ὡς ἅπερ
δεδώκασιν οἱ θεοὶ μαθόντας ἀνθρώπους βέλτιον πράττειν ἢ
ἀνεπιστήμονας αὐτῶν ὄντας καὶ ἐργαζομένους μᾶλλον
ἀνύτειν ἢ ἀργοῦντας καὶ ἐπιμελομένους ἀσφαλέστερον διά-
γειν ἢ ἀφυλακτοῦντας τούτων, παρέχοντας οὖν τοιούτους
ἑαυτοὺς οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι
6 τἀγαθὰ παρὰ τῶν θεῶν; Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, μέ- [6]
μνημαι μέντοι τοιαῦτα ἀκούσας σου· καὶ γὰρ ἀνάγκη με
πείθεσθαι τῷ λόγῳ· καὶ γὰρ οἶδά σε λέγοντα ἀεὶ ὡς οὐδὲ
θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν οὔτε ἱππεύειν μὴ μα-
θόντας ἱππομαχοῦντας νικᾶν, οὔτε μὴ ἐπισταμένους το-
ξεύειν τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων, οὔτε μὴ ἐπι-
σταμένους κυβερνᾶν σώζειν εὔχεσθαι ναῦς κυβερνῶντας,
οὐδὲ μὴ σπείροντάς γε σῖτον εὔχεσθαι καλὸν αὐτοῖς φύ-
εσθαι, οὐδὲ μὴ φυλαττομένους γε ἐν πολέμῳ σωτηρίαν
αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς πάντα τὰ
τοιαῦτα εἶναι· τοὺς δὲ ἀθέμιτα εὐχομένους ὁμοίως ἔφησθα
εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν ὥσπερ καὶ παρὰ ἀνθρώπων
ἀπρακτεῖν τοὺς παράνομα δεομένους.
7 Ἐκείνων δὲ, ὦ παῖ, ἐπελάθου ἅ ποτε ἐγὼ καὶ σὺ ἐλογι- [7]
ζόμεθα ὡς ἱκανὸν εἴη καὶ καλὸν ἀνδρὶ ἔργον, εἴ τις δύναιτο
ἐπιμεληθῆναι ὅπως ἂν αὐτός τε καλὸς κἀγαθὸς δοκίμως
γένοιτο καὶ τἀπιτήδεια αὐτός τε καὶ οἱ οἰκέται ἱκανῶς ἔχοιεν;
τὸ δὲ, τούτου μεγάλου ἔργου ὄντος, οὕτως ἐπίστασθαι ἀν-

5. ὁ πατὴρ] ὦ παῖ D.R. Stob. ἐκεῖνα μέμνησαι D. ὡς ἅπερ] ὁπόσαπερ δήπου D., πο punctis notans r., ὁπόσα γὰρ δήπου Stob. ὡς ὅπερ R. δεδώκασιν] ἡμῖν add. Stob. ἀνύειν D. Stob. ἀνύττειν G. pr. R. in lit. ἐπιμελομένους D.R. Stob. ἐπιμελουμένους A.G. διάγειν Stephanus. Libri et Stob. ἂν διάγειν. τούτων] καὶ Stob. οὖν τοιούτους om. D. Stob. τὰ ἀγαθὰ D. 6. τοιαῦτα] ταῦτα D. τοιούτων G. με] ἢν D. Stob. λόγῳ] λόγῳ τούτῳ D. Stob. καὶ γὰρ οἶδά σε λέγοντα ἀεὶ] καὶ οἶδά σε ἐπιτιθέντα αὐτῷ D. καὶ οἶδα προστιθέντα αὐτῷ Stob. ἐπιτιθέντα αὐτῷ G. mg. r. ἐπισταμένων] τοξεύειν add. D. Stob. ἔχεσθαι A. ναῦν Stob. σπείραντας Stob. γε s. v. R. αὐτοῖς] αὐτοῖς σῖτον D.G. mg. r. Stob. παρὰ] περὶ G. πάντα τὰ τοιαῦτα] ταῦτα καὶ τὰ τοιαῦτα D. et addito πάντα Stob. ἀθέμιτα D.E.H.R. et G. pr., qui litteræ τ præfixum habet a corr. minutissimum σ. ἀθέμιστα A.L.M. θεῶν] τῶν θεῶν R. 7. δὲ] δ' ἔφη D. δὲ ἔφη G. mg. r. ἅ ποτε] ὁπότε R. ἂν om. D. δοκίμως om. R. Libri τὰ ἐπιτήδεια bis. αὐτὸς] ὅπως αὐτὸς D. οἱ om. G. s. v. R. οὕτως ὄντος D. ἐπίστασθαι] ἔφι ante hoc L. ὑφίστασθαι D.R.

5. ἀσφαλέστερον διαγεῖν] Non minus absurde inter μᾶλλον et δύνασθε interpositum ἂν delevi Œcon. 7, 30.

τούτων] Distinctio vulgaris, ubi post verba ἀφυλακτοῦντας τούτων semicolon positum erat, errandi causam dedit viris doctis. Apodosis enim, quæ particulæ ὡς respondeat, sequitur in verbis παρέχοντας οὖν etc. Contra periodus arcte vincta plane dissolvitur in membra plura, si cum Stephano scribas ὅσαπερ δεδ. SCHN. Comment. 1, 1, 9: Ἔφη δὲ δεῖν ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοὶ μανθάνειν.

6. ἀθέμιτα] Eadem forma ex libris re-

θρώπων ἄλλων προστατεύειν ὅπως ἕξουσι πάντα τἀπιτήδεια ἔκπλεω καὶ ὅπως ἔσονται πάντες οἵους δεῖ, τοῦτο
8 θαυμαστὸν δήπου ἡμῖν ἐφαίνετο εἶναι. Ναὶ μὰ Δί', ἔφη, [8]
ὦ πάτερ, μέμνημαι καὶ τοῦτό σου λέγοντος· συνεδόκει οὖν καὶ ἐμοὶ ὑπερμέγεθες εἶναι ἔργον τὸ καλῶς ἄρχειν· καὶ νῦν γ', ἔφη, ταὐτά μοι δοκεῖ ταῦτα, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. ὅταν μέντοι γε πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω οἷοι ὄντες διαγίγνονται ἄρχοντες καὶ οἷοι ὄντες ἀνταγωνισταὶ ἡμῖν ἔσονται, πάνυ μοι δοκεῖ αἰσχρὸν εἶναι τὸ τοιούτοις ὑποπτῆξαι καὶ μὴ ἐθέλειν ἰέναι αὐτοῖς ἀνταγωνιουμένους· οὕς, ἔφη, ἐγὼ αἰσθάνομαι ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ καὶ πολυτελέστερον δειπνεῖν καὶ πλέον ἔχειν ἔνδον χρυσίον καὶ πλείονα χρόνον καθεύδειν καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. ἐγὼ δὲ οἶμαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ
9 προνοεῖν καὶ φιλοπονεῖν προθυμούμενον. Ἀλλά τοι, ἔφη, [9]
ὦ παῖ, ἔνιά ἐστιν ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως περιγενέσθαι. αὐτίκα δήπου οἶσθα ὅτι εἰ μὴ ἕξει τἀπιτήδεια ἡ στρατιά, καταλελύσεταί σου εὐθὺς ἡ ἀρχή. Οὐκοῦν ταῦτα

ἕξουσιν ἅπαντα D. καὶ τοῦτο—φιλοπονεῖν Stob. Fl. 48, 69. 8. σου] ὅτε σοῦ D. οὖν om. D. Stob. ἔργον εἶναι Stob. γ' om. R. Stob. ταῦτά μοι δοκεῖ Stob. ταῦτά μοι τὰ αὐτὰ A.G. et addito δοκεῖ R. λογίζομαι A. μέντοι γε] γε om. D. Stob. οἷοι—καὶ om. A.G. mg. r., ubi διαγίγνωνται, ut L. οἷοι] οἷοι τε D. ἡμῶν D. ἔσονται G. s. v. r. τὸ om. D. τοιούτοις] τοιούτους αὐτοὺς ὄντας D.R. τοιούτους potius quam τοιούτοις et s.v.r. αὐτοὺς ὄντας G. ἐθέλειν D.R. θέλειν A.G. ἀνταγωνιουμένους] οι s. v. D. ἀνταγωνιούμενον R. τούτων] τοῦτο D. το s. v. r. G., qui hic mg. οἷς διαφέρουσιν οἱ ὀνόματι μόνῳ ἄρχοντες τῶν ἀρχομένων. τῷ καὶ] τὸ D. πλεῖστον D. πλεῖον Stob. οἴομαι Stob. τῷ ῥ.] τὸ ῥ. G. pr. solus. διαφόρειν G. pr., qui hic mg. οἷς διαφέρει τῶν ἀρχομένων ὁ ἀληθὴς ἄρχων. καὶ] τε καὶ D. καὶ φιλοπονεῖν G. s. v. r. προθυμούμενον D. mg. r. om. Stob. 9. τοι] τι A. εὐπόρως] εὐκόλως R. οἶσθα] ἔφη add. D.G. s. v. r. ἡ στρ. τὰ ἐπ. D. στρατειὰ A. pr. Libri τὰ ἐπιτήδεια. καταλελύσεται Cobetus Var. Lect. p. 117. Libri καταλύσεται. εὐθὺς om. A.R.G. s. v. r.

tituenda Comment. 1, 1, 9. V. ad 8, 8, 5.

ὑποπτῆξαι] Verbi cum dat. et accus. conjuncti exempla v. in Thes. Steph. Dativo utitur 1, 5, 1.

φίλων] Medorum.

καθεύδειν] Hom. Il. B, 24: Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. Conf. Prodicus ap. Xen. Comment. 2, 1, 24. ZEUN.

8. μέντοι γε] Dobræi ad Aristoph. Thesm. 716 p. (146) judicium de exemplis particulæ γε post μέντοι positæ apud prosæ scriptores antiquiores tanquam levis momenti confirmant quodammodo varietates librorum hic et 5, 5, 11, 24.

τἀπιτήδεια] Crasin modo factam modo neglectam in libris restitui constanter, ut dixeram ad H. Gr. 7, 2, 18.

9. καταλελύσεται] Similiter Cobetus

μὲν, ἔφη, ὦ πάτερ, Κυαξάρης φησὶ παρέξειν τοῖς ἐντεῦθεν
ἰοῦσι πᾶσιν ὁπόσοι ἂν ὦσι. Τούτοις δὴ σὺ, ὦ παῖ,
πιστεύων ἔρχει τοῖς παρὰ Κυαξάρῃ χρήμασιν; Ἔγωγ',
ἔφη ὁ Κῦρος. Τί δὲ, ἔφη, οἶσθα ὁπόσα αὐτῷ ἔστι; Μὰ
τὸν Δί', ἔφη ὁ Κῦρος, οὐ μὲν δή. Ὅμως δὲ τούτοις
πιστεύεις τοῖς ἀδήλοις; ὅτι δὲ πολλῶν μὲν δεήσει, πολλὰ
δὲ καὶ ἄλλα νῦν ἀνάγκη δαπανᾶν, ἐκεῖνο οὐ γιγνώσκεις;
Γιγνώσκω, ἔφη ὁ Κῦρος. Ἢν οὖν, ἔφη, ἐπιλίπῃ αὐτὸν ἡ
δαπάνη ἢ καὶ ἑκὼν ψεύσηται, ὦ παῖ, πῶς ἄρ' ἕξει τὰ τῆς
στρατιᾶς; Δῆλον ὅτι οὐ καλῶς. ἀτάρ, ἔφη, ὦ πάτερ, σὺ
10 εἰ ἐνορᾷς τινα πόρον καὶ ἀπ' ἐμοῦ ἂν προσγενόμενον, ἕως [10]
ἔτι ἐν φιλίᾳ ἐσμὲν, λέγε. Ἐρωτᾷς, ἔφη, ὦ παῖ, ποῦ ἂν
ἀπὸ σοῦ πόρος προσγένοιτο; ἀπὸ τίνος δὲ μᾶλλον εἰκός
ἐστι πόρον προσγενέσθαι ἢ ἀπὸ τοῦ δύναμιν ἔχοντος; σὺ
δὲ πεζὴν μὲν δύναμιν ἐνθένδε ἔχων ἔρχει ἀνθ' ἧς οἶδ' ὅτι
πολλαπλασίαν ἄλλην οὐκ ἂν δέξαιο, ἱππικὸν δέ σοι, ὅπερ
κράτιστον, τὸ Μήδων σύμμαχον ἔσται. ποῖον οὖν ἔθνος
τῶν πέριξ οὐ δοκεῖ σοι καὶ χαρίζεσθαι βουλόμενον ὑμῖν
ὑπηρετήσειν καὶ φοβούμενον μή τι πάθῃ; ἃ χρή σε κοινῇ
σὺν Κυαξάρῃ σκοπεῖσθαι μήποτε ἐπιλίπῃ τι ὑμᾶς ὧν δεῖ
ὑπάρχειν, καὶ ἔθους δὲ ἕνεκα μηχανᾶσθαι προσόδου πόρον.
τόδε δὲ πάντων μάλιστά μοι μέμνησο μηδέποτε ἀναμένειν

πᾶσιν ἰοῦσιν D. δὴ σὺ ὦ παῖ] δὲ ἔφη ὦ παῖ σὺ D. δὲ s. v. et ἔφη post δὲ mg. r. G. δὴ σὺ ἔφη ὦ παῖ R. Libri ἔρχῃ. κυαξάρει D., ut s. 10. κυαξάρεω A.G.R. ὁ κῦρος—οἶσθα om. A.G. mg. r. ὁ κῦρος. οὐ μὲν δὴ οἶσθα D. δὲ] διὰ G. corr. s. v. r. μέν σοι δεήσῃ D. μέν σοι δεήσει R. πολλὰ δὲ ἀνάγκη αὐτὸν νῦν δαπανᾶν D. ἐκεῖνο οὐ γιγνώσκεις; D. mg. r. ἐὰν οὖν ἔφη αὐτὸν ἡ δαπάνη ὑπολείπῃ D. ἐπιλείπῃ R. pr. ἢ s. v. r. G. ψεύσηται E.H.M. ψεύσεται G. ψευδῇ A. ψεύδηται D. ὦ παῖ om. D.R. πῶς ἄρ' ἕξει G., nisi quod ἆρ'. πῶς ὀρέξῃ A. πῶς σοι ἕξει D.R. οὐ καλῶς δῆλον ὅτι D. ὦ πάτερ ἔφη D. προσγιν. A.G. 10. ὦ] τοῦτο ὦ D.G. m.g. r. Stob. Fl. 48, 70, citans ἐρωτᾷς—ἔχοντος. ποῦ] εἴτις D.G. mg. r., et qui ἂν om. Stob. πῶς R. γένοιτο A.G. pr., qui hic mg. τακτικόν, R. ἐστι om. D. Stob. γενέσθαι D. Stob. μὲν om. D. ἔχων ἐνθένδε D. Libri ἔρχῃ. οἶδ'] εὖ οἶδ' D.G. mg. r. σύμμαχον om. R. δοκεῖ σοι] δοκεῖ τι, ut videtur, D. καὶ partim in lit. R. κυαξάρει A.D.L. et in lit. R. ὑπολείπῃ D. μηχανώμενον D. τόδε] τὸ A.G., qui mg. ποριστέον ὅτ' οὐκ ἀποροῦμεν. τόδε—κακῶς Stob. Fl. 48, 71. μηδέποτε—δοκῶν εἶναι anon. Boisson. Anecd. vol. 1, p. 113.

6, 2, 37, ἀπολελύσονται in ἀπολύσονται corruptum et alibi sæpe notat peccatum. Sic κατακόψεσθαι pro κατακεκόψεσθαι meliores Anab. 1, 5, 16.

9. τοῖς παρὰ Κυαξάρεω χρήμασιν] Suspectum etiam ob genitivi formam, quam notavi ad 1, 2, 1. Itaque restitui Κυαξάρῃ, etsi Κυαξάρου si esset in libris, ferendum foret.

10. ποῦ] Idem fere ac quomodo, ut Soph. Aj. 1100: Ποῦ σὺ στρατηγεῖς τοῦδε; V. Thes. Steph.

τὸ πορίζεσθαι τἀπιτήδεια ἔστ᾽ ἂν ἡ χρεία σε ἀναγκάσῃ·
ἀλλ᾽ ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μηχανῶ.
καὶ γὰρ τεύξει μᾶλλον παρ᾽ ὧν ἂν δέῃ μὴ ἄπορος δοκῶν
εἶναι, καὶ ἔτι ἀναίτιος ἔσει παρὰ τοῖς σαυτοῦ στρατιώταις·
ἐκ τούτου δὲ μᾶλλον καὶ ὑπ᾽ ἄλλων αἰδοῦς τεύξει, καὶ ἤν
τινας βούλῃ ἢ εὖ ποιῆσαι τῇ δυνάμει ἢ κακῶς, μᾶλλον ἕως
ἂν ἔχωσι τὰ δέοντα οἱ στρατιῶται ὑπηρετήσουσί σοι, καὶ
πειστικωτέρους, σάφ᾽ ἴσθι, λόγους δυνήσει τότε λέγειν
ὅτανπερ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ καὶ εὖ ποιεῖν
11 ἱκανὸς ὢν καὶ κακῶς. Ἀλλ᾽, ἔφη, ὦ πάτερ, ἄλλως τέ [11]
μοι καλῶς δοκεῖς ταῦτα λέγειν πάντα, καὶ ὅτι ὧν μὲν νῦν
λέγονται λήψεσθαι οἱ στρατιῶται, οὐδεὶς αὐτῶν ἐμοὶ τού-
των χάριν εἴσεται· ἴσασι γὰρ ἐφ᾽ οἷς αὐτοὺς Κυαξάρης
ἄγεται συμμάχους· ὅ τι δ᾽ ἂν πρὸς τοῖς εἰρημένοις λαμ-
βάνῃ τις, ταῦτα καὶ τιμὴν νομιοῦσι καὶ χάριν τούτων
εἰκὸς εἰδέναι τῷ διδόντι. τὸ δ᾽ ἔχοντα δύναμιν ᾗ ἔστι μὲν
φίλους εὖ ποιοῦντα ἀντωφελεῖσθαι, ἔστι δὲ ἐχθροὺς ἔχοντα
πειρᾶσθαι τίσασθαι, ἔπειτ᾽ ἀμελεῖν τοῦ πορίζεσθαι, οἴει τι,

τὸ om. Stob. et anon. Libri τὰ ἐπιτήδεια. ἔστ᾽] ἕως R. ὅτε—εὐπορεῖς D. εὐπορεῖς pr. etiam R. μηχανῶ] μᾶλλον μηχανῶ D.G. mg. r. Stob. τεύξει] τοξεύῃ A. τεύξῃ G.R. Stob. A. ἄπορος δοκῶν εἶναι A. anon. Boiss. et omisso δοκῶν G. et qui mg. r. addit ante ἄπορος L. ἀπορεῖν δοκῶν D. Stob. ἔτι] αἴτι A. om. D. Stob. ἔσει] ἔσῃ A.G.R. αὐτοῦ A.L. pr. ἑαυτοῦ D. σεαυτοῦ fortasse pr. R., qui σ in lit. δὲ] δὴ G. ὑπ᾽] ὑπὸ τῶν D. Stob. Libri τεύξῃ. ἥν τινα G. fortasse pr.: vix enim dignosci potest ς utrum sit pr. an a corr. additum. ἄν τινα D. ἐάν τινα Stob. βούλει G. pr. η s. v. r. ἢ εὖ] εὖ D. ποιεῖσθαι R. pr., ut videtur. τῇ δυνάμει post βούλῃ D. Stob. ἕως ἂν ἔχωσιν ὑπ. σοι οἱ στρ. ἔχοντες τὰ δέοντα D. ὑπηρετήσουσιν οἱ στρ. ἔχοντες τὰ δέοντα Stob. καὶ πιστικωτάτους δὲ λόγους σάφ᾽ ἴσθι D. Stob. πειστ. Steph. πιστ. A.G.R. Libri δυνήσῃ, sed D. η in lit., pr. ει. τότε ante δυν. D. Stob. δυνήσῃ λόγους τότε λέγειν R. ὅτανπερ] ὅθενπερ A. ὅσαπερ G. ποιεῖν ἱκανὸς ὢν καὶ εὖ D. Stob. 11. δοκεῖς ταῦτα πάντα καλῶς λέγειν D. ὅτι ἃ μὲν νῦν λήψονται D.R. et qui μὲν αὖ νῦν mg. r. μὲν ὧν G. ἄγεται κυαξάρης D. εἰκὸς] πλείστην εἰκὼς D. πλείστην add. etiam G. mg. r. τὸν D. pr., qui δ᾽ fortasse add. a corr., R. ἔχοντι G. pr. ποιοῦντας A.D. corr. G. ἔστι] ἔτι A. τίσασθαι] τι κτᾶσθαι D.R. ἔπειτ᾽] ἀπ᾽ αὐτῶν D.R. πορίζειν R. τι] τοι R.

10. *τότε πρὸ τῆς ἀπορίας*] Similis epexegesis Anab. 7, 5, 13: Τέως δὲ ἔλεγον πρὶν ὁρίσασθαι ἁρπάζοντας πολλοὺς ὑπ᾽ ἀλλήλων ἀποθνήσκειν.

ἐνδείκνυσθαι est re et facto demonstrare. Thucyd. 4, 126: Οἱ τοιοῦτοι ὄχλοι τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις ἄπωθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν, οἳ δ᾽ ἂν εἴξωσιν αὐτοῖς, κατὰ πόδας (διώκοντες) τὸ εὔψυχον, ἐν τῷ ἀσφαλεῖ ὀξεῖς, ἐνδείκνυνται. Utitur verbo Plato sæpe in Politico ita, ut significet quod alibi σαφῶς δεικνύναι dicit. SCHN. Alia v. in Thes. Steph.

11. *οἴει τι—ἧττόν τι*] De duplici τις v. ad Thes. Steph. v. Τὶς, vol. 7, p. 2229 A. Inscr. apud Franz. Corp. Inscr. vol. 3, p. 988, n. 6572, 8: Πλὴν εἰ μή τι αὐτὸς ὁ Ἀχιλλεὺς πάθοι

ἔφη, ἧττόν τι τοῦτο εἶναι αἰσχρὸν ἢ εἴ τις ἔχων μὲν
ἀγροὺς, ἔχων δὲ ἐργάτας οἷς ἂν ἐργάζοιτο, ἔπειτ' ἐῴη τὴν
γῆν ἀργοῦσαν ἀνωφέλητον εἶναι; Ὥς γ' ἐμοῦ, ἔφη, μη-
δέποτε ἀμελήσοντος τοῦ τἀπιτήδεια τοῖς στρατιώταις συμ-
μηχανᾶσθαι μήτ' ἐν φιλίᾳ μήτ' ἐν πολεμίᾳ οὕτως ἔχε τὴν
γνώμην.
12 Τί γὰρ, ἔφη, ὦ παῖ, τῶν ἄλλων ὧν ἐδόκει ποθ' ἡμῖν [12]
ἀναγκαῖον εἶναι μὴ παραμελεῖν, ἦ μέμνησαι; Οὐ γὰρ,
ἔφη, μέμνημαι ὅτε ἐγὼ μὲν πρὸς σὲ ἦλθον ἐπ' ἀργύριον,
ὅπως ἀποδοίην τῷ φάσκοντι στρατηγεῖν με πεπαιδευκέναι,
σὺ δὲ ἅμα διδούς μοι ἐπηρώτας ὡδέ πως, Ἆρά γε, εἶπες,
ὦ παῖ, ἐν τοῖς στρατηγικοῖς καὶ οἰκονομίας τί σοι ἐπεμνή-
σθη ὁ ἀνὴρ ᾧ τὸν μισθὸν φέρεις; οὐδὲν μέντοι ἧττον οἱ
στρατιῶται τῶν ἐπιτηδείων δέονται ἢ οἱ ἐν οἴκῳ οἰκέται.
ἐπεὶ δ' ἐγώ σοι λέγων τἀληθῆ εἶπον ὅτι οὐδ' ὁτιοῦν περὶ
τούτου ἐπεμνήσθη, ἐπήρου με πάλιν εἴ τί μοι ὑγιείας πέρι
ἢ ῥώμης ἔλεξεν, ὡς δεῆσον καὶ τούτων ὥσπερ καὶ τῆς
13 στρατηγίας τὸν στρατηγὸν ἐπιμέλεσθαι. ὡς δὲ καὶ ταῦτ'
ἀπέφησα, ἐπήρου με αὖ πάλιν εἴ τινας τέχνας ἐδίδαξεν

ἔφηι (i. e. ἔφῃ] τοῦτο αἰσχρὸν ἧττον εἶναι D. τι] τοι in lit. R. ἀργὸν (nisi ʃ super γ positum est ἦν) οὖσαν D. ἐῴη] δὴ add. G. mg. ὥς γ' ἐμοῦ] ὥστέ μου A.G. ὡς ἐμοῦ D. et supra scripto, ut videtur, τε R. Libri τὰ ἐπιτήδεια. 12. τῶν ἄλλων ὦ παῖ D. ποθ'] ποτε A.G.R. παραμένειν A.G. pr. ἦ om. D. μεμνῆσθαι A.G. pr. R. οὐ] ἦ s. v. R. μέμνησαι R. ὅτε] ὅτι A.D. pr., ut videtur. ἄργυρον A.G. με στρατηγεῖν D. διαδούς A. διαδιδούς G.R. ἐπερωτᾷς A.G. pr. R. pr. ἆρά γε D.G. corr. r. ἆρα A.R. εἶπες om. D. οἱ om. G. ὅτι οὐδ' D.G. s. v. r. R. οὐδ' A.G. ὑγείας G.R. πέρι ἔλεξε καὶ ῥώμης D. δεῖσον A. δεήσοι G. τὰ ἀληθῆ A.G., hic quidem τὰ s. v. ead. m. καὶ τούτων] τούτων A.G.R. ὥσπερ καὶ τῆς στρατηγίας E.H.R. ὥσπερ καὶ ὑπὲρ τῆς στρατηγίας A.G. πρὸ τῆς στρατείας D.M. mg. Libri ἐπιμελεῖσθαι. ἀπέφην A.G. εἴ—γένοιντο] εἴ τινα ἐπιμέλειαν ἐδίδαξέ με ὡς ἂν ἕκαστα τῶν π. ἔργων κράτιστοι οἱ σ. γίγνοιντο D. et qui κράτιστοι ἂν σύμμαχοι γένοιντο R. τέχνας] ἐπιμελείας G. mg. r., sed ut pr. habuisse videatur ν pro ς, quod est in ras., non item accentus. Idem in altero mg. r. τέχναι αἷς κράτιστοι γένοιντο ἐν τοῖς πολεμικοῖς, et paullo post προθυμίας δεῖ, sed ut ante π littera rubra, ut in duobus proximis scholiis rubræ sunt τ et μ, pallore evanuerit.

τι ἀνθρώπινον. Ἧττόν τι H. Gr. 2, 3, 16: Εἰ δὲ, ὅτι τριάκοντά ἐσμεν καὶ οὐχ εἷς, ἧττόν τι οἴει ὥσπερ τυραννίδος ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμέλεσθαι;

ὥς γ'] γ' latere visum in τ', sæpe sic interpositum in respondendo.

12. ὅτε] V. ad H. Gr. 6, 5, 46 et 6, 4, 5. SCHN.

ὥσπερ καὶ τῆς στρατηγίας] Non improbabilis Mureti conjectura καὶ τούτων ὑπὲρ τῆς στρατιᾶς, fere ut D., scribentis. Non minus enim inane illud ὥσπερ καὶ τῆς στρατηγίας quam aptum ὑπὲρ τῆς στρατιᾶς, ut constet cujus dicatur valetudo.

αἷς τῶν πολεμικῶν ἔργων κράτιστοι ἂν σύμμαχοι γένοιντο. ἀποφήσαντος δέ μου καὶ τοῦτο ἀνέκρινας αὖ σὺ καὶ τόδε εἴ τί μ' ἐπαίδευσεν ὡς ἂν δυναίμην στρατιᾷ προθυμίαν ἐμβαλεῖν, λέγων ὅτι τὸ πᾶν διαφέρει ἐν παντὶ
14 ἔργῳ προθυμία ἀθυμίας. ἐπεὶ δὲ καὶ τοῦτο ἀνένευον, ἤλεγχες αὖ σὺ εἴ τινα λόγον ποιήσαιτο διδάσκων περὶ τοῦ πείθεσθαι τὴν στρατιάν, ὡς ἄν τις μάλιστα μηχανῷτο. ἐπεὶ δὲ καὶ τοῦτο παντάπασιν ἄρρητον ἐφαίνετο, τέλος δή μ' ἐπήρου ὅ τι ποτὲ διδάσκων στρατηγίαν φαίη με διδάσκειν. κἀγὼ δὴ ἐνταῦθα ἀποκρίνομαι ὅτι τὰ τακτικά. καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον τί εἴη ὄφελος στρατιᾷ τακτικῶν ἄνευ τῶν ἐπιτηδείων, τί δ' ἄνευ τοῦ ὑγιαίνειν, τί δ' ἄνευ τοῦ ἐπίστασθαι τὰς ηὑρημένας εἰς πόλεμον τέχνας, τί δ' ἄνευ τοῦ πείθεσθαι. ὡς δέ μοι καταφανὲς ἐποίησας ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπερομένου μου εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης, ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς νομιζομένοις ἀνδράσι διαλέγεσθαι καὶ πυθέσθαι πῇ ἕκαστα τούτων
15 γίγνεται. ἐκ τούτου δ' ἐγὼ συνῆν τούτοις οὓς μάλιστα φρονίμους περὶ τούτων ἤκουον εἶναι. καὶ περὶ μὲν τροφῆς ἐπείσθην ἱκανὸν εἶναι ὑπάρχον ὅ τι Κυαξάρης ἔμελλε παρέξειν ἡμῖν, περὶ δὲ ὑγιείας, ἀκούων καὶ ὁρῶν ὅτι καὶ

τὸ πᾶν] ποτ' ἂν A.G. pr. ἐπεὶ] ἐπειδὴ D. περὶ τοῦ s. v. G. r. στρατειάν A. 14. ἐπεὶ] ἐπειδὴ D. τὸ τέλος—ἱκανὸς εἴης Stob. Fl. 48, 72. ὅ om. D. ἀπεκρινάμην D. τί] ὃ s. v. et post illud οὐδὲν D. mg. r. ὅτι οὐδὲν A.G. εἴη ὄφελος] ὄφελος εἴη A.G. στρατηγίᾳ D.R. Stob. εὑριμένας D. εἰρημένας A.G. corr. s. v. r. R. τὸν πόλεμον R. μοι om. Stob. μικρόν τι] κατὰ μικρόν τι A., omisso ὅτι. μικρὸν D. κατὰ μικρὸν L. εἴη post στρατηγίας G. s. v. r. M. ἐπερωμένου δέ μου D. ἐπηρόμην Stob. ἀνδράσι ν. εἶναι D. πυνθάνεσθαι D. 15. δὴ συνῆν τούτοις ἐγὼ D. ἤκουον G. s. v. r. ὑπάρχων (sic) delet R. ἤμελλεν D. ὑμῖν G. corr. s. v. r. καὶ] τε καὶ D.

14. *τέχνας*] Etsi fieri potuit ut post hoc membrum interciderit tale, *τί δ' ἄνευ τοῦ πρόθυμον εἶναι*, ut ex s. 13, 19, 26 collegit Poppo, non desunt tamen exempla similis scriptorum incuriæ, de qua Ernestus De grata negligentia orationis Opusc. philolog. p. 131 ed. alt. contulit ipsius locum Xen. Comment. 3, 1, 4, ubi in priori comparationis parte ponitur citharista qui in contraria omittitur, et quem Marklandus lacunosum putaverat Maximi Tyrii Diss. 10, 9, p. 134 ed. Reisk.

τὰ τακτικὰ] Conf. s. 43; 8, 5, 15. Comment. 3, 1, 6: Τὰ *τακτικὰ πολλοστὸν μέρος ἐστὶ στρατηγίας*. Infimam dici rei militaris partem, quæ hodie exercendis militibus adhibetur, animadvertunt editores Turic. Scriptt. milit. vol. 2, p. 242.

15. *ὑπάρχον*] Si in promptu esset. ZEUN. Conf. ad 8, 8, 20. SCHN.

πόλεις αἱ χρῄζουσαι ὑγιαίνειν ἰατροὺς αἱροῦνται καὶ οἱ
στρατηγοὶ τῶν στρατιωτῶν ἕνεκεν ἰατροὺς ἐξάγουσιν,
οὕτω καὶ ἐγὼ ἐπεὶ ἐν τῷ τέλει τούτῳ ἐγενόμην, εὐθὺς
τούτου ἐπεμελήθην, καὶ οἶμαι, ἔφη, ὦ πάτερ, πάνυ ἱκανοὺς
16 τὴν ἰατρικὴν τέχνην ἕξειν μετ' ἐμαυτοῦ ἄνδρας. πρὸς [13]
ταῦτα δὴ ὁ πατὴρ εἶπεν, Ἀλλ', ὦ παῖ, ἔφη, οὗτοι μὲν οὓς
λέγεις, ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἠπηταὶ, οὕτω
καὶ οἱ ἰατροὶ, ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους·
σοὶ δὲ τούτου μεγαλοπρεπεστέρα ἔσται ἡ τῆς ὑγιείας ἐπι-
μέλεια· τὸ γὰρ ἀρχὴν μὴ κάμνειν τὸ στράτευμα, τούτου
σοι δεῖ μέλειν. Καὶ τίνα δὴ ἐγὼ, ἔφη, ὦ πάτερ, ὁδὸν ἰὼν
τοῦτο πράττειν ἱκανὸς ἔσομαι; Ἢν μὲν δήπου χρόνον
τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ πρῶτον δεῖ στρα-
τοπέδου μὴ ἀμελῆσαι· τούτου δὲ οὐκ ἂν ἁμάρτοις, ἐάνπερ
μελήσῃ σοι. καὶ γὰρ λέγοντες οὐδὲν παύονται οἱ ἄνθρωποι
περί τε τῶν νοσηρῶν χωρίων καὶ περὶ τῶν ὑγιεινῶν· μάρ-
τυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν παρίστανται τά τε σώ-
ματα καὶ τὰ χρώματα. ἔπειτα δὲ οὐ τὰ χωρία μόνον ἀρκεῖ
σκέψασθαι, ἀλλὰ μνήσθητι σὺ πῶς πειρᾷ σαυτοῦ ἐπιμέ-
17 λεσθαι ὅπως ὑγιαίνῃς. καὶ ὁ Κῦρος εἶπε, Πρῶτον μὲν νὴ [14]
Δία πειρῶμαι μηδέποτε ὑπερεμπίμπλασθαι· δύσφορον γάρ·
ἔπειτα δὲ ἐκπονῶ τὰ εἰσιόντα· οὕτω γάρ μοι δοκεῖ ἥ τε

πόλεις] αἱ πόλεις D. ἕνεκα B., sed ut α videri possit in litura. τοῦ-το A. οἴομαι D. ἄνδρας ἔχειν μετ' ἐμαυτοῦ D. ἐμαυτοῦ] ἐμοῦ τοὺς L. a corr. ἐμοῦ R. 16. τοῦτο D. εἶπεν] ἔφη A.G. μὲν οὓς] οὓς μὲν G. ἠπηταὶ] ἀκεσταὶ D. gram. Bekk. An. p. 364, 15. ῥάπται s. v. R. νοσῶσι R. σοὶ] σὺ A.R. pr. τὸ] ὥστε D. τοῦ R. ἀρχὴν] τὴν ἀρχὴν R. δὴ] δ' A.G.R. ἐγὼ om. D. post ἔφη R., sed cum β α super utrumque. ἂν D. δεῖ πρῶτον D. ἐάνπερ E. ἄνπερ A.G. ἅπερ D., inserto, ut videtur, ν post α. μέλῃ D.G., hic quidem pr. μελή, corr. μέλῃ, ut μελήσοι fuerit pro μέλῃ σοι. σοι in lit. R. οἱ om. A.G. νοσωδῶν R. περὶ om. R. καὶ μάρτυρες δὲ D. ἀρκέσει D. ἀλλὰ μνήσθητι πῶς πειρᾷ ἐπιμελεῖσθαι σε-αυτοῦ ὅπως ὑγιαίνεις D. ἀλλὰ μνήσθητι σὺ G. mg. r., qui ἀλλὰ μνησθῆναι τό σοι πῶς in textu. ἀλλὰ μνησθῆναι ἔτι σοι πῶς A. et omisso ἔτι σοι R. Libri ἐπιμελεῖσθαι. 17. πειρῶμαι νὴ δία D. ὑπερεμπίμπλασθαι D.G. corr. al. m., qui pr. fortasse ὑπερμπλασθαι, in quo ε post ρ anguste inseruit corr., μ et dimidium π est a pr. m., altera pars litteræ et ιμπλα a corr. fortasse pro πλάσθαι illatum et σθαι s. v. ὑπερεμπίπλασθαι L.R. ὑπερπίμπλασθαι A.

ἰατροὺς] De medicis in exercitu conf. Anab. 3, 4, 30, Reip. Laced. 13, 7.

ἠπηταὶ] V. Hemst. ad Thom. p. 26.

16. ἀρχὴν] τὴν abest etiam Conv. 1, 15, adest supra 1, 2, 3; Anab. 7, 7, 28; Œcon. 2, 11; 8, 2. SCHN.

17. ὑπερεμπίμπλασθαι] Compositi ὑπερπίμπλασθαι exempla Sophoclis aliorumque antiquiorum, pariter atque alterius, quo recentiores magis utuntur, v. in Thes. Steph. De duplici μ v. ad 4, 2, 41. Conf. autem cum his Comment. 1, 2, 4.

ὑγίεια μᾶλλον παραμένειν καὶ ἰσχὺς προσγενέσθαι. Οὕτω τοίνυν, ἔφη, ὦ παῖ, τῶν ἄλλων δεῖ ἐπιμέλεσθαι. Ἦ καὶ σχολὴ ἔσται, ἔφη, ὦ πάτερ, σωμασκεῖν τοῖς στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. δεῖ γὰρ δήπου στρατιὰν, εἰ μέλλει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολεμίοις κακὰ πορσύνουσαν ἢ ἑαυτῇ ἀγαθά· ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι χαλεπώτερον, ὦ παῖ, οἶκον ὅλον, πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. πλεῖστά τε γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρώμενα, ὥστε οὐδέποτε ἀργεῖν δεήσει στρατιάν.

18 *Λέγεις σὺ, ἔφη, ὦ πάτερ,* [15] *ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι, ἢν μή τις θεὸς βλάπτῃ, ἅμα καὶ τἀπιτήδεια μάλιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι, ἔφη, τό γε μελετᾶσθαι*

ὑγία L. pr., ut in mg. G. *ὠφέλιμον πρὸς τὴν ὑγίαν* et s. v. *ει.* Quæ 4 verba M. addit post *μνησθῆναι τι σοι.* *ἥ τε*] *εἴτε* A. *ἰσχυρὸς* A.G. pr. *προσγίγνεσθαι* D. *τοίνυν δὴ* D. *δεῖ*] *δὴ* D. pr. Libri *ἐπιμελεῖσθαι.* *ἔφη, ὦ πάτερ, ἔσται* D. *ἔσται, ὦ πάτερ, ἔφη* R. et omisso *ἔσται* in folio excerptorum ex Cyrop. *δεῖ*— s. 19. *διασώζειν* Stob. Fl. 48, 73. *μήποτε* D. Stob. *ἑαυτοῖς* D. et *ἢ* s. v. *αὑτοῖς* Stob. *δέ τι* G. *δέ τοι* R. *ὦ παῖ χαλ.* Stob. *στρατειὰν* A. *ἀργὴν* D.G. s. v. r. R. Stob. *σημείωσαι περὶ ἀργίας* G. mg. *τε* om. D. *τὰ ἐσθ. ἐν στρατιᾷ*] *ἐσθίει στρατιὰ* Stob. *οὔποτε* A.G.R. *χρωμένη* Trinc. Stob. *δεήσει*] *προσήκει* D.G. mg. r. R. *ἀργεῖν* post *στρατιάν* G. Stob. 18. *ὡς ἐμοὶ*] invertit G.M. *ὥσπερ*] *ὅτι περὶ* A. *ὅτι περ ὡς* G. *ὅπερ ὡς* L. pr. *ὅτιπερ ὡς* corr. *ὅτιπερ* R., qui *τι* s. v., ut solet. *ὅτι ὥσπερ* Fischerus. *ἀργοῦ* om. A.R.G. s. v. r. *οὕτως—οὐδὲν ὄφελος* G. mg. r. *ἀργοῦ*] *ἀργοῦντος* A.R. *τὸν δὲ στρατηγὸν ἐργάτην ἔγωγε ἔφη* D. Libri *τὰ ἐπιτήδεια.* *ἔφη* ante *ἕκαστα* D. Stob.

πορσύνουσαν] Usum vocabuli poetici hic et alibi notavit Hermogenes Walz. Rhett. vol. 3, p. 393, 17.

πλεῖστα] Heindorfius: *a paucissimis ordiuntur,* i. e. *initio sunt paucissimis contenti; mox quæcunque accipiunt, iis utuntur sine ulla parsimonia.* Infra 2, 3, 8, Cyrus ad commilitones: *Ἡγοῦμαι μὲν ἡμᾶς ἐκ τοῦ ἴσου νῦν ὁρμᾶσθαι πάντας εἰς τὸ ἀγωνίζεσθαι·* ubi de pari virtute instructis et exercitatis dicitur. Non admodum simile est hoc Thucydideum 1, 143: *Τὰ δὲ ἡμέτερα τούτων τε—ἀπηλλάχθαι δοκεῖ καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔχειν.* sed geminum est quod sequitur cap. 144: *Οἱ γοῦν πατέρες ἡμῶν ὑποστάντες Μήδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι, ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλείποντες — τόν τε βάρβαρον ἀπεώσαντο.* Versio habet *quanquam a tantis nequaquam initiis orsi et progressi sunt.* Rectius Scholion *οὐκ ἀπὸ τοσαύτης παρασκευῆς, ἀλλὰ ἐλάττονος, tantis copiis non instructi.* Itaque h. l. interpretari malim: *et ut quisque minimis instructus copiis ad bellum gerendum exierit, ita quæcunque acceperit deinde, largissime et sine ulla parsimonia utitur et fruitur.* SCHN.

18. *ἄριστα*] Dicitur ut *χεῖρον* 2, 1, 15, et Œcon. 21, 7, *οἳ ἂν ἄριστα τὸ σῶμα ἔχωσι.*

ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τίς μοι δοκεῖ, ἔφη, ὦ πάτερ, προειπὼν ἑκάστοις καὶ ἆθλα προτιθεὶς μάλιστα ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα, ὥστε ὁπότε δέοιτο ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα λέγεις, ἔφη, ὦ παῖ· τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ χοροὺς τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσει.

19 Ἀλλὰ μήν, ὁ Κῦρος ἔφη, εἴς γε τὸ προθυμίαν ἐμβα- [16]
λεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ', ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν οἷόνπερ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει ᾗπερ ὅταν τὸ θηρίον ὁρᾷ. τὸ μὲν γὰρ πρῶτον προθύμως εὖ οἶδ' ὅτι ἔχει ὑπακουούσας· ἢν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ πείθονται αὐτῷ. οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος πείθειν δύναται. ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν ἃ μὴ σαφῶς εἰδείη φείδεσθαι δεῖ, ὦ παῖ, ἄλλοι δ' ἐνετοὶ λέγοντες ταὔτ' ἂν διαπράττοιεν· τὴν δ' αὑτοῦ παρακέλευσιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς

ἀγῶνα A. ἀγῶνας G. corr. R., D. in ras., sed ut pr. quoque ita habuisse videatur, Stob. τις] τινας D.G. corr. r. τινα R. δοκῇ G. ἔφη om. D. Stob. προστιθεὶς D. μάλιστ' ἂν D. μάλιστα ἂν R. ἂν G. s. v. r. εὖ om. D. Stob. in lit. R., qui pr. fortasse δεῖ. ὥστε ἕκαστα A.G.R. λέγεις D. mg. r. ἔφηισ D., ut supra ἔφη. θεάσει B. pr. D. θεάσῃ A. G.R. 19. ἔφη ὁ κῦρος D. Stob. εἰς om. D. Stob. γε Stephanus. Libri τε. τὸ] τό τε D. Stob. ἐμβάλλειν D. ἀγαθὰς om. A. add. D. G. mg. r. Stob. ἀλλ'] ἀλλὰ μὴν D. Stob. θήραις D. ᾗ] εἴ A. ἢ D. in ras. οἵᾳ Stob. εὖ om. D. pr. Stob. ὑπακοῦσαι A.G.R. τελευτώσας A.G. τελευτῶσι, sed αι s. v., R. τὸ περὶ D.R. Stob. περὶ A.G. ἐμβάλων A. ἐμβάλλων G. Stob. τελευτῶν add. D.G. mg. r. Stob. om. A.G.R. ὁπόταν] ὁπότε Stob. A. λέγει L. Stob. A. φείδεσθαι] εἴργεσθαι G.M., corr. uterque mg. εἴργασθαι A. δεῖ] εἶ in lit. et ras. G. pr. fort. δή. ἄλλοι—ἂν om. Stob. ἐνετοὶ] αἰνεται A.G. pr. αἰνέται B. ἐνίοτε D.G. corr. om. H.R. ταὔτ'] ταῦτ' A.G.R. ταῦτ' L. τοῦτο D. ἂν δ.] δ. ἂν D. αὑτοῦ R. αὐτοῦ A.G. Stob. ἑαυτοῦ D. παρόρμησιν D. Stob. δεῖ] ἀεὶ D.

εὖ ἀσκεῖσθαι] Perspicuitatis gratia his repetitur præcedens τὸ μελετᾶσθαι, ut similia ad 1, 1, 1, collata. Aliter post τό γε constructio variatur s. 20.

ὥσπερ χοροὺς] Conf. 3, 3, 70; Comment. 3, 4, 3, 4; 5, 6, et annot. ed. Turic. Scriptt. milit. vol. 2, p. 269.

ἕκαστα conjungendum cum παρεσκευασμένοις foret, nisi multum præstaret transpositum ante ὥστε.

19. ἀνακαλοῖτο] Conf. Cyneg. 6, 17s. ZEUN.

ἐλπίδας λέγῃ] Eadem locutio Anab. 1, 2, 11.

φείδεσθαι] Sic H. Gr. 7, 1, 24: Ἐὰν σωφρονῆτε, τοῦ ἀκολουθεῖν ὅποι ἄν τις παρακαλῇ φείσεσθε. ZEUN.

ἐνετοὶ] Vocabulum similiter in αἰνετῶς depravatum restitui etiam Anab. 7, 6, 41.

παρακέλευσιν] Παρόρμησις Hipparch. 1, 25. SCHN.

μάλιστα ἐν πίστει διασώζειν. Ἀλλὰ ναὶ μὰ τὸν Δί',
ἔφη ὁ Κῦρος, καλῶς μοι, ὦ πάτερ, δοκεῖς λέγειν, καὶ ἐμοὶ
20 οὕτως ἥδιον. τό γε μὴν πειθομένους παρέχεσθαι τοὺς [17]
στρατιώτας, οὐκ ἀπείρως μοι δοκῶ αὐτοῦ ἔχειν, ὦ πάτερ·
σὺ γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες, σαυτῷ πείθε-
σθαι ἀναγκάζων· ἔπειτα τοῖς διδασκάλοις παρέδωκας, καὶ
ἐκεῖνοι αὖ ταὐτὸ τοῦτο ἔπραττον· ἐπεὶ δ' ἐν τοῖς ἐφήβοις
ἦμεν, ὁ ἄρχων τοῦ αὐτοῦ τούτου ἰσχυρῶς ἐπεμέλετο· καὶ
οἱ νόμοι δέ μοι δοκοῦσιν οἱ πολλοὶ ταῦτα δύο μάλιστα
διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. καὶ τοίνυν κατανοῶν
περὶ τούτων ἐν πᾶσιν ὁρᾶν μοι δοκῶ τὸ προτρέπον πεί-
θεσθαι μάλιστα ὂν τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν καὶ τι-
21 μᾶν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν. Καὶ [18]
ἐπὶ μέν γε τὸ ἀνάγκῃ ἕπεσθαι αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν·
ἐπὶ δὲ τὸ κρεῖττον τούτου πολὺ τὸ ἑκόντας πείθεσθαι ἄλλη
ἐστὶ συντομωτέρα. ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμ-
φέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ
ἄνθρωποι ὑπερηδέως πείθονται. γνοίης δ' ἂν ὅτι τοῦθ'
οὕτως ἔχει ἐν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ ἐν τοῖς κάμ-
νουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ τι χρὴ ποιεῖν
καλοῦσι· καὶ ἐν θαλάττῃ δὲ ὡς προθύμως τοῖς κυβερνή-
ταις οἱ συμπλέοντες πείθονται· καὶ οὕς γ' ἂν νομίσωσί
τινες βέλτιον αὑτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυρῶς τούτων οὐδ'

ὦ πάτερ καλῶς μοι A.R. ὦ πάτερ καὶ καλῶς μοι D. 20. τοῦ D. corr. R. παρέχεσθαι] δεικνύειν s. v. R. αὐτοῦ om. D. σὺ] σύ τε D.R. σαυτῷ] αὐτὸν D. σοὶ R. corr. αὖ ταὐτὸ τοῦτο] αὐταυτὸ τοῦτο D., sed super alterum α et υ ead., ut videtur, manu το. αὖ post ἐκεῖνοι add. R.G. s. v. r. om. A., qui omnes τὸ αὐτό. ἐπεὶ δ'] ἔπειτα ὡς D. ἄρχων] ἡμῶν add. D. τοῦ om. D. Libri ἐπεμελεῖτο. νόμοι— s. 21. συμπλ. πείθονται Stob. Fl. 48, 74. οἱ πολλοὶ—δοκοῦσί μοι D. δύο in lit. R., pr. nescio an δὴ ὁ. μάλλιστα A. ἅπασιν D. μὲν om. A.G.R. καὶ] τε καὶ D. 21. ἕπεσθαι] πείθεσθαι D.G. mg. r. ἔφη αὕτη D. πολὺ κρεῖττον τούτου D., sed υ ultimum in ras. ἑκόντα D. Stob. συντ.] ὁδὸν add. D. τὰ συμφέροντα αὐτοῖς D. et qui ἑαυτοῖς Stob. αὐτοῖς etiam R. αὐτῶν R. τούτῳ] τοῦτο A. τοῦθ'] τούτω D. pr., ω in ο mutans. γ'] δ' R. νομίζωσι D. ἑαυτῶν D. αὐτῶν A.G.R. τούτου A.G.

20. ἄρχειν τε καὶ ἄρχεσθαι] Conf. Reip. Lac. 8, 2. ZEUN.

κατανοῶν περὶ τούτων] Sic Polyb. 2, 15, 4. V. Thes. Steph.

21. ἕπεσθαι] Cum πείθεσθαι permutatum etiam Œcon. 4, 19. ZEUN. Et ubi utrumque est in nonnullis Anab. 1, 3, 6, Comment. 2, 2, 11, aliis alterum omittentibus, recte, ut videtur.

οὐδ' ἀπολείπεσθαι] Significantius verbum posuit pro eo quod ad ἰσχυρῶς appositurus erat ἔχονται.

ἀπολείπεσθαι ἐθέλουσιν· ὅταν δὲ οἴωνται πειθόμενοι κακόν
τι λήψεσθαι, οὔτε ζημίαις πάνυ τι ἐθέλουσιν εἴκειν οὔτε
δώροις ἐπαίρεσθαι. οὐδὲ γὰρ δῶρα ἐπὶ τῷ αὐτοῦ κακῷ
22 ἑκὼν οὐδεὶς λαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, εἰς τὸ [19]
πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώ-
τερον δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη.
Καὶ πῶς δή τις ἂν, ὦ πάτερ, τοιαύτην δόξαν τάχιστα
περὶ αὐτοῦ παρασχέσθαι δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ
παῖ, συντομωτέρα ὁδὸς περὶ ὧν βούλει δοκεῖν φρόνιμος
εἶναι ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. καθ' ἓν δ'
ἕκαστον σκοπῶν γνώσει ὅτι ἀληθῆ λέγω. ἢν γὰρ βούλῃ
μὴ ὢν ἀγαθὸς γεωργὸς δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς ἢ
ἰατρὸς ἢ αὐλητὴς ἢ ἄλλ' ὁτιοῦν, ἐννόει πόσα σε δέοι ἂν
μηχανᾶσθαι τοῦ δοκεῖν ἕνεκα. καὶ εἰ δὴ πείσαις ἐπαινεῖν
τέ σε πολλοὺς, ὅπως δόξαν λάβοις, καὶ κατασκευὰς καλὰς
ἐφ' ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν
καὶ ὀλίγῳ ὕστερον, ὅπου πεῖραν δοίης, ἐξεληλεγμένος ἂν
23 προσέτι καὶ ἀλαζὼν φαίνοιο. Φρόνιμος δὲ περὶ τοῦ συν-
οίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι γένοιτο; Δῆλον,
ἔφη, ὦ παῖ, ὅτι ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἂν,
ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ
οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ
θεῶν πυνθανόμενος φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ τι
δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελόμενος ἂν τού-
του ὡς ἂν πραχθείη. καὶ γὰρ τὸ ἐπιμέλεσθαι οὗ ἂν δέῃ

θέλουσιν A.G. ὁπόταν D. ὅταν—ἐθέλουσιν (sic) L. mg. al. m. οἴονται A.R. τι] τοι R. pr. τὰ δῶρα D. ἐπέρεσθαι G. pr., ut videtur. ἑαυτοῦ D.G. corr. αὐτοῦ A.G. pr. 22. σὺ] ἔφη add. D.G. mg. r. post πάτερ R. ἀνυτικώτερον D. δοκεῖ G. pr. om. D., qui τῶν ἀρχ.—φρόνιμος εἶναι mg. r. ἔφη] ἔφη ὁ κῦρος B. αὐτοῦ A. ἔστιν] ἔφη add. D.G. mg. r. R. δ' om. A. σκοπῶν] σκοπῶν περὶ τούτων R. γνώσει B. pr. γνώσῃ A.B. corr. G.R. ὅτι] ὅτι ἐγὼ D.R. λέγω] λαλῶ D. corr. mg. ἢν] κἂν D. βούλει B.G. δοκεῖ A. ἀλλ' ὁτιοῦν] ἄλλο ὁτιοῦν A. ἄλλό τιοῦν D. ἄλλό τι ὁτιοῦν R. pr. πόσα σοι δέοι ἂν A. πόσα γε ἂν δέοι σε D. λάβῃς D.R. ὀλίγον A. ὅπου] ὅπου ἂν A.G.R. ἐξ. τ' ἂν εἴης καὶ πρ. ἀλ. φαίνοιο D. 23. φρόνιμος— s. 28. πολίτας Stob. Fl. 48, 75. δῆλον ὅτι, ἔφη ὦ παῖ, ὅσα D. Stob. ἂν εἴης D.G. s. v. r. Stob. εἴης A.G. βέλτιον ὂν D. βέλτιον ἂν Stob. βέλτιον A.G.R. ἐπιμελούμενος G. ἂν ante πραχθείη om. Stob. προαχθείη G. pr. τὸ] τοῦ R. Libri ἐπιμελεῖσθαι. οὗ] τούτου οὗ D. Stob. Trinc.

22. ἀνυσιμώτερον] Eadem forma est non solum apud recentiores multos, sed sæpius etiam apud Platonem sine varietate, Xenophonte alibi altera tantum uso.

οὐκ ἔστιν] Conf. Comment. 1, 6, 22—7, 2. ZEUN.

24 φρονιμωτέρου ἀνδρὸς ἢ τὸ ἀμελεῖν. Ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δῆλον ὅτι ἡ αὐτὴ ὁδὸς ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη· εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ παῖ, χαλεπὸν τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν οὓς ἄν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ φοβούμενον μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον ὡς μὴ σφάλλωνται,
25 ταῦτά πως δεῖ μᾶλλον συμπαρομαρτεῖν. καὶ ἐπὶ τῶν πράξεων δὲ, ἢν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι· ἢν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ διὰ μόχθων, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων εἶναι. Λέγω γὰρ οὖν, ἔφη. θάρρει μέντοι τοῦτο, ὦ παῖ· εὖ γὰρ ἴσθι ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου, ἀλλ' ἐπικουφίζει τι ἡ τιμὴ

24. ἐπὶ τὸ A.R. et qui post ἀρχομένων ponit ἐπὶ τὸ φ., sed litteris γ δ α β s. v. r. transposuit G. ἐπί γε τὸ D. Trinc. Stob. ὑπὸ om. R. ἔμοιγε] ἐμοὶ Stob. εἴπερ ἥτις D. pr., ut videtur. δεῖ Stob. χαλεπὸν] βραβερὸν (sic) ante hoc delet R. τὸ ἀεὶ D.G. corr. R. Stob. ποιεῖν A.G. ἐθέλῃ D.R. θέλῃ A.G. Hic autem mg. G. φρονίμως πρὸς τὸν βίον. συμβαίνῃ] ν erasum in D. προφοβούμενον D. Stob. σφάλωσιν D.R. σφαλῶνται A. σφάλωνται G. corr. s. v. r. R. pr. ἐπὶ ante ταῦτα add. A.D.G. R. om. Stob. δεῖ παρομαρτεῖν Stob. 25. ἐπὶ] τὸ Stob., et, ut videtur, D. pr., qui τι in ras. 2 fere litt. δὲ] γε Stob. δεῖ s. v. D. ἢν δὲ] εἰ δὲ G. διὰ μόχθων] δεῖ μοχθεῖν G. mg. r. δέῃ μοχθεῖν R. Stob. καρτερὸν D. pr., qui οτε s. v. r., Stob. εἶναι] μᾶλλον εἶναι D. Stob. τοῦτο post ἴσθι D.

συμπαρομαρτεῖν] Infra 7, 5, 84: Τοῦτο γὰρ δεῖ συμπαρ. quem locum comparans facile senties ἐπὶ hic alieno loco et sententia aliena fuisse e sequenti membro huc translatum. SCHN.

25. καρτερώτερον] καρτερικώτερον Stephanus et alii, ut Comment. 3, 1, 6: Στρατηγὸν εἶναι χρὴ καρτερικὸν, et ib. 1, 2, 1: Σωκράτης ἦν πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος. Sed ψυχὴ καρτερὰ equi est Eq. 3, 7, 11. Ad sententiam conf. Hipparch. 6, 1—4.

οὐ λανθάνει] Eadem sententia Ages. 5, 6, ut ib. 3 eadem fere et initio s. 25.

εἰ μέλλοι γε πλεῖον ἕξειν] Eadem sententia Hipparch. 4, 13.

τόσῳ] De τόσῳ post ὅσῳ in libris interdum in τοσούτῳ vel τοσῷδε mutato v. ad Thes. Steph. v. Τόσος, p. 2319 A.

οὐχ ὁμοίως] Sententiam expressit ex h. l. Cic. Tuscul. 2, 26. HUTCH.

τοὺς πόνους τῷ ἄρχοντι καὶ αὐτὸ τὸ εἰδέναι ὅτι οὐ λανθάνει ὅ τι ἂν ποιῇ.

26 Ὁπότε δὲ, ὦ πάτερ, σοι ἤδη ἔχοιεν μὲν τἀπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δὲ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν τηνικαῦτα σωφρονεῖν ἄν τίς σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μὴ, ἔγωγε ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι καὶ τοὺς ἑπομένους βελτίονας ἔχειν, τόσῳ ἂν μᾶλλον φυλαττοίμην, ὥσπερ καὶ τἄλλα ἃ ἂν οἰώμεθα πλείστου ἡμῖν ἄξια εἶναι,
27 ταῦτα πειρώμεθα ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. Πλεῖον δ' ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδαμῶς ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν καὶ ἐπίβουλον εἶναι καὶ κρυψίνουν καὶ δολερὸν καὶ ἀπατεῶνα καὶ κλέπτην καὶ ἅρπαγα καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ νομιμώτατος ἀνὴρ
28 εἴης. Πῶς μὴν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε πρὸς τοὺς φίλους τε καὶ πολίτας· ὅπως δέ γε τοὺς

αὐτὸ τὸ] τὸ αὐτὸν D. Stob. ποιεῖ A. ποιοίη D. ποτε ποιῇ Stob. 26. σοι punctis notat G. corr. om. D. Stob. μὲν s. v. R. Libri τὰ ἐπιτήδεια. δὲ πονεῖν δὲ] τε πονεῖν τε A.G.R. τέχνας] τε τέχνας D. ἐσχηκότες R. pr. εἴη] ᾖ A.G. τοῦ] ἢ τὸ R. μέλλει πλέον R. ἂν] ἂν ἤδη D. εἰ δὲ μὴ D. mg. r. ἔγωγ' ἂν D. Stob. οἰοίμην] ἂν οἴωμαι R. τόσῳδ' ἂν D. Stob. τἄλλα] τὰ ἄλλα D. Stob. ἃ] ἃ δ' A.G. pr. om. D. Stob., ut scribendum sit ἅν. ἄξια ἡμῖν D. Stob. 27. πλέον D. Stob. μάλιστα—ἔφη om. Stob. φαῦλον] μικρὸν s. v. R. οὐδαμῶς] οὐδ' ἁπλοῦν D.G. corr. r. R. οὐδὲ ἁπλοῦν Stob. ποιεῖν B. πλεονέκτην] περὶ πλεονεξίας ἐν πολέμῳ G. mg. εἴη D. Stob. 28. νῦν γε D. Stob. νῦν A.G.R. πολίτας] πρὸς τοὺς πολίτας D. τοὺς πολίτας Stob. δύνασθε A.D.

27. οὐκέτι—οὐδαμῶς] Aristoph. Vesp. 1126: Οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον. Soph. Ant. 678: Οὔτοι γυναικῶν οὐδαμῶς ἡσσητέα. Postpositum autem infra 5, 2, 37: Γοργότεροι δὲ, σάφ' ἴσθι, οὐδαμῶς ἂν αὐτοῖς φανείημεν. Dio Chrys. Or. 2, vol. 1, p. 84: Οὐ γὰρ βασιλέως τὰ τοιαῦτα φιλοτιμήματα οὐδαμῶς· 53, vol. 2, p. 274: Ὡς οὐ συμφέροντα τοῖς ἀνθρώποις οὐδαμῶς αὐτὸν εἰρηκότα.

ἐπίβουλον] Conf. Comment. 3, 1, 6, Hipparch. c. 4 et 5. ZEUN.

ἐδιδάσκετε] 1, 2, 6; 3, 16.

πολεμίους δύναισθε κακῶς ποιεῖν οὐκ οἶσθα μανθάνοντας
ὑμᾶς πολλὰς κακουργίας; Οὐ δῆτα, ἔφη, ἔγωγε, ὦ πάτερ.
Τίνος μὴν ἕνεκα, ἔφη, ἐμανθάνετε τοξεύειν; τίνος δ' ἕνεκα
ἀκοντίζειν; τίνος δ' ἕνεκα δολοῦν ὗς ἀγρίους καὶ πλέγμασι
καὶ ὀρύγμασι; τί δ' ἐλάφους ποδάγραις καὶ ἁρπεδόναις;
τί δὲ λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς τὸ ἴσον
καθιστάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας τινὸς ἀεὶ
ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά; ἢ οὐ πάντα γιγνώ-
σκεις ταῦτα ὅτι κακουργίαι τέ εἰσι καὶ ἀπάται καὶ δολώσεις
29 καὶ πλεονεξίαι; Ναὶ μὰ Δί', ἔφη, θηρίων γε· ἀνθρώπων
δὲ εἰ καὶ δόξαιμι βούλεσθαι ἐξαπατῆσαί τινα, πολλὰς
πληγὰς οἶδα λαμβάνων. Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη,
οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκο-
πὸν βάλλειν ἐδιδάσκομεν, ἵνα γε νῦν μὲν μὴ κακουργοίητε
τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ
ἀνθρώπων στοχάζεσθαι. καὶ ἐξαπατᾶν δὲ καὶ πλεονεκτεῖν
οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις, ἵνα
μηδ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε, εἰ δέ ποτε πόλεμος
30 γένοιτο, μηδὲ τούτων ἀγύμναστοι εἴητε. Οὐκοῦν, ἔφη, ὦ
πάτερ, εἴπερ χρήσιμά ἐστιν ἀμφότερα ἐπίστασθαι, εὖ τε
ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα
31 ταῦτα ἔδει ἐπ' ἀνθρώποις. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ,
ἐπὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκα-
λος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας τὴν δικαιο-
σύνην, ὥσπερ σὺ κελεύεις, μὴ ψεύδεσθαι καὶ ψεύδεσθαι,
καὶ μὴ ἐξαπατᾶν καὶ ἐξαπατᾶν, καὶ μὴ διαβάλλειν καὶ
διαβάλλειν, καὶ μὴ πλεονεκτεῖν καὶ πλεονεκτεῖν. διώριζε

ὑμᾶς om. R. ἔγωγ' ἔφη πάτερ D. ἔφη ἕνεκα D. μανθάνετε A.G. pr. δολοῦν C.D. pr., ut videtur, in quo ο apicibus additis mutatum in ου videtur, L.R. δουλοῦν A.G. καὶ πλέγμασι] πλέγμασιν D. μάχεσθε A.G. pr. αἰεὶ A.G. ἐπειρᾶσθε] ἐπαίρεσθαι A.G. pr. ἀγωνίζεσθε A.G. pr. αὐτὰ] ταῦτα D. γιγνώσκεις ὅτι ταῦτα πάντα D. τέ εἰσι] τινὲς D. 29. ἔφη] ὁ κῦρος add. D. οἶμαι] ἔφη add. D.G. s. v. r. ἐπὶ σκοποῦ ἐδιδάξαμεν D., sed corr. in ultima. δύνασθε A.D. δύνεσθε R. pr. ἐξαπατᾶν δὲ] ἐξαπατᾶν A.G.R. μηδὲ] μηδέποτε A.G. 30. τε om. G. pr. καὶ κακῶς ἀνθρώπους] ἀνθρώπους καὶ κακῶς G. ἐπ'] ἐν D. 31. ἡμετέρων] ἡμερῶν τῶν G. corr. mg. r. ὥσπερ] ὥσπερ καὶ R. τὴν] τήν τε D. διωρίζετο G. s. v. r.

28. δολοῦν] Plut. Mor. p. 757 D: Δορκάδας μὲν θηρεύουσι καὶ λαγωοὺς, εὔχονται δ' Ἀρισταίῳ δολοῦντες ὀρύγμασι καὶ βρόχοις λύκους καὶ ἄρκτους, confert L. Bos. Observ. Misc. p. 15.

ἐξαπατᾶν] Supplantando, quod dicitur ὑποσκελίζειν. FISCHER.

δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον καὶ ἃ πρὸς
ἐχθρούς. καὶ ἔτι γε ταῦτα ἐδίδασκεν ὡς καὶ τοὺς φίλους
δίκαιον εἴη ἐξαπατᾶν ἐπί γε ἀγαθῷ, καὶ κλέπτειν τὰ τῶν
32 φίλων ἐπὶ ἀγαθῷ. ταῦτα δὲ διδάσκοντα ἀνάγκη καὶ γυμ-
νάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν, ὥσπερ
καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾶν, καὶ
γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι
ποιεῖν. γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς καὶ πρὸς τὸ εὖ
ἐξαπατᾶν καὶ πρὸς τὸ εὖ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς
τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπέσχοντο οὐδ᾽ ἀπὸ
33 τῶν φίλων τὸ μὴ οὐ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. ἐγέ-
νετο οὖν ἐκ τούτων ῥήτρα, ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς
διδάσκειν τοὺς παῖδας ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς
αὐτοὺς διδάσκομεν ἀληθεύειν καὶ μὴ ἐξαπατᾶν καὶ μὴ
πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν, ὅπως σὺν
34 τοιούτῳ ἔθει ἐθισθέντες πρᾳότεροι πολῖται γένοιντο. ἐπεὶ
δὲ ἔχοιεν τὴν ἡλικίαν ἣν σὺ νῦν ἔχεις, ἤδη καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. οὐ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μὴ πρὸς τὴν ἰσχυρὰν ἐπιθυμίαν αὐτοῖς

ποιητέον] ἦν add. D. ἐχθροὺς] τοὺς ἐχθροὺς D.R. pr. καὶ ἔτι γε] καὶ ἐπί γε καὶ A. καὶ ἐπεί γε B. καὶ ἐπί γε G. καὶ ἔτι δὲ προβὰς D. καὶ ἔτι R. ἐδίδασκέ τε G. φίλων ἐπί γε] φίλων ἐπί γαγε A. φίλων ἐπὶ G. 32. ταῦτα δὲ] ταῦτα D. καὶ τάδε G. ἦν] ταῦτα R. pr. ἐν πάλῃ] τὰ ἐν πάλῃ D. οὖν] δέ G. οὕτω A. εὐφυεῖς] πρὸς τὸ κλέπτειν add. D.G. mg. r. εὖ bis om. D., alterum πρὸς τὸ R. ἀπείχοντο D.G. οὐδ᾽ ἀπὸ] οὐδὲ R. οὐ] οὐχὶ D.G. s. v. r. R. om. G. pr. αὐτῶν] παρ᾽ αὐτῶν D.R. 33. φρήτρα A.G. pr. corr. mg. r. ῥήτορα D. ᾗν D. pr., ut videtur. ἔτι add. D.G. s. v. r. R. om. A. ἐδιδάσκομεν R. ἐξαπατᾶν] μηδὲ κλέπτειν add. D.G. mg. r. καὶ μὴ] μηδὲ D. εἰ—ποιοῖεν] τὸν δὲ παρὰ ταῦτα ποιοῦντα D. 34. ἣν] ἥνπερ καὶ D. ἣν καὶ R. ἐδόκει post ἀσφαλὲς B. post διδάσκειν D. οὐ] οὐδὲ D. ἔτι ἂν D. ἀλλήλοις A.G. τὴν ἰσχυρὰν ἐπιθυμίαν—γενομένης A.G., qui ᾷ ᾳ s. v. r. et πρὸς addit infra v., sed τὴν non corr., R. τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ—προσγ. D.

32. τὸ μὴ] Comparabat Heindorfius Plat. Reip. 1. extrem. οὐκ ἀπεσχόμην τοῦ μὴ οὐκ ἐπὶ τοῦτο ἐλθεῖν, ubi meliores τὸ μή. In Hipparchico 9, 5, est τῶν σφόδρα ἀπεχομένων μὴ ἱππεύειν, ubi plura dicentur. SCHN. Conf. annot. ad Anab. 3, 5, 11; H. Gr. 4, 8, 5. Articulum τὸ vel τοῦ interpositum delevi Anab. 1, 3, 2.

33. σὺν τοιούτῳ] Heindorfio ἐν τ. scribendum videbatur. Ἐν τοιούτοις ἔθεσι τέθραφθε habet Plato Leg. 1, p. 625 A. SCHN. Non immerito offendit Heindorfium, quum aut σὺν supervacuum videatur, ut apud Soph. Œd. T. 17: Οἱ δὲ σὺν γήρᾳ βαρεῖς, aut ἐθισθέντες, cui ἀναιρουμένους 2, 3, 17 conferunt interpretes. Μαθόντες καὶ ἐθισθέντες dicit Eq. 3, 8.

ῥᾳδιουργίας προσγενομένης ἀμέτρως αὐτῇ χρῷντο οἱ νέοι.
35 Νὴ Δί', ἔφη· ὡς τοίνυν ὀψιμαθῆ ὄντα ἐμὲ τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου εἴ τι ἔχεις διδάσκειν ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μηχανῶ τοίνυν, ἔφη, ὁπόση ἐστὶ δύναμις, τεταγμένοις τοῖς σαυτοῦ ἀτάκτους λαμβάνειν τοὺς πολεμίους καὶ ὡπλισμένοις ἀόπλους καὶ ἐγρηγορόσι καθεύδοντας, καὶ φανερούς σοι ὄντας ἀφανὴς αὐτὸς ὢν ἐκείνοις καὶ ἐν δυσχωρίᾳ αὐτοὺς γενομένους ἐν
36 ἐρυμνῷ αὐτὸς ὢν ὑποδέξει. Καὶ πῶς ἄν, ἔφη, τις τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτ' ἂν τοὺς πολεμίους λαμβάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους παρασχεῖν· σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀνάγκη ἀμφοτέρους, καὶ ἕωθεν ἐπὶ τἀναγκαῖα σχεδὸν ἅμα πάντας δεῖ ἴεσθαι, καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι. ἃ χρή σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γιγνώσκῃς ἀσθενεστάτους γιγνομένους, ἐν τούτῳ μάλιστα φυλάττεσθαι· ἐν ᾧ δ' ἂν τοὺς πολεμίους αἰσθάνῃ εὐχει-

ῥᾳδιουργίας] εὐκολίας s. v. R. 35. νὴ] ναὶ D. ἔφη D.G. s. v. r. R. om. A. ὄντα ἐμὲ] με ὄντα D. ὦ om. A.G. εἴτι, fortasse etiam ε cum seq. χ conjunctum in ras. G., sed ab eadem, ut videtur, manu. ὁπόση ἐστὶ δύναμις] ὅπως εἰς τὴν δύναμιν D. σαυτοῦ R. αὐτοῦ A.G. αὐτοῖς D. ἀτάκτως R. αὐτὸς ὢν] ὢν αὐτοῖς D. ὢν αὐτὸς R. ἐκείνοις] ἐν ἐκείνοις D. ἐκείνοις—ὢν G. mg. r. δυσχωρίαις D.G. mg. γιγνομένους D.G. mg. R. ἐρυμνῷ] ἀσφαλεῖ s. v. R. ὑποδέξει B. ὑποδέξῃ A.D.G. 36. δύναιτ' ἂν] δύναιτο D. τοὺς πολεμίους—καὶ ὑμᾶς καὶ om. A. παρασχεῖν] πάσχειν D.G. mg. r. κοιμᾶσθαι] καὶ κοιμᾶσθαι D. Suidas, et ἀνάγκη om. cum D.R. τἀναγκαῖα G. τὰ ἀναγκαῖα A.D.R. δεῖ ἴεσθαι] δὲ ἴ'εσθαι A. δὲ ἴεσθαι G. pr. R. ἀποχορεῖν (sic) δεῖσθαι D. δεἴεσθαι G. corr., addens mg. r. ante hoc ἀποχωρεῖν, L. γιγνώσκεις ἀσθενεστέρους D. εὐχειρωτοτάτους Stephanus. Libri εὐχειροτάτους, nisi quod R. ο in lit., pr. ω. Hic mg. G. παραίνεσις ὑπὸ καμβύσου πρὸς τὸν παῖδα κῦρον περὶ πολέμου.

ῥᾳδιουργίας] εὐκολία, ut R., apud Xen. interpretatur Photius s. Suidas, fortasse h. l. dicentes. Est *lascivia*, ut Reip. Laced. 14, 4, et ῥᾳδιουργεῖν infra 1, 6, 8, et illic 2, 2; 4, 4.

χρῷντο] Optativus ponitur conditionis caussa quam continent illa ῥᾳδιουργίας προσγενομένης.

35. σαυτοῦ] Hoc malui quam αὐτοῦ, ut infra 44, librariis sæpissime sic peccantibus. V. ad 5, 1, 21.

36. πολλὰ μὲν] His respondent quæ sunt s. 37.

σιτοποιεῖσθαι] Recte Suidas in σιτομετρεῖν vocabulo τροφὴν λαμβάνειν interpretatur: σιτοποιεῖν est cibum parare, inprimis frumentum molere, farinam subigere, et similia. SCHN. Conf. infra 7, 5, 59.

τἀναγκαῖα] Crasin servarunt libri H. Gr. 6, 2, 30, Œcon. 3, 6, negligunt 20, 1, et, ubi item οἱ ἐπὶ τἀναγκαῖα ἀπιόντες memorantur, Reip. Laced. 12, 4. V. præf. ad Anab. p. xiii.

δεῖ ἴεσθαι] Etsi fieri potest ut δεῖ quoque additum sit a correctore, lenius tamen visum servare, fere ut Valck. ad Herodot. 4, 113, qui ἴεσθαι δεῖ.

εὐχειρωτοτάτους] Vitium hic illa-

ρωτοτάτους γιγνομένους, ἐν τούτῳ μάλιστα ἐπιτίθεσθαι.
37 Πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον ἔστι πλεονεκτεῖν ἢ καὶ ἐν ἄλλοις τισί; Καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες ὅτι δέονται. οἱ δὲ ἐξαπατῶντες τοὺς πολεμίους δύνανται καὶ θαρρῆσαι ποιήσαντες ἀφυλάκτους λαμβάνειν καὶ διῶξαι παραδόντες ἑαυτοὺς ἀτάκτους ποιῆσαι καὶ εἰς δυσχωρίαν φυγῇ ὑπαγαγόντες ἐνταῦθα
38 ἐπιτίθεσθαι. δεῖ δή, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων ἁπάντων ὄντα οὐχ οἷς ἂν μάθῃς τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων, ὥσπερ καὶ οἱ μουσικοὶ οὐχ οἷς ἂν μάθωσι τούτοις μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα νέα πειρῶνται ποιεῖν. καὶ σφόδρα μὲν καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ τὰ ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολεμικοῖς μᾶλλον τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα γὰρ μᾶλλον καὶ ἐξαπατᾶν
39 δύναται τοὺς ὑπεναντίους. εἰ δὲ σύ γε, ἔφη, ὦ παῖ, μηδὲν ἄλλο ἢ μετενέγκοις ἐπ' ἀνθρώπους τὰς μηχανὰς ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ, οὐκ οἴει ἄν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πολεμίους πλεονεξίας; σὺ γὰρ ἐπὶ μὲν τὰς ὄρνιθας ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι

37. *πότερα* D. *τούτοις*] *υ* in ras. G. *καὶ* om. G. *πολύ γ' ἔφη μᾶλλον* D. *τὸ* s. v. D. *οἱ*] *εἰ* s. v. r. G. *θαρρῆσαί τι* D. *παριδόντες* A.G. *αὐτοὺς* R. *ἀτάκτως* R. *δυσχωρίαν*] *αν* s. v. D. *ὑπάγοντες* A.G.R. *ἐπιτιθέσθαι* A. 38. *δὲ* G. *δεῖ—μηχανημάτων* Suidas v. *φιλομαθής*. *ἔφη*] *ἔφη ὦ παῖ* D. *σε* add. D.G. s. v. r., R. om. A. *πάντων* D. *ὄντα* G. in ras. *αὐτὸν* om. Suidas. *ποιητὴν* s. v. R. *μόνοις* R. *νέα*] *μέλη* D., quod add. G. mg. r., s. v. al. m. R. *τὰ ἀνθηρὰ*] *ἀνθηρὰ* D.R. Suidas v. *ἀνθηρὰ* ex h. l. *ὥσπερ ἐν τοῖς μ. τὰ—εὐδοκιμεῖν*. Et *εὐδοκιμεῖν* A. *πολὺ—εὐδοκιμεῖ* L. mg. al. m. *δύνανται* A. *δύναται* post *ἐναντίους* D. 39. *ἄλλο μ. ἐπ' ἀ. ἢ τὰς* A.D. corr., G. *ἃς καὶ ἐπὶ τοῖς πάνυ μικροῖς ἐμηχανῶ θηρίοις* D. *ἂν πάνυ πρόσω* D. *μὲν* om. G. *ἐπὶ μὲν τοὺς ὄρνιθας τῷ ἰσχ. χ.* Athen. 9, p. 373 D, tanquam ex l. 2. Et *τοὺς* ter R. et in *αὐταῖς* ult. in lit., ut *αὐτῆς* videatur, sed mox *αὐτάς*.

tum redit 7, 5, 59, Œcon. 8, 9 aliisque locis ad Steph. citatis.

38. *ποιητὴν*] Similia v. in Thes. Steph. Plut. Alex. c. 60: Ὁ *τῆς μάχης ποιητής*.

εὐδοκιμεῖ] Posterius *εὐδοκιμεῖ* deleri malebat Muretus. Contra Heindorfius comparabat Comment. 2, 10, 3. 1, 1, extr. Œcon. 7, 22. Sententia est etiam Hom. Od. 1, 351, Pind. Ol. 9, 74. SCHN. Timoth. apud Athen. 3, p. 122 C. De repetito verbo eodem v. ad H. Gr. 6, 3, 10: *Ταῦτα εἰπὼν σιωπὴν μὲν παρὰ πάντων ἐποίησεν, ἡδομένους δὲ τοὺς ἀχθομένους—ἐποίησε*.

καὶ πάνυ conjungendum cum *ἐμηχανῶ* spectatque illud *ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι ἐπορεύου* et quæ alia operose Cyrus fecerat. Nihil igitur huc pertinent quæ Schneiderus de *πολὺ ἔτι ἐκ λαμπροτέρων* et similibus attulit exempla.

ὄρνιθας] Aream aucupatoriam, qualem hodieque aucupes instruunt, de-

ἀνιστάμενος ἐπορεύου νυκτὸς, καὶ πρὶν κινεῖσθαι τὰς ὄρνιθας ἐπεποίηντό σοι αἱ πάγαι αὐταῖς καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ· ὄρνιθες δ' ἐπεπαίδευντό σοι ὥστε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾶν· αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾶν μὲν αὐτὰς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· ἠσκήκεις δὲ φθάνειν ἕλκων ἢ τὰ πτηνὰ φεύγειν. πρὸς δ' αὖ τὸν λαγῶ, ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες αἳ τῇ ὀσμῇ αὐτὸν ἀνηύρισκον. ὅτι δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτετηδευμένας πρὸς τὸ κατὰ πόδας αἱρεῖν. εἰ δὲ καὶ ταύτας ἀποφύγοι, τοὺς πόρους αὐτῶν ἐκμανθάνων καὶ πρὸς οἷα χωρία φεύγοντες αἱροῦνται οἱ λαγῷ, ἐν τούτοις δίκτυα δυσόρατα ἐνεπετάννυς ἂν, καὶ τῷ σφόδρα φεύγειν αὐτὸς ἑαυτὸν ἐμπεσὼν συνέδει. τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν σκοποὺς τοῦ γιγνομένου καθίστης, οἳ ἐγγύθεν ταχὺ ἔμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγῶ βοῶν ἐξέπληττες αὐτὸν, ὥστε ἀφρόνως ἁλίσκεσθαι,

ἀνθιστάμενος A.G. pr. ἐπεποίηντο] ἐπεπήγοιντο G. et ει s. v. r. σοι] ἐπὶ τούτῳ add. G. mg. r. ἐπεπαίδευντο Juntina. ἐπεπαιδεύοντο D. ἐξεπαιδεύοντο A.G.R. ὥστε] ὡς A.G. ἠσκήκεις—φεύγειν] εἶχες δὲ ἐπιμέλειαν τοῦ φθάνειν ἑκὼν τὰ πετεινὰ πρὸ τοῦ φεύγειν D. et qui φυγεῖν G. mg. r. φθάνων ἕλκειν A.G. 40. αὖ τὸν] αὐτὸς D. λαγὼ D.R. εὕρισκον A.G.R. ἀνεύρισκον D. πρὸς] ἐπὶ R. αἷρειν A.G. pr. ἀποφύγοιεν A. ἀποφεύγοι R. φεύγειν D. λαγωοὶ A. et qui pr. fortasse λαγὼ, nunc οἱ s. v. R. et οι punctis notans G. δίκτυα] τὰ δίκτυα D. Libri ἐνεπετάννυες. αν καὶ] ἵνα ἐν D.L. mg. r. et qui ὅπου s. v. R. ἐμπίπτων D. συνέδει] ἐνέδει et υ s. ει r. D. υ s. v. r. G. τοῦ δὲ] τοῦ D.G. σκοπὸς καθίστη σοι A.G. pr. ἣ μέλλων A. ἤμελλον G. corr. s. v. r. ἔμελλον R., et s. ο. al. m. ε L. Atque etiam G. pr. habuisse videtur ἣ μέλλων, quum erasus sit gravis super η, acutus super ε, et super ο, quod pr. fuit ω, erasum appareat εν, quod corr. posuerat super ων, deceptus illo σκοπός. σὺ] οὖν A.G. Idem hic mg. ἔθος τῆς θήρας. κραυγῇ] κραυγῇ δ' A.G. τοῦ λαγῶ] τὸν λαγὼν A. et G., sed ut utrumque ν videatur correctoris et alterum certe sit in in ras. οῦ et ῶ s. v. r. τοῦ λαγωῶ L. λαγῶ mg. r. βοῶν] φοβῶν D. ἀφθόνως A.G. pr.

scriptam accurate vides a Xenophonte venationis amantissimo. Nostri vocant *Vogel-Heerd*. SCHN.

ἣ—φεύγειν] Sequitur verbum φθάνειν solenniter πρὶν, hic in libris quibusdam πρό. Structuræ sequente ἢ exemplum posuit Heindorf. Theocriteum 2, 116. Ἦ ῥά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγώ θην Πράν ποκα τὸν χαρίεντα τρέχων ἔφθαξα Φιλῖνον, Ἐς τὸ τεὸν καλέσασα τόδε στέγος, ἤ με παρῆμεν. SCHN.

40. ὀσμῇ] Fortasse fuit in libris quibusdam ὀδμῇ ionicum, quod Xenophonti exprobravit Phrynichus. SCHN. V. ad Thes. Steph.

ἐνεπετάννυς] V. ad 6, 4, 6.

τοῦ—διαφεύγειν] Conf. 1, 3, 9.

σκοποὶ sunt qui de Venatione 6, 5 dicuntur ἀρκυωροί. SCHN.

βοῶν] Placet φοβῶν: nimis enim tautologum κραυγῇ βοῶν mihi videtur. Comparabat tamen Heindorf. φυγῇ φεύγων et similes phrases. SCHN.

τοὺς δ' ἔμπροσθεν σιγᾶν διδάξας ἐνεδρεύοντας λανθάνειν
41 ἐποίεις. ὥσπερ οὖν προεῖπον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ
τοῖς ἀνθρώποις μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε εἴ τινα λίποις
ἂν τῶν πολεμίων. ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται καὶ ἐν
τῷ ἰσοπέδῳ καὶ ἐκ τοῦ ἐμφανοῦς καὶ ὡπλισμένους ἀμφο-
τέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δὲ, ὦ παῖ, αἱ ἐκ
πολλοῦ παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. ταύ-
τας δ' ἐγὼ λέγω εἶναι, ἢν τῶν στρατιωτῶν εὖ μὲν τὰ
σώματα ἠσκημένα ᾖ, εὖ δ' αἱ ψυχαὶ τεθηγμέναι, εὖ δ' αἱ
42 πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν. εὖ δὲ χρὴ καὶ τοῦτο
εἰδέναι ὅτι ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι
πάντες ἀξιώσουσι σὲ πρὸ ἑαυτῶν βουλεύεσθαι. μηδέποτ'
οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει τί
σοι ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται, τῆς δ'
43 ἡμέρας ὅπως τὰ εἰς νύκτα κάλλιστα ἕξει. ὅπως δὲ χρὴ
τάττειν εἰς μάχην στρατιὰν ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτὸς
ἢ στενὰς ἢ πλατείας ὁδοὺς ἢ ὀρεινὰς ἢ πεδινὰς, ἢ ὅπως
στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμε-
ρινὰς καθιστάναι, ἢ ὅπως προσάγειν πρὸς πολεμίους ἢ
ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν
ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπη ἢ ποτα-
μοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάττεσθαι ἢ ὅπως
ἀκοντιστὰς ἢ τοξότας, καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι
πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι, καὶ εἴ σοι
ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν οἱ πολέμιοι φαίνοιντο

τοὺς] τούτους R. ἔμπροσθε A. 41. τοιαῦτα ἐπὶ τοῖς ἀνθρώποις ἐθελήσαις D. τοὺς ἀνθρώπους G. s. v. r. τινας A.G. λείποις D.R. ἢν] ἐὰν D. καὶ ἐκ] ἐκ D. καὶ ante ὡπλ. om. D. δὲ] δὴ D. αἱ] ἃς A. ἀεὶ αἱ R. παρασκευασμέναι D. ταῦτα D. ἢν] ὅταν D. mg. r. G. εὖ μὲν] μὲν εὖ, sed βα s. v. r., G. 42. χρὴ et ὅτι s. v. r. G. ἀξιώσουσι] ἀξιοῦσι R. αὐτῶν R. βουλεύειν D.G. mg. r. μηδέποτ' οὖν] μὴ οὖν ποτε D. προσκόπτει A. τῇ θ' (sic) ἡμέρᾳ A.G. τῇ δ' ἡμέρα R. ἕξει G. pr. 43. δὲ] τε A.G.R. στρατείαν G. pr. ἢ καὶ] καὶ D. ἢ ὅπως] ὅπως A.G. πρὸς π. προσάγειν D. ἀπὸ πολεμίων—ἀπάγειν om. A.G. mg. τεῖχος] τὸ τεῖχος D. νάπην A. νάπιν pr. νάπυν R. νάπην s. v. ἄγειν—παραβαίνειν ἢ ὅπως D. mg. δή om. D. πολέμιοι] οἱ πολέμιοι D. ἂν ἀντικ. A. ποθεν] που R. φαίνοιντο] φανεῖεν D.

41. ἐπὶ τοῖς ἀνθρώποις] Supra s. 39: Ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ. SCHN.

εἴ τινα λίποις] 4, 2, 18: Τούτων μηδένα λιπεῖν· et 24: Ὡς ἐλαχίστους τῶν πολεμίων λιπεῖν.

κατὰ κέρας] Fronte angusta, sed longo agmine, ut ἐπὶ φάλαγγος, fronte lata, sed brevi agmine, ut 7, 1, 26.

ἢ κατὰ πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν, ἢ ὅπως τὰ
τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ
οἱ πολέμιοι ἥκιστα εἰδεῖεν, ταῦτα δὲ πάντα τί ἂν ἐγὼ λέ-
γοιμί σοι; ὅσα τε γὰρ ἔγωγε ᾔδειν, πολλάκις ἀκήκοας,
ἄλλος τε ὅστις ἐδόκει τι τούτων ἐπίστασθαι, οὐδενὸς
αὐτῶν ἠμέληκας οὐδ᾽ ἀδαὴς γεγένησαι. δεῖ οὖν πρὸς τὰ
συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι ὁποῖον ἂν συμφέρειν
σοι τούτων δοκῇ.
44 Μάθε δέ μου καὶ τάδε, ὦ παῖ, ἔφη, τὰ μέγιστα· παρὰ
γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ᾽ ἐν σαυτῷ μηδέποτε μήτ᾽ ἐν
στρατιᾷ κινδυνεύσῃς, κατανοῶν ὡς ἄνθρωποι μὲν αἱροῦν-
ται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδὲν ἀπὸ ποίας ἔσται
45 αὐτῶν τἀγαθά. γνοίης δ᾽ ἂν ἐξ αὐτῶν τῶν γιγνομένων·
πολλοὶ μὲν γὰρ πόλεις ἔπεισαν καὶ ταῦτα οἱ δοκοῦντες
σοφώτατοι εἶναι πόλεμον ἄρασθαι πρὸς τούτους ὑφ᾽ ὧν οἱ
πεισθέντες ἐπιθέσθαι ἀπώλοντο, πολλοὶ δὲ πολλοὺς ηὔξη-
σαν καὶ ἰδιώτας καὶ πόλεις ὑφ᾽ ὧν αὐξηθέντων τὰ μέγιστα
κακὰ ἔπαθον, πολλοὶ δὲ οἷς ἐξῆν φίλοις χρῆσθαι καὶ εὖ
ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουλη-
θέντες ἢ φίλοις χρῆσθαι, ὑπ᾽ αὐτῶν τούτων δίκην ἔδοσαν·
πολλοῖς δ᾽ οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως,
ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ ὧν
εἶχον ἀπέτυχον· πολλοὶ δὲ τὸν πολύευκτον πλοῦτον κατα-
46 κτησάμενοι, διὰ τοῦτον ἀπώλοντο. οὕτως ἡ ἀνθρωπίνη

πῶς χρὴ ἀντιπεριάγειν D. ἢ ὅπως—αἰσθάνοιντο om. A.G. mg. r., post sequens εἰδεῖεν ponit R., qui om. τῶν et ἄν τις s. v. ἥκιστα οἱ πολέμιοι D. δὲ πάντα D.G. mg. r. δὲ A.G. σοι om. R. ἔγωγε] ἐγὼ D. ἄλλος τε ὅστις A. ἄλλως τε ὅστις G. sed εἴ s. v. r., et qui ἄλλˢ R. ἄλλως τε εἴτις D. οἶμαι om. R. ὁποίοις ἂν σοι ἀεὶ συμφέρειν τούτων δοκεῖ D. ὁποίοις etiam G. s. v. r. et δοκεῖ A.L.R. pr. 44. τάδε] ταῦτα G. ὦ παῖ post μου D. post ἔφη R. μήτ᾽ ἐν D.G. corr. r., L. corr., ut videtur. μήτε ἐν R. μήτε A. σαυτῷ D.G. mg. r., σεαυτῷ R. pr. σαυτῷ corr. ἑαυτῷ A.G. μήτ᾽ ἐν D.G. corr. r. μήτε A.G. κινδυνεύσαις R. αὐτῶν] αὐτοῖς D.G. s. v. r. τἀ-γαθὰ] τὰ ἀγαθὰ A.G.R. τἀγαθόν D. 45. μὲν γὰρ] γὰρ ἤδη D. γὰρ αὖ R. τούτοις D. ὑφ᾽] ἀφ᾽ G. pr. corr. s. v. r. ἐπιθέσθαι] ἀγωνίζεσθαι s. v. r. R. ηὔξησαν] ηὔξησαν ἤδη D. πάσχειν] παθεῖν D. αὐτοῖς om. D. ἡδίως D. ἰδίως G. mg. r. ἐπιθυμησάντων G. corr. s. v. al. m. κύριοι εἶναι πάν-των G. πλοῦτον] χρυσὸν D.G. mg. r. κτησάμενοι D. 46. ἡ] ἥ γε D.

45. ὑπ᾽ αὐτῶν τούτων δίκην ἔδοσαν] Conf. 7, 5, 40, et praef. ad Anab. p. xiv.

αὐτοῖς si recte additum, dicit in mente habens, alteris sua relinquentes, quorum loco aliter sequentia enuntiat.

σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι ἢ εἰ κληρούμενος ὅ τι λάχοι τοῦτό τις πράττοι. θεοὶ δέ, ὦ παῖ, ἀεὶ ὄντες πάντα ἴσασι τά τε γεγενημένα καὶ τὰ ὄντα καὶ ὅ τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται, καὶ τῶν συμβουλευομένων ἀνθρώπων οἷς ἂν ἵλεῳ ὦσι, προσημαίνουσιν ἅ τε χρὴ ποιεῖν καὶ ἃ οὐ χρή. εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν ὧν ἂν μὴ ἐθέλωσιν ἐπιμέλεσθαι.

αἰεὶ A.G.R. πάντα—τε] καὶ ἴσασι τὰ D. προσημαίνουσί τε ἃ χρὴ D. ἐθέλωσιν R. θέλωσιν A.D.G. Libri ἐπιμελεῖσθαι.

ὧν ἂν μὴ ἐθέλωσιν] Statim ab initio s. 3 et 4 curare jubebat ut ἵλεῳ οἱ θεοὶ ὄντες ἐθέλωσι συμβουλεύειν. SCHN.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦ. Α.

Τοιαῦτα μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν ὁρίων
τῆς Περσίδος· ἐπεὶ δ' αὐτοῖς ἀετὸς δεξιὸς φανεὶς προ-
ηγεῖτο, προσευξάμενοι θεοῖς καὶ ἥρωσι τοῖς Περσίδα γῆν
κατέχουσιν ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω διέ-
βαινον τὰ ὅρια. ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο αὖθις
θεοῖς τοῖς Μηδίαν γῆν κατέχουσιν ἵλεως καὶ εὐμενεῖς
δέχεσθαι αὐτούς. ταῦτα δὲ ποιήσαντες, ἀσπασάμενοι ἀλ-
λήλους ὥσπερ εἰκὸς, ὁ μὲν πατὴρ πάλιν εἰς πόλιν ἀπῄει,
2 Κῦρος δὲ εἰς Μήδους πρὸς Κυαξάρην ἐπορεύετο. ἐπεὶ δὲ [2]
ἀφίκετο ὁ Κῦρος εἰς Μήδους πρὸς τὸν Κυαξάρην, πρῶτον
μὲν ὥσπερ εἰκὸς ἠσπάσαντο ἀλλήλους, ἔπειτα δὲ ἤρετο
τὸν Κῦρον ὁ Κυαξάρης πόσον ἄγοι τὸ στράτευμα. ὁ δὲ

1. τοιαῦτα] ταῦτα G. corr. mg. δὴ om. A.G. ἐπεὶ] ἐπειδὴ D. κατέχουσιν] ἔχουσιν D. εὐμενεῖς σφᾶς αὐτοὺς π. D. διέβαινον B. προσεύχοντο A.D. προσηύξαντο D. πόλιν] πέρσας G. mg. D. 2. τὸν om. B.D. πόσον] εἰ A.C.I. in ras. fortasse item super εἰ G. πόσον τι D. ἄγοι τὸ] ἄγοι A. ἄγοιτο C.D.G.M.

1. θεοῖς καὶ ἥρωσι] Conf. 3, 3, 21, Thuc. 2, 74, ubi ἔχειν, ut 8, 3, 24. Altero verbo Pancrates apud Athen. 7, p. 283 A: Τοῖς τὴν Σαμοθρᾴκην κατέχουσι θεοῖς. Ceterum conf. Herodot. 7, 53: Νῦν δὲ διαβαίνωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι οἳ Περσίδα γῆν λελόγχασι.

εἰς πόλιν] 8, 5, 21: Ἐπεὶ δὲ ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμενος, τὸ μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο. Sine articulo etiam 1, 4, 17, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως.

ἔφη, Τρισμυρίους μέν γε, οἳ καὶ πρόσθεν ἐφοίτων πρὸς
ὑμᾶς μισθοφόροι· ἄλλοι δὲ καὶ τῶν οὐδέποτε ἐξελθόντων
προσέρχονται τῶν ὁμοτίμων. Πόσοι τινές; ἔφη ὁ Κυα-
3 ξάρης. Οὐκ ἂν ὁ ἀριθμός σε, ἔφη ὁ Κῦρος, ἀκούσαντα
εὐφράνειεν· ἀλλ' ἐκεῖνο ἐννόησον ὅτι ὀλίγοι ὄντες οὗτοι οἱ
ὁμότιμοι καλούμενοι πολλῶν ὄντων τῶν ἄλλων Περσῶν
ῥᾳδίως ἄρχουσιν. ἀτάρ, ἔφη, δέει τι αὐτῶν ἢ μάτην ἐφο-
βήθης, οἱ δὲ πολέμιοι οὐκ ἔρχονται; Ναὶ μὰ Δί', ἔφη, καὶ
4 πολλοί γε. Πῶς τοῦτο σαφές; Ὅτι, ἔφη, πολλοὶ ἥκον-
τες αὐτόθεν ἄλλος ἄλλον τρόπον πάντες ταὐτὸ λέγουσιν.
Ἀγωνιστέον μὲν ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας. Ἀνάγκη
γάρ, ἔφη. Τί οὖν, ἔφη ὁ Κῦρος, οὐ καὶ τὴν δύναμιν
ἔλεξάς μοι, εἰ οἶσθα, πόση ἡ προσιοῦσα, καὶ πάλιν τὴν
ἡμετέραν, ὅπως εἰδότες ἀμφοτέρας πρὸς ταῦτα βουλευ-
σόμεθα ὅπως ἂν ἄριστα ἀγωνιζοίμεθα. Ἄκουε δή, ἔφη ὁ
Κυαξάρης.

5 Κροῖσος μὲν ὁ Λυδὸς ἄγειν λέγεται μυρίους μὲν ἱππέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυρίους. Ἀρτακάμαν δὲ τὸν τῆς μεγάλης Φρυγίας ἄρχοντα λέγουσιν ἱππέας μὲν εἰς ὀκτακισχιλίους ἄγειν, λογχοφόρους δὲ σὺν πελτασταῖς οὐ μείους τετρακισμυρίων. Ἀρίβαιον δὲ τὸν τῶν Καππαδοκῶν βασιλέα ἱππέας μὲν ἑξακισχιλίους, τοξότας δὲ καὶ πελταστὰς οὐ μείους τρισμυ-

τρισμυρίους Aldina. δισμυρίους A.D.G. μέν γε οἳ] μὲν οἶσι D. ἄλλοι δὲ καὶ] καὶ ἄλλοι δὲ D.L. m. recentissima. οὐδέποτε] οὐδεπώποτε D. σε om. pr. G. εὐφρανεῖ A.G. οὗτοι in ras. D. δέει] Libri δέῃ, nisi quod δὴ δέῃ D., sed εῃ in ras., ut hic quoque ει pr. fuisse videatur pro η, ut alibi. ταὐτὸ] αὐτὸν G. pr. ταυτὰ corr. αὐτὸ L. ταῦτα ante πάντες D. μὲν om. D. γὰρ om. D. et mox ἔφη, tum οὐκ ἔλεξάς μοι τὴν δύναμιν. πόση] πόση τις D. προϊοῦσα A.G. βουλευσόμεθα A.G. pr. βουλευσώμεθα corr. βουλευώμεθα D. δὴ] δὲ G. pr. 5. ἀριθμὸς τῆς τῶν ἐχθρῶν δυνάμεως mg. G. μὲν] μὲν γὰρ D. ἱππεῖς A.G. δὲ] τε D. πλεῖον D. ἀρτακάμαν D. et κα s. v. L. r. ἀρτάμαν A.G. ἄγειν] ἀ in ras. et acutum s. γ D., ut pr. compositum habuisse videatur. δὲ om. D. et συμπελτασταῖς. μείους] πλείους A.L. ἀρύβαιον D. ἀρ. δὲ καὶ τὸν κ. β. A. in marg. ead. m. ἑξ.] εἰς ἑξ. D. μείους] πλείους A.L.

τρισμυρίους] Convenit numerus cum 1, 5, 5, etsi infra 4, 2, ταξίαρχοι tantum ducenti memorantur. SCHN.

4. Ἀγωνιστέον μὲν ἄρα] V. annot. ad Anab. 7, 6, 11: Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ. Plat. Alc. 1, p. 110 D.

5. Ἀρτάμαν] Infra 8, 6, 7, Artacamas satrapa in Phrygiam majorem mittitur. Et in Anabasi 7, 8, 25, Phrygiæ satrapa Artacamas nominatur. SCHN. Ἀρτάμης Bactrius est Aesch. Pers. 318. Sed hic probabilius alterum, etsi diversi sunt ab hoc quos alibi memorat Xenophon.

ρίων, τὸν Ἀράβιον δὲ Ἄραγδον ἱππέας τε εἰς μυρίους καὶ
ἅρματα εἰς ἑκατὸν καὶ σφενδονητῶν πάμπολύ τι χρῆμα.
τοὺς μέντοι Ἕλληνας τοὺς ἐν τῇ Ἀσίᾳ οἰκοῦντας οὐδέν
πω σαφὲς λέγεται εἰ ἕπονται. τοὺς δὲ ἀπὸ Φρυγίας τῆς
πρὸς Ἑλλησπόντῳ συμβαλεῖν φασι Γάβαιδον ἔχοντα εἰς
Καΰστριον πεδίον ἑξακισχιλίους μὲν ἱππέας, πελταστὰς
δὲ εἰς δισμυρίους. Κᾶρας μέντοι καὶ Κίλικας καὶ Πα-
φλαγόνας παρακληθέντας οὔ φασιν ἕπεσθαι. ὁ δὲ Ἀσ-
σύριος ὁ Βαβυλῶνά τε ἔχων καὶ τὴν ἄλλην Ἀσσυρίαν
ἐγὼ μὲν οἶμαι ἱππέας μὲν ἄξει οὐκ ἐλάττους δισμυρίων,
ἅρματα δ' εὖ οἶδ' οὐ μεῖον διακοσίων, πεζοὺς δέ, οἶμαι,
6 παμπόλλους· εἰώθει γοῦν ὁπότε δεῦρ' ἐμβάλοι. Σύ,
ἔφη ὁ Κῦρος, πολεμίους λέγεις ἱππέας μὲν ἑξακισμυρίους
εἶναι, πελταστὰς δὲ καὶ τοξότας πλεῖον ἢ εἴκοσι μυριάδας.
ἄγε δὴ τῆς σῆς δυνάμεως τί φῂς πλῆθος εἶναι; Εἰσίν,
ἔφη, Μήδων μὲν ἱππεῖς πλείους τῶν μυρίων· πελτασταὶ
δὲ καὶ τοξόται γένοιντ' ἂν ὡς ἐπὶ τῆς ἡμετέρας κἂν ἑξα-

ἀράβιον] ἀρίβαιον A. et qui corr. s. v. G. μάραγδον D. ἐποικοῦντας D. πως A. παρ' ἑλλήσποντον D. συμβάλλειν D. γαβαῖον D. καΰστρου D. et s. v. G. al. m. ἑξάκις μὲν χιλίους D. ἱππεῖς A.G. δισμυρίους] μυρίους D. αὐτὸς post ἀσσύριος add. D.L. ἱππεῖς A.G. οὐκ ἐλάττους] οὐ μεῖον D. εὖ οἶδ' om. D. μεῖον D. et G. s. v. al. m. πλείω A.D.G. pr. γοῦν] δὲ G. ἐμβάλοι C.D. ἐμβάλλοι A.G. 6. λέγεις π. D. ἱππεῖς A.G. ἑξακ.] εἰς ἑξακ. D. πελταστὰς] ας in ras. s. v. D. πλέον D. τῆς δυνάμεως τῆς σῆς G.M. πλῆθος φῂς D. μὲν ἱππεῖς] ἱππῆς μὲν D. γένοιντ'] ἐγὼ μὲν οἴομαι γένοιτ' (sic) D. * ἡμέρας, ut videtur, G. pr. κἂν] καὶ D.

Ἀράβιον] Arabios Mesopotamiæ meridionalis Σκηνίτας vocatos Xenophon in Cyrop. et Anab. 1, 5, 1. (et 7, 8, 25.) dicit, quorum equitatum tantum fuisse miratur et de fide Xenophontis dubitat Weiskius, nulla dubitationis edita caussa. Suspicor autem ex verbis viri docti, *ullum Arabiæ populum*, eum a vera horum Arabum sede aberrasse. SCHN. V. annot. ad l. pr. Anab. Forma eadem pro Ἄραβας restituta supra 1, 1, 4.

τοὺς μέντοι Ἕλληνας] Quasi sequeretur λέγουσιν, non λέγεται. SCHN. Aristoph. Av. 1269: Δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. HUTCH. V. ad 8, 1, 10.

οἰκοῦντας] Ἐποικοῦντας alii, ut infra 6, 2, 10. SCHN.

τοὺς δὲ ἀπὸ Φρυγίας — συμβαλεῖν φασι Γάβαιδον ἔχοντα] Ordine verborum eodem Anab. 1, 2, 21: Καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσας ἀπ' Ἰωνίας εἰς Κιλικίαν Ταμὼν ἔχοντα τὰς Λακεδαιμονίων.

πρὸς Ἑλλησπόντῳ] παρ' Ἑλλήσποντον 4, 2, 30, et 8, 6, 7, περὶ Ἑλλήσποντον 7, 4, 8. ZEUN.

Καΰστριον] In Anabasi 1, 2, 11, est εἰς Καΰστριον πεδίον, πόλιν οἰκουμένην, et ultra Mæandri fontes collocatur: contra campum Caystrium in Ionia Diodorus 14, 80, in finibus agri Ephesii Stephanus Byz. ponit. SCHN.

ὡς ἐπὶ τῆς ἡμετέρας] Haec verba jam Schneidero, sive quis verteret cum Philelpho, *ut in nostro scilicet*

κισμύριοι. Ἀρμενίων δ', ἔφη, τῶν ὁμόρων ἡμῖν παρ-
έσονται ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δὲ δισμύριοι.
Λέγεις σὺ, ἔφη ὁ Κῦρος, ἱππέας μὲν ἡμῖν εἶναι μεῖον ἢ
τρίτον μέρος τοῦ τῶν πολεμίων ἱππικοῦ, πεζοὺς δὲ ἀμφὶ
7 τοὺς ἡμίσεις. Τί οὖν; ἔφη ὁ Κυαξάρης, ὀλίγους νομί-
ζεις Περσῶν εἶναι οὓς σὺ φῂς ἄγειν; Ἀλλ' εἰ μὲν ἀνδρῶν
προσδεῖ ἡμῖν, ἔφη ὁ Κῦρος, εἴτε καὶ μὴ, αὖθις βουλευσό-
μεθα· τὴν δὲ μάχην μοι, ἔφη, λέξον ἑκάστων ἥτις ἐστί.
Σχεδὸν, ἔφη ὁ Κυαξάρης, πάντων ἡ αὐτή· τοξόται γάρ
εἰσι καὶ ἀκοντισταὶ οἵ τ' ἐκείνων καὶ οἱ ἡμέτεροι. Οὐκοῦν,
ἔφη ὁ Κῦρος, ἀκροβολίζεσθαι ἀνάγκη ἐστὶ τοιούτων γε
8 τῶν ὅπλων ὄντων. Ἀνάγκη γὰρ οὖν, ἔφη. Οὐκοῦν ἐν
τούτῳ μὲν τῶν πλειόνων ἡ νίκη· πολὺ γὰρ ἂν θᾶττον οἱ
ὀλίγοι ὑπὸ τῶν πολλῶν τιτρωσκόμενοι ἀναλωθείησαν ἢ οἱ
πολλοὶ ὑπὸ τῶν ὀλίγων. Εἰ οὖν οὕτως ἔχει, ὦ Κῦρε, τί
ἂν ἄλλο τις κρεῖττον εὕροι ἢ πέμπειν εἰς Πέρσας, καὶ ἅμα
μὲν διδάσκειν αὐτοὺς ὅτι εἴ τι πείσονται Μῆδοι, εἰς Πέρ-
σας τὸ δεινὸν ἥξει, ἅμα δὲ αἰτεῖν πλεῖον στράτευμα;
Ἀλλὰ τοῦτο μὲν, ἔφη ὁ Κῦρος, εὖ ἴσθι, οὐδ' εἰ πάντες

ἱππῆς D. δὲ] δὲ καὶ D. τὸ τρίτον D. ἀμφὶ] σχεδὸν ἀμφὶ D.G. mg. 7. ὀλίγους] οὐκ ὀλίγου D. ἀνδρῶν—αὖθις] ἄνθρωπος δεῖ ὁ κῦρος εἶπε καὶ αὖθις A. ἀνο (unde corr. fecit ἀνδρ) δεῖ (corr. s. v. ante hoc inserit προσ et post δεῖ in ipso versu ἡμῖν addito s. v. ἔφη substituit litteris 3 vel 4 erasis) ὁ κῦρος εἴτε (sed pr. fortasse εἶ, unde εἴτε fecit corr.) καὶ (μὴ addit corr. s. v.) αὖθις G. ἀνδεῖ (margo m. recentissima ἀνδρῶν) προσδεῖ ἡμῖν ἔφη ὁ κῦρος εἴτε καὶ μὴ αὖθις L. συμβουλευσόμεθα A.G. μάχην ἔφη λέξον μοι ἥτις ἑκάστων ἐστιν D. ἔφη] ὁ κυαξάρης add. D. 8. μὲν post οὐκοῦν G. τῶν] ἔφη ὁ κῦρος τῶν D. οἱ πολλοὶ] οἱ in ras. D. ἔχει] ἔφη add. D. et corr. G. ἄλλος L. εὕροι κρ. D. ἐς A.G. εἰς πέρσας] πέρσαις D. ἴσθι] ὅτι add. D.

regno sive *pro ratione et magnitudine regionis nostræ*, adeo molesta visa sunt ut partim nixus vitioso hic D. parum apta conjectura tentaret τοξόται γένοιντ' ἄν, ὡς ἐγὼ οἶμαι, τῆς ἡμετέρας καὶ ἑξακισμύριοι. Mihi credibilius ex margine illatam esse lectoris annotationem simillimam ei quam ex L. ad 8, 8, 6, annotavi in præfatione. Sed quum Xenophon vix scripturus fuisse videatur γένοιντ' ἂν κἂν ἑξακισμύριοι, his sublatis ex D. asciscendum erit καὶ aut scribendum γένοιντο.

7. ὀλίγους] Numerum nunc iterum Persarum extorquere Cyro Cyaxares artificio conatur, quem is jam antea edere detrectaverat: ambiguam igitur adhibet interrogationem, cui aptius ὀλίγους sine negatione. SCHN. Respicit s. 3.

βουλευσόμεθα] V. ad 5, 3, 22.

μάχην] Dicitur ut 3, 9 et 11 et alibi, ratio pugnandi.

8. εἴ τι πείσονται] Conf. 4, 5, 48: Μήτι πάθητε.

ἥξει] 1, 5, 13: Εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει. Demosth. p. 241, 4: Ἐφ' ἑαυτοὺς τὸ δεινὸν ἥξειν. ZEUN.

ἔλθοιεν Πέρσαι, πλήθει γε οὐχ ὑπερβαλοίμεθ' ἂν τοὺς
9 πολεμίους. Τί μὴν ἄλλο ἐνορᾷς ἄμεινον τούτου; Ἐγὼ
μὲν ἄν, ἔφη ὁ Κῦρος, εἰ ἔχοιμι, ὡς τάχιστα ὅπλα
ἐποιούμην πᾶσι Πέρσαις τοῖς προσιοῦσιν οἷάπερ ἔχοντες
ἔρχονται οἱ παρ' ἡμῶν οἱ τῶν ὁμοτίμων καλούμενοι· ταῦ-
τα δ' ἐστὶ θώραξ μὲν περὶ τὰ στέρνα, γέρρον δὲ εἰς τὴν
ἀριστερὰν, κοπὶς δὲ ἢ σάγαρις εἰς τὴν δεξιάν· κἂν ταῦτα
παρασκευάσῃς, ἡμῖν μὲν ποιήσεις τὸ ὁμόσε τοῖς ἐναντίοις
ἰέναι ἀσφαλέστατον, τοῖς πολεμίοις δὲ τὸ φεύγειν ἢ τὸ
μένειν αἱρετώτερον. τάττομεν δὲ, ἔφη, ἡμᾶς μὲν αὐτοὺς
ἐπὶ τοὺς μένοντας· οἳ γε μεντἂν αὐτῶν φεύγωσι, τούτους
ὑμῖν καὶ τοῖς ἵπποις νέμομεν, ὡς μὴ σχολάζωσι μήτε
10 μένειν μήτε ἀναστρέφεσθαι. Κῦρος μὲν οὕτως ἔλεξε· τῷ [3]
δὲ Κυαξάρῃ ἔδοξέ τε εὖ λέγειν, καὶ τοῦ μὲν πλείους μετα-
πέμπεσθαι οὐκέτι ἐμέμνητο, παρεσκευάζετο δὲ ὅπλα τὰ
προειρημένα. καὶ σχεδόν τε ἕτοιμα ἦν καὶ τῶν Περσῶν οἱ
ὁμότιμοι παρῆσαν ἔχοντες τὸ ἀπὸ Περσῶν στράτευμα.
11 ἐνταῦθα δὴ εἰπεῖν λέγεται ὁ Κῦρος συναγαγὼν αὐτοὺς, [4]

πλήθει γε] πλήθει A.G. οὐκ ἂν ὑπερβαλοίμεθα D. 9. ἄλλο ἐνορᾷς] τι s. ὁ al. m. G. ἄλλο τι σὺ ὁρᾷς D. ἄλλο τι ἐνορᾷς L. et σὺ al. m. s. v. ἔχοιμι in ras. D., haud dubie pro εἴην, ut E. ποιοίμην D. ἔχοντες ἔρχονται οἳ περ' ἡμῶν A. ἔρχονται ἔχοντες οἱ ὑπὲρ ἡμῶν G. ἔχοντες προσέρχονται παρ' ἡμῶν D. μὲν περὶ D.G. s. v. περὶ A. γέρρον—δεξιὰν Suidas v. γέρρον. παρασκευάσῃς D.G. corr. παρασκευάσῃ A. τοῖς δὲ π. D. τάσσοιμεν L. r. et νέμοιμεν. τούτοις G. μένειν D.G. in ras. φεύγειν A. 10. κῦρος] ante hoc totidem fere litterarum spatium in A. κυαξάρει D. παρασκεύαζεν D. τῶν π.—τὸ G. mg. al. m., unde in G. quidem ex seq. τὸ ante περσῶν factum ἀπὸ, quod addit L. mg. στράτευμα] στρατεύματι G. pr., ut A., qui ἕτοιμα ἦν· καὶ τῷ π. στρ., et B., qui ἕτοιμα ἦν καὶ τῷ στρ. τῶν περσῶν. 11. ἔνθα δὴ λέγει ὁ κ. D. αὐτοὺς] τάδε add. s. v. al. m. G.

ὑπερβαλοίμεθα] Numerum Persarum supra 1, 2, 15, Xenophon posuit δώδεκα μυριάδας. SCHN.

9. οἱ τῶν ὁμοτίμων καλούμενοι] Soph. Œd. T. 1042: Τῶν Λαΐου δήπου τις ὠνομάζετο. Diodori 1, 38: Θαλῆς εἷς τῶν ἑπτὰ σοφῶν ὀνομαζόμενος. Quæ loco ejusdem Excerpt. Vales. p. 551, 45: Ὠνομάσθη μὲν εἷς τῶν ἑπτὰ σοφῶν ab Reiskii conjectura ὀνομαζομένων defenduntur. 4, 76: Δαίδαλος εἷς τῶν Ἐρεχθειδῶν ὀνομαζόμενος, ubi ὀνομαζομένων vertit Poggius. Itaque frustra Heindorfius apud Schneiderum "καλουμένων, intelligens οἱ χίλιοι, qui numerantur supra 1, 5, 5."

ὅπλα] Conf. 1, 2, 9.

10. καὶ σχεδόν τε ἕτοιμα ἦν] Anab. 4, 6, 2: Καὶ ἤδη τ' ἦν ἐν τῷ τρίτῳ σταθμῷ καὶ ὁ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη, ὅτι οὐκ εἰς κώμας ἦγεν. Locum annotavit cum aliis Heindorf. ad Platonis Phæd. §. 155. In hac scilicet formula primum καὶ transitum facit, τε pertinet ad enunciatum illud ἕτοιμα ἦν τὰ ὅπλα. SCHN.

ἔδεισα] Timui; igitur consului saluti vestræ, et providi arma, similia vestris, quibus milites vos secuti armarentur. SCHN.

11. εἰπεῖν] Conf. de hac oratione Dionys. A. rh. 8, 11, p. 302; 9, 12, p. 358.

Ἄνδρες φίλοι, ἐγὼ ὑμᾶς ὁρῶν αὐτοὺς μὲν καθωπλισμένους οὕτω καὶ ταῖς ψυχαῖς παρεσκευασμένους ὡς χεῖρας συμμίξοντας τοῖς πολεμίοις, τοὺς δὲ ἑπομένους ὑμῖν Πέρσας γιγνώσκων ὅτι οὕτως ὡπλισμένοι εἰσὶν ὡς ὅτι προσωτάτω σταθέντες μάχεσθαι, ἔδεισα μὴ ὀλίγοι καὶ ἔρημοι συμμάχων συμπίπτοντες πολεμίοις πολλοῖς πάθοιτέ τι. νῦν οὖν, ἔφη, σώματα μὲν ἔχοντες ἀνδρῶν ἥκετε οὐ μεμπτά· ὅπλα δὲ ἔσται αὐτοῖς ὅμοια τοῖς ἡμετέροις· τάς γε μέντοι ψυχὰς θήγειν αὐτῶν ἡμέτερον τὸ ἔργον. ἄρχοντος γάρ ἐστιν οὐχ ἑαυτὸν μόνον ἀγαθὸν παρέχειν, ἀλλὰ δεῖ καὶ τῶν ἀρχομένων ἐπιμέλεσθαι ὅπως ὡς βέλτιστοι ἔσονται.

12 Ὁ μὲν οὕτως εἶπεν· οἱ δ' ἥσθησαν μὲν πάντες, νομίζοντες μετὰ πλειόνων ἀγωνιεῖσθαι· εἷς δ' αὐτῶν καὶ ἔλεξε
13 τοιάδε. Ἀλλὰ θαυμαστά, ἔφη, ἴσως δόξω λέγειν, εἰ Κύρῳ συμβουλεύσω τι εἰπεῖν ὑπὲρ ἡμῶν, ὅταν τὰ ὅπλα λαμβάνωσιν οἱ ἡμῖν μέλλοντες συμμάχεσθαι· ἀλλὰ γιγνώσκω γάρ, ἔφη, ὅτι οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ κακῶς ποιεῖν λόγοι οὗτοι καὶ μάλιστα ἐνδύονται ταῖς ψυχαῖς τῶν ἀκουόντων· κἂν δῶρα διδῶσιν οἱ τοιοῦτοι, καὶ ἂν μείω τυγχάνῃ ὄντα ἢ τὰ παρὰ τῶν ὁμοίων, ὅμως μεί-

ἄνδρες] *νουθεσία κύρου* A. mg. *νουθεσία* mg. G. *οὕτως* D. *τῇ ψυχῇ* A. *τὴν ψυχὴν* G.K.M. *χεῖρας*] *εἰς* ante hoc add. D. et L. m. recentissima. *συμμίξαντας τοὺς πολεμίους* D. *σταθέντες*] *ταχθέντες* et *ταχ* s. v. al. m. L. G. om. D. *ὀλίγοι*] *στάντες* add. D.L. et s. v. al. m. G. *μὲν* post *νῦν* A.G. *ἥκετε*] *οὐ μεμπτὰ* addit G.D. mg. *οὐ μεμπτά· ὅπλα δὲ*] *οὐ μεμπτὰ δ' ὅπλα* A.D.G. corr. *αὐτῶν θήγειν* D. qui hic mg. *ὡραῖον*, ut G., et *γνώμη*. *ἡμ.*] *ὑ* s. v. al. m. G. *τὸ* om. D. *οὐ* (hoc in fine versus) *καὐτὸν ἀγαθὸν μόνον εἶναι* D. *δεῖ*] *δὴ* G. om. D. Libri *ἐπιμελεῖσθαι*. 13. *θαυμαστὰ*] *μὲν* add. D. *δόξων* A. *κῦρον* A.D. *τι* om. D. *ὑπὲρ ἡμῶν εἰπεῖν* G. *συμμαχεῖσθαι* D.G. mg. et in altero *σημείωσαι*. *κἂν δῶρα*] *καὶ δῶρά γε ἦν* D. *καὶ ἂν*] *κἂν* D. *μείω*] *μεῖον* pr. D., ut videtur. *μειζόνως* A.

ἥκετε] In verbo *ἥκετε* hæsi jam olim propter adjunctum *ἔχοντες*. Sensisse difficultatem videtur Fischerus ita annotans: *ἥκετε* arbitror pertinere non tantum ad *ὁμοτίμους*, sed etiam ad ceteros Persarum milites: præsertim cum Cyrus deinceps ipse ostendat adjuvandos esse eorum animos, non item corpora. Vertit igitur: *Nunc igitur corpora habentes militum venistis non contemnenda: et arma ceteri accipient nostris similia.* Sed hanc Cyri orationem ad solos *ὁμοτίμους* pertinere manifestum est: igitur *ἥκετε* non potest comprehendere ceteros etiam Persas. Itaque olim *ἄγοντες* malui scriptum: contra Heindorfius *ἥκουσι* scribendum censuit: quod verum puto. SCHN. Illud ipsum *ἥκουσι* (sic, non *ἥκουσιν*) correctoris videtur conjectura in marg. L.

τὸ ἔργον] Male *τὸ* om. D. Conf. ad Comment. 3, 3, 3. SCHN.

13. *Ἀλλὰ*] Initio orationis ponitur *ἀλλὰ* infra 2, 3, 5. SCHN.

μάλιστα ἐνδύονται] Eadem sententia apud Eurip. Hec. 293.

καὶ ἂν] V. ad s. 15.

ζονος αὐτὰ τιμῶνται οἱ λαμβάνοντες. καὶ νῦν, ἔφη, οἱ Πέρσαι παραστάται ὑπὸ Κύρου πολὺ μᾶλλον ἡσθήσονται ἢ ὑφ' ἡμῶν παρακαλούμενοι, εἴς τε τοὺς ὁμοτίμους καθιστάμενοι βεβαιοτέρως σφίσιν ἡγήσονται ἔχειν τοῦτο ὑπὸ βασιλέως τε παιδὸς καὶ ὑπὸ στρατηγοῦ γενόμενον ἢ εἰ ὑφ' ἡμῶν τὸ αὐτὸ τοῦτο γίγνοιτο. ἀπεῖναι μέντοι οὐδὲ τὰ ἡμέτερα χρή, ἀλλὰ παντὶ τρόπῳ δεῖ τῶν ἀνδρῶν θήγειν πάντως τὸ φρόνημα. ἡμῖν γὰρ ἔσται τοῦτο χρήσιμον ὅ τι ἂν οὗτοι βελτίονες γένωνται.

14 *Οὕτω δὴ ὁ Κῦρος καταθεὶς τὰ ὅπλα εἰς τὸ μέσον καὶ* [6]
συγκαλέσας πάντας τοὺς Περσῶν στρατιώτας ἔλεξε τοιά-
15 *δε. Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν*
καὶ ἐτράφητε, καὶ τὰ σώματά τε οὐδὲν ἡμῶν χείρονα
ἔχετε, ψυχάς τε οὐδὲν κακίονας ὑμῖν προσήκει ἡμῶν ἔχειν.
τοιοῦτοι δ' ὄντες ἐν μὲν τῇ πατρίδι οὐ μετείχετε τῶν
ἴσων ἡμῖν, οὐχ ὑφ' ἡμῶν ἀπελαθέντες ἀλλ' ὑπὸ τοῦ τά-
πιτήδεια ἀνάγκην ὑμῖν εἶναι πορίζεσθαι. νῦν δὲ ὅπως μὲν
ταῦτα ἕξετε ἐμοὶ μελήσει σὺν τοῖς θεοῖς· ἔξεστι δ' ὑμῖν,
εἰ βούλοισθε, λαβόντας ὅπλα οἷάπερ ἡμεῖς ἔχομεν εἰς τὸν
αὐτὸν ἡμῖν κίνδυνον ἐμβαίνειν, καὶ ἄν τι ἐκ τούτων καλὸν
16 *κἀγαθὸν γίγνηται, τῶν ὁμοίων ἡμῖν ἀξιοῦσθαι. τὸν μὲν*
οὖν πρόσθεν χρόνον ὑμεῖς τε τοξόται καὶ ἀκοντισταὶ ἦτε

τιμῶνται] *σι* s. *ῶν* A. *παραστάται*] *παρακληθέντες* D.G. mg. *βεβαιοτέρως*] *ως* in ras. G. s. v., nec tamen *βεβαιότερον* fuit pr., ut accentus ostendit: *βεβαιοτερ* (*ως'* s. v.). *γιγνόμενον* D. *εἰ* s. v. G. *τὸ αὐτὸ τοῦτο γίγνοιτο*] *εἰς τὸ αὐτὸ τοῦτο ἄγοιντο* D. *τὰ φρονήματα* D. et corr. G. 14. *καθεὶς* A.G. pr. *εἰς τὸ μέσον* om. A.G. *ἔλεγε* A.G. pr. *τοιαῦτα* D. 15. *πέρσαι* D. mg. *ἡμῖν*] *χώρᾳ* add. D.G. s. v. r. *τε*] *γε* A.G. *ἡμῶν οὐδὲν* D. *χεῖρον* A.G. pr. *οὐδὲν κακίονας ὑμᾶς προσήκει* D. *μετείχετε*] *ει* in ras. et *χετε* s. v. G. ead. m. *τὰ ἐπιτ.* D.L. *βούλεσθε* D. *λαβοῦσιν* D. *ἔχομεν*] *καὶ εἴ τι χείρονες ἡμῶν ἐστὲ* add. A.G. et al. m. mg. D. *κίνδυνον ἡμῖν* G. *καὶ ἂν*] in ras. 2 fere litt. nihil D. nisi ʌ, et mg. al. m. ʌ *κἂν*. *τι—καλὸν κἀγαθὸν*] *τι καλὸς κἀγαθὸς* D. et corr. al. m. G. *γίνεται* G.

Πέρσαι παραστάται, non *παραστάται παρακαλούμενοι*, conjungenda.

τὸ αὐτὸ] De crasi hic neglecta, alibi vero servata in hoc, v. præf. ad Anab. p. xiii.

14. *καταθεὶς—εἰς τὸ μέσον*] Recte Fischerus interpretatur arma, nempe loricas, scuta, gladios, bipennes, deponenda curare ibi, ubi conspici possint ab omnibus, et ita ut capi ab omnibus possint. Huc refertur illud s. 18: *'Ορᾶτε τὰ ὅπλα· ὁ μὲν χρῄζων λαμβανέτω*. Formula dicendi eadem est in Œcon. 7, 26. SCHN.

15. *ἀπελαθέντες*] Conf. 1, 2, 15. ZEUN.

καὶ ἂν] De crasi hic, ut s. 13. neglecta, ibidemque servata, v. præf. ad Anab. p. xiii.

καὶ ἡμεῖς, καὶ εἴ τι χείρους ἡμῶν ταῦτα ποιεῖν ἦτε, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἦν ὑμῖν σχολὴ ὥσπερ ἡμῖν τούτων ἐπιμέλεσθαι· ἐν δὲ ταύτῃ τῇ ὁπλίσει οὐδὲν ἡμεῖς ὑμῶν προέξομεν. θώραξ μέν γε περὶ τὰ στέρνα ἁρμόττων ἑκάστῳ ἔσται, γέρρον δὲ ἐν τῇ ἀριστερᾷ, ὃ πάντες εἰθίσμεθα φορεῖν, μάχαιρα δὲ ἢ σάγαρις ἐν τῇ δεξιᾷ, ᾗ δὴ παίειν τοὺς ἐναντίους δεήσει οὐδὲν φυλαττομένους μή τι
17 παίοντες ἐξαμάρτωμεν. τί οὖν ἂν ἐν τούτοις ἕτερος ἑτέρου διαφέροι ἡμῶν πλὴν τόλμῃ; ἣν οὐδὲν ὑμῖν ἧττον προσήκει ἢ ἡμῖν ὑποτρέφεσθαι. νίκης τε γὰρ ἐπιθυμεῖν, ἣ τὰ καλὰ πάντα καὶ τἀγαθὰ κτᾶταί τε καὶ σώζει, τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; κράτους τε, ὃ πάντα τὰ τῶν ἡττόνων τοῖς κρείττοσι δωρεῖται, τί εἰκὸς ἡμᾶς μᾶλλον ἢ καὶ
18 ὑμᾶς τούτου δεῖσθαι; τέλος εἶπεν, Ἀκηκόατε πάντα· ὁρᾶτε τὰ ὅπλα· ὁ μὲν χρῄζων λαμβανέτω ταῦτα καὶ ἀπογραφέσθω πρὸς τὸν ταξίαρχον εἰς τὴν ὁμοίαν τάξιν ἡμῖν· ὅτῳ δ' ἀρκεῖ ἐν μισθοφόρου χώρᾳ εἶναι, καταμενέτω ἐν
19 τοῖς ὑπηρετικοῖς ὅπλοις. ὁ μὲν οὕτως εἶπεν. ἀκούσαντες δὲ [7]
οἱ Πέρσαι ἐνόμισαν, εἰ παρακαλούμενοι ὥστε τὰ ὅμοια πονοῦντες τῶν αὐτῶν τυγχάνειν μὴ ἐθελήσουσι ταῦτα ποιεῖν, δικαίως ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῦντες βιοτεύειν. καὶ οὕτω δὴ ἀπογράφονται πάντες ἀνέλαβόν τε τὰ ὅπλα πάντες.

20 Ἐν ᾧ δὲ οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δὲ οὐδέπω, ἐν τούτῳ ἐπειρᾶτο ὁ Κῦρος ἀσκεῖν μὲν τὰ σώματα τῶν μεθ' ἑαυτοῦ εἰς ἰσχὺν, διδάσκειν δὲ τὰ τακτικὰ,

16. χείρονες D. ἦν s. v. al. m. L. ὥσπερ] ὡς A.G. ὑμῖν ἢ s. v. posito D. Libri ἐπιμελεῖσθαι. ταύτῃ] τῇδε D. ὑμῶν om. A. add. D.G. mg. γε] γὰρ D. Libri ἁρμόζων. δὴ om. D. παίσαντες D., sed mg. al. m. ἢ παίοντες. ἕτερος ἐν τούτοις ἑτέρου διαφέρει D. ἡμῶν διαφέροι D. τόλμῃ] εἰ ante hoc add. A. ἢ L. erasit G. τόλμης D.G. r. προσήκει ἧττονα D. ἢ ἡμῖν] ἡμῶν D. ὑποτρέφεσθαι] παρέχεσθαι D. et mg. r. G. τὰ ἀγαθὰ D. πάντα om. D. τούτου] τοῦτο L. τούτου r. 18. εἰπεῖν D. pr. εἶναι] ἰέναι A.G. pr. 19. εἰ] οἱ A. τῶν αὐτῶν τυγχάνειν, μὴ ἐθελήσουσι ταῦτα ποιεῖν] ὁμοίως βιοτεύειν (βιωτεύειν A., ut infra), τυγχάνοιεν μὴ ἐθέλοντες ταῦτα A.G. pr., ὁμοίων βιοτεύειν (hoc punctis infra positis notat G., erasit L. et τῶν αὐτῶν in marg.) μὴ ἐθελήσουσι ταῦτα ποιεῖν G. corr. θελήσουσιν D. καὶ om. D. ἀνέλαβον] ἔλαβον D. ὅπλων ἀνάληψις mg. G. 20. μὲν om. D. οὔπω D. μεθ' αὐτοῦ sic D. εἰς] πρὸς D. διδ. δὲ] διδ. τε A.G.

16. ὁπλίσει] De qua conf. s. 9.
μάχαιρα] V. ad 1, 2, 13.
17. τούτου] κράτους.
18. τοῖς ὑπηρ. ὅπλοις] Conf. 7, 4, 15.

21 θήγειν δὲ τὰς ψυχὰς εἰς τὰ πολεμικά. καὶ πρῶτον μὲν [8]
λαβὼν παρὰ Κυαξάρου ὑπηρέτας προσέταξεν ἑκάστοις
τῶν στρατιωτῶν ἱκανῶς ὧν ἐδέοντο πάντα πεποιημένα
παρασχεῖν· τοῦτο δὲ παρασκευάσας οὐδὲν αὐτοῖς ἐλελοίπει
ἄλλο ἢ ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον, ἐκεῖνο δοκῶν κατα-
μεμαθηκέναι ὅτι οὗτοι κράτιστοι ἕκαστα γίγνονται οἳ ἂν
ἀφέμενοι τοῦ πολλοῖς προσέχειν τὸν νοῦν ἐπὶ ἓν ἔργον
τράπωνται. καὶ αὐτῶν δὲ τῶν πολεμικῶν περιελὼν καὶ τὸ
τόξῳ μελετᾶν καὶ ἀκοντίῳ κατέλιπε τοῦτο μόνον αὐτοῖς τὸ
σὺν μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι· ὥστε εὐθὺς
αὐτῶν παρεσκεύασε τὰς γνώμας ὡς ὁμόσε ἰτέον εἴη τοῖς
πολεμίοις, ἢ ὁμολογητέον μηδενὸς εἶναι ἀξίους συμμάχους·
τοῦτο δὲ χαλεπὸν ὁμολογῆσαι οἵτινες ἂν εἰδῶσιν ὅτι οὐδὲ
δι' ἓν ἄλλο τρέφονται ἢ ὅπως μαχοῦνται ὑπὲρ τῶν τρε-
22 φόντων. ἔτι δὲ πρὸς τούτοις ἐννοήσας ὅτι περὶ ὁπόσων [9]
ἂν γένωνται ἀνθρώποις φιλονεικίαι, πολὺ μᾶλλον ἐθέλουσι
ταῦτ' ἀσκεῖν, ἀγῶνάς τε αὐτοῖς προεῖπεν ἁπάντων ὁπόσα
ἐγίγνωσκεν ἀσκεῖσθαι ἀγαθὸν εἶναι ὑπὸ στρατιωτῶν καὶ
προεῖπε τάδε, ἰδιώτῃ μὲν ἑαυτὸν παρέχειν εὐπειθῆ τοῖς
ἄρχουσι καὶ ἐθελόπονον καὶ φιλοκίνδυνον μετ' εὐταξίας καὶ
ἐπιστήμονα τῶν στρατιωτικῶν καὶ φιλόκαλον περὶ ὅπλα
καὶ φιλότιμον ἐπὶ πᾶσι τοῖς τοιούτοις, πεμπαδάρχῳ δ'
αὐτὸν ὄντα οἷόνπερ τὸν ἀγαθὸν ἰδιώτην καὶ τὴν πεμπάδα

21. κυαξάρους D. ὑπερέτας D. corr. s. v. ἱκανῶς L. mg. r. ἱκανοὺς A.D.G. παρέχειν D. ἄλλο ἐλελ. D. ἀμφέμενοι A. τὸ] τῷ G. ἰτέον] super ι ras. in D. in ras. G. εἴη] ἐπὶ (sed ut super ε erasum quid videatur) D., quod addit mg. L. τοὺς πολεμίους D. pr., ut videtur, corr. in utroque ι. μηθενὸς A.G. ἀξίους εἶναι D. τουτὶ G. μάχωνται D.G. s. v. 22. γένωνται] γενται et ον s. v. A. ἐγγένηται D. et φιλονεικία. τε om. D. καὶ προεῖπε] προεῖπε A. ἃ δὲ προεῖπε D. παρέχειν ἑαυτὸν D. ἐθελοπόνον D. πενταδάρχῳ A. et πεντάδα. δ' αὐτὸν] δ' ἑαυτὸν A. δ' ἑαυτῷ G.

21. Κυαξάρους pro Κυαξάρου Zeunius, multa de scriptura disputans ad 1, 6, 9. ubi docet sæpius codices præferre hanc formam, ad quam reliquos reformandos esse. SCHN. Male.

ὑπηρέτας] V. ad s. 31.

ἱκανῶς] ἱκανοὺς, quod est in libris, si verum est, olim pertinuit ad ὑπηρέτας, alio loco positum. SCHN.

καὶ αὐτῶν—μάχεσθαι] Suidas v. Γέρροιν, ex h. l.: Κῦρος περιελὼν τὰ πολλὰ τῶν π. κατέλιπε μόνον τὸ συνὸν τοῖς στρατιώταις μαχαίρᾳ—μάχεσθαι.

22. γένωνται—φιλονεικίαι] Cum D. conf. Reip. Lac. 4, 2: Ὁρῶν οἷς ἂν μάλιστα φιλονεικία ἐγγένηται κ. τ. λ. Plur. infra 8, 2, 26.

φιλόκαλον περὶ ὅπλα] Conf. Anab. 3, 2, 7.

πεμπαδάρχῳ] Eadem quæ hic varietas Hipparch. 4, 9, et H. Gr. 7, 2, 6. SCHN. Sed infra 2, 3, 21 πεμπ-, qui hic πεντ, ut πεμπ- ubique præferendum videatur, quod optimi tuentur H. Gr. l. c.

εἰς τὸ δυνατὸν τοιαύτην παρέχειν, δεκαδάρχῳ δὲ τὴν δε-
κάδα ὡσαύτως, λοχαγῷ δὲ τὸν λόχον, καὶ ταξιάρχῳ ἀνε-
πίκλητον αὐτὸν ὄντα ἐπιμέλεσθαι καὶ τῶν ὑφ' αὐτῷ ἀρ-
χόντων ὅπως ἐκεῖνοι αὖ ὧν ἄρχουσι παρέξουσι τὰ δέοντα
23 ποιοῦντας. ἆθλα δὲ προὔφηνε τοῖς μὲν ταξιάρχοις ὡς [10]
τοὺς κρατίστας δόξαντας τὰς τάξεις παρεσκευάσθαι χιλι-
άρχους ἔσεσθαι, τῶν δὲ λοχαγῶν οἳ κρατίστους δόξειαν
τοὺς λόχους ἀποδεικνύναι, εἰς τὰς τῶν ταξιάρχων χώρας
ἐπαναβήσεσθαι, τῶν δ' αὖ δεκαδάρχων τοὺς κρατίστους εἰς
τὰς τῶν λοχαγῶν χώρας καταστήσεσθαι, τῶν δ' αὖ πεμ-
παδάρχων ὡσαύτως εἰς τὰς τῶν δεκαδάρχων, τῶν γε μὴν
ἰδιωτῶν τοὺς κρατιστεύοντας εἰς τὰς τῶν πεμπαδάρχων.
ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι πρῶτον μὲν θεραπεύ-
εσθαι ὑπὸ τῶν ἀρχομένων, ἔπειτα δὲ καὶ ἄλλαι τιμαὶ αἱ
πρέπουσαι ἑκάστοις συμπαρείποντο. ἐπανετείνοντο δὲ καὶ
μείζονες ἐλπίδες τοῖς ἀξίοις ἐπαίνου, εἴ τι ἐν τῷ ἐπιόντι
24 χρόνῳ ἀγαθὸν μεῖζον φαίνοιτο. προεῖπε δὲ νικητήρια καὶ [11]
ὅλαις ταῖς τάξεσι καὶ ὅλοις τοῖς λόχοις, καὶ ταῖς δεκάσιν
ὡσαύτως καὶ ταῖς πεμπάσιν, αἳ ἂν φαίνωνται εὐπιστότα-
ται τοῖς ἄρχουσιν εἶναι καὶ προθυμότατα ἀσκοῦσαι τὰ

δεκάρχῳ G. corr. mg. r. ὡσαύτως δὲ λοχαγῷ τὸν λόχον· ὡς δ' αὔτως ταξιάρχῳ· ὡς δ' αὔτως τῶν ἄλλων ἀρχόντων ἑκάστῳ ἀνεπίπληκτον αὐτὸν ὄντα D. post ταξιάρχῳ G. mg. r. add. ὡσαύτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων. λοχαγῷ] λόχῳ A. ἀνεπίπλητον G. posito κ super η, i. e. ἀνεπίληπτον, ut Wecheliana, potius quam ἀνεπίκλητον. Pollux 8, 68: Ἀνεπίληπτον, ἀνεπίκλητον, ὡς Ξενοφῶν, ἀφ' οὗ τὸ ἀνεπικλητως Θουκυδίδης. ἀνεπίπληκτον, quod voluit corr. G., D.M. Libri ἐπιμελεῖσθαι. αὐτῷ] αὐτῶν A.G. αὐτὸν E. αὖ ὧν] αὐτῶν A.G. pr. ἄρχουσι A.D. ἄρχωσι G., unde ἂν ἄρχωσι Aldina. 23. προὔφαινε A.G. τοῖς μὲν] τοῖς A.G. ταξιάρχαις G. s. v. ὡς τοὺς—παρεσκευάσθαι] οἳ κρατίστας δόξαιεν τὰς τάξεις παρασκευάσαι add. G. mg. r. post ταξιάρχοις. et qui δόξειεν D. in textu, omissis ὡς τοὺς—παρεσκευάσθαι. κράτιστα A. δόξαντας] δόξοντας A.G. τάξεις] πράξεις G. pr. δόξαιεν A.G. ταξιαρχῶν A.G. et δεκαδαρχῶν bis. πενταδαρχῶν A. et qui al. m. s. v. μπ G. πεμπαδαρχῶν L. δὲ om. G. τούτοις πᾶσι G. ἐπανέτεινε—μείζονας ἐλπίδας D. μείζους Suidæ codex Brux. in Ἐπανετ. ἐπαίνου] ἔπαινοί τε A.G. ἔπαινοί τε καὶ Suidas. ἀγαθὸν] ἀγαθὸν εἶναι A.G. Suidas. 24. πεντάσιν A. αἳ ἂν] Libri ἐάν. εἶναι] οὖσαι D.G. corr.

ἀνεπίκλητον] Utroque voc., inter quæ hic variatur, præter Xenophontem utitur etiam Thucydides.

δόξειαν] V. ad 1, 2, 11.

καταστήσεσθαι] Signif. passiva dicitur, ut Anab. 1, 3, 8.

τιμαὶ] V. s. 30; 4, 9.

24. ἐὰν φαίνωνται] Quum 1, 2, 12 sit: Ἐν ᾗ δ' ἂν φυλῇ πλεῖστοι ὦσι δαημονέστατοι . . καὶ εὐπιστότατοι, hic quoque αἳ ἂν scripsisse Xenophontem conjeci ad Thes. Steph. v. Εὔπιστος.

εἶναι] Infinitivum correctores sustulerunt bis etiam 2, 2, 1.

προειρημένα. ἦν δὲ ταῦτα νικητήρια οἷα δὴ εἰς πλῆθος πρέπει. ταῦτα μὲν δὴ προείρητό τε καὶ ἠσκεῖτο ἡ στρατιά.
25 σκηνὰς δ' αὐτοῖς κατεσκεύασε, πλῆθος μὲν ὅσοι ταξίαρχοι [12] ἦσαν, μέγεθος δὲ ὥστε ἱκανὰς εἶναι τῇ τάξει ἑκάστῃ· ἡ δὲ τάξις ἦν ἑκατὸν ἄνδρες. ἐσκήνουν μὲν δὴ οὕτω κατὰ τάξεις· ἐν δὲ τῷ ὁμοῦ σκηνοῦν ἐδόκουν μὲν αὐτῷ ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα ἀγῶνα τοῦτο ὅτι ἑώρων ἀλλήλους ὁμοίως τρεφομένους καὶ οὐκ ἐνῆν πρόφασις μειονεξίας ὥστε ὑφίεσθαί τινα κακίω ἑτέρου εἶναι πρὸς τοὺς πολεμίους. ὠφελεῖσθαι δ' ἐδόκουν αὐτῷ καὶ πρὸς τὸ γιγνώσκειν ἀλλήλους ὁμοῦ σκηνοῦντες. ἐν δὲ τῷ γιγνώσκεσθαι καὶ τὸ αἰσχύνεσθαι πᾶσι δοκεῖ μᾶλλον ἐγγίγνεσθαι, οἱ δ' ἀγνοούμενοι ῥᾳδιουργεῖν πως μᾶλλον δοκοῦσιν, ὥσπερ ἐν
26 σκότει ὄντες. ἐδόκουν δ' αὐτῷ καὶ εἰς τὸ τὰς τάξεις ἀκρι- [13] βοῦν μεγάλα ὠφελεῖσθαι διὰ τὴν συσκηνίαν. εἶχον γὰρ οἱ μὲν ταξίαρχοι ὑφ' ἑαυτοῖς τὰς τάξεις κεκοσμημένας

ταῦτα ν.] ταύταις τὰ ν. D. δὴ] η in ras. D. ἀσκεῖτο A. ἤσκητο D. ἡ στρατιὰ] ὑπὸ τῆς στρατιᾶς D.G. mg. 25. ὥστε] ὡς D. τῇ τάξει ἑκάστῃ· ἡ δὲ τάξις] τῇ τάξει· ἑκάστη δ' ἡ τάξις A.G. οὕτως A. ὁμοῦ σκηνοῦν] ὁμοσκηνοῦν D. ὅτι ἐν τῷ ὁμοῦ σκηνοῦν τοὺς στρατιώτας—ὄντες liberius Suidas v. Συσκηνία. τοῦτο] τούτου D. ἀλλήλοις D., ι in ras. κακίω] κακιώτερον A. Suidas. κακίω ἕτερον D., sed ω in ras. γινώσκεσθαι ἀλλήλοις D.G. mg. ὁμοσκηνοῦντες D. ἐν γὰρ τὸ (sic) D. δοκεῖ] ἐδόκει D.L. mg. r. καὶ ὅτι ἐγίνωσκον ἀλλήλους, καὶ τὸ αἰσχύνεσθαι πᾶσιν ἐδόκει ἐγγίνεσθαι Suidas, et mox ἀγνοοῦντες ῥᾳδιουργοῦσιν, ὥσπερ ἐν σκότει ὄντες. E Xenophonte Eustath. Il. p. 239, 7: Ἐνταῦθα δὲ γράφουσιν οἱ παλαιοὶ καὶ ὅτι τὸ μὲν γινώσκειν ἀλλήλους αἰσχ. ποιεῖ, οἱ δὲ ἀγνοοῦντες ῥ. ὥσπερ ἐν σ. ὄ. ἐν] οἱ ἐν D.G. mg. m. ant. σκώτει G. 26. καὶ εἰς τὸ τὰς] εἰς τὸ καὶ A.G.M. μεγάλα] μέγα D. $\mu\epsilon^{\gamma\alpha}$ G. eraso post α sive λα sive ως, quum α simile sit litt. λ. μεγάλως L. corr. μεγάλα pr. συσκηνίαν] ὁμοσκηνίαν D. κεκοσμημένας G. m. recentissima, M. κοιμωμένας A.G. pr. κεκομημένας D., σ s. v.

οἷα δὴ εἰς πλῆθος πρέπει] Ex Anthologia, ἐς ἀμφοτέρους ἔπρεπε, attulit Steph. in Thes.

ταῦτα—ἠσκεῖτο] Galen. vol. 8, p. 833: Ἀκηκοὼς εἰς ἄκρον ἠσκῆσθαί με τὴν ἀνατομικὴν θεωρίαν. Alia verbi sic cum accusativo juncti exempla attulit Steph. in Thes., velut Gregorii εἰ λόγους ἀσκούμενοι κακίαν μάθοιεν, alterum nescio cujus, ἀσκούμενος τὴν κυνικὴν ἄσκησιν ὑπὸ τῷ Ῥοδίῳ. Hujus structuræ ignari correctores imperiti libris quibusdam intulerunt ὑπὸ τῆς στρατιᾶς. Ceterum schol. Aphthonii in Walz. Rhett. vol. 2, p. 566, 12: Γυμνάζεσθαι κυρίως ἐστὶ τὸ γυμνὸς (γυμνοὺς) ἀγωνίζεσθαι καὶ ἐκμανθάνειν εἴτε πολεμικὴν ἄσκησιν εἴτε ἁμιλλητηρίους ἀγῶνας—ὥσπερ Ξ. ἐν τῇ Κύρου παιδείᾳ τὸν Κῦρον αὐτὸν ποιεῖν μετὰ τῶν ἑταίρων ἔγραψεν, ἀσκούμενον τὰ πολεμικά.

25. ὑφίεσθαι—εἶναι] Alia hujus constructionis exempla de medio ex H. Gr. 7, 4, 9, et Comment. 4, 8, 6, attulit Schneider. ad Œcon. 12, 14, activi ex Anab. 3, 5, 5.

ἐν τῷ γιγνώσκεσθαι] Fons sententiæ videtur esse Il. 5, 530. SCHN.

26. κεκοσμημένας] Verbum de or-

ὥσπερ ὁπότε εἰς ἕνα πορεύοιτο ἡ τάξις, οἱ δὲ λοχαγοὶ τοὺς
λόχους ὡσαύτως, οἱ δὲ δεκάδαρχοι δεκάδας, πεμπάδαρχοι
27 πεμπάδας. τὸ δὲ διακριβοῦν τὰς τάξεις σφόδρα ἐδόκει
αὐτῷ ἀγαθὸν εἶναι καὶ εἰς τὸ μὴ ταράττεσθαι καὶ εἰ ταρα-
χθεῖεν θᾶττον καταστῆναι, ὥσπερ γε καὶ λίθων καὶ ξύλων
ἃ ἂν δέῃ συναρμοσθῆναι, ἔστι, κἂν ὁπωσοῦν καταβεβλη-
μένα τύχῃ, συναρμόσαι αὐτὰ εὐπετῶς, ἣν ἔχῃ γνωρίσματα
ὥστ' εὔδηλον εἶναι ἐξ ὁποίας ἕκαστον χώρας αὐτῶν ἐστιν.
28 ἐδόκουν δ' ὠφελεῖσθαι αὐτῷ ὁμοῦ τρεφόμενοι καὶ πρὸς τὸ
ἧττον ἀλλήλους ἐθέλειν ἀπολείπειν, ὅτι ἑώρα καὶ τὰ θηρία
τὰ συντρεφόμενα δεινὸν ἔχοντα πόθον, ἤν τις αὐτὰ διασπᾷ
29 ἀπ' ἀλλήλων. ἐπεμέλετο δὲ καὶ τούτου ὁ Κῦρος ὅπως μή- [14]
ποτε ἀνίδρωτοι γενόμενοι ἐπὶ τὸ ἄριστον καὶ τὸ δεῖπνον
εἰσίοιεν. ἢ γὰρ ἐπὶ θήραν ἐξάγων ἱδρῶτα αὐτοῖς παρεῖχεν,
ἢ παιδιὰς τοιαύτας ἐξηύρισκεν αἳ ἱδρῶτα ἔμελλον παρ-
έχειν, ἢ καὶ πρᾶξαι εἴ τι δεόμενος τύχοι, οὕτως ἐξηγεῖτο τῆς
πράξεως ὡς μὴ ἐπανίοιεν ἀνιδρωτί. τοῦτο γὰρ ἡγεῖτο καὶ
πρὸς τὸ ἡδέως ἐσθίειν ἀγαθὸν εἶναι καὶ πρὸς τὸ ὑγιαίνειν
καὶ πρὸς τὸ δύνασθαι πονεῖν, καὶ πρὸς τὸ ἀλλήλοις δὲ
πρᾳοτέρους εἶναι ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι, ὅτι καὶ
οἱ ἵπποι συμπονοῦντες ἀλλήλοις πρᾳότεροι συνεστήκασι.
πρός γε μὴν τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται
οἳ ἂν συνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες.

δὲ om. D., interpungens post λόχους. δέκαρχοι D. corr. s. v. δεκάδας] τὰς δεκάδας D.G. corr. πεντάδαρχοι A. καὶ οἱ πεμπάδαρχοι D. πεμπάδας] πεντάδας A. ν et ut videtur τ super αδα m. r. G. τὰς πεμπάδας D. 27. διακριβοῦν] ἀκριβοῦν D. εἰ] εἰς τὸ εἰ D. ἃ om. A.G. s. v. m. ant., ut scribendum videatur ἂν δέῃ. V. ad s. 31. ἔστι] ἔτι A. ὁποσοῦν D. αὐτὰ] ταῦτα D. ἣν D. ἂν A.G. χώρας ἕκαστον D. 28. θέλειν ἀπολείπειν A.G. ἂν ἐθέλειν ἀπολιπεῖν D συντρ.] ὁμοῦ τρ. D. διασπάσῃ D. 29. ἐπεμελεῖτο D. τούτου] τοῦδε D. ἀνίδρωτοι] ὅσον ἀγαθὸν ἐν τῷ ἱδρωκέναι G. mg. τὸ δ.] ἐπὶ τὸ δ. D. ἐξ.] αὐτοὺς ἐξ. D. 29. Libri ἐξεύρισκεν. ἤμελλον A.G. παρασχήσειν D. corr. s. v. πράξαι D. corr. πράξας A.G. et, ut videtur, D. pr. τι] τι ἄλλο D. ἡγεῖτο] ᾔδει A. et fortasse G., in quo tam anguste scriptum ἡγεῖτο ut ᾔδει subesse videatur multumque scriptura differat ab sequenti ἡγεῖτο. πονεῖν] τι πονεῖν D. πραότερον A.D. συνείδωσιν A. ξυνείδωσιν D.

dinibus militum usitatum jam Hom. Il. Γ, 1: Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι· Od. I, 157, et passim. Dionys. Ant. Rom. vol. 1, p. 212 ed. Oxon: Ἐκοσμεῖτο ἐν τοῖς ἀγῶσι μετὰ τοὺς προμάχους· ib. p. 691: Ἐξῆγε κεκοσμημένην τὴν στρατιάν. HUTCH.

28. συντρεφόμενα] Eadem sententia Comment. 2, 3, 4, apud Plutarch. Mor. p. 3 E. HUTCH.

29. ἀνιδρωτί] Suidas in Ἀνιδιτὶ, ex h. l.: Ἀνιδρωτὶ πρὸς τὸ ἄριστον οὐκ ἤρχοντο οἱ τοῦ Κύρου στρατιῶται, διὰ τὸ ἡδέως ἐσθίειν καὶ ὑγιαίνειν.

30 Κῦρος δ' ἑαυτῷ σκηνὴν μὲν κατεσκευάσατο ὥστε ἱκανὴν [15] ἔχειν οὓς καλοίη ἐπὶ δεῖπνον. ἐκάλει δὲ ὡς τὰ πολλὰ τῶν ταξιάρχων οὓς καιρὸς αὐτῷ δοκοίη εἶναι, ἔστι δ' ὅτε καὶ τῶν λοχαγῶν καὶ τῶν δεκαδάρχων τινὰς καὶ τῶν πεμπαδάρχων ἐκάλει, ἔστι δ' ὅτε καὶ τῶν στρατιωτῶν, ἔστι δ' ὅτε καὶ τὴν πεμπάδα ὅλην καὶ δεκάδα ὅλην καὶ λόχον ὅλον καὶ τάξιν ὅλην. ἐκάλει δὲ καὶ ἐτίμα ὁπότε τινὰς ἴδοι τοιοῦτόν τι ποιήσαντας ὃ αὐτὸς ἐβούλετο ποιεῖν. ἦν δὲ τὰ παρατιθέμενα ἀεὶ ἴσα αὐτῷ τε καὶ τοῖς καλουμένοις ἐπὶ
31 δεῖπνον. καὶ τοὺς ἀμφὶ τὸ στράτευμα δὲ ὑπηρέτας ἰσομοί- [16] ρους πάντων ἀεὶ ἐποιεῖτο· οὐδὲν γὰρ ἧττον τιμᾶν ἄξιον ἐδόκει αὐτῷ εἶναι τοὺς ἀμφὶ τὰ στρατιωτικὰ ὑπηρέτας οὔτε κηρύκων οὔτε πρέσβεων. καὶ γὰρ πιστοὺς ἡγεῖτο δεῖν εἶναι τούτους καὶ ἐπιστήμονας τῶν στρατιωτικῶν καὶ συνετούς, προσέτι δὲ καὶ σφοδροὺς καὶ ταχεῖς καὶ ἀόκνους καὶ ἀταράκτους. πρὸς δ' ἔτι ἃ οἱ βέλτιστοι νομιζόμενοι ἔχουσιν ἐγίγνωσκεν ὁ Κῦρος δεῖν τοὺς ὑπηρέτας ἔχειν, καὶ τοῦτο ἀσκεῖν ὡς μηδὲν ἀναίνοιντο ἔργον, ἀλλὰ πάντα νομίζοιεν πρέπειν αὐτοῖς πράττειν ὅσα ὁ ἄρχων προστάττοι.

ΚΕΦ. Β.

Ἀεὶ μὲν οὖν ἐπεμέλετο ὁ Κῦρος, ὁπότε συσκηνοῖεν, ὅπως εὐχαριστότατοί τε ἅμα λόγοι ἐμβληθήσονται καὶ

30. δ' ἑαυτῷ A. δὲ αὐτῷ G. δὲ αὐτὸς D. ὥστε ἱκανὴν ἔχειν] ὡς ἱκανὴ εἴη D. δεῖπνον] τὸ δεῖπνον D. ταξιαρχῶν A.G. αὐτῷ] αὐτοῖς A.G. pr., ut videtur. λοχαγῶν καὶ τῶν om. A.G. mg. r. δεκαδαρχῶν G. πενταδαρχῶν A. πεντεδαρχῶν G. et μπ m. r. super τ. πεμπαδαρχῶν L. ἔστι δ' ὅτε καὶ τῶν λ.] ἔστιν ὅτε καὶ τῶν λ. D. τὴν πεμπάδα] τὴν πεντάδα A. πεμπάδα D. καὶ δεκάδα ὅλην K. ἐκάλει καὶ δεκάδα ὅλην C. ἐκάλει δὲ καὶ δεκάδα ὅλην D.H. om. A.G. καὶ λόχον ὅλον καὶ τάξιν ὅλην G. mg. r. ὅτε G. καὶ ὁπότε H. τοιοῦτο A.D. αὐτὸς] πάντας D.G. mg. τὰ] μὲν add. D.G. s. v. r. αὐτῷ τε] αὐτῷ A. δεῖπνον] τὸ s. v. add. G. r. 31. ἀεὶ πάντων D. ἐποίει D. προσέτι] ἔτι D. ἀταράχους D.G. corr. r. πρὸς δ' ἔτι] πρὸς δὲ τούτοις D. πρὸς τούτοις καὶ, super πρὸς addito δὲ, G. mg. r. ἃ] ὅσα D.G. m. r. αὐτοῖς A.D.G. πρέπειν] τὸ τοῖς ὑπηρέταις πρέπον mg. G. ὁ] om. A.G. et qui m. r. addit ἂν ὁ L., ut D. Itaque ἄρχων scribendum videtur, ut 27. ἄν. προστάττοι] πράττοι D. corr. s. v. 1. ἐπεμελεῖτο D.

31. ὑπηρέτας] Conf. de his ὑπηρέταις, plerumque nuntiis imperatoris, raro pugnantibus, ed. Turic. Scriptorum milit. vol. 2, p. 250.

ὅσα ἔχουσιν est de moribus, ut Lat. *Cæsar hoc habet.* SCHN.

1. Conf. Plut. Mor. p. 630 A.

εὐχαριστότατοι] Gregor. Cor. Walz. Rhett. vol. 7, part. 2, p. 1343, 8: Συμπόσια δὲ Σωκρατικὰ διὰ σπουδαίων καὶ γελοίων ἐκφέρονται, τουτέστι διά τινων εὐαρέτων λόγων καὶ συνετῶν καὶ ἀναγ-

παρορμῶντες εἰς τἀγαθόν. ἀφίκετο δ' οὖν καὶ εἰς τόνδε
ποτὲ τὸν λόγον. Ἆρά γε, ἔφη, ὦ ἄνδρες, ἐνδεέστεροί τι
ἡμῶν διὰ τοῦτο φαίνονται εἶναι οἱ ἑταῖροι ὅτι οὐ πεπαί-
δευνται τὸν αὐτὸν τρόπον ἡμῖν, ἢ οὐδὲν ἄρα διοίσειν ἡμῶν
οὔτ' ἐν ταῖς συνουσίαις οὔτε ὅταν ἀγωνίζεσθαι πρὸς τοὺς
2 πολεμίους δέῃ; καὶ Ὑστάσπας ὑπολαβὼν εἶπεν, Ἀλλ'
ὁποῖοι μέν τινες ἔσονται εἰς τοὺς πολεμίους οὔπω ἔγωγε
ἐπίσταμαι· ἐν μέντοι τῇ συνουσίᾳ δύσκολοι ναὶ μὰ τοὺς
θεοὺς ἔνιοι αὐτῶν φαίνονται. πρῴην μέν γε, ἔφη, Κυαξά-
ρης ἔπεμψεν εἰς τὴν τάξιν ἑκάστην ἱερεῖα, καὶ ἐγένετο κρέα
ἑκάστῳ ἡμῶν τρία ἢ καὶ πλείω τὰ περιφερόμενα. καὶ ἤρξατο
μὲν ἀπ' ἐμοῦ τὴν πρώτην περίοδον περιφέρων· ὅτε δὲ τὸ
δεύτερον εἰσῄει περιοίσων, ἐκέλευσα ἐγὼ ἀπὸ τοῦ τελευ-
3 ταίου ἄρχεσθαι καὶ ἀνάπαλιν περιφέρειν. ἀνακραγὼν οὖν
τις τῶν κατὰ μέσον τὸν κύκλον κατακειμένων στρατιωτῶν
Μὰ Δί', ἔφη, τῶνδε μὲν οὐδὲν ἴσον ἐστὶν, εἴγε ἀφ' ἡμῶν
γε τῶν ἐν μέσῳ οὐδεὶς οὐδέποτε ἄρξεται. καὶ ἐγὼ ἀκούσας
ἠχθέσθην, εἴ τι μεῖον δοκοῖεν ἔχειν, καὶ ἐκάλεσα εὐθὺς
αὐτὸν πρὸς ἐμέ. ὁ δὲ μάλα γε τοῦτο εὐτάκτως ὑπήκουσεν.

τὸ ἀγαθόν D. ἀφ.—λόγον om. A. δ' οὖν] δὲ D. εἶναι om. D. ἕτεροι A.G. διοίσουσι D. 2. ὑστάσπης A.G. ὁ ὑστάσπης D. ναὶ erasit D. ἔνιοι om. D. post αὐτῶν B. αὐτῶν] ἤδη ante hoc add. D. post hoc s. v. r. G. κυαξάρης] τότε ante κ. add. A. post κ. punctis infra positis G. ὅτε ante κ. D. ἐγένοντο A. et s. v. posito r. ετο G. κρέα post τρία D. ἢ post τρία om. A.G. s. v. r. μὲν] μὲν δὴ D. ἐμοῦ] ὁ μάγειρος add. D. et mg. al. m. L. περιῄει εἰσοίσων A.G. pr. πάλιν A.G. corr. s. v. περιφέρειν] περι s. v. D. 3. ἀνακειμένων D. εἴγε] εἰ D. οὐθεὶς A. ἠχθέσθην τε D. δοκοίη D. ἐκάλεσα] ἐκέλευσα G. pr.

καίων καὶ ἀξίων σπουδῆς, καὶ διὰ τῶν πρὸς εὐθυμίαν καὶ ἡδονὴν κινούντων, οὓς εὐχαριτωτέρους λόγους εἶναί φησιν ὁ Ξενοφῶν, ὡς πρὸς χάριν κινοῦντας· διὰ μὲν γὰρ τῶν περὶ ἀρετῶν λόγων κοσμεῖται τῶν σοφῶν τὸ συμπόσιον, διὰ δὲ τῶν χαριέντων πρὸς εὐθυμίαν κινεῖται. Cujus codex Vindob. εὐχαριστοτέρους. Hermogenes ib. vol. 3, p. 444, 10: Ἀεὶ μὲν οὖν ἐπεμελεῖτο ὁ Κῦρος, ὁπότε συσκηνοῖεν, ὅπως εὐχάριτές τε λόγοι ῥηθήσονται καὶ παρορμῶντες εἰς ἀρετήν. Ubi codd. Monac. et Vindob. εὐχαριτώτεροί τε. Hic εὐχαριτώτατοι malebat Stephanus, cujus vocabuli exempla fere sunt dubia, ut dictum ad Thes. Stephani. V. ad s. 11.

2. Ὑστάσπης libri hic et 15; 4, 2, 46, 47, meliores 7, 1, 19, Ὑστάσπας constanter 7, 4, et 8, 4. Quod commendat Ἀράσπας et Γαδάτας similiter sæpe depravatum, ut dixi ad 5, 4, 1.

ἐγένετο] Eadem quæ hic inter singularem et pluralem cum neutro pluralis conjunctum librorum variatio est infra aliquoties. Quibus locis omnibus nihilo plus tribuendum videri quam ubi vel omnes in neutro consentiunt, dixi præf. ad Anab. p. xiii.

ἤρξατο] ὁ μάγειρος additamentum non minus supervacuum hic quam s. 4, ubi ἄρξεται, præsertim quum ἄρταμος sit ibidem paullo post, ubi item illatum μάγειρος, quod vix credibile hic, illic ἄρταμος scripsisse Xenophontem.

ὡς δὲ τὰ περιφερόμενα ἧκε πρὸς ἡμᾶς, ἅτε, οἶμαι, ὑστάτους λαμβάνοντας, τὰ μικρότατα λελειμμένα ἦν. ἐνταῦθα δὴ ἐκεῖνος πάνυ ἀνιαθεὶς δῆλος ἦν καὶ εἶπε πρὸς αὑτὸν, Τῆς
4 τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο τυχεῖν. καὶ ἐγὼ εἶπον, Ἀλλὰ μὴ φρόντιζε· αὐτίκα γὰρ ἀφ' ἡμῶν αὖ ἄρξεται καὶ σὺ πρῶτος λήψει τὸ μέγιστον. καὶ ἐν τούτῳ περιέφερε τὸ τρίτον, ὅπερ δὴ λοιπὸν ἦν τῆς περιφορᾶς. κἀκεῖνος ἔλαβε· κᾆτ' ἔδοξεν αὑτῷ μεῖον λαβεῖν· κατέβαλεν οὖν ὃ ἔλαβεν ὡς ἕτερον ληψόμενος. καὶ ὁ ἄρταμος οἰόμενος αὐτὸν οὐδέν τι δεῖσθαι ὄψου, ᾤχετο παραφέρων πρὶν λαβεῖν αὐτὸν ἕτε-
5 ρον. ἐνταῦθα δὴ οὕτω βαρέως ἤνεγκε τὸ πάθος ὥστε ἀνήλωτο μὲν ὃ εἰλήφει, ὅσον δ' ἔτι αὐτῷ λοιπὸν ἦν τοῦ ἐμ-

οἴομαι A.G. σμικρ. D. ἦν] ἐγένετο D. αὑτὸν] αὐτὸν A.G. ἑαυτὸν D. βληθέντα G. corr. s. v. δεῦρο τυχεῖν] δευτεροτυχεῖν A.G. corr. s. v. δεύτερον τυχεῖν B. 4. αὖ om. D. λήψει B. λήψῃ A.D.G. τοσούτῳ D. ἔλαβε. κᾆτ' ἔδοξεν αὐτῷ μεῖον λαβεῖν. κατέβαλεν οὖν A.G. pr., nisi quod κατέβαλλεν habuisse videtur pr. Supplet autem post ἔλαβε mg. r. μετ' ἐμὲ δεύτερος· ὡς δ' ὁ τρίτος ἔλαβε et αὐτῷ μεῖον s. v. corrigit αὐτὸν μεῖζον αὑτοῦ. Cum G. pr. consentit H., nisi quod ἔλαβεν. κᾆτ', et L., nisi quod ἔδοξεν αὐτῷ μεῖζον αὐτοῦ λαβεῖν scribit. ἔλαβεν μετ' ἐμὲ δεύτερος· ὡς δ' ὁ τρίτος ἔλαβεν καὶ ἔδοξεν αὐτὸν μεῖζον ἑαυτοῦ λαβεῖν, καταβάλλει D. Ad quæ Valck. notavit ἔδοξεν αὐτῷ μεῖον λαβεῖν ex I.M. μεῖον ex N., αὐτῷ ex K., κατέβαλεν οὖν ex M. ἄρταμος] μάγειρος D.G. mg. r. οὐδὲν ante οἰόμενος D. οὐθέν A. τι] ἔτι K. post δεῖσθαι D. 5. οὕτως A.D. μὲν] αὐτῷ add. D. et s. v. G. r. εἰλείφει D. ὅσον] Libri ὄψον. Post quod ὃ om. A. et qui pr. interpunxerat post εἰλήφει, corr. post ὄψον, G. pr., addit s. v. r., ut D. δ' ἔτι] δέ τι A.G. δὲ ἔτι D. ἐμβάπτεσθαι] ἐμβάμματος K. *intinctionis* Philelphus, *liquaminis* Gabrielius.

4. περιέφερε] ὁ μάγειρος, qui et in ἄρξεται intelligendus erat. SCHN.

ἕτερον] Ælian. N. A. 2, 11: Τῆς μοίρας τῆς μείζονος ἁρπακτικὸς, ὡς ὁ Πέρσης ὁ παρὰ Ξενοφῶντι τῷ χρυσῷ. Qui an jam habuerit in libro suo μεῖζον certo dici non potest. Ego libros optimos sum sequutus, quum in deteriorum scriptura parum inter se conveniant πρῶτος et μετ' ἐμὲ δεύτερος, nihil autem in illorum scriptura sit quod reprehendatur, sublato levi mendo αὐτῷ pro αὑτῷ, unde altera omnis est enata. Conf. autem cum μεῖον λαβεῖν s. 3, εἴ τι μεῖον δοκοῖεν ἔχειν.

παραφέρων] Athen. 9, p. 380 D: Ἔδοξεν οὖν ἐπ' ἄλλο τι τῶν παραφερομένων τὰς χεῖρας ἐπιβάλλειν. καὶ ὁ Οὐλπιανὸς ἔφη—ποῦ κεῖται τὸ παραφέρειν. καὶ ὁ Μάγνης ἔφη, Ἀριστοφάνης ἐν Προαγῶνι, Τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια; Σώφρων δ' ἐν Γυναικείοις — Παράφερε, Κοικόα, τὸν σκύφον μεστόν. καὶ Πλάτων δ' ἐν Λάκωσιν ἔφη, Πάσας παραφερέτω. Ἄλεξις Παμφίλῃ, Παρέθηκε τὴν τράπεζαν, εἶτα παραφέρων ἀγαθῶν ἁμάξας· 11, p. 464 F, ubi pass. HUTCH. Conf. Synes. Ægypt. p. 107 A.

5. ὥστε ἀνήλωτο μὲν etc.] Conf. 1, 1, 4: Τοσοῦτον διήνεγκε τῶν ἄλλων βασιλέων, ὥσθ' ὁ μὲν Σκύθης ἀγαπῴη ἂν εἰ τοῦ ἑαυτοῦ ἔθνους ἄρχων διαγένοιτο, Κῦρος δὲ κ. τ. λ. Similis membrorum per μὲν et δὲ divisio 4, 2, 46; 5, 3, 47 et alibi.

τοῦ ἐμβάπτεσθαι] Medium est, cujus exempla v. in Thes. Stephani. Restituto autem ὅσον sublata est constructio, similis Theocriteo 10, 53: Τὸν τὸ πιεῖν ἐγχεῦντα, et Automedontis Anth. P. 12, 34, 4: Εἷς ἔφερεν τὸ φαγεῖν.

βάπτεσθαι, τοῦτό πως ὑπὸ τοῦ ἐκπεπλῆχθαί τε καὶ τῇ
τύχῃ ὀργίζεσθαι δυσθετούμενος ἀνέτρεψεν. ὁ μὲν δὴ λο-
χαγὸς ὁ ἐγγύτατα ἡμῶν ἰδὼν συνεκρότησε τὼ χεῖρε καὶ τῷ
γέλωτι ηὐφραίνετο. ἐγὼ μέντοι, ἔφη, προσεποιούμην βήτ-
τειν· οὐδὲ γὰρ αὐτὸς ἐδυνάμην τὸν γέλωτα κατασχεῖν.
τοιοῦτον μὲν δή σοι ἕνα, ὦ Κῦρε, τῶν ἑταίρων ἐπιδεικνύω,
6 ἔφη. ἐπὶ μὲν δὴ τούτῳ ὥσπερ εἰκὸς ἐγέλασαν. ἄλλος δέ [2]
τις ἔλεξε τῶν ταξιάρχων, Οὗτος μὲν δή, ὦ Κῦρε, ὡς ἔοι-
κεν, οὕτω δυσκόλῳ ἐπέτυχεν. ἐγὼ δέ, ὡς σὺ διδάξας ἡμᾶς
τὰς τάξεις ἀπέπεμψας καὶ ἐκέλευσας διδάσκειν τὴν ἑαυτοῦ
ἕκαστον τάξιν ἃ παρὰ σοῦ ἐμάθομεν, οὕτω δὴ καὶ ἐγώ,
ὥσπερ καὶ οἱ ἄλλοι ἐποίουν, ἐλθὼν ἐδίδασκον ἕνα λόχον.
καὶ στήσας τὸν λοχαγὸν πρῶτον καὶ τάξας δὴ ἐπ' αὐτῷ
ἄνδρα νεανίαν καὶ τοὺς ἄλλους ᾗ ᾤμην δεῖν, ἔπειτα στὰς
ἐκ τοῦ ἔμπροσθεν βλέπων εἰς τὸν λοχαγόν, ἡνίκα μοι
7 ἐδόκει καιρὸς εἶναι, προϊέναι ἐκέλευσα. καὶ ἁνήρ σοι ὁ νεα-
νίας ἐκεῖνος προελθὼν τοῦ λοχαγοῦ πρότερος ἐπορεύετο.
καὶ ἐγὼ ἰδὼν εἶπον, Ἄνθρωπε, τί ποιεῖς; καὶ ὃς ἔφη, Προ-
έρχομαι ὥσπερ σὺ κελεύεις. κἀγὼ εἶπον, Ἀλλ' οὐκ ἐγὼ
σὲ μόνον ἐκέλευον, ἀλλὰ πάντας προϊέναι. καὶ ὃς ἀκούσας

ὀργ. τῇ τ. D. δυσφορούμενος D. et corr. G. ἀνέστρεψεν A.G. συνεκρότησέν με τὼ D. ηὐφραίνετο—γέλωτα G. mg. r., unde γέλωτα pr. in γέλωτι mutavit corr. ηὐφράνετο (sic)—γέλωτα L. mg. r. γέλωτι—τὸν om. A. ἠδυνάμην G. καταχεῖν A. κατέχειν τὸν γέλωτα D. τοιοῦτον μέντοι σοι ἓν λέγω (i. e. ἕνα ἐγὼ) ὦ κῦρε D. ἑτέρων G. corr. s. v. ἔφη om. D. τούτῳ N. τοῦτο A.D.G. τοῦτον G. s. v. 6. ταξιαρχῶν· οὗτως D. ὦ κῦρε] ἔφη ὦ κῦρε, G. s.v. r. ὦ κῦρε ἔφη D. Hic autem mg. A. ἐν συμποσίῳ διάλεξις κύρου καὶ τῶν στρατηγῶν, ut G. paullo ante. δυσκόλως A.G. pr. ἐνέτυχεν D.G. corr. ἔπεμψας A.G. ἃ] τὰ A.G. pr. λόγον G. pr. δὴ] δῆτα D.G. mg. r. αὐτὸν A.G. et ῶ s. v. r. ᾗ] ἃ A.G., ᾗ corr. ᾠόμην A.G. λοχαγὸν] λοχαγωγὸν G. positis infra γω punctis et s. v. r. λόχον. λόγον fort. D. pr., nunc λόχον, ut L. εἶναι καιρὸς B. προσιέναι D. et corr. G., qui hic mg. σημείωσαι. 7. ἁνὴρ] ἀνὴρ A.G. pr., ὁ s. v. r. ὁ ἀνὴρ D.L. προσελθὼν D. λοχαγωγοῦ G., punctis infra γω positis, sed pr. fort. λοχαγοῦ τοῦ. Post quod ἔμπροσθεν add. D. et G. mg. r. καὶ ἐγὼ] καὶ D. ὦ ἄνθρωπε D. προέρχομαι] ἔρχομαι A.G. pr., προ s. v. r. κἀγὼ D. καὶ ἐγὼ A.G. οὐκ ἐγὼ] ἐγὼ οὐ D. προσιέναι D.G. corr.

τῷ γέλωτι ηὐφραίνετο] Risui indulgebat vel ridiculo delectabatur. SCHN. Potius prius, ut 8, 1, 33: Χαίροντα ὑβριστικῶς γέλωτι.

6. ἐλθὼν] V. ad 4, 1, 12.

ἄνδρα νεανίαν] Nominat tironem plebeium. SCHN.

7. ἁνὴρ—ἅνδρες] V. ad 2, 3, 15. Eandem librariorum incuriam monstrant libri in duplici κἀγὼ, quorum prius ita scriptum in edd. vett., in libris καὶ ἐγὼ ut s. 6 et alibi. V. præf. ad Anab. p. xiii.

τοῦτο μεταστραφεὶς πρὸς τοὺς λοχίτας εἶπεν, Οὐκ ἀκούετε,
ἔφη, λοιδορουμένου; προϊέναι, ἔφη, πάντας κελεύει. καὶ
ἄνδρες πάντες παριόντες τὸν λοχαγὸν ᾖσαν πρὸς ἐμέ.
8 ἐπεὶ δὲ ὁ λοχαγὸς αὐτοὺς ἀνεχώριζεν, ἐδυσφόρουν καὶ
ἔλεγον, Ποτέρῳ δὴ πείθεσθαι χρή; νῦν γὰρ ὁ μὲν κελεύει
προϊέναι, ὁ δ' οὐκ ἐᾷ. ἐγὼ μέντοι ἐνεγκὼν ταῦτα πρᾴως ἐξ
ἀρχῆς αὖ καταχωρίσας εἶπον μηδένα τῶν ὄπισθεν κινεῖ-
σθαι πρὶν ἂν ὁ πρόσθεν ἡγῆται, ἀλλὰ τοῦτο μόνον ὁρᾶν,
9 πάντας τῷ πρόσθεν ἕπεσθαι. ὡς δ' εἰς Πέρσας τις ἀπιὼν
ἦλθε πρὸς ἐμὲ καὶ ἐκέλευσέ με τὴν ἐπιστολὴν ἣν ἔγραψα
οἴκαδε δοῦναι, κἀγώ, ὁ γὰρ λοχαγὸς ᾔδει ὅπου ἔκειτο ἡ
ἐπιστολή, ἐκέλευσα αὐτὸν δραμόντα ἐνεγκεῖν τὴν ἐπιστο-
λήν, ὁ μὲν δὴ ἔτρεχεν, ὁ δὲ νεανίας ἐκεῖνος εἵπετο τῷ λο-
χαγῷ σὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι, καὶ ὁ ἄλλος δὲ
πᾶς λόχος ἰδὼν ἐκεῖνον συνέτρεχε· καὶ ἧκον οἱ ἄνδρες
φέροντες τὴν ἐπιστολήν. οὕτως, ἔφη, ὅ γ' ἐμὸς λόχος σοι
10 ἀκριβοῖ πάντα τὰ παρὰ σοῦ. οἱ μὲν δὴ ἄλλοι ὡς εἰκὸς [3]
ἐγέλων ἐπὶ τῇ δορυφορίᾳ τῆς ἐπιστολῆς· ὁ δὲ Κῦρος εἶπεν,
Ὦ Ζεῦ καὶ πάντες θεοί, οἵους ἄρα ἡμεῖς ἔχομεν ἄνδρας
ἑταίρους, οἵ γε εὐθεράπευτοι μὲν οὕτως εἰσὶν ὥστ' εἶναι
αὐτῶν καὶ μικρῷ ὄψῳ παμπόλλους φίλους ἀνακτήσασθαι,

εἶπεν ante οὐκ in mg. D. λοιδ.—κελεύει] προστάττοντος s. λοιδ. m. r. G., ut pro illo D., omissis mox ἔφη et κελεύει. L. postquam deleverat et punctis notaverat λοιδ. κελεύει, in mg. ead. m.: προστάττοντος προϊέναι ἔφη πάντας κελεύει καὶ ἄνδρες (πάντας — ἄνδρες linea deletis et s. v. n. πάντας καὶ οἱ ἄνδρες) προελθόντες πάντες τὸν λοχαγὸν ᾔεσαν πρὸς ἐμέ. ἄνδρες] ἄνδρες A.G. et mg. L. οἱ ἄνδρες D. παριόντες] περιιόντες A.G. pr., παρελθόντες post πάντες D.G. corr. (in quo β corr. super hoc, α super πάντες), προελθόντες L. mg., de quo v. paullo ante. Scripsi παριόντες. πάντες om. A. ᾖσαν] ᾔισαν A. οι ησαν in ras. et in mg. ᾔεσαν B.D. et qui ᾔε in ras. G. 8. ἐδυσφοροῦντο D. ποτ. χρὴ πείθ. D. νῦν] νῦν μὲν D. οὐκ ἐᾷ] οὔ, καὶ A.G. pr. οὐκ ἐᾷ. καὶ G, corr. αὖ καταχωρίσας] αὐτίκα χωρίσας A.G. κατὰ s. v. r. μηθένα A. ὁ om. D. τῷ] τὸ D. 9. δοῦναι post ἐπιστολὴν D. ὁ δὲ νεανίας ἐκεῖνος εἵπετο] ὁ δέ τοι μετ' ἐκεῖνον ἕπεται D. δὲ] δὴ A.G. λόχος πᾶς G. συνέτρεχον A.G. pr. συνέτρεχεν, ut solet, D. οὗτος D. σοι λόχος D. 10. ἄνδρας ἑ. D. ἑτέρους G. pr. οἵ γε] εἰ γὰρ D. ὥστ' εἶναι] ὥστε τίνας D. τινὰς s. v. G. αὐτῶν] εἶναι add. D. in ras. ἔστι fort. pr., ut L. mg. r. παμπόλλους] πάνυ D. pr., qui corr. παμ, ascripto s. v. πόλλους, L. mg. r. ἀν. φίλους D.

ᾖσαν] Abolitam fere in libris Xenophontis formam hoc uno loco monstrant meliores, ut apud Thucyd. 1, 1. Quam utrique constanter esse reddendam pluribus dictum præf. ad Anab. p. x.

9. συνέτρεχε] συνέτρεχον, quod est in libris melioribus, conferendum foret cum iis quæ tetigimus ad 2, 4, 20, et quod Anab. 6, 4, 20: Σχεδόν τι πᾶσα ἡ στρατιὰ διὰ τὸ μέλειν ἅπασιν ἐκυκλοῦντο est in melioribus pro ἐκυκλοῦτο, ubi v. annot. Sed idem hic facile per sequens ἧκον potuit inferri.

πιθανοὶ δ' οὕτως εἰσί τινες ὥστε πρὶν εἰδέναι τὸ προστατ-
τόμενον πρότερον πείθονται. ἐγὼ μὲν οὐκ οἶδα ποίους
τινὰς χρὴ μᾶλλον εὔξασθαι ἢ τοιούτους στρατιώτας ἔχειν.
11 ὁ μὲν δὴ Κῦρος ἅμα γελῶν οὕτως ἐπῄνεσε τοὺς στρατιώ- [4]
τας. ἐν δὲ τῇ σκηνῇ ἐτύγχανέ τις ὢν τῶν ταξιάρχων
Ἀγλαϊτάδας ὄνομα, ἀνὴρ τὸν τρόπον τῶν στρυφνοτέρων
ἀνθρώπων, ὃς οὑτωσί πως εἶπεν· Ἦ γὰρ οἴει, ἔφη, ὦ
Κῦρε, τούτους ἀληθῆ λέγειν ταῦτα; Ἀλλὰ τί μὴν βουλό-
μενοι, ἔφη ὁ Κῦρος, ψεύδονται; Τί δ' ἄλλο γε, ἔφη, εἰ
μὴ γέλωτα ποιεῖν ἐθέλοντες ὑπὲρ οὗ λέγουσι ταῦτα καὶ
12 ἀλαζονεύονται; καὶ ὁ Κῦρος, Εὐφήμει, ἔφη, μηδὲ λέγε [5]
ἀλαζόνας εἶναι τούτους. ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ
ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις
εἶναι ἢ εἰσὶ καὶ ἀνδρειοτέροις καὶ ποιήσειν ἃ μὴ ἱκανοί
εἰσιν ὑπισχνουμένοις, καὶ ταῦτα φανεροῖς γιγνομένοις ὅτι
τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδᾶναι ποιοῦσιν. οἱ δὲ μηχανώ-
μενοι γέλωτα τοῖς συνοῦσι μήτε ἐπὶ τῷ αὑτῶν κέρδει μήτ'
ἐπὶ ζημίᾳ τῶν ἀκουόντων μήτε ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς
οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριτες δικαιότερον ὀνομάζοιντο
13 μᾶλλον ἢ ἀλαζόνες; ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελογήσατο
περὶ τῶν τὸν γέλωτα παρασχόντων· αὐτὸς δὲ ὁ ταξίαρχος [6]

ὥστε D.G. s. v. Photius s. Suidas. v. *Πιθανοὺς* citantes *πιθανοὶ—πείθεσθαι*. *ὡς* A.G. *τασσόμενον* A.G. *προστασσόμενον* G. s. v. r. *προσταττόμενον* D. *πραττόμενον* Photius s. Suid. *εὔχεσθαι* D. *ἔχειν—στρατιώτας* om. A. addit G. r. 11. *ἀγαλιτάδας* D. *ὃς—εἶπεν*] *οὗτος ὧδέ πως εἶπεν* D. *ἦ*] *τί* A.G., et antea *εἶπε*. *ἀληθῶς* A.G. pr. *ἄλλο γε*] *ἄλλο* A. *ἄλλο γ'* D.G. pr. *λέγουσι*] *λέγουσί τε* D.G. corr. 12. *μηδὲ*] *μὴ* D. *ὁ μὲν—ἀλαζόνες* Stob. Fl. 22, 44. *αὐτῶν* A. *αὐτῷ* D. pr. G. pr. *ἑαυτῶν* G. corr. *μὴ δὲ μιᾷ* A. *ἂν* om. D. *εὐχάριτες*] *εὐχάριστοι* Stob. *δικ. ὀν. μᾶλλον*] *ὀν. δικ.* Stob. *τὶ ἐστὶ ἀλαζὼν* et *τίς ὁ ἀστεῖος* mg. G. 13. *αὐτὸς*] *αὖθις* G.D. *ταξίαρχος* H. s. v. *λοχαγὸς* A.D.G.

11. *Ἀγλαϊτάδας*] Mirum in Persa nomen idem est Laconis in Ps.-Xenophontis Epistola apud Stob. Fl. 66, 8.

στρυφνοτέρων] Aristoph. Vesp. 872: *Παῦσον δ' αὐτοῦ τουτὶ τὸ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος.* HUTCH. Conf. quæ post Ruhnk. ad Tim. diximus ad Thes. Steph.

τί δ' ἄλλο γε] De formula v. Heindorfium ad Plat. Phæd. p. 32. SCHN. Similiter ut hic variant libri Plat. Phædr. p. 268 B.

εὐχάριτες] Stobæus *εὐχάριστοι*. In usu hujus et germani *εὐχάριστος* vel *εὐχάριτος* mire variant scripturam libri veteres, et in judicando eo fluctuavit etiam H. Stephanus. SCHN. *Εὐχάριστοι* clare scriptum vidi in recentissimo codice Cyropædiæ. V. ad s. 1.

13. *ταξίαρχος*] Pro *λοχαγὸς* restitui hic et 15, 16 ex Philelpho, qui vertit *ordinis centurio*, quomodo constanter reddit *ταξίαρχος*, sed *λοχαγὸς* semper *primipilum*. Primum enim in hoc Cyri convivio non fuerunt *λοχαγοί*, minorum gentium duces. De-

ὁ τὴν τοῦ λόχου χαριτίαν διηγησάμενος ἔφη, Ἦπου ἄν, ἔφη, ὦ Ἀγλαϊτάδα, εἴ γε κλάειν ἐπειρώμεθά σε ποιεῖν, σφόδρ' ἂν ἡμῖν ἐμέμφου, ὥσπερ ἔνιοι καὶ ἐν ᾠδαῖς καὶ ἐν λόγοις οἰκτρά τινα λογοποιοῦντες εἰς δάκρυα πειρῶνται ἄγειν, ὁπότε γε νῦν καὶ αὐτὸς εἰδὼς ὅτι εὐφραίνειν μέν τί σε βουλόμεθα, βλάψαι δ' οὐδέν, ὅμως οὕτως ἐν πολλῇ
14 ἀτιμίᾳ ἡμᾶς ἔχεις. Ναὶ μὰ Δί', ἔφη ὁ Ἀγλαϊτάδας, καὶ [7]
δικαίως γε, ἐπεὶ καὶ αὐτοῦ τοῦ κλάειν καθίζοντος τοὺς φίλους πολλαχοῦ ἔμοιγε δοκεῖ ἐλάττονος ἄξια διαπράττεσθαι ὁ γέλωτα αὐτοῖς μηχανώμενος. διό, ἔφη, καὶ σὺ νῦν, ἢν ὀρθῶς λογίζῃ, ἐμὲ ἀληθῆ λέγοντα εὑρήσεις. κλαύμασι μέν γε καὶ πατέρες υἱοῖς σωφροσύνην μηχανῶνται καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθήματα, καὶ νόμοι γε πολίτας διὰ τοῦ κλάοντας καθίζειν εἰς δικαιοσύνην προτρέπονται· τοὺς δὲ γέλωτα μηχανωμένους ἔχοις ἂν εἰπεῖν ἢ σώματα ὠφελοῦντας ἢ ψυχὰς οἰκονομικωτέρας τι ποιοῦν-
15 τας ἢ πολιτικωτέρας; ἐκ τούτου ὁ Ὑστάσπας ὧδέ πως [8]
εἶπε· Σύ, ἔφη, ὦ Ἀγλαϊτάδα, ἢν ἐμοὶ πείθῃ, εἰς μὲν τοὺς πολεμίους θαρρῶν δαπανήσεις τοῦτο τὸ πολλοῦ ἄξιον, καὶ κλάοντας ἐκείνους πειράσει καθίζειν· ἡμῖν δὲ πάντως, ἔφη,

λόγου A.G. s. v. ἔφη alterum om. D. punctis infra notat G. κλᾴειν G. κλαίειν A.D.L. σε G. s. v. r. καὶ ἐν ᾠδαῖς om. A. καὶ ἐν ᾠδαῖς καὶ ἐν λόγοις οἰκτρὰ G. mg. al. m. τινα] ἄττα D.L. ἅττα G. al. m. in ras. εἰς om. A.G. pr. βλάπτειν D. 14. ναὶ] καὶ ναὶ A.G. Libri κλαίειν. πολλαχῇ D.G. corr. διὸ—νῦν] εὑρήσεις δὲ καὶ σὺ D. et νῦν L. mg. al. m. Margo G. hic περὶ τοῦ κλαίειν καὶ γελᾶν. ἢν] ἂν A.G. εὑρήσεις om. D. τοῦ] τοὺς compendio scriptum G. Libri κλαίοντας hic et 15. ἐς A. τι s. v. D. ποιοῦντα G. corr. 15. ὑστάσπας A. mg. rubro colore, ut mox ἀγλαϊτάδας, κῦρος, χρυσάντας. ὑστάσπης A.D.G. εἰπεῖν A. εἶπεν D., ut solet, G., sed ε in ras. ὦ om. D. εἰς] ἐς A. ὡς D. δαπανήσεις] ποιήσεις A.G., corr. mg. r. Libri πειράσῃ—ἐπιδαψιλεύσῃ. πολλοῦ] τοῦ πολλοῦ D.

inde diserte is qui illam rem ridiculam narravit, vocatur ταξίαρχος s. 6. Denique eadem confusa 2, 2, 28. ZEUN. Et 2, 3, 24.

ὥσπερ—ἄγειν] Etsi collocatio horum verborum excusari possit locis similibus 1, 2, 9, ubi ποιεῖ δέ, et 8, 2, 14, ubi ἢ δὴ separatur verbis nonnullis ab vocabulo, ad quod maxime pertinet, tamen ipsum totum hoc additamentum adeo est supervacuum ut lectoris potius otiosi videatur quam Xenophontis. Formula καὶ ἐν λόγοις καὶ ἐν ᾠδαῖς utitur Synes. De prov. p. 91 B.

14. κλάειν καθίζοντος] Quod plerumque cum καθίζειν conjungitur et solum cum eo jungi grammatica patitur κλάοντα, id in infinitivum mutatum est propter sententiam, quæ in καθίζειν inest eadem ac si ποιεῖν dictum esset. De usu verbi Pollux 3, 89: Ξενοφῶν τὸ ἐκάθισεν ἀντὶ τοῦ καθίσαι ἐποίησεν.

καὶ τοῖσδε τοῖς φίλοις τούτου τοῦ ὀλίγου ἀξίου γέλωτος ἐπιδαψιλεύσει. καὶ γὰρ οἶδ᾽ ὅτι πολύς σοί ἐστιν ἀποκείμενος· οὔτε γὰρ αὐτὸς χρώμενος ἀνησίμωκας αὐτὸν, οὐδὲ μὴν φίλοις οὐδὲ ξένοις ἑκὼν εἶναι γέλωτα παρέχεις· ὥστε οὐδεμία σοι πρόφασίς ἐστιν ὡς οὐ παρεκτέον σοι ἡμῖν γέλωτα. καὶ ὁ Ἀγλαϊτάδας εἶπε, Καὶ οἴει γε, ὦ Ὑστάσπα, γέλωτα ποιεῖν ἐξ ἐμοῦ; καὶ ὁ ταξίαρχος εἶπε, Ναὶ μὰ Δί᾽, ἀνόητος ἄρα ἐστίν· ἐπεὶ ἔκ γε σοῦ πῦρ, οἶμαι, ῥᾷον ἄν τις
16 ἐκτρίψειεν ἢ γέλωτα ἐξαγάγοιτο. ἐπὶ τούτῳ μὲν δὴ οἵ τε [9]
ἄλλοι ἐγέλασαν, τὸν τρόπον εἰδότες αὐτοῦ, ὅ τ᾽ Ἀγλαϊτάδας ἐπεμειδίασε. καὶ ὁ Κῦρος ἰδὼν αὐτὸν φαιδρωθέντα, Ἀδικεῖς, ἔφη, ὦ ταξίαρχε, ὅτι ἄνδρα ἡμῖν τὸν σπουδαιότατον διαφθείρεις γελᾶν ἀναπείθων, καὶ ταῦτα, ἔφη, οὕτω πολέμιον ὄντα τῷ γέλωτι. ταῦτα μὲν δὴ ἐνταῦθ᾽ ἔληξεν. [10]
17 ἐκ δὲ τούτου Χρυσάντας ὧδ᾽ ἔλεξεν.

18 Ἀλλ᾽ ἐγὼ, ἔφη, ὦ Κῦρε καὶ πάντες οἱ παρόντες, ἐννοῶ ὅτι ἐξεληλύθασι μὲν σὺν ἡμῖν οἱ μὲν καὶ βελτίονες, οἱ δὲ

τοῖσδε] καὶ τοῖσδε C. ἐν τοῖς τοιοῖσδε D., omisso τοῖς φίλοις, sed φίλοις mg. al. m. τοῦ ante γ. om. D. puncto infra posito notat G. ἐπιδαψιλῇ, et s. v. a. m. λεύσῃ D. σοι] σὺ D. pr. ἀνησίμωκας] ἀναισίμωκας A. et qui ἀνήλωκας s. v. B. et haud dubie G.L. pr., qui in ras. ἀνήλωκας, ut D. φίλοις] φίλοις γε D. ὁ γλαϊτάδας D. οἴει γε] σύ γε G. corr. M. σὺ δ᾽ αὖ D. Libri ὑστάσπη. ποιεῖν H.I. περιποιεῖν A.G. pr., ut videtur, qui corr. πειρᾶ ποιεῖν. πειρᾷ ποιεῖν D. πειρῶ ποεῖν (sic) L. ταξίαρχος] Libri λοχαγὸς, præter K., ni fallor, qui etiam s. 16. ταξίαρχε, ubi cet. λοχαγέ. V. ad s. 13. ἐξαγάγοι D. Demetr. De eloc. s. 134, hinc citat ῥᾷόν ἐστι πῦρ ἐκτρῖψαι ἀπὸ σοῦ ἢ γ. 16. δὴ om. A.G. εἰδόντες A. αὐτοῦ] τοῦ ἀγλαϊτάδα D. ὅ τ᾽ A. καὶ αὐτὸς G. corr., qui pr. haud dubie ὅ τ᾽. καὶ αὐτὸς ὁ D. ἐπεμειδίασε] inter ε et μ 2 vel 3 litt. erasit G. ταξίαρχε] V. ad s. 15. οὕτως D. 17. δὴ ἐνταῦθ᾽ ἔληξεν] δὴ ἐνταῦθ᾽ ἔλεξεν D. δὴ τοι ἐνταῦθα ἔληξεν αὐτὰ ἐλέγοντο L. δὴ τοιαῦτα ἐλέγοντο A.G. et mg. r. ἐνταῦθα ἔληξεν, I.M. mg. δὴ τοιαῦτα ἐλέγετο E. 18. ἐγὼ] ἔγωγ᾽ D. σὺν ἡμῖν D.G. corr. r. ἡμῖν A. βελτίονος G. corr. γένηται D. καί τι A.

15. ἀνησίμωκας] Ita correxi ad Anab. 3, 2, 3 librorum meliorum scripturam ἀναισίμωκας, quod verbum ab Herodoto et Hippocrate usurpatum per ἀναλίσκειν, ut ἀναισίμωμα per ἀνάλωμα, explicant grammatici. Sed augmentum, quod omittunt libri Herodoti, Xenophon non magis potuit omittere quam in κατησίμωκα Epinicus apud Athen. 10, p. 432 B, et in κατησίμωται Eubulus apud eund. 13, p. 622 E, ubi cod. Laur. κατασίμωται.

17. ἔληξεν] Conv. 4, 5 et 9, 1: Οὗτος μὲν δὴ ὁ λόγος ἐνταῦθα ἔληξεν. SCHN. Cum altero Jacobsius confert 2, 3, 1: Τοιαῦτα μὲν δὴ καὶ γελοῖα καὶ σπουδαῖα καὶ ἐλέγετο καὶ ἐπράττετο ἐν τῇ σκηνῇ. (Et 8, 4, 36: Καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.) Sed eo ipso refellitur pluralis, ut credibile sit illud τοιαῦτα ἐλέγοντο correctoris esse commentum ex ἔλεξε pro ἔληξε hic ut 8, 4, 27, illato ductum.

καὶ μείονος ἄξιοι· ἢν δέ τι γίγνηται ἀγαθὸν, ἀξιώσουσιν οὗτοι πάντες ἰσομοιρεῖν. καίτοι ἔγωγε οὐδὲν ἀνισώτερον νομίζω ἐν ἀνθρώποις εἶναι ἢ τοῦ ἴσου τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. καὶ ὁ Κῦρος εἶπε πρὸς τοῦτο, Ἆρ᾿ οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὦ ἄνδρες, κράτιστον ἡμῖν ἐμβαλεῖν περὶ τούτου βουλὴν εἰς τὸ στράτευμα, πότερα δοκεῖ, ἤν τι ἐκ τῶν πόνων δῷ ὁ θεὸς ἀγαθὸν, ἰσομοίρους πάντας ποιεῖν, ἢ σκοποῦντας τὰ ἔργα ἑκάστου πρὸς ταῦτα καὶ τὰς τιμὰς
19 ἑκάστῳ προστιθέναι; Καὶ τί δεῖ, ἔφη ὁ Χρυσάντας, ἐμβα- [11]
λεῖν λόγον περὶ τούτου, ἀλλ᾿ οὐχὶ προειπεῖν ὅτι οὕτω ποιήσεις; οὐ καὶ τοὺς ἀγῶνας οὕτω προεῖπας καὶ τὰ ἆθλα; Ἀλλὰ μὰ Δί᾿, ἔφη ὁ Κῦρος, οὐχ ὅμοια ταῦτα ἐκείνοις· ἃ μὲν γὰρ ἂν στρατευόμενοι κτήσωνται, κοινὰ οἶμαι ἑαυτῶν ἡγήσονται εἶναι· τὴν δὲ ἀρχὴν τῆς στρατιᾶς ἐμὴν ἴσως ἔτι οἴκοθεν νομίζουσιν εἶναι, ὥστε διατάττοντα ἐμὲ τοὺς ἐπι-
20 στάτας οὐδὲν, οἶμαι, ἀδικεῖν νομίζουσιν. Ἦ καὶ οἴει, ἔφη ὁ [12]
Χρυσάντας, ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθὸν ὥστε μὴ ἴσων ἕκαστον τυγχάνειν, ἀλλὰ τοὺς κρατίστους καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν; Ἔγωγ᾿, ἔφη ὁ Κῦρος, οἶμαι, ἅμα μὲν ἡμῶν συναγορευόντων, ἅμα δὲ καὶ αἰσχρὸν ὂν τὸ ἀντιλέγειν μὴ οὐχὶ τὸν πλεῖστα καὶ πονοῦντα καὶ ὠφελοῦντα τὸ κοινὸν τοῦτον καὶ μεγίστων ἀξιοῦσθαι. οἶμαι δ᾿, ἔφη, καὶ τοῖς κακίστοις συμφέρον φανεῖσθαι τοὺς ἀγαθοὺς
21 πλεονεκτεῖν. ὁ δὲ Κῦρος ἐβούλετο καὶ αὐτῶν ἕνεκα τῶν [13]

ἐν] τῶν ἐν D.G. corr. ἢ τοῦ ἴσου] τοῦ τῶν ἴσων D., qui pr. τούτων, G. corr. ἔφη om. D.G. οὖν] οὐ et ν s. v. D. κρ. ἡμῖν ὦ ἄνδρες D. ἐμβαλλεῖν D. τὸ στράτευμα] τὸν στρατὸν D. ἢ—προστιθέναι om. A.I.G. mg. r. προτιθέναι D. 19. δεῖ] δὴ et in mg. al. m. γρ. δεῖ D. ἐμβάλλειν A.G. οὐ] ἢ οὐ σὺ D.G. corr. οὕτω H. ἔφη οὕτως A. ἔφη D. om. G. προεῖπας τὰ ἆθλα, ἀλλὰ μὰ δί᾿ add. G. mg. r. ἑαυτοῖς D.G. s.v. στρατείας D. οὐθὲν A. οἴομαι D. 20. ὑμῶν σ. D. σ. ἡμῶν G. ὂν om. A.G. pr. τὸ om. D. τὸ κοινὸν] τοι A. τι G. σύμφορον D.

8. οὐδὲν—τῶν ἐν ἀνθρώποις] Comment. 3, 6, 2: Καλὸν εἴ περ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. Ages. 8, 6: Πᾶν τὸ ἐν ἀνθρώποις χρυσίον. SCHN. Sine articulo τῶν infra 7, 5, 56.

τοῦ ἴσου] Hom. Il. 1, 319: Ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός. Eur. Hec. 306: Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον. HUTCH.

ἀντιλέγειν μὴ οὐχὶ] Conv. 3, 3: Οὐδεὶς ἀντιλέγει τὸ μὴ οὐ λέξειν. Dio Chr. Or. 61, vol. 2, p. 320: Οὐκ ἀντιλέγω τὸ μὴ οὐ φρόνιμον εἶναι τὴν Χρυσηΐδα. Quomodo hic fuerunt qui inverterent αἰσχρὸν ὂν ἀντ. τὸ μὴ οὐχί.

20. φανεῖσθαι] Neminem certe dicturum pro ignavis et contraria sententia. SCHN.

ὁμοτίμων γενέσθαι τοῦτο τὸ ψήφισμα· βελτίους γὰρ ἂν καὶ αὐτοὺς ἡγεῖτο τούτους εἶναι, εἰ εἰδεῖεν ὅτι ἐκ τῶν ἔργων καὶ αὐτοὶ κρινόμενοι τῶν ἀξίων τεύξονται. καιρὸς οὖν ἐδόκει αὐτῷ νῦν ἐμβαλεῖν περὶ τούτου τὴν ψῆφον, ἐν ᾧ καὶ οἱ ὁμότιμοι ὤκνουν τὴν τοῦ ὄχλου ἰσομοιρίαν. οὕτω δὴ συνεδόκει τοῖς ἐν τῇ σκηνῇ συμβαλέσθαι περὶ τούτου λόγους καὶ συναγορεύειν ταῦτα ἔφασαν χρῆναι ὅστισπερ ἀνὴρ οἴοιτο εἶναι.

22 Ἐπιγελάσας δὲ τῶν ταξιάρχων τις εἶπεν, Ἀλλ' ἐγὼ, [14] ἔφη, ἄνδρα οἶδα καὶ τοῦ δήμου ὃς συνερεῖ ὥστε μὴ εἰκῇ οὕτως ἰσομοιρίαν εἶναι. ἄλλος δ' ἀντήρετο τοῦτον τίνα λέγοι. ὁ δ' ἀπεκρίνατο, Ἔστι νὴ Δί' ἀνὴρ ἡμῖν σύσκηνος, ὃς ἐν παντὶ μαστεύει πλέον ἔχειν. ἄλλος δ' ἐπήρετο αὐτὸν, Ἦ καὶ τῶν πόνων; Μὰ Δί', ἔφη, οὐ μὲν δή· ἀλλὰ τοῦτό γε ψευδόμενος ἑάλωκα. καὶ γὰρ πόνων καὶ τῶν ἄλλων τῶν τοιούτων ὁρῶ πάνυ θαρραλέως βουλόμενον μεῖον ἔχειν παρ'
23 ὀντιναοῦν. Ἀλλ' ἐγὼ μὲν, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, γι- [15] γνώσκω τοὺς τοιούτους ἀνθρώπους οἷον καὶ οὗτος νῦν λέγει, εἴπερ δεῖ ἐνεργὸν καὶ πειθόμενον ἔχειν τὸ στράτευμα, ἐξαιρετέους εἶναι ἐκ τῆς στρατιᾶς. δοκεῖ γάρ μοι τὸ

21. ἡγ. τούτους] τούτους ἡγ. D. εἰδοῖεν G. Post ἔργων G. ὅτι punctis infra notatum. τεύξοιντο D.G. s. v. αὐτῷ ἐδόκει D. νῦν] εἶναι νῦν D. νῦν δεῖν G. corr. τούτων D.G. s. v. τὴν om. D. ἐμβαλέσθαι D.L. mg. r. τούτων D.G. s. v. λόγον D. 22. ταξιαρχῶν A.D.G. καὶ τοῦ δ. οἶδα D. ἐστιν] ante hoc ἢ ἔστιν ἤδη punctis infra positis notat D. ἡμῖν σύσκηνος] ἐμὸς σύσκηνος (β above μ, a above η) G. corr., ut in ἐμὸς pr. tantum sit μ, et sine β a L. σύσκηνος ἐμὸς D. δ'] δ' αὖ D.G. corr. οὐ μὲν δὴ om. A.G. οὔ αν δὴ D. eraso ante a, ut videtur μ. τοῦτο γε] καὶ τοῦτο A.G. ὁρῶ— ὀντιναοῦν] πάνυ πρᾴως ἀεὶ ἐᾷ τὸν βουλόμενον πλέον ἔχειν D.M. ὁρῶ. πάνυ πράως ἀεὶ ἐᾶ τὸν βουλόμενον πλέον ἔχειν παροντιναοῦν G., sed a corr. πράως ἀεὶ ἐᾶ τὸν et πλέ et, ut videtur, ν in ἔχειν. μεῖον Schneiderus. αὐτὸν A. et G. pr., quem in πλέ correctum dixi paullo ante. πλέον D. 23. ὦ om. A.G. οὗτος νῦν] αὐτὸς νῦν A. νῦν ὅδε D. δεῖ] δὴ D. pr. G. pr. ἐξαιρετέους Stephanus. Libri ἐξαιρέτους. στρατιωτῶν] ἀνθρώπων D.

21. συμβαλέσθαι] Anab. 4, 6, 14 est ἀτὰρ τί ἐγὼ περὶ κλοπῆς συμβάλλομαι, quid ego de furto et artificio furandi loquor? Similis est locus 6, 3, 3, συνεβάλοντο δὲ καὶ λόφον, de colle inter eos convenit. Dialogus de corruptæ eloquentiæ causis c. 42, *de his rursus conferemus*, scilicet sermonem. SCHN.

συναγορεύειν ταῦτα] Συναγορεύειν τινὶ de persona, cui assentimur, συναγ. τι, de re, quam approbamus consensu nostro, dicitur. Conf. 7, 5, 57: Συνηγόρευον αὐτῷ κατὰ ταῦτα πολλοί. SCHN.

22. οὐ μὲν δή] Conf. 1, 6, 9; 6, 3, 10, Conv. 4, 52.

μὲν πολὺ τῶν στρατιωτῶν εἶναι οἷον ἕπεσθαι ᾗ ἄν τις
ἡγῆται· ἄγειν δ', οἶμαι, ἐπιχειροῦσιν οἱ μὲν καλοὶ κἀγαθοὶ
24 ἐπὶ τὰ καλὰ κἀγαθά, οἱ δὲ πονηροὶ ἐπὶ τὰ πονηρά. καὶ
πολλάκις τοίνυν πλείονας ὁμογνώμονας λαμβάνουσιν οἱ
φαῦλοι ἢ οἱ σπουδαῖοι. ἡ γὰρ πονηρία διὰ τῶν παραυτίκα
ἡδονῶν πορευομένη ταύτας ἔχει συμπειθούσας πολλοὺς
αὐτῇ ὁμογνωμονεῖν· ἡ δ' ἀρετὴ πρὸς ὄρθιον ἄγουσα οὐ
πάνυ δεινή ἐστιν ἐν τῷ παραυτίκα εἰκῇ συνεπισπᾶσθαι,
ἄλλως τε καὶ ἢν ἄλλοι ὦσιν ἐπὶ τὸ πρανὲς καὶ τὸ μαλα-
25 κὸν ἀντιπαρακαλοῦντες. καὶ τοίνυν ὅταν μέν τινες βλακείᾳ
καὶ ἀπονίᾳ μόνον κακοὶ ὦσι, τούτους ἐγὼ νομίζω ὥσπερ
κηφῆνας δαπάνῃ μόνον ζημιοῦν τῆς κοινωνίας· οἳ δ' ἂν
τῶν μὲν πόνων κακοὶ ὦσι κοινωνοί, πρὸς δὲ τὸ πλεο-
νεκτεῖν σφοδροὶ καὶ ἀναίσχυντοι, ἡγεμονικοί εἰσι πρὸς τὰ
πονηρά· πολλάκις γὰρ δύνανται τὴν πονηρίαν πλεο-
νεκτοῦσαν ἀποδεικνύναι· ὥστε παντάπασιν ἐξαιρετέοι ἡμῖν
26 οἱ τοιοῦτοί εἰσι. μηδὲ μέντοι σκοπεῖτε ὅπως ἐκ τῶν πολι-
τῶν ἀντιπληρώσετε τὰς τάξεις, ἀλλ' ὥσπερ ἵπποι οἳ ἂν
ἄριστοι ὦσιν, οὐχ οἳ ἂν πατριῶται, τούτους ζητεῖτε, οὕτω
καὶ ἀνθρώπους ἐκ πάντων οἳ ἂν ὑμῖν δοκῶσι μάλιστα
συνισχυριεῖν τε ὑμᾶς καὶ συγκοσμήσειν, τούτους λαμβά-
νετε. μαρτυρεῖ δέ μοι καὶ τόδε πρὸς τὸ ἀγαθόν· οὔτε γὰρ

ᾗ] οἷ G. s. v. r. ἄγειν] ὅλον add. A. punctis notatum G. Natum est ex οἷον. 24. πονηρία] πονηρίας καὶ ἀρετῆς διαφορὰ mg. G. et in sinistro ὡραῖον. ταύτας] ταύτῃ A.G. pr. πάντῃ, sed ας s. v., B. συναναπειθούσας D.K. αὐτῇ] αὐτοῖς D. 25. ὅταν] ἢν D. βλακίᾳ A.L. ἀπονοίᾳ G. pr. ζημιοῦντας D.G. τῆς κοινωνίας] τοὺς κοινωνοὺς D.G. corr. δ' ἂν] δ' αὖ G. pr. τῶν μὲν] μὲν τῶν, sed r. s. v. β α G. ὦσι] ὦσι σοὶ L. πλεονεκτεῖν] πλεῖον ἔχειν D. σφοδροὶ] ὦσι κοινωνοὶ add. B. ἡγ.] οὗτοι καὶ ἡγ. D.G. corr. πλεονεκτοῦσαι D. corr. ἐξαίρετοι D. οἱ τ. ἡμῖν εἰσίν D. 26. μηδὲ] καὶ μηδὲ D. et mg. L. r. σκοπῆτε D. ἵπποι] ἵππους D.G. corr. ὦσιν, οὐχ οἳ ἂν] ὦσι καὶ οὐχὶ A.G. ζητεῖτε] super τε et seq. τε (ται B.) ras. in G. οὕτως D. πάντων] ἀνθρώπων add. A.G. ἡμῖν D. μ. δοκῶσι D. συνισχύσειν D. μοι] οι in ras. s. v. G. τὸ om. A.G., ut τἀγαθὸν scribendum videatur.

24. τῶν παραυτίκα] Comment. 2, 1, 20: Αἱ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ sunt. Conf. supra 1, 5, 9, et infra 8, 1, 32. SCHN.

πρὸς ὄρθιον] Respicit verba et sententiam Hesiodi Op. 287 seqq. SCHN.

εἰκῇ] *Tam facile* aut *passim* interpretor. Diversa notione est s. 22. SCHN.

25. κηφῆνας] V. Ælian. N. A. 1, 9. ZEUN.

26. ἵπποι οἳ ἂν ἄριστοι ὦσιν] V. ad Anab. 3, 1, 6: Ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς οἷς ἔδει θύειν.

πρὸς τὸ ἀγαθὸν] Ad comprobandam rei utilitatem hoc etiam testimonii loco accedit. SCHN.

ἅρμα δήπου ταχὺ γένοιτ' ἂν βραδέων ἵππων ἐνόντων οὔτε δίκαιον ἀδίκων συνεζευγμένων, οὐδὲ οἶκος δύναιτ' ἂν εὖ οἰκεῖσθαι πονηροῖς οἰκέταις χρώμενος, ἀλλὰ καὶ ἐνδεόμενος
27 οἰκετῶν ἧττον σφάλλεται ἢ ὑπὸ ἀδίκων ταραττόμενος. εὖ δ' ἴστε, ὦ ἄνδρες, ἔφη, φίλοι, ὅτι οὐδὲ τοῦτο μόνον ὠφελήσουσιν οἱ κακοὶ ἀφαιρεθέντες ὅτι κακοὶ ἀπέσονται, ἀλλὰ καὶ τῶν καταμενόντων οἳ μὲν δὴ ἀνεπίμπλαντο ἤδη κακίας, ἀποκαθαροῦνται πάλιν ταύτης, οἱ δὲ ἀγαθοὶ τοὺς κακοὺς ἰδόντες ἀτιμασθέντας πολὺ εὐθυμότερον τῆς ἀρετῆς ἀνθέ-
28 ξονται. ὁ μὲν οὕτως εἶπε· τοῖς δὲ φίλοις πᾶσι συνέδοξε [16]
ταῦτα, καὶ οὕτως ἐποίουν.

Ἐκ δὲ τούτου πάλιν αὐτοῖς σκώμματος ἤρχετο ὁ Κῦρος. κατανοήσας γάρ τινα τῶν λοχαγῶν σύνδειπνον καὶ παρακλίτην πεποιημένον ἄνδρα ὑπέρδασύν τε καὶ ὑπέραισχρον, ἀνακαλέσας τὸν λοχαγὸν ὀνομαστὶ εἶπεν ὧδε· Ὦ Σαμβαύλα, ἔφη, ἀλλ' ἦ καὶ σὺ κατὰ τὸν Ἑλληνικὸν τρόπον, ὅτι καλόν ἐστι, περιάγεις τοῦτο τὸ μειράκιον τὸ παρακατα-

οὐδέ γε οἶκος δύναται εὖ D. 27. ἔφη post ἴστε A. τοῦτο] τοῦτον G. ἀλλὰ καὶ] ἀλλὰ D. κατὰ μένωντων D. οἳ] ὅσοι D. δὴ ἀνεπίμπλαντο] ἂν ἀνεπίμπλαντο G. corr. ἀνεπίμπλαντο D. corr. ἂν ἐπίμπλαντο pr. ταύτης] αὐτὴν D. εὐθυμ.] θυ in ras. G., pr. fortasse φη. εὐφυμ. A. 28. μὲν δ' D. ἅπασι D. αὐτοῖς] αὖ καὶ D. αὖ καὶ σκώμματος G. mg. r. ἦρχεν D. τινας A. λοχαγῶν] ταξιαρχῶν D. σύνδειπνον] ἀγόμενον add. D. mg. G. r. λοχαγὸν] ταξίαρχον D. ἀλλ' ἦ om. A.G. s. v. περιάγη alia m. s. v. addito σ et η quasi in ει mutato D.

ἅρμα] Est non simpliciter *currus*, sed equis junctus; ideo ταχὺ dicitur. SCHN.

δίκαιον] Currum æquabilitatem in eundo servantem interpretatur Ruhnken. ad Comment. 4, 4, 5, qui ἵππους ἀδίκους equos inæquales vel robore vel velocitate esse ait. Ita equus δίκαιος et ἄδικος τὴν γνάθον dicitur, qui maxillam utramque æqualem vel inæqualem, id est alteram duram, alteram mollem, habet. Singularis est locus Comment. 4, 4, 5: Καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων: ubi est idoneos facere ad justa exsequenda. Igitur h. l. non tam virtus peculiaris aliqua equorum et currus juncti postulari mihi nunc videtur, quæ celeritati vel opponatur vel cum ea componatur, sed potius generatim currus equique justi, idonei probique dici videntur. SCHN.

28. ἤρχετο] ἄρχειν σκώμματος est præire exemplum joci aliis, ἄρχεσθαι τοῦ σκώμματος jocari incipere. SCHN. V. ad 6, 1, 6.

ὑπέρδασυν] Plut. Mor. p. 632 A: Οὐ μὴν ἀλλὰ πρῶτά μοι δοκεῖ τὰ λυποῦντα τοὺς ἐνόχους σκώμματα τοῖς μακρὰν οὖσι τῆς διαβολῆς ἡδονήν τινα καὶ χάριν ποιεῖν, οἷον ὁ Ξενοφῶν τὸν ὑπέραισχρον καὶ ὑπέρδασυν ἐκεῖνον, ὡς παιδικὰ τοῦ Σαμβαύλα σκωπτόμενον εἰσάγει μετὰ παιδιᾶς.

Ἑλληνικὸν τρόπον] Credemusne jam isto tempore famam amoris istius generis ex Græcia ad Persas perlatam increbuisse? Scilicet finxit hæc Xenophon, ut infra de sophista 3, 1, 14. SCHN.

περιάγεις] Sic 1, 3, 3, περιῆγεν. Medio, quod voluisse videtur D., Comment. 1, 7, 2: Ἀκολούθους πολλοὺς περιάγονται.

κείμενόν σοι; Νὴ τὸν Δί', ἔφη ὁ Σαμβαύλας, ἥδομαι
29 γοῦν καὶ ἐγὼ συνὼν τε καὶ θεώμενος τοῦτον. ἀκούσαντες
ταῦτα οἱ σύσκηνοι προσέβλεψαν· ὡς δὲ εἶδον τὸ πρόσω-
πον τοῦ ἀνδρὸς ὑπερβάλλον αἴσχει, ἐγέλασαν πάντες. καί [17]
τις εἶπε, Πρὸς τῶν θεῶν, ὦ Σαμβαύλα, ποίῳ ποτέ σε
30 ἔργῳ ὁ ἀνὴρ οὗτος ἀνήρτηται; καὶ ὃς εἶπεν, Ἐγὼ ὑμῖν νὴ
τὸν Δία, ὦ ἄνδρες, ἐρῶ. ὁποσάκις γὰρ αὐτὸν ἐκάλεσα εἴτε
νυκτὸς εἴτε ἡμέρας, οὐπώποτέ μοι οὔτ' ἀσχολίαν προυφασί-
σατο οὔτε βάδην ὑπήκουσεν, ἀλλ' ἀεὶ τρέχων· ὁποσάκις τε
αὐτῷ πρᾶξαί τι προσέταξα, οὐδὲν ἀνιδρωτί ποτε αὐτὸν εἶδον
ποιοῦντα. πεποίηκε δὲ καὶ τοὺς δεκαδέας πάντας τοιούτους,
31 οὐ λόγῳ ἀλλ' ἔργῳ ἀποδεικνὺς οἵους δεῖ εἶναι. καί τις εἶπε,
Κᾆτα τοιοῦτον ὄντα οὐ φιλεῖς αὐτὸν ὥσπερ τοὺς συγ-
γενεῖς; καὶ ὁ αἰσχρὸς ἐκεῖνος πρὸς τοῦτο εἶπε, Μὰ Δία,
ἔφη· οὐ γὰρ φιλόπονός ἐστιν· ἐπεὶ ἤρκει ἂν αὐτῷ, εἰ ἐμὲ
ἤθελε φιλεῖν, τοῦτο ἀντὶ πάντων γυμνασίων.

ΚΕΦ. Γ.

Τοιαῦτα μὲν δὴ καὶ γελοῖα καὶ σπουδαῖα καὶ ἐλέγετο καὶ ἐπράττετο ἐν τῇ σκηνῇ. τέλος δὲ τὰς τρίτας σπονδὰς

νὴ] ἠ in ras. D. σαμβαυλᾶς et 29. σαμβαυλᾶ D. γοῦν] γε οὖν A.G. τε] τε τούτῳ D.L. τοῦτον] αὐτόν D. 29. ἀκούσαντες] ἀκούσαντες δὲ D. ὡς] οὐ G. pr., qui corr. ὧ (sic fere), οὐ, et al. m. s. v. ὡς. ὑπερβάλλον αἴσχει] ὑπέραισχρον A.G. σε] σὺ D. pr. ὁ ἀνὴρ] ἀνὴρ D. fort. pro ἁνήρ. ἀνήρτηται Muretus. Libri ἀνῄρηται, nisi quod ἀνήρτηται in eodem est cod. recentissimo quem memoravi ad s. 12. 30. ὦ om. A.G. δεινοῦ ὑπηρέτου τρόπος mg. G. προφασίσατο et υ in ras. s. v. D. προεφασίσατο G. pr., ut videtur, qui ὑ in ras. ἐπροφασίσατο L., qui ἐ corr. οὐδὲ A. πρᾶξαί τι αὐτῷ D. ποτε] πώποτε D. εἶδον αὐτὸν D. δεκάδας D. ἅπαντας D. οἵους] μείους A. 31. ἐκεῖνος μὰ δία, οὐ πρὸς τοῦτο ἔφη A.G. pr., sed corr. erasit οὐ, quod om. L., et post τοῦτο in mg. ascripsit εἶπε μὰ δί'. πρὸς τοῦτο εἶπε delet Schneiderus. γυμνασίων] τῶν γυμνασίων D.G. 1. δὲ] δὴ G. s. v. τὰς om. A.

29. ὑπερβάλλον αἴσχει] Verbi tam in bonam quam in malam partem dicti exempla cum hoc composuit Stephanus in Thes. Quanquam ejus hic adeo exigua est fides ab libris ut, nisi ὑπέραισχρον ex s. 28 illatum videretur, interpretatio ejus videri posset, ut Hesychius ὑπέρχολος explicat ὑπερβαλλόντως ὀργιζόμενος.

βάδην ὑπήκουσεν] Reip. Laced. 8, 2: Ἐν τῇ Σπάρτῃ οἱ κράτιστοι καὶ ὑπέρχονται μάλιστα τὰς ἀρχὰς καὶ— μεγαλύνονται τῷ ὅταν καλῶνται τρέχοντες, ἀλλὰ μὴ βαδίζοντες ὑπακούειν. Quibuscum conf. Plut. Mor. p. 817 A.

31. συγγενεῖς] V. 1, 4, 27. ZEUN.

1. τρίτας σπονδὰς] Ternas convivii Græci libationes Persis tribuit, de quibus Athenæus p. 36, scholia ad Pindari Isthm. 6. 11, Suidas in Κρατὴρ et alii tradunt. Ceterum pro ποιήσαντες medium est 3, 3, 40, et 6, 4, 1. SCHN. Activo vero utitur etiam Anab. 4, 3, 14, quum medium sit ceteris locis Cyrop.

ποιήσαντες καὶ εὐξάμενοι τοῖς θεοῖς τἀγαθὰ τὴν σκηνὴν εἰς
κοίτην διέλυον. τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος συνέλεξε πάντας
τοὺς στρατιώτας καὶ ἔλεξε τοιάδε.
2 Ἄνδρες φίλοι, ὁ μὲν ἀγὼν ἐγγὺς ἡμῖν· προσέρχονται [2]
γὰρ οἱ πολέμιοι. τὰ δ' ἆθλα τῆς νίκης, ἢν μὲν ἡμεῖς νι-
κῶμεν, τοῦτο γάρ, ἔφη, δεῖ λέγειν καὶ ποιεῖν, δῆλον ὅτι
οἵ τε πολέμιοι ἡμέτεροι καὶ τὰ τῶν πολεμίων ἀγαθὰ πάν-
τα· ἢν δὲ ἡμεῖς αὖ νικώμεθα, καὶ οὕτω τὰ τῶν νικωμένων
3 πάντα τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται. οὕτω δή, ἔφη, δεῖ
ὑμᾶς γιγνώσκειν ὡς ὅταν μὲν ἄνθρωποι κοινωνοὶ πολέμου
γενόμενοι ἐν ἑαυτοῖς ἕκαστοι ἔχωσιν, εἰ μὴ αὐτός τις προ-

τὰ ἀγαθὰ D. διέλυον] υ super erasis οι D. τοὺς στρ. πάντας D. 2. ἄνδρες φίλοι] πέρσαι D. ἡμῖν ἐγγὺς D. προέρχονται A.G. pr. τοῦτο γὰρ ἔφη δεῖ λέγειν καὶ ποιεῖν A. τοῦτο γὰρ δὴ (ut videtur, pr., corr. ἀεὶ et s. v. καὶ) λέγειν ἔφη καὶ ποιεῖν addito mg. al. m. δεῖ G. τοῦτο γὰρ δὴ καὶ λέγειν ἔφη καὶ ποιεῖν δεῖ L. τοῦτο γὰρ ἀεὶ καὶ λέγειν καὶ ποιεῖν δεῖ M. τοῦτο γὰρ δεῖ λέγειν ἔφη καὶ ποιεῖν H. om. D. et post sequens νικώμεθα, quod in νικῶμεν mutat, infert τοῦτο γὰρ ἀεὶ καὶ λέγειν καὶ ποιεῖν δεῖ. δηλονότι—νικώμεθα om. A.G. mg. r. δηλ. ὅτι οἵ τε π.] οἵ τε π. δηλ. ὅτι M. ἡμέτεροι M. ἂν ἡμέτεροι D.G., qui ἡμέτεροι s. v. καὶ οὕτω] καὶ οὕτως D. οὕτω O. καὶ οὐ τὰ A.G. νικωμένων] ἡττωμένων D. πάντα] ἀγαθὰ πάντα L.M. et G. s. v. ἃ I. ἆθλον I. προσεῖται A.B. pr. 3. δὴ ἔφη om. G. ἔχωσιν ἕκαστοι D. διανοῶνται post ἔχωσιν add. B. εἰ] s. v. al. m. L. ὡς ei substituens, quod hic G. s. v., punctis infra notans, ante εἰ D., omittens infra. προθυμηθήσεται G. s. v.

τἀγαθά] Voluitne Xenophon dicere, quod in Comment. 1, 3, 2: Εὔχετο πρὸς τοὺς θεοὺς ἁπλῶς τὰ ἀγαθὰ διδόναι? Ita ib. 3, 14, 3: Ὅταν γε οἱ ἄλλοι ἄνθρωποι τοῖς θεοῖς εὔχωνται πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο. SCHN.

σκηνὴν—διελυον] Infra 3, 2, 31, est τότε μὲν διαλύσαντες τὴν σκηνὴν ἀνεπαύοντο. Uno verbo διασκηνεῖν ἐξ ἀρίστου dixit H. Gr. 4, 8, 18. SCHN.

2. ποιεῖν] *Ponere* sive *fingere* interpretatur Hutchinsonus, ut Anab. 5, 7, 9: Ποιῶ δ' ὑμᾶς—ἥκειν εἰς Φᾶσιν: etsi totum hoc additamentum sequenti ἢν δὲ ἡμεῖς αὖ νικώμεθα ita tollitur quodammodo, ut sublatum velis cum D., nisi ille mox inferret. Ceterum duplex hic anacoluthia, una in membri initio, τὰ ἆθλα τῆς νίκης—οἱ πολέμιοι ἡμέτεροι, quam peperit interposita parenthesis τοῦτο—ποιεῖν; altera quæ τὰ τῶν νικωμένων πάντα τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται tanquam apodosin illorum ἢν ἡμεῖς νικώμεθα infert, quod generali sententia scriptor uti maluit quam quod debebat ponere πάντα τὰ ἡμέτερα τῶν νικώντων ἐστί. Pro νικωμένων quod libri deteriores præbent ἡττωμένων, id ob oculos habuisse videatur Plutarchus qui dicitur De educ. puer. p. 8 D: Τὰ γὰρ τῶν ἡττωμένων ἐν ταῖς μάχαις ἀγαθὰ τοῖς νικῶσιν ἆθλα πρόκειται, ubi præter locum Xenophontis Platonicum annotavit Wyttenbachius Leg. 1, p. 626 B: Πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι. Quibus tamen locis non vindicatur supervacuum post prius alterum ἀγαθά.

ἐν ἑαυτοῖς ἔχωσιν ὡς οὐδὲν ἐσόμενον] Soph. El. 495: Πρὸ τῶνδέ τοί μ' ἔχει μήποθ' ἡμῖν ἀψεφὲς πελᾶν τέρας τοῖς δρῶσι καὶ συνδρῶσιν, ubi similia interpretes, etsi ibi excidit aliquid post ἔχει. Cum ὡς conf. Anab. 1, 8, 10: Ἡ δὲ γνώμη ἦν ὡς ἐλῶντα. Εἰ μὴ autem ante ὡς ponitur, ut εἰ 7, 5, 49.

θυμήσεται, ὡς οὐδὲν ἐσόμενον τῶν δεόντων, ταχὺ πολλὰ
καὶ καλὰ διαπράττονται· οὐδὲν γὰρ αὐτοῖς ἀργεῖται τῶν
πράττεσθαι δεομένων· ὅταν δ᾽ ἕκαστος διανοηθῇ ὡς ἄλλος
ἔσται ὁ πράττων καὶ μαχόμενος, κἂν αὐτὸς μαλακίζηται,
τούτοις, ἔφη, εὖ ἴστε ὅτι πᾶσιν ἅμα πάντα ἥκει τὰ χαλεπὰ
4 φερόμενα. καὶ ὁ θεὸς οὕτω πως ἐποίησε· τοὺς μὴ θέλοντας
ἑαυτοῖς προστάττειν ἐκπονεῖν τἀγαθὰ ἄλλους αὐτοῖς ἐπι-
τακτῆρας δίδωσι. νῦν οὖν τις, ἔφη, λεγέτω ἐνθάδε ἀναστὰς
περὶ αὐτοῦ τούτου ποτέρως ἂν τὴν ἀρετὴν μᾶλλον οἴεται
ἀσκεῖσθαι παρ᾽ ἡμῖν, εἰ μέλλοι ὁ πλεῖστα καὶ πονεῖν καὶ
κινδυνεύειν ἐθέλων πλείστης καὶ τιμῆς τεύξεσθαι, ἢ ἂν εἰ-
δῶμεν ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι· ὁμοίως γὰρ πάντες
5 τῶν ἴσων τευξόμεθα. ἐνταῦθα δὴ ἀναστὰς Χρυσάντας, εἷς [3]
τῶν ὁμοτίμων, ἀνὴρ οὔτε μέγας οὔτε ἰσχυρὸς ἰδεῖν, φρονήσει
δὲ διαφέρων, ἔλεξεν, Ἀλλ᾽ οἶμαι μέν, ἔφη, ὦ Κῦρε, οὐδὲ
διανοούμενόν σε ὡς δεῖ ἴσον ἔχειν τοὺς κακοὺς τοῖς ἀγαθοῖς
ἐμβαλεῖν τοῦτον τὸν λόγον, ἀλλ᾽ ἀποπειρώμενον εἴ τις ἄρα
ἔσται ἀνὴρ ὅστις ἐθελήσει ἐπιδεῖξαι ἑαυτὸν ὡς διανοεῖται
μηδὲν καλὸν κἀγαθὸν ποιῶν, ἃ ἂν ἄλλοι τῇ ἀρετῇ καταπρά-
6 ξωσι, τούτων ἰσομοιρεῖν. ἐγὼ δ᾽, ἔφη, οὔτε ποσίν εἰμι ταχὺς
οὔτε χερσὶν ἰσχυρός, γιγνώσκω τε ὅτι ἐξ ὧν ἂν ἐγὼ τῷ
ἐμῷ σώματι ποιήσω, οὐ κριθείην οὔτε ἂν πρῶτος οὔτε ἂν

πολλά τε καὶ D.G. s. v. οὐθὲν A. ὅταν] ὁπόταν D. μαχόμενος] ὁ μαχόμενος G. s. v. ὁ μαχούμενος D. κἂν] καὶ D. τούτοις] τοῖς τοιούτοις D. εὖ ἴστε ἔφη G. ἥξει D.G. pr. 4. οὕτω πως A. πως οὕτως D. τοῖς—θέλουσιν D.G. s. v. L. pr.; qui τοὺς θέλοντας in litura. ἔφη λεγέτω τις D. πότερος D. μᾶλλον post οἴεται D.G. ἴδωμεν D. et ὅτι mg. al. m. 5. ὁ χρυσάντας A.G. φρονήσει δὲ διαφέρων om. A.G., qui add. r. ἔλεξεν] ὧδε add. D. ἔφη om. D. διανοούμην G. pr., s. v. al. m. posito ον. σε] γε A.G. pr. ὡς δεῖ om. A.G. mg. r. τοὺς ἀγ. τοῖς κ. ἔχειν D. ἀλλ᾽ ἀπειρόμενον A. ἀλλὰ πειρώμενον G. et ἀπο s. v. r. ἀποδεῖξαι A.G. μηθὲν A. hic et 6. κακὸν A. 6. εἰμὶ μὲν οὔτε ποσὶν ταχὺς D. τε] δὲ D. et corr. in δ G. οὐκ ἂν κρ. οὔτε πρῶτος οὔτε δεύτερος, οἴομαι δὲ οὐδὲ χ., ἴσως δὲ οὐδὲ μ. ἀλλὰ καὶ ἐκ. σ. D.

ἀργεῖται] Propter socordiam negligitur aut omittitur. Sic Hier. 9, 9: οὐδ᾽ αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. SCHN.

τῶν πράττεσθαι δεομένων] Œcon. 12, 11: Τὸ μεθύειν λήθην ἐμποιεῖ πάντων τῶν πράττειν δεομένων. Legendum πράττεσθαι.

4. τοὺς μὴ θέλοντας—αὐτοῖς] 1, 3, 15: Πειράσομαι τῷ πάππῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς συμμαχεῖν αὐτῷ· 17: Παῖς μέγας μικρὸν ἔχων χιτῶνα παῖδα μικρὸν μέγαν ἔχοντα χιτῶνα ἐκδύσας αὐτὸν τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε.

ὁμοίως γὰρ πάντες τῶν ἴσων τευξόμεθα dicuntur tanquam ex mente eorum qui sciant ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι.

Χρυσάντας] De quo 8, 4, 19 seq. ZEUN.

δεύτερος, οἶμαι δ' οὐδ' ἂν χιλιοστὸς, ἴσως δ' οὐδ' ἂν μυριο-
στός· ἀλλ' ἐκεῖνο, ἔφη, σαφῶς ἐπίσταμαι ὅτι εἰ μὲν οἱ δυ-
νατοὶ ἐρρωμένως ἀντιλήψονται τῶν πραγμάτων, ἀγαθοῦ
τινός μοι μετέσται τοσοῦτον μέρος ὅσον ἂν δίκαιον ᾖ· εἰ δ'
οἱ μὲν κακοὶ μηδὲν ποιήσουσιν, οἱ δ' ἀγαθοὶ καὶ δυνατοὶ
ἀθύμως ἕξουσι, δέδοικα, ἔφη, μὴ ἄλλου τινὸς μᾶλλον ἢ
7 τοῦ ἀγαθοῦ μεθέξω πλεῖον μέρος ἢ βούλομαι. Χρυσάντας [4]
μὲν δὴ οὕτως εἶπεν. ἀνέστη δ' ἐπ' αὐτῷ Φεραύλας Πέρσης
τῶν δημοτῶν, Κύρῳ πως ἔτι οἴκοθεν συνήθης καὶ ἀρεστὸς
ἀνὴρ, καὶ τὸ σῶμα οὐκ ἀφυὴς καὶ τὴν ψυχὴν οὐκ ἀγεννεῖ
ἀνδρὶ ἐοικὼς, καὶ ἔλεξε τοιάδε.
8 Ἐγὼ, ἔφη, ὦ Κῦρε καὶ πάντες οἱ παρόντες Πέρσαι, [5]
ἡγοῦμαι μὲν ἡμᾶς πάντας ἐκ τοῦ ἴσου νῦν ὁρμᾶσθαι εἰς τὸ
ἀγωνίζεσθαι περὶ ἀρετῆς· ὁρῶ γὰρ ὁμοίᾳ μὲν τροφῇ πάν-
τας ἡμᾶς τὸ σῶμα ἀσκοῦντας, ὁμοίας δὲ συνουσίας πάντας
ἀξιουμένους, ταὐτὰ δὲ πᾶσιν ἡμῖν πρόκειται. τὸ γὰρ τοῖς
ἄρχουσι πείθεσθαι πᾶσιν ἐν κοινῷ κεῖται, καὶ ὃς ἂν φανῇ
τοῦτο ἀπροφασίστως ποιῶν, τοῦτον ὁρῶ παρὰ Κύρου
τιμῆς τυγχάνοντα· τό τ' αὖ πρὸς τοὺς πολεμίους ἄλκιμον
εἶναι οὐ τῷ μὲν προσῆκον τῷ δ' οὒ, ἀλλὰ πᾶσι καὶ τοῦτο
9 προκέκριται κάλλιστον εἶναι. νῦν δ', ἔφη, ἡμῖν καὶ δέ-
δεικται μάχη, ἣν ἐγὼ ὁρῶ πάντας ἀνθρώπους φύσει ἐπι-
σταμένους, ὥσπερ γε καὶ τἆλλα ζῷα ἐπίσταταί τινα

ἐρρ.—ἀγαθοῦ G. mg. r. *μέρος τοσ.* D. *εἰ*] *οἱ* A. *δυνάμενοι* D. *ἔφη*] *γε* A. *πλέον* D. *ἢ ἐγὼ β.* D.G. s. v. r. 7. *πως ἔτι*] *προσέτι* A.G. *συνήθης καὶ* et *οὐκ ἀφυὴς* om. A.G. s. v. r., interpungens pr. post *ἀρεστός*. 8. *ἐγὼ*] *ἐγὼ δὴ* L. *δ'* s. v. r. G. *ὑμᾶς* D. *πάντας* post *ὁρμᾶσθαι* D. *μὲν*] *τε* A.G. *τὸ σῶμα*] *τὰ πάντα* A.G. *δὲ* om. A.G. *πάντα* A. *ταὐτὰ—πρόκειται*] *τὰ δὲ αὐτὰ καλὰ πᾶσιν προκείμενα ἡμῖν* D. Et *καλὰ* et *προκείμενα* etiam G. corr. *ταῦτα* A.G. *τὸ*] *τό τε* D.L. corr. *πᾶσιν* om. D. *ὁρῶν* A. *κυρῶ* D. *τ' αὖ*] *τε τὰ* A. *τοὺς πολεμίους*] *τούτους* A. *τούτοις* pr. G., qui corr. *τοὺς* et mg. r. *πολεμίους*. *ἀλκίμους* A.G. corr. s. v. r. *προσῆκον* om. D. 9. *δ', ἔφη, ἡμῖν*] *δ' ἐφ' ἡμῖν* G. *δέ φημι* D.L. mg. r. *φύσει π. ἀ.* D. *ἐπίστανται* A.G. pr., cum puncto sub *ν*. *τινὰ*] *τὴν* A.

8. *ἐκ τοῦ ἴσου ὁρμᾶσθαι*] V. ad 1, 6, 17. SCHN. Respicit huc Xen. infra 8, 3, 5.

τὸ σῶμα] *Victu curare corpus.* Infra 3, 1, 20, *τὸ σῶμα ἀσκῆσαι* est corpori vires addere cibo, et 2, 1, 20, est *τὰ σώματα πρὸς ἰσχὺν ἀσκεῖν*. Compositum *σωμασκεῖν* et *σωμασκία* similiter a Xenophonte de corporis exercitatione athletica et militari dicitur, ut docebitur ad 3, 1, 20. Igitur hoc etiam in loco cum victu exercitationem conjungi puto, et locum convertendum ita: *Simili enim nos omnes victu et corporis exercitatione uti video.* Conf. 3, 3, 36: *Ἐφ' οἷς τε ἐτρεφόμεθα ὑπὸ Κυαξάρους, ἅ τε ἠσκοῦμεν, ἐφ' ἅ τε αὐτοὺς παρακεκλήκαμεν.* SCHN.

συνουσίας] V. 2, 1, 30. ZEUN.

προκέκριται—εἶναι] Alia hujus constructionis exempla Xenophontis et aliorum v. in Thes. Steph.

μάχην ἕκαστα οὐδὲ παρ᾽ ἑνὸς ἄλλου μαθόντα ἢ παρὰ τῆς φύσεως, οἷον ὁ βοῦς κέρατι παίειν, ὁ ἵππος ὁπλῇ, ὁ κύων στόματι, ὁ κάπρος ὀδόντι. καὶ φυλάττεσθαί γ᾽, ἔφη, ἅπαντα ταῦτα ἐπίσταται ἀφ᾽ ὧν μάλιστα δεῖ, καὶ ταῦτα

10 εἰς οὐδενὸς διδασκάλου πώποτε φοιτήσαντα. καὶ ἐγώ, ἔφη, ἐκ παιδίου εὐθὺς προβάλλεσθαι ἠπιστάμην πρὸ τούτων ὅ τι ᾤμην πληγήσεσθαι· εἰ δὲ μὴ ἄλλο μηδὲν ἔχοιμι, τὼ χεῖρε προέχων ἐνεπόδιζον ὅ τι ἐδυνάμην τὸν παίοντα· καὶ τοῦτο ἐποίουν οὐ διδασκόμενος, ἀλλὰ καὶ ἐπ᾽ αὐτῷ τούτῳ παιόμενος, εἰ προβαλοίμην. μάχαιράν γε μὴν εὐθὺς παιδίον ὢν ἥρπαζον ὅπου ἴδοιμι, οὐδὲ παρ᾽ ἑνὸς οὐδὲ τοῦτο μαθὼν ὅπως δεῖ λαμβάνειν ἢ παρὰ τῆς φύσεως, ὥς ἐγώ φημι. ἐποίουν γοῦν καὶ τοῦτο κωλυόμενος, οὐ διδασκόμενος· ὥσπερ καὶ ἄλλα ἔστιν ἃ εἰργόμενος καὶ ὑπὸ μητρὸς καὶ ὑπὸ πατρὸς ὑπὸ τῆς φύσεως πράττειν ἠναγκαζόμην. καὶ ναὶ μὰ Δί᾽ ἔπαιόν γε τῇ μαχαίρᾳ πᾶν ὅ τι δυναίμην λανθάνειν. οὐ γὰρ μόνον φύσει ἦν, ὥσπερ τὸ βαδίζειν καὶ τρέχειν, ἀλλὰ καὶ ἡδὺ πρὸς τῷ πεφυκέναι τοῦτο ἐδόκει

11 μοι εἶναι. ἐπεὶ δ᾽ οὖν αὕτη, ἔφη, ἡ μάχη καταλείπεται, ἐν ᾗ προθυμίας μᾶλλον ἢ τέχνης ἔργον ἐστὶ, πῶς ἡμῖν οὐχ ἡδέως πρὸς τούσδε τοὺς ὁμοτίμους ἀγωνιστέον; ὅπου γε τὰ μὲν ἆθλα τῆς ἀρετῆς ἴσα πρόκειται, παραβαλλόμενοι δὲ

ὁ βοῦς—ὀδόντι Hermogenes Walz. Rhett. vol. 3, p. 308, 19, ad quæ Planud. vol. 5, p. 530, 17. γ᾽] δὲ D. ἅπαντα ταῦτα] ταῦτα πάντα D. ἐπίσταται post ἔφη D. ἐπίστανται A.G. cum puncto sub ν. 10. ἔφη om. D. εὐθὺς] μὲν add. D.G. s. v. r. ἐπιστάμην G. corr. s. v. τούτου G. s. v. ὅ τι] ὅτ᾽ A.D.G. ὅτῳ mg. L. r. οἰοίμην D. εἰ δὲ] εἰ D. καὶ εἰ M. μὴ ἄλλο μηδὲν] μηδὲν ἄλλο M. μηδὲν] μηθὲν A. προσέχειν D. ἠδυνάμην G. s. v. r. προβαλλοίμην D. ὢν M., ut videtur. ὂν A.D.G., sed D. fort. corr. δέοι D. ἢ] ἄλλου ἢ D.G. corr. ὡς om. A.G. pr. γοῦν vel potius ουν in ἐποίουν om. D., addito initio versus γ ante ουν. κωλυόμενος om. A. add. G. r. ὑπὸ πατρὸς καὶ ὑπὸ μητρὸς D. πράττειν] ἀπαιτεῖν A.G. post ἠναγκ. ponentes, D. corr. in mg. al. m. γε τῇ om. A.G. πᾶν ὅ τι] ὅ τι πᾶν A.G. τῷ] τὸ D. τοῦτο] τοῦτο ποιεῖν D. 11. δ᾽ om. D. ἔφη αὕτη A.D.

10. τούτων ὅ τι] V. ad 3, 3, 67.

ὑπὸ μητρὸς καὶ ὑπὸ πατρὸς] Eodem ordine 8, 7, 14: Τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες. Et in Anabasi 3, 1, 17, ὁμομήτριος καὶ ὁμοπάτριος.

ἠναγκαζόμην] Sequebar naturæ instinctum. Hinc τὰ ἀναγκαῖα, necessitates naturæ, ad quæ voluptas etiam coeundi refertur Comment. 4, 5, 9. Sunt etiam ἀναγκαῖα, quorum eventus est necessarius et legibus naturæ præfinitus, ibidem 1, 1, 6, ἀνάγκαι etiam 1, 1, 15, sunt leges naturæ invariabiles. SCHN.

παραβαλλόμενοι] Est belli periculis objicere, periclitari. SCHN.

οὐκ ἴσα εἰς τὸν κίνδυνον ἴμεν, ἀλλ' οὗτοι μὲν ἔντιμον βίον,
ὅσπερ μόνος ἥδιστος, ἡμεῖς δὲ ἐπίπονον μέν, ἄτιμον δέ,
12 *ὅσπερ, οἶμαι, χαλεπώτατος. μάλιστα δέ, ὦ ἄνδρες, τοῦτό*
με εὐθύμως εἰς τὸν ἀγῶνα τὸν πρὸς τούσδε παρορμᾷ ὅτι
Κῦρος ὁ κρίνων ἔσται, ὃς οὐ φθόνῳ κρίνει, ἀλλὰ σὺν
θεῶν ὅρκῳ λέγω ἦ μὴν ἐμοὶ δοκεῖ Κῦρος οὕστινας ἂν ὁρᾷ
ἀγαθοὺς φιλεῖν οὐδὲν ἧττον ἑαυτοῦ· τούτοις γοῦν ὁρῶ
αὐτὸν ὅ τι ἂν ἔχῃ ἥδιον διδόντα μᾶλλον ἢ αὐτὸν ἔχοντα.
13 *καίτοι, ἔφη, οἶδα ὅτι οὗτοι μέγα φρονοῦσιν ὅτι πεπαί-*
δευνται δὴ καὶ πρὸς λιμὸν καὶ δίψαν καὶ πρὸς ῥῖγος καρ-
τερεῖν, κακῶς εἰδότες ὅτι καὶ ταῦτα ἡμεῖς ὑπὸ κρείττονος
διδασκάλου πεπαιδεύμεθα ἢ οὗτοι. οὐ γάρ ἐστι διδάσκαλος
οὐδεὶς τούτων κρείττων τῆς ἀνάγκης, ἣ ἡμᾶς καὶ λίαν
14 *ταῦτ' ἀκριβοῦν ἐδίδαξε. καὶ πονεῖν οὗτοι μὲν τὰ ὅπλα φέ-*
ροντες ἐμελέτων, ἅ ἐστιν ἅπασιν ἀνθρώποις ηὑρημένα ὡς
ἂν εὐφορώτατα εἴη, ἡμεῖς δέ γ', ἔφη, ἐν μεγάλοις φορτίοις
καὶ βαδίζειν καὶ τρέχειν ἠναγκαζόμεθα, ὥστε νῦν ἐμοὶ
δοκεῖν τὸ τῶν ὅπλων φόρημα πτεροῖς μᾶλλον ἐοικέναι ἢ
15 *φορτίῳ. ὡς οὖν ἐμοῦ γε καὶ ἀγωνιουμένου καὶ ὁποῖος ἂν* [6]
τις ὦ κατὰ τὴν ἀξίαν με τιμᾶν ἀξιώσοντος, οὕτως, ἔφη, ὦ

ἴμεν] *ἴομεν* A.D. s. v. al. m. G. pr. *βίον* om. A.G. s. v. r. *ὅσπερ μόνος*] *ὃς μόνος περ* A.C.I.M. *ὅσπερ* D. *ἥδιστος*] *βίων* add. A.C.G. *χαλεπώτερος* A.G. 12. *τὸν πρὸς*] *τὸν* om. A.G. s. v. r. *ἔσται ὁ κρίνων* D. *κρίνει*] *κρίνων* A.G. *κρίνειν* G. s. v. r. *κρινεῖ* fort. L. pr., ut Schneiderus. *θεῷ ὅρκῳ δοκεῖν κυροῦν* (omissis tum *λέγω ἦ μὴν ἐμοὶ δοκεῖ κῦρος*) A.G. et qui erasit *ν* in *δοκεῖν* L. *λέγω ἦ μὴν ἐμοὶ* punctis infra positis notat D. *ἂν* om. A.G. *ἑαυτοῦ*] *ἢ ἑαυτὸν* D.G. s. v. r. *γοῦν*] *γε οὖν* G. *ἥδιον* om. A.G. 13. *καὶ πρὸς δίψος* D. Et *ος* s. v. G. r. *ῥίγον* A.G., sed hic *ος* s. v. r. *ταῦτα* om. A.G. *τούτων οὐδεὶς* D. *κρείττων*] *κρείσσων ὢν* A.G. *ἀκριβοῦν ταῦτα* D. 14. *πονεῖν*] *μὲν* add. G. s. v. r. *μὲν*] *μὲν δὴ* D. Libri *εὑρ*. *εὐφόρως* A.G. corr. mg. r. *ἐμοὶ νῦν δοκεῖ* D. *τὰ—φορήματα* D. 15. *ἄν τις*] *τις ἂν* D. *ὦ* L. mg. r., quod in G. rubro colore scriptum supra v. prominet, ut s. 5. *ὁ* ante *χρυσάντας* et aliæ sæpe litteræ tam primæ vocabulorum quam mediæ, ut *σ* in *ἀπελογήσατο* 2, 2, 13. 15. *τιμᾶν*] *ᾶσθαι* s. v. r. G. punctis notatum post *ἂν* L. *οὕτω* A.

12. *εὐθύμως* mihi displicet: *εὔθυμον ποιεῖ καὶ παρορμᾷ* si esset, magis tolerarem. SCHN. Non minus insolens Hist. Gr. 3. 1, 18: *Νομίζοντος ἀθυμοτέραν καὶ τὴν προσβολὴν ἔσεσθαι*, ubi *ἀθυμοτέρους πρὸς τὴν π.* Cobetus.

ὅρκον θεῶν habet Pind. Ol. 7, 119. SCHN. Alia v. in Thes. Steph.

ἥδιον—μᾶλλον] V. ad 2, 4, 10.

13. *κακῶς εἰδότες*] Nescientes, ignari. Harpocration v. *κακῶς εἰδότες*. SCHN.

ἀνάγκης] Eadem sententia apud Eur. Alc. 965, Hel. 514 et alibi.

14. *εὐφορώτατα*] Pheraulas hyperbole utitur de armis nobilium levioribus, *quæ quidem ab hominibus unquam potuere inveniri, levissimis.* SCHN.

Κῦρε, γίγνωσκε. καὶ ὑμῖν γ', ἔφη, ὦ ἄνδρες δημόται, παραινῶ εἰς ἔριν ὁρμᾶσθαι ταύτης τῆς μάχης πρὸς τοὺς πεπαιδευμένους τούσδε· νῦν γὰρ ἄνδρες εἰλημμένοι εἰσὶν ἐν
16 δημοτικῇ ἀγωνίᾳ. Φεραύλας μὲν δὴ οὕτως εἶπεν. ἀνίσταντο δὲ καὶ ἄλλοι πολλοὶ συναγορεύοντες. ἔδοξε κατὰ τὴν ἀξίαν τιμᾶσθαι ἕκαστον, Κῦρον δὲ τὸν κρίνοντα εἶναι. ταῦτα μὲν δὴ οὕτω προυκεχωρήκει. [7]
17 Ἐκάλεσε δ' ἐπὶ δεῖπνον ὁ Κῦρος καὶ ὅλην ποτὲ τάξιν σὺν τῷ ταξιάρχῳ, ἰδὼν αὐτὸν τοὺς μὲν ἡμίσεις τῶν ἀνδρῶν τῆς τάξεως ἀντιτάξαντα ἑκατέρωθεν εἰς ἐμβολὴν, θώρακας μὲν ἀμφοτέρους ἔχοντας καὶ γέρρα ἐν ταῖς ἀριστεραῖς, εἰς δὲ τὰς δεξιὰς νάρθηκας παχεῖς τοῖς ἡμίσεσιν ἔδωκε, τοῖς δ' ἑτέροις εἶπεν ὅτι βάλλειν δεήσοι ἀναιρουμέ-
18 νους ταῖς βώλοις. ἐπεὶ δὲ παρεσκευασμένοι οὕτως ἔστησαν, ἐσήμηνεν αὐτοῖς μάχεσθαι. ἐνταῦθα δὴ οἱ μὲν βάλλοντες

γ'] δ' D.G. s.v. r. ὁρμ. εἰς ἔριν D. Libri ἄνδρες. 16. φελαύρας G. πολλοὶ] ἑκατέροις add. G. s.v. ἑκατέρῳ D. συναγορεύοντες] συναγορευόντων δὲ A. ἔδοξε] ν s. v. L., addens deinde οὖν, quod G. s.v., δ' οὖν D. τὴν om. A. προυκεχωρήκει Juntina, G., in quo ου corr. fecit ex ο et κει posuit super κε, ut fortasse κεισαν voluerit, προκεχωρήκει D. προκεχωρήκεσαν A. G. pr. προκεχωρήκεισαν L. 17. ὁ κῦρος om. A. add. D.G. mg. a. m. ποτὲ om. A.G. ἰδὼν] ἰδὼν δ' A.G. τοὺς μὲν] τοὺς D. εἰς D. al. m. s. v. ἐμβολὴν] κύκλῳ addit D. punctis notatum. μὲν] μὲν δὴ D. ἐν om. D. in ras. et mox δὲ τάς. ἀναιρουμένους] ἐνηγμένους A. (qui δεήσοιεν ἡγμένους, spiritu ita picto ut lenis an asper sit dubites) G., qui in marg. m. r. γρ. ἀναιρουμένους, L., qui mg. m. recentissima γρ. ἐνυμένους capiëtes, i. e. αἰνυμένους. αἰνηγμένους ex Florentino et αἰνιγμένους ex duobus vetustis codd. memorat Stephanus. 18. παρασκευασάμενοι A.G. οὕτως om. A.G. ἐσήμηνεν M. ἐσήμηναν A.G. corr. s. v. ἐσήμαινεν D. βάλλοντες] ἔβαλλον ταῖς βώλοις καὶ D. Et βώλοις καὶ G. add. mg. r.

15. *δημόται*] Sunt plebeii, ut infra 8, 3, 5. Lexicon Parisiense apud Larcherum ad Herodotum 2, 172, p. 511. [Zonaras p. 494.] ait solum Xenophontem præter Ionas vocabulum ita usurpasse. SCHN. Poetarum exempla plurima v. in Thes. Steph.

εἰς ἔριν ὁρμᾶσθαι ταύτης τῆς μάχης] Homeri aliorumque Epicorum *ἔριν* vel *ἔριδα*, *νεῖκος πολέμοιο* confert Wernick. ad Tryphiodor. 4.

ἄνδρες recte restitutum ab Schneidero tetigi ad 2, 2, 7, et H. Gr. 4, 8, 22.

ἀγωνίᾳ] Photius et Suidas, gram. Bekkeri p. 333, 19: *Ἀγωνίᾳ Ξενοφῶν ἀντὶ τοῦ ἀγῶνι.* Aliorum exempla v. in Thes. Steph. Democrates apud Stob. Flor. Append. p. 39: *Οὔτε γράμματα οὔτε μουσικὴν οὔτε ἀγωνίην.* Dio Chrys. Or. 24, vol. 1, p. 518: *Οἱ δὲ περὶ ἀγωνίαν, οἱ δὲ περὶ μουσικὴν ἐσπουδάκασιν.* Sed apud Xenophontem idem obtinet discrimen quod apud Herodotum 2, 91: *Ἀγῶνα γυμνικὸν τιθεῖσι διὰ πάσης ἀγωνίης ἔχοντα*, recte declaravit Hesychius: *Ἀγωνίης, τῆς ἐν ἀγῶνι ἁμίλλης.*

16. *ταῦτα—προυκεχωρήκει*] Pluralem in eadem formula inferunt nonnulli 8, 4, 23.

17. *ἀναιρουμένους*] Suspectum propter librorum dissensum vocabulum non satis vindicat 8, 3, 27: *Ὡς βαλῶ γε ταύτῃ τῇ βώλῳ, ἔφη ἀνελόμενος.*

ἔστιν οἳ καὶ ἐτύγχανον καὶ θωράκων καὶ γέρρων, οἱ δὲ
καὶ μηροῦ καὶ κνημῖδος. ὅπου δὲ ὁμόσε γένοιντο, οἱ
τοὺς νάρθηκας ἔχοντες ἔπαιον τῶν μὲν μηρούς, τῶν δὲ
χεῖρας, τῶν δὲ κνήμας, τῶν δὲ καὶ ἐπικυπτόντων ἐπὶ
βώλους ἔπαιον τοὺς τραχήλους καὶ τὰ νῶτα. τέλος δὲ
τρεψάμενοι ἐδίωκον οἱ ναρθηκοφόροι παίοντες σὺν πολλῷ
γέλωτι καὶ παιγνίᾳ. ἐν μέρει γε μὴν οἱ ἕτεροι λαβόντες
πάλιν τοὺς νάρθηκας ταὐτὰ ἐποίησαν τοὺς ταῖς βώλοις
19 *βάλλοντας. ταῦτα δ' ἀγασθεὶς ὁ Κῦρος, τοῦ μὲν ταξι-* [8]
άρχου τὴν ἐπίνοιαν, τῶν δὲ τὴν πειθώ, ὅτι ἅμα μὲν
ἐγυμνάζοντο, ἅμα δ' εὐθυμοῦντο, ἅμα δ' ἐνίκων οἱ εἰκα-
σθέντες τῇ τῶν Περσῶν ὁπλίσει, τούτοις δ' ἡσθεὶς ἐκάλεσέ
τ' ἐπὶ δεῖπνον αὐτοὺς καὶ ἐν τῇ σκηνῇ ἰδών τινας αὐτῶν
ἐπιδεδεμένους, τὸν μέν τινα ἀντικνήμιον, τὸν δὲ χεῖρα,
20 *ἠρώτα τί πάθοιεν. οἱ δ' ἔλεγον ὅτι πληγεῖεν ταῖς βώλοις.*
ὁ δὲ πάλιν ἐπηρώτα πότερον ἐπεὶ ὁμοῦ ἐγένοντο ἢ ὅτε
πρόσω ἦσαν. οἱ δ' ἔλεγον ὅτε πρόσω ἦσαν. ἐπεὶ δὲ ὁμοῦ
ἐγένοντο, παιδιὰν ἔφασαν εἶναι καλλίστην οἱ ναρθηκοφό-
ροι· οἱ δὲ συγκεκομμένοι τοῖς νάρθηξιν ἀνέκραγον ὅτι οὐ
σφίσι δοκοίη παιδιὰ εἶναι τὸ ὁμόθεν παίεσθαι· ἅμα δὲ ἐπε-
δείκνυσαν τῶν ναρθήκων τὰς πληγὰς καὶ ἐν χερσὶ καὶ ἐν
τραχήλοις, ἔνιοι δὲ καὶ ἐν προσώποις. καὶ τότε μὲν ὥσπερ
εἰκὸς ἐγέλων ἐπ' ἀλλήλοις. τῇ δ' ὑστεραίᾳ μεστὸν ἦν τὸ
πεδίον πᾶν τῶν τούτους μιμουμένων· καὶ εἰ μὴ ἄλλο τι
σπουδαιότερον πράττοιεν, ταύτῃ τῇ παιδιᾷ ἐχρῶντο.

οἳ καὶ] *οἱ* D. *μηροὺς καὶ κνημίδας* A.G. pr., ut videtur. *ὅπου δὲ ὁμόσε*] *ἐπεὶ δὲ ὁμοῦ* D. *τῶν δὲ κνήμας* om. A.G., mg. r. addens *κνήμας*. *τῶν δὲ* om. D. *ἐπὶ βώλους* om. A.G. s. v. r. *παιγνίᾳ* A. *παιγνίῳ* H. *παιδιᾷ* D.G. fortasse corr., qui an aliud quid pr. habuerit non satis apparet, sed *παιδιᾷ* longe aliter scriptum in secunda quam s. 20. Suidas v. *Παιγνία* e Xenophonte: *Οἱ δὲ ν. ἐδίωκον σὺν π. γ. καὶ παιγνίᾳ.* *πάλιν λ.* D.L. *ταῦτα* D. 19. *δ' ἐθυμοῦντο* A.G. corr. mg. r. *δ' ἡσθεὶς*] *δὴ ἡσθεὶς* D. *τινα*] *αὐτῶν* add. A.G. *ἐπικνήμιον* A. et, ut videtur, G. pr. *ταῖς β. πληγεῖεν* D. 20. *ἢ ὅτε—ἐγένοντο* om. A.G. mg. r. *δὲ*] *δὲ αὖ* G. s. v. r. *δ' αὖ* D. *σφίσι*] *σφίσιν γε* D. *σφίσι γε* L. *πᾶν τῶν* Stephanus. *πάντων* A.D.G. *εἰ*] *ἀεὶ* G. corr. et *ὁπότε* G. mg. r. *ἀεὶ ὁπότε* D.

ἔστιν οἳ] Rarum apud antiquiores *ἔστιν οἳ* notavi ad Anab. 6, 2, 6, ubi deteriores *εἰσιν*. Plat. Min. p. 320 A: *Οὐκ ἔστιν οἵτινες.* Suspectum autem præter deletum ante hoc *ταῖς βώλοις* sequens *ἐπὶ βώλους*.

18. *παιγνίᾳ*] Formæ hujus exemplum Aristophanis addit Suidas, Herodoti et alia v. in Thes. Steph.

19. *ὁπλίσει*] 2, 1, 9.

20. *μεστὸν ἦν τὸ πεδίον πᾶν*] H. Gr. 3, 4, 16: *Ἐκ τούτου παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων κ. τ. λ.* ZEUN.

21 Ἄλλον δέ ποτε ἰδὼν ταξίαρχον ἄγοντα τὴν τάξιν ἀπὸ [9] τοῦ ποταμοῦ ἐπὶ τὸ ἄριστον ἐφ' ἑνός, καὶ ὁπότε δοκοίη αὐτῷ καιρὸς εἶναι, παραγγέλλοντα τὸν ὕστερον λόχον παράγειν, καὶ τὸν τρίτον καὶ τὸν τέταρτον, εἰς μέτωπον, ἐπεὶ δ' ἐν μετώπῳ οἱ λοχαγοὶ ἐγένοντο, παρηγγύησεν εἰς δύο ἄγειν τὸν λόχον· ἐκ τούτου δὴ παρῆγον οἱ δεκάδαρχοι εἰς μέτωπον· ὁπότε δ' αὖ ἐδόκει αὐτῷ καιρὸς εἶναι, παρήγγειλεν εἰς τέτταρας τὸν λόχον· οὕτω δὴ οἱ πεμπάδαρχοι αὖ παρῆγον εἰς τέτταρας· ἐπεὶ δὲ ἐπὶ θύραις τῆς σκηνῆς ἐγένοντο, παραγγείλας αὖ εἰς ἕνα ἰόντων εἰσῆγε τὸν πρῶτον λόχον, καὶ τὸν δεύτερον τούτου κατ' οὐρὰν ἐκέλευσεν ἕπεσθαι, καὶ τὸν τρίτον καὶ τὸν τέταρτον ὡσαύτως παραγγείλας ἡγεῖτο εἴσω· οὕτω δ' εἰσαγαγὼν κατέκλινεν ἐπὶ τὸ δεῖπνον ὥσπερ εἰσεπορεύοντο· τοῦτον οὖν ὁ Κῦρος ἀγασθεὶς τῆς τε πρᾳότητος τῆς διδασκαλίας καὶ τῆς ἐπιμε-

21. *ἄριστον*] *ἀριστερὸν* B. pr., ut videtur, D.G. mg. r., L. pr., et postquam *ἄριστον* intulerat corr., s. v., M. *καιρὸς δοκοίη αὐτῷ* G. *παραγγέλοντα* D.G. *δεκαδάρχαι* A.G., *οι* s. v. r., sed fortasse corr. in *αι*. *δεκαδάρχοι* (sic) L. *εἰς τέτταρας*] *ὡς* præponunt et *ἴη ὁ λόχος* add. D. (qui *ἴη* in ras. et pr. fort. *ἴοι* vel, ut M., *εἴη*) G. mg. r. *ἐπεὶ*] *ἐπειδὴ* D. *ἐπὶ τῇ θύρᾳ* D. *αὖ*] *δύο* A. pr. G. pr. *διο* eraso prope *υ* A. nunc. *εἰς*] *ὡς εἰς* D. *ὡς* G. s. v. r. *ἕπεσθαι ἐκέλευεν* D. *ἔσω* A.G. *δ'*] *δὴ* D. *εἰσεπορεύετο* A.G. *τοῦτον*] *ταῦτ'* A.G. *οὖν* om. G. *ὁ* om. G. *τῆς δ.*] *καὶ δ.* G.

21. *ἀπὸ τοῦ ποταμοῦ*] In quo loti erant, ne sudore polluti ad prandium accederent. Conf. 2, 1, 29. ZEUN.

ἄριστον] Al. *ἀριστερὸν*, quod damnavit Leuncl., quoniam Græce *ἐπὶ ἀριστερὰ*, ut *ἐπὶ δεξιὰ*, dicatur. Contra *ἄριστον* alii, quod recte rejecit Weisk. Neque enim milites ad suum *ἄριστον* ducuntur nunc, ad *δεῖπνον* vero deinde a Cyro vocantur. Superest igitur ut dicamus cum Hutchinsono aliisque *ἄριστον* et *δεῖπνον* esse synonyma, sec. Athen. 1, p. 11, Eustath. Il. p. 1833, quod facere dubitabit, qui Xenophontem legit. Quare ad lectionem *ἀριστερὸν* redeundum esse censui. Infra etiam 4, 2, Cyrus jubet *παράγειν ἐν δεξιᾷ ἔχοντα ἑαυτὸν*, igitur *ἐπ' ἀριστερὸν*, ad sinistram conversum. SCHN. *Ἀριστερὸν* pro *ἄριστον* illatum etiam Plut. Niciæ c. 20, neque aptum hic *ἀριστερόν*.

παράγειν] Ab altitudine ducere in frontem sive latitudinem. Conf. Schneider. ad Hipparch. 4, 9.

παρήγγειλεν εἰς τέτταρας et paullo post *παραγγείλας εἰς ἕνα* dictum fere ut Anab, 1, 5, 13: *Παραγγέλλει εἰς τὰ ὅπλα.*

ὡς εἰς τέτταρας ἴοι ὁ λόχος] Inepte his repetitur quod jam antecessit factum: *Παρήγγειλεν εἰς τέτταρας ἄγειν τὸν λόχον*; quod quum factum esset, *οἱ πεμπάδαρχοι αὖ παρῆγον*, scilicet *εἰς μέτωπον*. Ita perfecta est evolutio. Præclare vitium vidit unus Stephanus, et conjecit legendum: *ὁπότε δ' αὖ — καιρὸς εἶναι παράγειν εἰς τέτταρας τὸν λόχον, οὕτω δὴ — παρῆγον, ὡς*. Verum sic *ἄγειν* præstat in loco verbi *παράγειν*. SCHN. Id ipsum Stephanus ex "quodam vet. libro" (Philelpho, ut suspicatur Schneiderus) ante *τὸν λόχον* inseruit editione altera.

ἰόντων] *ἰέναι οὕτως* Stephanus. Alioqui delendum *ἰόντων*, quod sic dici non potuit. Sed ipsæ librorum varietates ostendunt jam olim hic fuisse turbatum.

λείας ἐκάλεσε ταύτην τὴν τάξιν ἐπὶ τὸ δεῖπνον σὺν τῷ
ταξιάρχῳ.

22 Παοὼν δέ τις ἐπὶ τῷ δείπνῳ κεκλημένος ἄλλος ταξί- [10]
αρχος, Τὴν δ' ἐμὴν, ἔφη, τάξιν, ὦ Κῦρε, οὐ καλεῖς εἰς
τὴν σκηνήν; καὶ μὴν ὅταν γε παρίῃ ἐπὶ τὸ δεῖπνον,
πάντα ταῦτα ποιεῖ· καὶ ὅταν τέλος ἡ σκηνὴ ἔχῃ, ἐξάγει
μὲν ὁ οὐραγὸς, ἔφη, ὁ τοῦ τελευταίου λόχου τὸν λόχον,
ὑστάτους ἔχων τοὺς πρώτους τεταγμένους εἰς μάχην· ἔπει-
τα ὁ δεύτερος τοὺς τοῦ ἑτέρου λόχου ἐπὶ τούτοις, καὶ ὁ
τρίτος καὶ ὁ τέταρτος ὡσαύτως, ὅπως, ἔφη, καὶ ὅταν
ἀπάγειν δέῃ ἀπὸ πολεμίων, ἐπίστωνται ὡς δεῖ ἀπιέναι.
ἐπειδὰν δὲ, ἔφη, καταστῶμεν ἐπὶ τὸν δρόμον ἔνθα περιπα-
τοῦμεν, ὅταν μὲν πρὸς ἕω ἴωμεν, ἐγὼ μὲν ἡγοῦμαι, καὶ ὁ
πρῶτος λόχος πρῶτος, καὶ ὁ δεύτερος ὡς δεῖ, καὶ ὁ τρίτος
καὶ ὁ τέταρτος, καὶ αἱ τῶν λόχων δεκάδες καὶ πεμπάδες,
ἕως ἂν παραγγέλλω ἐγώ· ὅταν δ', ἔφη, πρὸς ἑσπέραν
ἴωμεν, ὁ οὐραγός τε καὶ οἱ τελευταῖοι πρῶτοι ἀφηγοῦνται·
ἐμοὶ μέντοι οὕτω πείθονται ὑστέρῳ ἰόντι, ἵνα ἐθίζωνται καὶ
23 ἕπεσθαι καὶ ἡγεῖσθαι ὁμοίως πειθόμενοι. καὶ ὁ Κῦρος [11]
ἔφη, Ἦ καὶ ἀεὶ τοῦτο ποιεῖτε; Ὁποσάκις γε, ἔφη, καὶ
δειπνοποιούμεθα νὴ Δία. Καλῶ τοίνυν, ἔφη, ὑμᾶς, ἅμα
μὲν ὅτι τὰς τάξεις μελετᾶτε καὶ προσιόντες καὶ ἀπιόντες,
ἅμα δ' ὅτι καὶ ἡμέρας καὶ νυκτὸς, ἅμα δ' ὅτι τά τε σώμα-
τα περιπατοῦντες ἀσκεῖτε καὶ τὰς ψυχὰς ὠφελεῖτε διδά-
σκοντες. ἐπεὶ οὖν πάντα διπλᾶ ποιεῖτε, διπλῆν ὑμῖν δί-

ἐκέλευσε A. ταύτην] αὖ καὶ ταύτην D.G. s. v. r. τὸ δεῖπνον] τῷ δείπνῳ G. 22. τῶ δείπνον A. corr. etiam in accentu super ι, qui pr. videtur circumflexus fuisse. ὦ κῦρε τάξιν D. καλέσεις A.G. ὅταν γε] ὅταν A.G. παρῇ D. ἡ σκηνὴ om. A.G. add. D.G. mg. r. ἔφη om. D. ὁ τοῦ] οὐ τοῦ G. τοῦ D. τὸν λόχον om. A.G. add. D.G. mg. r. εἰς μ. τ. D. ἔπειτα] δ' οὐραγὸς add. D. ὁ δεύτερος τοὺς τοῦ] ὁ τοῦ D. ἔφη om. D. ἐπὶ τούτοις] ὅπως A.G. pr. δέῃ ἀπάγειν D. ἐπιστῶνται A.G. ἔφη om. D. ἐπὶ] εἰς D. περιπατοῦμεν] ω s. v. r. G. πρὸς ἕω ἴωμεν] προσίωμεν A. προΐωμεν G. pr. corr. s. v. r. μὲν om. D. δεῖ] δὲ A.G. pr. καὶ τέταρτος A.G. λόχων] λοχαγῶν D. πεντάδες A. ἕως] ᾧ A.G. corr. mg. r. παραγγέλω A.G. ἐγώ om. D. ὁ om. A.G. οὕτω] ὅμως D.G. s. v. r. ὅμως οὕτω L. πείθωνται D. ὄντι A.G. ἀφηγεῖσθαι D.G. s. v. r. 23. γε] τε D. δειπνοποιούμεθα] θ in ras. et α s. v., quasi pr. μεν fuerit, G. ἅμα μὲν ὅτι] ὅτι ἅμα μὲν A.G. ἅμα δ' ὅτι —νυκτὸς om. A.

22. ταῦτα] *Eadem*, ταὐτὰ, Camerar. ZEUN.

23. νυκτὸς] Quod post cœnam etiam τάξις exercitia eadem ordine inverso repetere solebat. SCHN.

ἅμα μὲν ὅτι—ἅμα δ' ὅτι] Sic 6, 1, 24.

24 καιον καὶ τὴν εὐωχίαν παρέχειν. Μὰ Δί', ἔφη ὁ ταξίαρχος, μήτοι γ' ἐν μιᾷ ἡμέρᾳ, εἰ μὴ καὶ διπλᾶς ἡμῖν τὰς γαστέρας παρέξεις. καὶ τότε μὲν δὴ οὕτω τὸ τέλος τῆς σκηνῆς ἐποιήσαντο. τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος ἐκάλεσεν ἐκείνην τὴν τάξιν, ὥσπερ ἔφη, καὶ τῇ ἄλλῃ. αἰσθόμενοι δὲ ταῦτα καὶ οἱ ἄλλοι τὸ λοιπὸν πάντες αὐτοὺς ἐμιμοῦντο.

ΚΕΦ. Δ.

Ἐξέτασιν δέ ποτε πάντων τοῦ Κύρου ποιουμένου ἐν τοῖς ὅπλοις καὶ σύνταξιν ἦλθε παρὰ Κυαξάρου ἄγγελος λέγων ὅτι Ἰνδῶν παρείη πρεσβεία· κελεύει οὖν σε ἐλθεῖν ὡς τάχιστα. φέρω δέ σοι, ἔφη ὁ ἄγγελος, καὶ στολὴν τὴν καλλίστην παρὰ Κυαξάρου· βούλεται γάρ σε ὡς λαμπρότατα καὶ εὐκοσμότατα προσάγειν, ὡς ὀψομένων τῶν Ἰν-
2 δῶν ὅπως ἂν προσίῃς. ἀκούσας δὲ ταῦτα ὁ Κῦρος παρήγγειλε τῷ πρώτῳ τεταγμένῳ ταξιάρχῳ εἰς μέτωπον στῆναι ἐφ' ἑνὸς ἄγοντα τὴν τάξιν, ἐν δεξιᾷ ἔχοντι ἑαυτὸν, καὶ τῷ δευτέρῳ ἐκέλευσε ταὐτὸ τοῦτο παραγγεῖλαι, καὶ διὰ πάντων οὕτω παραδιδόναι ἐκέλευσεν. οἱ δὲ πειθόμενοι ταχὺ [2]

καὶ τὴν] τὴν A.G. 24. ταξίαρχος] λοχαγὸς A.G. pr., ταξίαρχος corr. r., I. μήτοι E. μήτι A.D.G. γ'] γ' ἔφη A.G. ἐν om. A.G. pr. add. s. v. r. μιᾷ] μιᾷ γε D. οὕτως τέλος τῆς σκηνῆς ἕως ἐποιήσατο D. ἐποιήσατο etiam L. ἐκάλεσεν ἐκείνην] ἐκάλεσε ταύτην D.G. corr. αἰσθανόμενοι—τούτους D. 1. τοῦ κύρου πάντων D. κυαξάρους D. hic et infra. παρείη] παρεικη (ή s. v.) L. In G. scriptum παρει (ή s. v.). ὡς τάχιστα add. D.G. mg. r. om. A.G. τῶν καλλίστων D.G. s. v. r. ἐβούλετο D. ὡς εὐκ. καὶ λαμπρότατα D. εὐκοσμότατα] εὐσώματα A.G. pr. προσάγειν] προσελθεῖν D. προσίοις A.G. 2. δὲ om. D. ἔχοντι] ἄγοντα D. pr. ἔχοντα L., qui etiam præcedens τα in litura. ταυτὸ τοῦτο A.G. corr. ταυτὸν τοῦτο G. pr. ταῦτα τοῦτον D. οἱ D.G. corr. ὡς A.G. pr.

μήτοιγε] Geminatum hic in D. exemplis comprobavit Heindorf. ad Platonis Euthyd. 15, p. 319, quibus addit Aristoph. Pac. 930, Eur. Hippol. 480, Soph. Antig. 739. SCHN.

ἐν μιᾷ ἡμέρᾳ] Sic 3, 1, 17. Inter præp. additam et omissam variant libri Anab. 4, 8, 8: Παρήγαγον ἐν τρισὶν ἡμέραις, ubi deteriores omittunt, ut 5, 7, 17: Ταῦτα δ' ἦν ἐν τῇ ἡμέρᾳ ᾗ κ. τ. λ., quum 1, 5, 16 omnes conveniant in ἐν τῇδε τῇ ἡμέρᾳ.

24. τέλος] Supra s. 22: Ὅταν τέλος ἡ σκηνὴ ἔχῃ. D. postea ἕως ἐποιήσατο. An voluit convivium per totam noctem ad diluculum tractum fuisse? SCHN.

τῇ ἄλλῃ] τῇ τρίτῃ, ut τῇ ἑτέρᾳ 4, 6, 10. Sed Anab. 2, 1, 3: Ὅτι ταύτην μὲν τὴν ἡμέραν περιμείνειεν ἂν—τῇ δὲ ἄλλῃ ἀπιέναι φαίη. 3, 4, 1: Μείναντες δὲ ταύτην τὴν ἡμέραν, τῇ ἄλλῃ ἐπορεύοντο. *postridie*. SCHN.

2. ἔχοντι recte sequitur post ἄγοντα, quod cum στῆναι sine interpunctione conjungunt codices.

μὲν παρήγγελλον, ταχὺ δὲ τὰ παραγγελλόμενα ἐποίουν,
ἐν ὀλίγῳ δὲ χρόνῳ ἐγένοντο τὸ μὲν μέτωπον ἐπὶ τριακο-
σίων, τοσοῦτοι γὰρ ἦσαν οἱ ταξίαρχοι, τὸ δὲ βάθος ἐφ'
3 ἑκατόν. ἐπεὶ δὲ κατέστησαν, ἕπεσθαι ἐκέλευσεν ὡς ἂν
αὐτὸς ἡγῆται· καὶ εὐθὺς τροχάζων ἡγεῖτο. ἐπεὶ δὲ κατενό-
ησε τὴν ἀγυιὰν τὴν πρὸς τὸ βασίλειον φέρουσαν στενω-
τέραν οὖσαν ἢ ὡς ἐπὶ μετώπου πάντας διιέναι, παραγγεί-
λας τὴν πρώτην χιλιοστὺν ἕπεσθαι κατὰ χώραν, τὴν δὲ
δευτέραν κατ' οὐρὰν ταύτης ἀκολουθεῖν, καὶ διὰ παντὸς
οὕτως, αὐτὸς μὲν ἡγεῖτο οὐκ ἀναπαυόμενος, αἱ δ' ἄλλαι [3]
χιλιοστύες κατ' οὐρὰν ἑκάστη τῆς ἔμπροσθεν εἵποντο.
4 ἔπεμψε δὲ καὶ ὑπηρέτας δύο ἐπὶ τὸ στόμα τῆς ἀγυιᾶς,
ὅπως εἴ τις ἀγνοοίη, σημαίνοιεν τὸ δέον ποιεῖν. ὡς δ' ἀφί-
κοντο ἐπὶ τὰς Κυαξάρου θύρας, παρήγγειλε τῷ πρώτῳ
ταξιάρχῳ τὴν τάξιν εἰς δώδεκα τάττειν βάθος, τοὺς δὲ δω-
δεκάρχους ἐν μετώπῳ καθιστάναι περὶ τὸ βασίλειον, καὶ
τῷ δευτέρῳ ταὐτὰ ἐκέλευσε παραγγεῖλαι, καὶ διὰ παντὸς
5 οὕτως. οἱ μὲν δὴ ταῦτ' ἐποίουν· ὁ δ' εἰσῄει πρὸς τὸν [4]
Κυαξάρην ἐν τῇ Περσικῇ στολῇ οὐδέν τι ὑβρισμένῃ. ἰδὼν

μὲν] μέν τι D. τὰ om. A.G. ἐγένετο D. τριακοσίων Muretus. Libri διακοσίων. 3. ἐπειδὴ δὲ D. ἡγῆται] αι in ras. D. στενοτέραν D. διιέναι] ἰέναι D. χιλιοστὴν A. τὴν δὲ] τὴν A.G. ταύτῃ A.G. pr. ἀκολουθεῖν] ἔταξε add. A.G. τῆς] τῇ A. 4. τὸ στόμα] στόμα A.G. ἀγνοοίη] ο prius s. v. D. σημαίνῃ A.G. pr. κυαξάρους D. πρώτῳ om. A.G. s. v. r. τάττειν om. A.G. τοὺς δὲ δωδεκάρχας om. A.G. addens τοὺς δωδεκάρχας mg. r. δὲ om. L. δωδεκάρχους E. δωδεκάρχας L. δωδεκαδάρχας D. ταῦτα D. 5. εἰσείη D. οὐδέν τι] οὐδὲν A.G.

τριακοσίων] Hoc vulgato διακοσίων ex correctione Mureti, Camerarii et Leunclavii substitui, ut numerus militum responderet narrationi 1, 5, 5, et 2, 1, 2, ubi triginta millia Persarum numerantur sub Cyro militantium; numerus vero vulgaris in h. l. viginti tantum millia efficit, si scilicet centurionum numerum in agminis fronte collocatorum multiplicaveris per numerum militum in agminis altitudine subsequentium. SCHN.

3. ἀγυιὰν] Pollux 9, 35: Ἀγυιαὶ κατὰ Ξενοφῶντα καὶ καθ' Ὅμηρον. Suidas: Ἀγυιάν, τὸν στενωπὸν Ξ. καὶ ὅλως πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ. Schol. Od. B, 388: Τὰ ἄμφοδα ἀγυιὰς Ἀργεῖοι καλοῦσιν. Est ἀγυιὰς κνισᾶν in oraculis apud Aristophanem et Demosthenem, et apud eosdem Apollo Ἀγυιεὺς ex oraculo cultus Athenis in vicis urbis, de quo Varro apud schol. Horatii ad Carm. 4, 6, 28. ZEUN.

στενωτέραν] V. ad 6, 3, 3.

4. ἐπὶ τὸ στόμα τῆς ἀγυιᾶς] Anab. 5, 2, 26: Οἱ δὲ κατὰ στόμα δὴ ἔτι μόνοι ἐλύπουν, deteriores κατὰ τὸ στόμα.

5. ὑβρισμένῃ] Non magnifica aut delicata, cum Medica comparata, sed vili. Conf. Æliani V. H. 1, 31. ibique Interpretes. SCHN. Eur. Phœn. 1118: Οὐ σημεῖ' ἔχων ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα, addit L. Bos. Observ. misc. p. 17.

δὲ αὐτὸν ὁ Κυαξάρης τῷ μὲν τάχει ἥσθη, τῇ δὲ φαυλότητι
τῆς στολῆς ἠχθέσθη, καὶ εἶπε, Τί τοῦτο, ὦ Κῦρε; οἷον πε-
ποίηκας οὕτω φανεὶς τοῖς Ἰνδοῖς; ἐγὼ δ', ἔφη, ἐβουλόμην
σε ὡς λαμπρότατον φανῆναι· καὶ γὰρ ἐμοὶ ἂν κόσμος ἦν
τοῦτο, ἐμῆς ὄντα ἀδελφῆς υἱὸν ὅτι μεγαλοπρεπέστατον
6 φαίνεσθαι. καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε, Καὶ ποτέρως [5]
ἄν, ὦ Κυαξάρη, μᾶλλόν σε ἐκόσμουν, εἴπερ πορφυρίδα
ἐνδὺς καὶ ψέλια λαβὼν καὶ στρεπτὸν περιθέμενος σχολῇ
κελεύοντι ὑπήκουόν σοι, ἢ νῦν ὅτε σὺν τοιαύτῃ καὶ τοσαύ-
τῃ δυνάμει οὕτω σοι ὀξέως ὑπακούω διὰ τὸ σὲ τιμᾶν
ἱδρῶτι καὶ σπουδῇ καὶ αὐτὸς κεκοσμημένος καὶ τοὺς ἄλλους
ἐπιδεικνύς σοι οὕτω πειθομένους; Κῦρος μὲν οὖν ταῦτα
εἶπεν. ὁ δὲ Κυαξάρης νομίσας αὐτὸν ὀρθῶς λέγειν ἐκάλεσε
7 τοὺς Ἰνδούς. οἱ δὲ Ἰνδοὶ εἰσελθόντες ἔλεξαν ὅτι πέμψειε [6]
σφᾶς ὁ Ἰνδῶν βασιλεὺς κελεύων ἐρωτᾶν ἐξ οὗ ὁ πόλεμος
εἴη Μήδοις τε καὶ τῷ Ἀσσυρίῳ· ἐπεὶ δὲ σοῦ ἀκούσαιμεν,
ἐκέλευσεν ἐλθόντας αὖ πρὸς τὸν Ἀσσύριον κἀκείνου ταὐτὰ
πυθέσθαι· τέλος δ' ἀμφοτέροις εἰπεῖν ὑμῖν ὅτι ὁ Ἰνδῶν
βασιλεύς, τὸ δίκαιον σκεψάμενος, φαίη μετὰ τοῦ ἠδικημέ-
8 νου ἔσεσθαι. πρὸς ταῦτα ὁ Κυαξάρης εἶπεν, Ἐμοῦ μὲν [7]
τοίνυν ἀκούετε ὅτι οὐκ ἀδικοῦμεν τὸν Ἀσσύριον οὐδέν·

αὐτὸν ὁ κ.] ὁ κ. αὐτὸν G. ὦ om. D. ἠβουλόμην A.G. κόσμος ἂν D. ὄντα] ὄντα σε D. 6. ἐνδὺς] εὐθὺς A. ψέλλια A.G. κελεύοντι] σαλεύων D. τοσαύτῃ καὶ τοιαύτῃ D. οὕτως A. οὕτως ὀξέως σοι D. ὑπακούων G. corr. κεκοσμημένος] καὶ σὲ κοσμῶν add. D. σοι οὕτω] οἱ οὕτως A. οἱ οὕτω G. pr., hic etiam gravi super ἐπιδεικνὺς in acutum mutato. νομήσας D. ἐκάλεσε] ἐκέλευσεν ἄγειν D. κελεύων] καὶ κελεύσειεν D. 7. πέμψειεν A. οὗ] ὅτου D. αὖ ante ἐλθόντας D., ubi G. s. v. rursus delevit. καὶ ἐκείνου D. τὰ αὐτὰ ταῦτα D. ταύτα ταῦτα L., et τὰ αὐτὰ mg. r. ταῦτα A.G. τὰ αὐτὰ δὲ πυθέσθαι κἀκείνου Zonaras. πιθέσθαι G. pr. δὲ] δ' αὖ D. ὑμῖν εἰπεῖν D. ὁ om. D. φαίη σκ. τὸ δ. D. ἀδικουμένου D. 8. ἐμοῦ μὲν] ἐμὲ D.

6. κελεύοντι] σαλεύων, quod est in aliis, fastuosi hominis incessum mollem pingit verbum. Apud Aristoph. Plut. 291 est τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων. SCHN.

ἠδικημένου] Rectum etiam vulgatum ἀδικουμένου esse, ut deinceps est §. 8 ἀδικεῖσθαι, docuit Heind. ad Platon. Prot. p. 463. SCHN.

ἀκούετε] Legati Indorum causam belli ut sciscitarentur, missi erant, ἐξ ὅτου ὁ πόλεμος εἴη. Cyaxares, homo superbus, causam belli non exponit, sed brevibus verbis defungitur, οὐκ ἀδικοῦμεν τὸν Ἀσσύριον οὐδέν. Auget vel magis arguit superbiam, quod addit, εἰ δεῖσθε, si vobis libet, aut si jussa regis vestri exsequi vos oportet, adite nunc etiam Assyrium regem audituri, quid iste aiat. Cyrus igitur orationis Cyaxaris superbiam mollire conatur arbitrio ad Indorum regem delato. SCHN.

ἐκείνου δ', εἰ δεῖσθε, ἐλθόντες νῦν πύθεσθε ὅ τι λέγει.
παρὼν δὲ ὁ Κῦρος ἤρετο τὸν Κυαξάρην, Ἦ καὶ ἐγὼ, ἔφη,
εἴπω ὅ τι γιγνώσκω; καὶ ὁ Κυαξάρης ἐκέλευσεν. Ὑμεῖς
τοίνυν, ἔφη, ἀπαγγείλατε τῷ Ἰνδῶν βασιλεῖ τάδε, εἰ μή
τι ἄλλο Κυαξάρῃ δοκεῖ, ὅτι φαμὲν ἡμεῖς, εἴ τί φησιν ὑφ'
ἡμῶν ἀδικεῖσθαι ὁ Ἀσσύριος, αἱρεῖσθαι αὐτὸν τὸν Ἰνδῶν
βασιλέα δικαστήν. οἱ μὲν δὴ ταῦτα ἀκούσαντες ᾤχοντο. [8]
9 Ἐπεὶ δὲ ἐξῆλθον οἱ Ἰνδοὶ, ὁ Κῦρος πρὸς τὸν Κυα-
ξάρην ἤρξατο λόγου τοιοῦδε.

Ὦ Κυαξάρη, ἐγὼ μὲν ἦλθον οὐδέν τι πολλὰ ἔχων ἴδια
χρήματα οἴκοθεν· ὁπόσα δ' ἦν, τούτων πάνυ ὀλίγα λοιπὰ
ἔχω· ἀνήλωκα δὲ, ἔφη, εἰς τοὺς στρατιώτας· καὶ τοῦτο
ἴσως, ἔφη, θαυμάζεις σὺ πῶς ἐγὼ ἀνήλωκα σοῦ αὐτοὺς
τρέφοντος· εὖ δ' ἴσθι, ἔφη, ὅτι οὐδὲν ἄλλο ποιῶν ἢ τιμῶν
10 καὶ χαριζόμενος, ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν. δοκεῖ
γάρ μοι, ἔφη, πάντας μὲν οὓς ἄν τις βούληται ἀγαθοὺς
συνεργοὺς ποιεῖσθαι ὁποίου τινὸς οὖν πράγματος, ἥδιον
εἶναι εὖ τε λέγοντα καὶ εὖ ποιοῦντα παρορμᾶν μᾶλλον ἢ
λυποῦντα καὶ ἀναγκάζοντα· οὓς δὲ δὴ τῶν εἰς τὸν πόλε-
μον ἔργων ποιήσασθαί τις βούλοιτο συνεργοὺς προθύμους,

εἰ δεῖσθε om. D. νῦν om. D. πυνθάνεσθαι D. πίθεσθε G. pr. πύθοισθε, sed ε al. m. s. οι, L. εἴπω ὅτι] ὅτι εἴπω L. et qui s. v. al. m. β α, G. εἴπω τί D. ἐκέλευεν A. ὑμεῖς μὲν τοίνυν D. κυαξάρει D. ὁ s. v. A. ead. m. αἱρεῖσθαι] αἱρούμεθα D. L. mg. r. τὸν] τῶν D. 9. ἐπειδὴ δὲ οἱ ἰ. ἐξ. D. ὁ κῦρος] κῦρος A. G. ἤρχετο D. πολλῶ A. et ὰ G. in ras. μὲν ἦλθον] μέντοι ἦλθον μὲν D. ἔφη om. D. τοῦτο ἴσως] τούτοις ὡς fortasse D. pr. ἔφη et σὺ om. D. ἀνήλωκα ἐγώ D. δ' om. D. 10. τινα A. L. mg. al. m. G. super τιν erasit litteram, ut videtur, α, et quod post τιν habet ϊ cum accentu α corr. addito, fortasse ipsam quoque est a corr.

9. ἤρξατο λόγου τοιοῦδε] Ut 1, 6, 2, ἤρχετο λόγου τοιοῦδε. Alia et diversa est ratio loci 3, 2, 28. SCHN.

ὅταν τινὶ ἀγασθῶ] Conv. 8, 19: Ὅσων ψυχαῖς ἀγασθείη, ubi imperitus corrector in marg. Paris. A. ψυχάς. De quo dixi præf. ad Conv. p. 6. Et sic Reip. Laced. 1, 7: Ὁποίου ἀνδρὸς σῶμά τε καὶ ψυχὴν ἀγασθείη. Sed Suidas s. Bekk. Anecd. p. 324, 32: Ἀγασθῶ τινι, ἀντὶ τοῦ θαυμάσω τινά. Ξενοφῶν. Ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν. Et sic infra 6, 4, 9.

10. ἥδιον] Infra 5, 5, 4, postquam præcesserat ἔγνω βελτιον εἶναι τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις, repetit ὁρῶν οὖν καὶ τούτους πολλὰ σινομένους τὴν Μηδικὴν, τούτων αὖ ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον ἢ ἄλλον εἰσδέξασθαι. [Sed hic omittunt plerique.] Μᾶλλον esse *potius* monuit Fischer. ad Weller. 2, p. 138. Supra 2, 3, 12: Τούτοις γοῦν ὁρῶ αὐτὸν, ὅ τι ἂν ἔχῃ, ἥδιον διδόντα μᾶλλον ἢ αὐτὸν ἔχοντα. SCHN.

τῶν εἰς τὸν πόλεμον ἔργων] Sic Anab. 1, 9, 5. Omisso ἔργα 6, 4, 14; 8, 8, 27, ut alibi τὰ πρὸς τὸν πόλεμον. Frustra delet Bisschop. Annot. ad Anab. p. 17, ut supra 1, 6, 12 in dete-

τούτους παντάπασιν ἔμοιγε δοκεῖ ἀγαθοῖς θηρατέον εἶναι καὶ λόγοις καὶ ἔργοις. φίλους γάρ, οὐκ ἐχθρούς, δεῖ εἶναι τοὺς μέλλοντας ἀπροφασίστους συμμάχους ἔσεσθαι καὶ μήτε τοῖς ἀγαθοῖς τοῦ ἄρχοντος φθονήσοντας μήτ' ἐν τοῖς
11 κακοῖς προδώσοντας. ταῦτ' οὖν ἐγὼ οὕτω προγιγνώσκων χρημάτων δοκῶ προσδεῖσθαι. πρὸς μὲν οὖν σὲ πάντα ὁρᾶν, ὃν αἰσθάνομαι πολλὰ δαπανῶντα, ἄτοπόν μοι δοκεῖ εἶναι· σκοπεῖν δ' ἀξιῶ κοινῇ καὶ σὲ καὶ ἐμὲ ὅπως σὲ μὴ ἐπιλείψει χρήματα. ἐὰν γὰρ σὺ ἄφθονα ἔχῃς, οἶδ' ὅτι καὶ ἐμοὶ ἂν εἴη λαμβάνειν ὁπότε δεοίμην, ἄλλως τε καὶ εἰ εἰς τοιοῦτόν τι λαμβάνοιμι ὃ μέλλοι καὶ σοὶ δαπανηθὲν βέλτιον εἶναι.
12 ἔναγχος οὖν μέμνημαί σου ἀκούσας ὡς ὁ Ἀρμένιος καταφρονοίη σου νῦν, ὅτι ἀκούει τοὺς πολεμίους προσιόντας ἡμῖν, καὶ οὔτε τὸ στράτευμα πέμποι οὔτε τὸν δασμὸν ὃν ἔδει ἀπάγοι. Ποιεῖ γὰρ ταῦτα, ἔφη, ὦ Κῦρε, ἐκεῖνος· ὥστ' ἔγωγε ἀπορῶ πότερόν μοι κρεῖττον στρατεύεσθαι καὶ πειρᾶσθαι ἀνάγκην αὐτῷ προσθεῖναι ἢ λυσιτελεῖ ἐᾶσαι ἐν τῷ παρόντι, μὴ καὶ τοῦτον πολέμιον πρὸς τοῖς ἄλλοις
13 προσθώμεθα. καὶ ὁ Κῦρος ἐπήρετο, Αἱ δ' οἰκήσεις αὐτῷ [9]

τοῖς] ἐπὶ τοῖς D. G. s. v. r. φρον D. pr. προδώσοντας] ὀρρωδήσοντας D. ὠρροδήσοντας G., manifesto corr. in ὠρρο, et, ut videtur, in η. 11. γιγνώσκων D. δοκῶν puncto infra ν posito D. ὁρᾶν ὃν] ὁρῶν A.G. corr. s.v.r. σε post δαπανῶντα add. A.G. punctis duobus infra notat L. ἄτοπόν (ἄποτον fortasse D. pr.) μοι δοκεῖ εἶναι add. D.L. et G. mg. r. om. A. καὶ σὲ m.g. al. m. D. ὑπολείψῃ A.G. ἐὰν] ἢν D. σοὶ D. οἶδ'] οὐδ' D. pr. ἂν om. D. μέλλει D. 12. οὖν] μὲν οὖν G. ἔναγχος οὖν ποτέ σου μέμνημαι ἀκούσας D. ἡμῖν] ἐφ' ἡμᾶς D. πέμπει—ἀπάγει A.G. τὸ στράτευμα Schneiderus. Libri στράτευμα. τὸν δασμὸν D.G. s. v. al. m. δασμὸν A.G. ταῦτα] αὐτὰ A.G. ἔγωγε] ἐγώ τε D. στρατεῦσαι D. προσθῆναι D., ut videtur, G. ἢ λυσιτελεῖ D. ἢ λυσιτελεῖν G. corr. ἢ νῦν A.G. ἐάσαιεν A. 13. ἐπείρετο A. αἱ διοικήσεις G.

rioribus ἔργοις additum ad στρατηγικοῖς, et in omnibus Oecon. 20, 6, ubi præcesserat ἔργα.

11. πρὸς μὲν οὖν σε πάντα ὁρᾶν] Πάντα accipiendum sic ut est 1, 6, 8: Ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ—πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. Schneiderus ex A. G. duci posse opinabatur πρὸς μὲν οὖν σε πάντων ὁρώντων αἰσθάνομαι πολλὰ δαπανῶντά σε· σκοπεῖν δ' ἀξιῶ.

12. ἔναγχος ποτε etiam Aristoph. Nub. 639. SCHN.

ὡς ὁ Ἀρμένιος] Armenius nempe quum audisset Assyriorum regem tot gentes (1, 5, 3 memoratas) ad arma contra Cyaxarem capienda concitasse, ratus se jam felicem recuperandæ libertatis occasionem nactum esse, neque auxilium illi misit neque tributum solvit; contra pacta conventa quæ ab Astyage bello superatus cum Medis hac de re inerat. HUTCH.

στράτευμα—δασμὸν] Si contuleris s. 14, 22, mecum statues τὸ addendum esse etiam ante στράτευμα. SCHN.

Ποιεῖ γὰρ ταῦτα] Recte meministi; facit enim hæc ille. SCHN.

13. ἐν ἀσφαλεῖ εἶναι τοῦ μὴ αὐτός γε

πότερον ἐν ἐχυροῖς χωρίοις εἰσὶν ἢ καί που ἐν εὐεφόδοις; καὶ ὁ Κυαξάρης εἶπεν, Αἱ μὲν οἰκήσεις οὐ πάνυ ἐν ἐχυροῖς· ἐγὼ γὰρ τούτου οὐκ ἠμέλουν· ὄρη μέντοι ἔστιν ἔνθα δύναιτ' ἂν ἀπελθὼν ἐν τῷ παραχρῆμα ἐν ἀσφαλεῖ εἶναι τοῦ μὴ αὐτός γε ὑποχείριος γενέσθαι, μηδὲ ὅσα ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι, εἰ μή τις πολιορκοίη προσκαθή-
14 μενος, ὥσπερ ὁ ἐμὸς πατὴρ τοῦτο ἐποίησεν. ἐκ τούτου δὴ ὁ Κῦρος λέγει τάδε· Ἀλλ' εἰ θέλοις, ἔφη, ἐμὲ πέμψαι, ἱππέας μοι προσθεὶς ὁπόσοι δοκοῦσι μέτριοι εἶναι, οἶμαι ἂν σὺν τοῖς θεοῖς ποιῆσαι αὐτὸν καὶ τὸ στράτευμα πέμψαι καὶ ἀποδοῦναι τὸν δασμόν σοι· ἔτι δ' ἐλπίζω καὶ φίλον αὐτὸν
15 μᾶλλον ἡμῖν γενήσεσθαι ἢ νῦν ἐστι. καὶ ὁ Κυαξάρης εἶπε, Καὶ ἐγώ, ἔφη, ἐλπίζω ἐκείνους ἐλθεῖν πρὸς σὲ μᾶλλον ἢ πρὸς ἐμέ· ἀκούω γὰρ ὅτι καὶ συνθηρευτάς τινας τῶν παίδων σοι γενέσθαι αὐτοῦ· ὥστ' ἴσως ἂν καὶ πάλιν ἔλθοιεν πρὸς σέ· ὑποχειρίων δὲ γενομένων αὐτῶν πάντα πραχθείη ἂν ᾗ ἡμεῖς βουλόμεθα. Οὐκοῦν σοι δοκεῖ, ἔφη ὁ Κῦρος, σύμφορον εἶναι τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας;

αὐτῷ] αὐτῶν A.G. καί που om. D. ἐν om. A.G. τούτου οὐκ ἠμέλουν] τοῦτο οὐκ ἐμέλουν G. corr. τοῦτο οἶδα A.G. pr. γε μέντοι D. ἔστιν] pro hoc ÷ D. μὴ] μήτε G. corr. γενέσθαι] εἶναι D. ὑποκομίσασθαι A.G. ὑποκκομίσασθαι cum puncto infra prius κ D. τοῦτο] ποτε D., quod ante τοῦτο inserit G. mg. r. 14. δὴ] δὲ D. εἴ θέ θέλοις A. θέλεις D., qui θέλ^s, G. Verum videtur εἰ ἐθέλοις. ἔφη om. D. δοκοῦσι μέτριοι] δοκοῦσιν ἱκανοί D. L. mg. r. οἶμαι ἂν] οἴομαι γὰρ D. πέμπειν D. δασμὸν] inter δ et α litteram erasit G. γενήσεσθαι] ἔσεσθαι D. 15. ἐγὼ ἔφη] ἔγωγε D. ἐλθεῖν] ἐλθεῖν ἂν D. ἡμᾶς] ἐμὲ D. ὅτι om. D. ὅτι G. corr. συνθήρους D. αὐτοῦ σοι γ. D. ἔλθοιε A. αὐτῶν] τινῶν αὐτῶν D.G. al. m. πάντ' ἂν πρ. D. ᾗ] ἣν D. (puncto sub ν posito) G. al. m. δοκεῖ σοι D. συμφέρον G. s. v. al. m.

ὑποχείριος γενέσθαι] 3, 3, 31: Εἰδότες ὅτι ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν. Similiter 2, 4, 23: Οὓς δὲ μὴ δύναιντο λαμβάνειν, ἀποσοβοῦντες ἂν ἐμποδὼν γίγνοιντο τοῦ μὴ ὁρᾶν αὐτοὺς τὸ ὅλον στράτευμά σου, ubi unus L. γίγνοιν cum το s. v. alia m. scripto. Et 3, 1, 27: Μὴ ἐπιθήσεις αὐτοῖς ζυγὰ τοῦ μὴ ὑβρίσαι. Qui etsi satis magnus exemplorum numerus videtur, nihilominus suspectus est genitivus cum μὴ conjunctus, quem librarios sæpe intulisse pro accusativo Xenophontis et aliorum exemplis ostendi ad H. Gr. 4, 8, 5; Anab. 2, 5, 22; 3, 5, 11, et infra 23 refelli simillimo Anabasis loco, qui accusativum habet. Sic autem ἀσφάλειαν εἶναι sequente μὴ vel μηδὲν cum infinitivo sine articulo dixit Thucydides, et similiter Xen. H. Gr. 2, 2, 10, σωτηρίαν μὴ παθεῖν. Quibus in formulis libri variant non solum inter genitivum et accusativum, sed etiam in articulo addito et omisso, ut in ἐξέφυγε τοῦ μή, τὸ μή, μὴ καταπετρωθῆναι Anab. 1, 3, 2, et ipso H. Gr. loco postremo, ubi plerique, εἰ μή, unus τοῦ μή, Xenophon autem haud dubie solum μὴ posuerat.

15. ἀκούω ὅτι—γενέσθαι] Etsi facile inferri potuit ὅτι, nec multum tribuendum videri potest locis ubi libri

Μᾶλλον γὰρ ἄν, ἔφη ὁ Κυαξάρης, καὶ ἔλθοι τις αὐτῶν εἰς
χεῖρας, καὶ εἴ τις ὁρμῷτο ἐπ' αὐτούς, ἀπαράσκευοι ἂν λαμ-
16 βάνοιντο. Ἄκουε τοίνυν, ἔφη ὁ Κῦρος, ἤν τί σοι δόξω [11]
λέγειν. ἐγὼ πολλάκις δὴ σὺν πᾶσι τοῖς μετ' ἐμοῦ τεθή-
ρακα ἀμφὶ τὰ ὅρια τῆς τε σῆς χώρας καὶ τῆς τῶν Ἀρμε-
νίων, καὶ ἱππέας τινὰς ἤδη προσλαβὼν τῶν ἐνθένδε ἑταί-
ρων ἀφικόμην. Τὰ μὲν τοίνυν ὅμοια ποιῶν, ἔφη ὁ Κυ-
αξάρης, οὐκ ἂν ὑποπτεύοιο· εἰ δὲ πολὺ πλείων ἡ δύναμις
φαίνοιτο ἧς ἔχων εἴωθας θηρᾶν, τοῦτο ἤδη ὕποπτον ἂν γέ-
17 νοιτο. Ἀλλ' ἔστιν, ἔφη ὁ Κῦρος, καὶ πρόφασιν κατα- [12]
σκευάσαι καὶ ἐνθάδε οὐκ ἄπιστον, καὶ ἤν τις ἐκεῖσε ἐξαγ-
γείλῃ, ὡς ἐγὼ βουλοίμην μεγάλην θήραν ποιῆσαι· καὶ
ἱππέας, ἔφη, αἰτοίην ἄν σε ἐκ τοῦ φανεροῦ. Κάλλιστα
λέγεις, ἔφη ὁ Κυαξάρης· ἐγὼ δέ σοι οὐκ ἐθελήσω διδόναι
πλὴν μετρίους τινάς, ὡς βουλόμενος πρὸς τὰ φρούρια ἐλ-
θεῖν τὰ πρὸς τῇ Συρίᾳ. καὶ γὰρ τῷ ὄντι, ἔφη, βούλομαι
ἐλθὼν κατασκευάσαι αὐτὰ ὡς ἐχυρώτατα. ὁπότε δὲ σὺ
προεληλυθοίης σὺν ᾗ ἔχοις δυνάμει καὶ θηρῴης καὶ δὴ δύο
ἡμέρας, πέμψαιμι ἄν σοι ἱκανοὺς ἱππέας καὶ πεζοὺς τῶν

ἂν] οὖν D. καὶ ἔλθοι D.G. s. v. al. m. ἔλθοι A. ὅρμοιτο (ω s. v.) D. ἀπαράσκευοι] ἀπαρασκεύαστοι A.G. ἀπαρασκευαστότεροι D. ἂν λαμβ.] ἀναλαμβάνοιτο, sed ν al. m. s.v. D. 16. ἄν τί σοι A.G. ἤν τι D. Idem interpungit post ἐγώ. σὺν πᾶσιν] συμπᾶσιν D. ἐμοῦ] πέρσαις add. D.L. mg. r. τε om. D. τινὰς ἤδη] δὲ ἤδη τινὰς D. προλαμβάνων A.G. προσλαμβάνων M. ὅμοια ποιῶν] ὁρῶν A. et qui ὁ tantum pr., μοι corr. et α ποιῶν s. v. r. G. πλείω ν s. v. addito D. ἧς] η, ut videtur, in ras. G. τῆς σῆς A. εἰώθης ἔχων D. τοῦτο om. A.G. s.v.r. γίγνοιτο D. 17. ἤν] ἂν A.G. ἐξαγγείλῃ] ἐξαιτῇ δὴ A. ἐξαγγείλῃ δὴ L.M. et qui αγγείλῃ a corr. G. αἰτοίην ἂν D. αἰτοί νυν A. αἰτοίην G. κάλλιστ' ἔφη λέγεις D. δέ σοι] δὲ A.G. σοι add. G. in fine versus r. γέ σοι D. συρίᾳ] ἀσσυρίᾳ D.G. corr. r. βούλομαι ἔφη G. ἐχυ super ἰσχυ G. r. ἰσχυρότατα L. corr. ἰσχυρώτατα A. προεληλύθοις A. προεληλύθεις E.K. προεληλύθῃς et οις super ῃς M. ἔχεις D.G. ἄν σοι D. σοι A.G.

inter infinitivum et indicativum vel optativum variant, ut Anab. 3, 1, 9; 7, 5, 8, tamen sunt etiam qui omnem prohibeant leniorem mutationem, velut H. Gr. 3, 4, 27: Τοῦτο δ' ἐποίησαν οἱ Λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχοι, τό τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι—τό τε ναυτικόν. Cui loco simillimus est Cyrop. 8, 1, 25. V. ad 7, 4, 7.

ἀπαρασκεύαστοι] Xenophonti constanter reddendam esse formam ἀπαράσκευος, inter quam libri variant aliquoties in Anabasi, vix dubitabit qui aut constantem apud Thucydidem formæ ἀπαράσκευος usum aut eandem librorum apud alios scriptores in his formis fluctuationem perpenderit, velut apud Diodorum, cui item ubique reddendum ἀπαράσκευος. V. Thes. Steph.

16. ὅμοια ποιῶν] ὁρῶν si pro δρῶν positum in A.G., τὰ mutandum foret in ταὐτά. Sed credibilius propter veteris codicis lacunam ὁ... ιῶν transisse in ὁρῶν.

Συρίᾳ] I. q. Ἀσσυρία, a qua alibi distinguitur.

προεληλυθοίης conferendum cum

παρ' ἐμοὶ ἠθροισμένων, οὓς σὺ λαβὼν εὐθὺς ἀνίοις· καὶ αὐτὸς δὲ ἔχων τὴν ἄλλην δύναμιν πειρῴμην μὴ πρόσω ὑμῶν εἶναι, ἵνα, εἴ που καιρὸς εἴη, ἐπιφανείην.

18 Οὕτω δὴ ὁ μὲν Κυαξάρης εὐθέως πρὸς τὰ φρούρια [13] ἤθροιζεν ἱππέας καὶ πεζούς, καὶ ἁμάξας δὲ σίτου προύπεμπε τὴν ἐπὶ τὰ φρούρια ὁδόν. ὁ δὲ Κῦρος ἐθύετο ἐπὶ τῇ πορείᾳ, καὶ ἅμα πέμπων ἐπὶ τὸν Κυαξάρην ᾔτει τῶν νεωτέρων ἱππέων. ὁ δὲ πάνυ πολλῶν βουλομένων ἕπεσθαι οὐ πολλοὺς ἔδωκεν αὐτῷ. προεληλυθότος δ' ἤδη τοῦ Κυαξάρου σὺν δυνάμει πεζῇ καὶ ἱππικῇ τὴν πρὸς τὰ φρούρια γίγνεται τῷ Κύρῳ τὰ ἱερὰ ἐπὶ τὸν Ἀρμένιον καλά·
19 καὶ οὕτως ἐξάγει ὡς εἰς θήραν παρεσκευασμένος. πορευο- [14] μένῳ δ' αὐτῷ εὐθὺς ἐν τῷ πρώτῳ χωρίῳ ὑπανίσταται λαγῶς· ἀετὸς δ' ἐπιπτόμενος αἴσιος, κατιδὼν τὸν λαγῶ

σὺ λαβὼν] συλλαβὼν A. δὲ] δ' ἂν D. που] ποι A.C.D. πη et s. v. ου G. 18. εὐθέως] εὐθὺς G. ἱππέας τε καὶ D. ἀμάξας A.D.G. ἐθύετο] εὐθὺς ἐθύετο A.G. Libri προέπεμπε hic quidem pr. εὐθύετο pro ἐθύετο. ᾔτει] ι sub η G.r. ἔπεσθαι D.G. corr. r. Ἀπέρχεσθαι κυαξάρους D. πεζῇ καὶ ἱππικῇ] καὶ πεζῇ καὶ ἱππικῇ L. et qui καὶ prius s.v.r. G. καὶ ἱππικῇ καὶ πεζικῇ D. φρούρια] ὁδὸν add. D.L. ἀρμένιον] ἀρμένιον A.D., qui sic etiam 3, 1, 3 et alibi, G. Cui ἰέναι add. G. mg. r. D. ἐξάγει] ἐξάγειν δὴ D. παρεσκευασμένους A.G. et ος s.v.r. 19. λαγώς D.G. αἰετὸς L. et fortasse D. pr. δ'] δέ γ' A.G., qui hic mg. οἰωνὸς τῷ κύρῳ αἴσιος. δέ γε L. Libri ἐπιπτάμενος. κατιδὼν] ὃς κατιδὼν A.G. ὃς κατειδὼν D. pr., ut videtur, ὡς κατεῖδε corr. λαγῶ] λαγὼ A. λαγὼν D.G.

ἐροίης 3, 1, 14, et similibus apud alios, ut πεποιθοίη apud Aristoph. Ach. 940, ubi v. Elmsl.

ἁμάξας σίτου] Sic 7, 4, 12, ἁμάξας πολλῶν χρημάτων. H. Gr. 1, 1, 35, πλοῖα σίτου.

προέπεμπε] In προύπεμπον consentiunt libri 1, 4, 25, et alibi, variantes etiam in aliis compositis inter προε- et πρου-, ut dixi præf. ad Anab. p. xiii, Xenophonteis formæ προε- exemplis nihilo plus tribuens quam Thucydideis. Nullum tamen in libris Xenophontis vestigium formæ προύχω, Thucydidi constanter restituendæ.

18. πέμπων—ᾔτει] Plutarch. Mor. p. 772 D: Πέμψας ᾔτει παρ' αὐτῶν νεανίας χιλίους. Infra 5, 2, 13: Ἵνα σε τούτων τινὰ αἰτήσωμαι παῖδά μοι γενέσθαι. HUTCH.

ἰέναι] Additur sic in locis positis ad Anab. 2, 2, 3. SCHN. De καλὰ in hac formula interdum addito ab librariis v. ad Anab. 6, 4, 9, et var. scr. 7, 2, 17. Hic quidem suspectum est etiam propter sequens καί, nec quisquam affirmet tria illa inutilia vocabula ὁδὸν, ἰέναι, καλὰ non esse omnia perinde grammatici additamenta, etsi ὁδὸν sic fuit paullo ante.

19. λαγῶς præcipere grammaticos pluribus dixi ad Thes. Steph.

ἀετὸς] Aquilam veteres præsagam prosperi successus alitem existimabant. Unde Seneca Natural. Quæst. 2, 32: Cur Aquilæ hic honos datus est ut magnarum rerum faceret auspicia? Et Hom. Il. Θ, 247: Αὐτίκα δ' αἰετὸν ἧκε τελειότατον πετεηνῶν. HUTCH.

ἐπιπτόμενος] Aoristum priorem alienum a prosa Atticorum et poetis, de quibus v. Porson. ad Eur. Med. 1, relinquendum recte judicat Cobetus Var. Lect. p. 305. Librorum enim quæ sit fides ostendunt codices Platonis. Itaque ἐπιπτόμενος hic restitui ad Thes. Steph.

αἴσιος, ut 1, 6, 1, locum designat, unde aquila advolans omen fecit: est igitur δεξιός, a dextro latere visa. Conf. Æsch. Agam. 113. seqq. SCHN.

φεύγοντα, ἐπιφερόμενος ἔπαισέ τε αὐτὸν καὶ συναρπάσας
ἐξῆρε, κἀπενεγκὼν ἐπὶ λόφον τινὰ οὐ πρόσω ἐχρῆτο τῇ
ἄγρᾳ ὅ τι ἤθελεν. ἰδὼν οὖν ὁ Κῦρος τὸ σημεῖον ἥσθη τε
καὶ προσεκύνησε Δία βασιλέα, καὶ εἶπε πρὸς τοὺς παρόν-
τας, Ἡ μὲν θήρα καλὴ ἔσται, ὦ ἄνδρες, ἢν ὁ θεὸς θελήσῃ.
20 ὡς δὲ πρὸς τοῖς ὁρίοις ἐγένετο, ὥσπερ εἰώθει ἐθήρα· καὶ [15]
τὸ μὲν πλῆθος τῶν πεζῶν καὶ τῶν ἱππέων ὤγμευον αὐτῷ,
ὡς ἐπιόντες τὰ θηρία ἐξανισταῖεν· οἱ δὲ ἄριστοι καὶ πεζοὶ
καὶ ἱππεῖς διέστασαν καὶ τἀνιστάμενα ὑπεδέχοντο καὶ ἐδί-
ωκον· καὶ ᾕρουν πολλοὺς καὶ σῦς καὶ ἐλάφους καὶ δορ-
κάδας καὶ ὄνους ἀγρίους· πολλοὶ γὰρ ἐν τούτοις τοῖς
τόποις καὶ νῦν ἔτι γίγνονται. ἐπεὶ δ' ἔληξε τῆς θήρας,
προσμίξας πρὸς τὰ ὅρια τῶν Ἀρμενίων ἐδειπνοποιήσατο·
καὶ τῇ ὑστεραίᾳ αὖθις ἐθήρα προσελθὼν πρὸς τὰ ὄρη ὧν
21 ὠρέγετο. ἐπεὶ δ' αὖ ἔληξεν, ἐδειπνοποιεῖτο. τὸ δὲ παρὰ [16]
Κυαξάρου στράτευμα ὡς ᾔσθετο προσιὸν, ὑποπέμψας
πρὸς αὐτοὺς εἶπεν ἀπέχοντας αὐτοῦ δειπνοποιεῖσθαι ὡς δύο

κἀπενεγκὼν] καὶ ἀπενεγκὼν D. οὖν] δὲ οὖν L. ὁ om. D. θελήσῃ] θέλῃ D. 20. ἐγένοντο D. ὥσπερ] εὐθὺς ὥσπερ D. εἰώθῃ D. ὤγμευον αὐτῷ] ὥρμησεν A.G. et D. mg. al. m. ἐξανίστοιεν A. corr. ἐξανάστοιεν pr. ἐξανίσταιεν G. ἱππῆς D. corr. διέστησαν D. τὰ ἀνιστάμενα D. τόποις] τόποις ὄνοι D. τῆς ἀρμενίας D. τῶν ἀρμενίων G. ἐπεὶ δ' αὖ] ἐπειδὴ οὖν A.G. 21. ἔληξαν D.G. s.v.r. κυαξάρους D. προϊὸν D. corr. in altero ο. δειπνοποιῆσθαι D.

Δία βασιλέα] Tanquam ominis auctorem, ut Anab. 6, 1, 22, 23.

20. ὄνους ἀγρίους] V. supra 1, 4, 7; Anab. 1, 5, 2, Dion. Chrys. Or. 5, p. 189, et modum venandi apud Poll. 5, 84. Descripsit pictumque exhibuit quem Xenophon ὄνον ἄγριον, recentiores ὄναγρον, Persæ hodie *Khur* vel *Gour* dicunt, Ker Porter *Travels in Georgia, Persia*, etc. vol. 1, p. 459 seqq., additque esse "*a species little known in Europe, but which the Persians prize above all other animals as an object of chase.*" Hodie in montibus et desertis Persiæ tantum conspici tradit Olivier *Voyage* vol. 4, p. 383.

ὤγμευον] Dicitur ὀγμεύω proprie de messoribus, qui longa serie, ordine procedentes, in arvis segetibusque metunt. Photius: Ὤγμευον, Ξενοφῶν ἐν β', ἀντὶ τοῦ ἐπορεύοντο, παρὰ τὸν ὄγμον, τὸν σημαίνοντα τὴν κατὰ τάξιν ὁδὸν τῶν θεριζόντων. Et Hesychius; Ὄγμος ἡ ἐφεξῆς φυτεία· μεταφορικῶς δὲ, καὶ ὅταν πορεύωνται ἐφ' ἕνα τεταγμένοι κατὰ στίχον, ὄγμον λέγουσι· ὁ δὲ τῶν θεριζόντων στίχος ὀγμεύειν λέγεται. Verbum ὀγμεύω sic ponit Sophocles Philoct. 164: Δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ στίβον ὀγμεύει τόνδε πέλας που. Ubi Schol. ἀντὶ τοῦ ἐφεξῆς πορεύεται. Pollux 5, 77: Ἁλίσκονται δὲ (cervi) δικτύοις μὲν, εἴτις ὀγμεύσας αὐτὰς συνελάσειε. HUTCH. Apud Suidam exstat locus Anonymi vitiose scriptus et ex nostro corrigendus in ὀργμεύοντες· Ἦσαν δὲ ὄρη παντοίων θηρίων ἀνάπλεα, ἃ κατὰ κύκλους ὀργμεύοντες οἱ στρατιῶται πολλὰ τῶν θηρίων ᾕρουν. SCHN. Pluralis autem cum πλῆθος est infra 3, 3, 60.

δορκάδας] Conf. 2, 4, 20; Anab. 1, 5, 2: 5, 3, 10. Hodie quoque plurimas esse in Perside narrat Morier *A sec. Journey through Persia*, p. 206.

παρασάγγας, καὶ τοῦτο προϊδὼν ὡς συμβαλεῖται πρὸς τὸ
λανθάνειν· ἐπεὶ δὲ δειπνήσειαν, εἶπε τῷ ἄρχοντι αὐτῶν
παρεῖναι πρὸς αὐτόν. μετὰ δὲ τὸ δεῖπνον τοὺς ταξιάρχους
παρεκάλει· ἐπεὶ δὲ παρῆσαν, ἔλεξεν ὧδε.
22 Ἄνδρες φίλοι, ὁ Ἀρμένιος πρόσθεν μὲν καὶ σύμμαχος [17]
ἦν καὶ ὑπήκοος Κυαξάρῃ· νῦν δ᾽ ὡς ᾔσθετο τοὺς πολε-
μίους ἐπιόντας, καταφρονεῖ καὶ οὔτε τὸ στράτευμα πέμπει
ἡμῖν οὔτε τὸν δασμὸν ἀποδίδωσι· νῦν οὖν τοῦτον θηρᾶσαι,
ἢν δυνώμεθα, ἤλθομεν. ὧδ᾽ οὖν, ἔφη, δοκεῖ ποιεῖν. σὺ μέν,
ὦ Χρυσάντα, ἐπειδὰν ἀποκοιμηθῇς ὅσον μέτριον, λαβὼν
τοὺς ἡμίσεις Περσῶν τῶν σὺν ἡμῖν ἴθι τὴν ὀρεινὴν καὶ
κατάλαβε τὰ ὄρη εἰς ἅ φασιν αὐτὸν, ὅταν τι φοβηθῇ,
23 καταφεύγειν· ἡγεμόνας δέ σοι ἐγὼ δώσω. φασὶ μὲν οὖν
καὶ δασέα τὰ ὄρη ταῦτα εἶναι, ὥστ᾽ ἐλπὶς ὑμᾶς μὴ ὀφθῆ-
ναι· ὅμως δέ, εἰ προπέμποις πρὸ τοῦ στρατεύματος τοῦ
σεαυτοῦ ἄνδρας λησταῖς ἐοικότας καὶ τὸ πλῆθος καὶ τὰς
στολάς, οὗτοι ἄν σοι, εἴ τινι ἐντυγχάνοιεν τῶν Ἀρμενίων,
τοὺς μὲν ἂν συλλαμβάνοντες αὐτῶν κωλύοιεν τῶν ἐξαγ-
γελιῶν, οὓς δὲ μὴ δύναιντο λαμβάνειν, ἀποσοβοῦντες ἂν
ἐμποδὼν γίγνοιντο τὸ μὴ ὁρᾶν αὐτοὺς τὸ ὅλον στράτευμά

καὶ om. D. συμβάλληται D. ἐπεὶ] ἐπειδὴ G. Libri δειπνήσαιεν. μετὰ τὸ δεῖπνον δὲ D. ἐκάλει D. παρ punctis infra notat G. 22. ἄνδρες φίλοι om. A. G. mg. r. πρόσθε G. κυαξάρει A.D.G. ᾔσθηται D. τοὺς om. D. τὸ om. D. τοῦτον] τοῦτον δὴ D. ἢν] ἂν A.G. ἤλθομεν D. mg. al. m. ὧδέ μοι οὖν δοκεῖ ἔφη ποιεῖν D. ἀποκομισθῇς A.G. pr. ὅσον μέτριον] εἰς τὸ μέτριον G. corr. εἰς τὸ ὅριον A.G. pr. ἴθι] ἴοι A. ἴσθι cum puncto sub σ D. τι] τινὰ D. καταφεύγει A. 23. οὖν om. A.G. s. v. r. ταῦτα τὰ ὄρη D. ἡμᾶς A.G. προπέμπεις G. et qui ο s. v. A. τοῦ σεαυτοῦ] τοὺς ἑαυτοῦ sic A. τοὺς ευζώνους G. corr., in quo pr. tantum τοὺς ἑ spiritu semieraso, ut lenis fiat ex aspero, υζώνους corr. τοὺς εὐζώνους L. εὐζώνους D. ληστὰς A. τινι] τισιν D. pr. τισι L. mg. r. ἐντυγχάνοι, posito ει super οι et corr. εν, G. τοὺς] οὓς D.G. corr. ἐμποδῶν A. τὸ] Libri τοῦ.

21. παρασάγγας] Mensura viæ apud Persas sec. Herodotum 2,6; 5, 53, triginta stadiorum, sed varians infra supraque hunc numerum apud alios inter 21–60. V. Ind. ad Anab.

δειπνήσειαν] De aliena a Xenophonte forma δειπνήσαιεν v. ad 1, 2, 11.

23. ἐλπὶς μὴ ὀφθῆναι] 4, 5, 25: Διαλέγου δὲ αὐτῷ ὁπόσα ἐλπὶς γενέσθαι ἀγαθά. Et Anab. 2, 1, 19, (ut Phalaris in annot. a me collatus), σωθῆναι. H. Gr. 6, 3, 20; 5, 35, δεκατευθῆναι. Aliorum exempla contuli ad Steph. v. Ἐλπὶς p. 786 D. Ἐλπίζω ἐλθεῖν 2, 4, 15. Conf. ad 1, 5, 9.

τοῦ σεαυτοῦ] Sic continuo τὸ ὅλον στράτευμά σου.

στολὰς] Altius velut ad cursum cinctas intelligit Weiskius. SCHN.

τινι] Singularem sequitur pluralis, ut 1, 1, 2; 3, 1, 27; 7, 4, 5; 5, 35 et alibi. V. ad 1, 2, 2.

τὸ μὴ ὁρᾶν pro τοῦ restitui ad Anab.

24 σου, ἀλλ' ὡς περὶ κλωπῶν βουλεύεσθαι. καὶ σὺ μέν, ἔφη,
οὕτω ποίει· ἐγὼ δὲ ἅμα τῇ ἡμέρᾳ τοὺς ἡμίσεις μὲν τῶν
πεζῶν ἔχων, πάντας δὲ τοὺς ἱππέας, πορεύσομαι διὰ τοῦ
πεδίου εὐθὺς πρὸς τὰ βασίλεια. καὶ ἢν μὲν ἀνθιστῆται,
δῆλον ὅτι μάχεσθαι δεήσει· ἢν δ' αὖ ὑποχωρῇ τοῦ πεδίου,
δῆλον ὅτι μεταθεῖν δεήσει· ἢν δ' εἰς τὰ ὄρη φεύγῃ, ἐνταῦθα
δή, ἔφη, σὸν ἔργον μηδένα ἀφιέναι τῶν πρὸς σὲ ἀφικνου-
25 μένων. νόμιζε δὲ ὥσπερ ἐν θήρᾳ ἡμᾶς μὲν τοὺς ἐπιζη-
τοῦντας ἔσεσθαι, σὲ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι· μέμνησο οὖν
ἐκεῖνο ὅτι φθάνειν δεῖ πεφραγμένους τοὺς πόρους πρὶν
κινεῖσθαι τὴν θήραν. καὶ λεληθέναι δὲ δεῖ τοὺς ἐπὶ τοῖς
στόμασιν, εἰ μέλλουσι μὴ ἀποτρέψειν τὰ προσφερόμενα.
26 μὴ μέντοι, ἔφη, ὦ Χρυσάντα, οὕτως αὖ ποίει ὥσπερ ἐνίοτε
διὰ τὴν φιλοθηρίαν· πολλάκις γὰρ ὅλην τὴν νύκτα ἄυπνος
πραγματεύει· ἀλλὰ νῦν ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον
27 ἀποκοιμηθῆναι, ὡς ἂν δύνωνται ὑπνομαχεῖν· μηδέ γε, ὅτι
οὐχ ἡγεμόνας ἔχων ἀνθρώπους πλανᾷ ἀνὰ τὰ ὄρη, ἀλλ'
ὅπῃ ἂν τὰ θηρία ὑφηγῆται, ταύτῃ μεταθεῖς, μήτι καὶ νῦν
οὕτω τὰ δύσβατα πορεύου, ἀλλὰ κέλευέ σοι τοὺς ἡγε-
μόνας, ἐὰν μὴ πολὺ μάσσων ἡ ὁδὸς ᾖ, τὴν ῥᾴστην ἡγεῖ-

σοῦ om. D. κλοπῶν G. 24. ἡμίσεις A. ἡμίσεις μὲν D.G. s. v. r. ἅπαντας D. εὐθὺς πρὸς τὰ βασίλεια, καὶ ἢν μὲν ἀνθίστηται (sic) om. A.G. mg. r. δεήσει· ἢν δ' αὖ ὑποχωρῇ D., nisi quod αὐ sine circumfl. δεήσει ἢν δ' ἂν ὑποχωρῇ G., sed δεήσει tantum pr., cetera corr. δεήσει· ἢν δ' ἂν ὑποχωρῇ L. δὲ ἢν δέῃ ἐπὶ A. τοῦ] διὰ τοῦ D. μεταμαθεῖν G. δὴ et ἔφη om. D. πρὸς] εἰς D. 25. μὲν] δὲ G. ἐπιζητοῦντας Stephanus. Libri ἐπιζητήσοντας. σὲ] σὺ D. τὸν] τῶν G. s. v. r. om. A.G. pr. τὸν θῆρα D. pr., qui η pro o in ras., I. δὲ δεῖ] δεῖ M. δεῖ αὐτὸν A.G. τοὺς ἐπὶ τοῖς στόμασιν Stephanus. τοῖς ἐπὶ τοῖς στόμασιν A.G., sed mg. r. τοὺς ἐπὶ τούτοις τεταγμένους, ut D. ἀποστρέφειν D. 26. οὕτως λυποίης A. οὕτω λυποίης G. pr. αὖ ποίει corr., servato οὕτω. πραματεύει (sic) D. πραγματεύῃ A.G. ὑπνομαχεῖν] ὕπνου τυχεῖν A.G. pr. 27. γε] γε σὺ D.L. mg. r. πλανῶ G. s. v. r. μεταθεῖς] μεμάθηκας μετιέναι D. corr. mg. r. μεταθεὶς G. πορεύου] η G. s. v. r. ἐὰν] ἂν A.G. πολὺ] πάνυ πολὺ D.G. s. v. r. μάσσων] ἐλάσσων D.G. corr. Suidas: Μάσσων, μακροτέρα 1. Ξενοφῶν. Ἂν μὴ πολὺ μάσσων ὁδὸς ᾖ. ῥᾴστην] ἀρίστην A.G. corr. s.v.r.

4, 8, 14: Οὗτοί εἰσι μόνοι ἔτι ἡμῖν ἐμποδὼν τὸ μὴ ἤδη εἶναι ἔνθα πάλαι ἐσπεύδομεν. V. annot. ad s. 13.

24. ἢν δ' αὖ ὑποχωρῇ τοῦ πεδίου] A. fortasse voluit ἢν δὲ ᾖ ἐπὶ τοῦ πεδίου, ut Anab. 1, 3, 20: Κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἔφη χρῄζειν ἐπιθεῖναι αὐτῷ· ἢν δὲ φεύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. Intelligitur autem ὁ Ἀρμένιος.

25. πρὶν κινεῖσθαι τὸν θῆρα] 1, 6, 39: Πρὶν κινεῖσθαι τὰς ὄρνιθας, ἐπεποίηντό σοι αἱ πάγαι αὐταῖς.

26. ὑπνομαχεῖν] Moeris p. 376: Ξ. Παιδείας β' (sic enim pro γ' Sallierius) μόνος. Synesii Epist. 129, p. 165 C, et anonymi exempla addunt Thomas Mag. p. 871 et Suidas, apud quem male verbis Synesii præfixum Ἀριστοφάνης.

27. μάσσων] Eadem forma Reip.

28 σθαι· στρατιᾷ γὰρ ἡ ῥᾴστη ταχίστη. μηδέ γε σὺ, ὅτι
δύνασαι τρέχειν ἀνὰ τὰ ὄρη, μήτι δρόμῳ ἡγήσῃ, ἀλλ' ὡς
ἂν δύνηταί σοι ὁ στρατὸς ἕπεσθαι, τῷ μέσῳ τῆς σπουδῆς
29 ἡγοῦ. ἀγαθὸν δὲ καὶ τῶν δυνατωτάτων καὶ προθύμων ὑπο-
μένοντάς τινας ἐνίοτε παρακελεύεσθαι· ἐπειδὰν δὲ παρέλθῃ
τὸ κέρας, παροξυντικὸν εἰς τὸ σπεύδειν πάντας τὸ παρὰ
τοὺς βαδίζοντας τρέχοντας ὁρᾶσθαι.
30 Χρυσάντας μὲν δὴ ταῦτα ἀκούσας καὶ ἐπιγαυρωθεὶς τῇ [18]
ἐντολῇ τοῦ Κύρου, λαβὼν τοὺς ἡγεμόνας, ἀπελθὼν καὶ
παραγγείλας ἃ ἔδει τοῖς ἅμα αὐτῷ μέλλουσι πορεύεσθαι,
ἀνεπαύετο. ἐπεὶ δὲ ἀπεκοιμήθησαν ὅσον ἐδόκει μέτριον
εἶναι, ἐπορεύετο ἐπὶ τὰ ὄρη. Κῦρος δὲ, ἐπειδὴ ἡμέρα ἐγέ-
νετο, ἄγγελον μὲν προύπεμπε πρὸς τὸν Ἀρμένιον, εἰπὼν
31 αὐτῷ λέγειν ὧδε· Κῦρος, ὦ Ἀρμένιε, κελεύει οὕτω ποιεῖν
σε ὅπως ὡς τάχιστα ἔχων οἴσεις καὶ τὸν δασμὸν καὶ τὸ
στράτευμα. ἢν δ' ἐρωτᾷ ὅπου εἰμὶ, λέγε τἀληθῆ ὅτι ἐπὶ
τοῖς ὁρίοις. ἢν δ' ἐρωτᾷ εἰ καὶ αὐτὸς ἔρχομαι, λέγε κἀν-
ταῦθα τἀληθῆ ὅτι οὐκ οἶσθα. ἐὰν δ' ὁπόσοι ἐσμὲν πυνθά-
32 νηται, συμπέμπειν τινὰ κέλευε καὶ μαθεῖν. τὸν μὲν δὴ [19]
ἄγγελον ἐπιστείλας ταῦτα ἔπεμψε, νομίζων φιλικώτερον

στρατείᾳ A. *ῥᾴστη*] *ἀρίστη* L. *τάχιστα* A.G. corr. s.v.r. 28. *μηδέ γε ὅτι σὺ εἴθισαι* D. *στρατὸς*] *στρατιώτης* A.G. pr. *ἡγοῦ*] *ἡ* vel *ἢ τὸ* sequentibus jungentes A.G. pr. 29. *ὑπομένοντα* A.G. corr. s. v. r. *τὸ—τρέχοντας*] *τοὺς παρατρέχοντας* G.K. *παρὰ τοὺς τρέχοντας* A. 30. *ὁ μὲν δὴ—κύρου* Suidas v. *Ἐπιγαυρωθείς*. *τοῦ* om. A. *ἅμα*] *σὺν* D. *ἀνεπαύοντο* A.G. pr. *ἐπεὶ*] *ἐπειδὰν* A.G. *ἀνεκοιμήθησαν* G. *ἐπορεύοντο* G. 31. *ἐπειδὴ*] *ἐπεὶ* D. Libri *προέπεμπε*. *μὲν* om. D. *εἰπὼν*] *προειπὼν* A.G. *οἴσεις*] *οἴσοις* A. *ἀπίῃς*, ut Juntina, D. pr., ut videtur, qui *οἴσει* in ras. nec nisi *ησ* pr. *εἰ*] *ἢ* G. pr. *κἀνταῦθα τἀληθῆ* D.G. corr. *καὶ τἀληθῆ* A. *καὶ ταῦτ' ἀληθῆ* G. pr. *ἐὰν*] *ἢν* D. *κελεύειν καὶ μαθεῖν* A.G. pr. *καὶ μαθεῖν κέλευε* D. 32. *ἔπεμψεν* A.

Laced. 12, 5: *Δεῖ δὲ οὔτε περίπατον οὔτε δρόμον ἐλάσσω ποιεῖσθαι ἢ ὅσον ἂν ἡ μόρα ἐφήκῃ*, restituta ex conjectura. Alia v. in Thes. Steph.

29. *ὑπομένοντας*] Subsistentes. SCHN.

τὸ παρὰ τοὺς βαδίζοντας τρέχοντας ὁρᾶσθαι] *παρατρέχοντας* pro his videri possunt voluisse A.G., quo verbo sæpius usus Xenophon.

31. *προειπὼν*] In verbo *προειπὼν* hæreo. Sequitur quidem s. 32, *προεῖπε τοῖς στρατιώταις μηδένα ἀδικεῖν*· sed est ibi publico edicto monere milites. Legatus autem edicto non admonetur aut docetur publice. Et sequitur de eadem re *ἐπιστείλας*. SCHN. Exspectatur simplex *εἰπών*. Quod præbuit D.

οἴσεις] Zonaras: *Ὁ δὲ Κῦρος πέμψας πρὸς τὸν Ἀρμένιον ἐκέλευεν ὡς τάχιστα οἴσειν καὶ τὸν δασμὸν καὶ τὸ στράτευμα*. Sed mire dictum *οἴσειν στράτευμα*, et, quum exiguæ sit fidei *ἀπίῃς*, unde ego olim *ἀπίῃ*, ut 3, 1, 35, verum fortasse quod vertit Philelphus, *et quam primum venias tributum et exercitum habens*, et con-

οὕτως εἶναι ᾗ μὴ προειπόντα πορεύεσθαι. αὐτὸς δὲ συνταξάμενος ᾗ ἄριστον καὶ πρὸς τὸ ἀνύτειν τὴν ὁδὸν καὶ πρὸς τὸ μάχεσθαι, εἴ τι δέοι, ἐπορεύετο. προεῖπε δὲ τοῖς στρατιώταις μηδένα ἀδικεῖν, καὶ εἴ τις Ἀρμενίων τῳ ἐντυγχάνοι, θαρρεῖν τε παραγγέλλειν καὶ ἀγορὰν τὸν θέλοντα ἄγειν ὅπου ἂν ὦσιν, εἴτε σῖτα εἴτε ποτὰ τυγχάνοι πωλεῖν βουλόμενος.

εἶναι οὕτως D. ᾗ A. ἀνύτειν D.H. ἀνύττειν A.G. μηδένα D.G. s. v. r. μηδὲν A.G. τῷ post ἀρμενίων add. D.G. s. v. r. om. A.G. παραγγέλειν D. θέλοντα] βουλόμενον D. εἴτε σιτεια εἴτε ποτὰ D. corr., pr. εἴτις.—ἢ σιτία A.G. βουλόμενος] ὁ μὲν—ἐξεπλάγη ex initio libri seq. addit D. eadem illic ponens.

jecit Bornemannus, ἥξεις. Sic fere ἀπάξει in ἀποίσει depravarunt meliores Anab. 1, 3, 13. Cum οὕτω ποιεῖν autem conf. 4, 5, 25: Οὕτως οὖν δεῖ ποιεῖν ἐμὲ καὶ σὲ ὅπως ὁ ἀποκαλῶν οὗτος καὶ αὐτὸς μένειν παρ' ἡμῖν βουλήσεται.

32. ἐντυγχάνοι] τῳ si deletur, contra quam est s. 22, ἐντυγχάνοι esset *adiret*, quod non aptum.

σῖτα potius quam σιτία καὶ ποτὰ dixisse antiquiores certe, etsi apud Xenophontem et Platonem libri sæpe σιτία, persuadent libri σιτία sæpe vel contra versum inferentes apud poetas.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦ. Α.

Ὁ μὲν δὴ Κῦρος ἐν τούτοις ἦν· ὁ δὲ Ἀρμένιος ὡς ἤκουσε τοῦ ἀγγέλου τὰ παρὰ Κύρου, ἐξεπλάγη, ἐννοήσας ὅτι ἀδικοίη καὶ τὸν δασμὸν λιπὼν καὶ τὸ στράτευμα οὐ πέμπων, καὶ τὸ μέγιστον, ἐφοβεῖτο, ὅτι ὀφθήσεσθαι ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ἀρχόμενος, ὡς ἂν ἱκανὰ ἀπομά-
2 χεσθαι εἴη. διὰ ταῦτα δὴ πάντα ὀκνῶν ἅμα μὲν διέπεμπεν ἀθροίζων τὴν ἑαυτοῦ δύναμιν, ἅμα δ' ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν Σάβαριν καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ τὰς θυγατέρας· καὶ κόσμον δὲ καὶ κατασκευὴν τὴν πλείστου ἀξίαν συνέπεμπε προπομποὺς δοὺς αὐτοῖς. αὐτὸς δὲ ἅμα μὲν κατασκεψομένους ἔπεμπε τί πράττοι Κῦρος, ἅμα δ' συνέταττε τοὺς παραγιγνομένους τῶν Ἀρμενίων· καὶ ταχὺ παρῆσαν ἄλλοι

1. *ἤκουσεν* A. *κύρου*] *τοῦ κύρου* D. sub finem l. 2, hic *κύρου*. *λείπων* D. pr. 2. *δι' ἅπαντα δὴ ταῦτα* D. *ὀκνῶ* A. *ἑαυτοῦ*] *αὐτοῦ* D. *κόσμον δὲ*] *κόσμον τε* A.G. *συναπέπεμπε*, ut videtur, D. pr., qui *έ* in ras. *κατασκεψαμένους* D. *κατασκεψόμενος* G. s. v. r. *παραγεν.* D. *παραγιν.* G. *αὐτὸς*] *οὗτος* D.

1. *τὸν δασμὸν λιπὼν*] *τὴν φορὰν* infra s. 34. SCHN.

2. *ἔπεμπεν εἰς τὰ ὄρη*] More harum gentium, ut Anab. 1, 2, 24, et hodie. V. Morier, *A second Journey through Persia*, p. 261.

κατασκευὴν] Nisi legendum *σκευὴν*, quod aptius est huic loco et facile per proximum *καὶ* potuit inferri.

2. *αὐτὸς* est terribilis ille cum maxime Armenio Cyrus. SCHN.

λέγοντες ὅτι καὶ δὴ αὐτὸς ὁμοῦ. ἐνταῦθα δὴ οὐκέτι ἔτλη
3 εἰς χεῖρας ἐλθεῖν, ἀλλ' ὑπεχώρει. ὡς δὲ τοῦτ' εἶδον ποιή- [2]
σαντα αὐτὸν οἱ Ἀρμένιοι, διεδίδρασκον ἤδη ἕκαστος ἐπὶ τὰ
ἑαυτοῦ, βουλόμενοι τὰ ὄντα ἐκποδὼν ποιεῖσθαι. ὁ δὲ
Κῦρος ὡς ἑώρα διαθεόντων καὶ ἐλαυνόντων τὸ πεδίον με-
στὸν, ὑποπέμπων ἔλεγεν ὅτι οὐδενὶ πόλεμος εἴη τῶν με-
νόντων· εἰ δέ τινα φεύγοντα λήψοιτο, προηγόρευεν ὅτι ὡς
πολεμίῳ χρήσοιτο. οὕτω δὴ οἱ μὲν πολλοὶ κατέμενον,
4 ἦσαν δ' οἳ ὑπεχώρουν σὺν τῷ βασιλεῖ. ἐπεὶ δ' οἱ σὺν ταῖς
γυναιξὶ προϊόντες ἐνέπεσον εἰς τοὺς ἐν τῷ ὄρει, εὐθὺς
κραυγήν τε ἐποίουν καὶ φεύγοντες ἡλίσκοντο πολλοί γε
αὐτῶν. τέλος δὲ καὶ ὁ παῖς καὶ αἱ γυναῖκες καὶ αἱ θυγα-
τέρες ἑάλωσαν καὶ χρήματα ὅσα σὺν αὐτοῖς ἀγόμενα ἔτυ-
χεν. ὁ δὲ βασιλεὺς αὐτῶν ὡς ᾔσθετο τὰ γιγνόμενα, ἀπο-
5 ρῶν ποῖ τράποιτο, ἐπὶ λόφον τινὰ καταφεύγει. ὁ δ' αὖ [3]
Κῦρος ταῦτα ἰδὼν περιίσταται τὸν λόφον τῷ παρόντι
στρατεύματι, καὶ πρὸς Χρυσάνταν πέμψας ἐκέλευε φυλα-
κὴν τοῦ ὄρους καταλιπόντα ἥκειν. τὸ μὲν δὴ στράτευμα
ἠθροίζετο τῷ Κύρῳ· ὁ δὲ πέμψας πρὸς τὸν Ἀρμένιον
κήρυκα ἤρετο ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Ἀρμένιε, πότερα
βούλει αὐτοῦ μένων τῷ λιμῷ καὶ τῷ δίψει μάχεσθαι ἢ
εἰς τὸ ἰσόπεδον καταβὰς ἡμῖν διαμάχεσθαι; ἀπεκρίνατο ὁ
6 Ἀρμένιος ὅτι οὐδετέροις βούλοιτο μάχεσθαι. πάλιν ὁ
Κῦρος πέμψας ἠρώτα Τί οὖν κάθησαι ἐνταῦθα καὶ οὐ
καταβαίνεις; Ἀπορῶν, ἔφη, ὅ τι χρὴ ποιεῖν. Ἀλλ' οὐ-
δὲν, ἔφη ὁ Κῦρος, ἀπορεῖν σε δεῖ· ἔξεστι γάρ σοι ἐπὶ δί-

3. *εἶδε* G. pr., ut videtur, in quo *o* in ras. et *ν* s. v. r. *αὐτὸν ποιήσαντα* D. *βουλόμενος* D. *ἐκποδῶν* A.D. *μεστὸν*] *o* in ras. G., pr. fortasse *ῶ*. *πολέμιος* D.G. corr. 4. *κραυγήν τε εὐθὺς* D. *γε* om. D. *χρήματα*] *τὰ χρήματα* D.G. s. v. r. *ἔτυχον* D. et qui pr., ut videtur, *ἔτυχεν* L. *τράποιτο*] *τράποι* A.G. pr. 5. *τῷ λόφῳ* D. *πρὸς*] om. D. *πρὸς τὸν* L. *χρυσάντα* A.D. *φυλακὴν*] *τὴν* ante hoc mg. r. L. *κήρυκα ἤρετο* D. *ἤρετο κήρυκα* A.L. et qui *βα* s. v. r. G. *πότερα*] *ερα* corr. G., qui pr. fort *πότε*. *τῇ δίψῃ* D. *εἰς τὸ ἰσόπεδον*] *εἰσόπεδον* D. *ἢ εἰς—διαμάχεσθαι* om. A. *οὐδετέροις*] *οὐδενὶ* B. *διαμάχεσθαι* G. 6. *κάθισαι* A.G. *ἐνταῦθα*] *αὐτόθι* G. corr., in quo *τ* tantum, et *o* ex *a* factum, tum *θ*, a. m. pr. *ἀνταύθι* (sic) L., sed quod *αὐτόθι* fuisse videtur. *οὐκ ἀποβαίνεις* A.G. corr. s. v. r.

3. *πόλεμος*] Anab. 2, 1, 22: *Ἀπιοῦσι πόλεμος.*

5. *κήρυκα*, quod suspectum reddunt libri meliores, tanquam ex margine illatum, deest etiam s. 3, 6. V. ad 2, 4, 18. *τοῦ υἱοῦ*] *τοῦ πρεσβυτέρου* s. 7. *κραυγὴν ἐποίουν*] Eadem locutio Anab. 2, 2, 17. Antiatt. Bekk. p. 103, 10: *Κραυγὴν ποιῆσαι ἀντὶ τοῦ κραυγάσαι.*

κην καταβαίνειν. Τίς δ', ἔφη, ἔσται ὁ δικάζων; Δῆλον [4]
ὅτι ᾧ ὁ θεὸς ἔδωκε καὶ ἄνευ δίκης χρῆσθαί σοι ὅ τι βού-
λοιτο. ἐνταῦθα δὴ ὁ Ἀρμένιος γιγνώσκων τὴν ἀνάγκην
καταβαίνει· καὶ ὁ Κῦρος λαβὼν εἰς τὸ μέσον κἀκεῖνον καὶ
τἄλλα πάντα ἐστρατοπεδεύσατο ὁμοῦ ἤδη πᾶσαν ἔχων
τὴν δύναμιν.
7 Ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ πρεσβύτερος παῖς τοῦ Ἀρμε-
νίου Τιγράνης ἐξ ἀποδημίας τινὸς προσῄει, ὃς καὶ σύν-
θηρός ποτε ἐγένετο τῷ Κύρῳ· καὶ ὡς ἤκουσε τὰ γεγενη-
μένα, εὐθὺς πορεύεται ὥσπερ εἶχε πρὸς τὸν Κῦρον. ὡς δ'
εἶδε πατέρα τε καὶ μητέρα καὶ ἀδελφοὺς καὶ τὴν ἑαυτοῦ
γυναῖκα αἰχμαλώτους γεγενημένους, ἐδάκρυσεν, ὥσπερ εἰ-
8 κός. ὁ δὲ Κῦρος ἰδὼν αὐτὸν ἄλλο μὲν οὐδὲν ἐφιλοφρο-
νήσατο αὐτῷ, εἶπε δ' ὅτι Εἰς καιρὸν ἥκεις, ἔφη, ὅπως τῆς
δίκης ἀκούσῃς παρὼν τῆς ἀμφὶ τοῦ πατρός. καὶ εὐθὺς
συγκαλεῖ τοὺς ἡγεμόνας τούς τε τῶν Περσῶν καὶ τοὺς
τῶν Μήδων· προσεκάλει δὲ καὶ εἴ τις Ἀρμενίων τῶν ἐντί- [5]
μων παρῆν· καὶ τὰς γυναῖκας ἐν ταῖς ἁρμαμάξαις παρού-
9 σας οὐκ ἀπήλασεν, ἀλλ' εἴα ἀκούειν. ὁπότε δὲ καλῶς
εἶχεν, ἤρχετο τοῦ λόγου, Ὦ Ἀρμένιε, ἔφη, πρῶτον μέν
σοι συμβουλεύω ἐν τῇ δίκῃ τἀληθῆ λέγειν, ἵνα σοι ἕν γε

δίκῃ D. ἔσται om. D. ᾧ] ὡς A. χρῆσθαί σοι] σοι χρήσασθαι D. καὶ ἐκεῖνον A.G. Libri τὰ ἄλλα. περιεστρατ. D.G. s.v.r. ἔχων πᾶσαν ἤδη G. 7. δὲ] δὴ D. πρεσβύτατος D. προσείη D. καὶ om. D. ἐγεγένητο D. ὥσπερ] ὡς D. τε om. D. ἀδελφοὺς Juntina. Libri et Zonaras p. 150 A., qui articulos adjiciens τὰς addit, excepto fortasse E. ἀδελφάς. αὐτοῦ D. 8. ἥκεις ἔφη] ἤσκεις D. ἔφη punctis notat G. τῆς] σὺ τῆς D. ἀκούσεις D. συνεκάλει D. ἀμμάξαις A. ἀμάξαις G. 9. κύρου καὶ ἀρμενίου δικολογία margo D. ὦ] καὶ ὦ G. corr. συμβουλεύσω G.

ἀδελφοὺς] I. e. fratrem et sorores s. 2. memoratos.

ἐφιλοφρονήσατο] Eadem constructione Œcon. 4, 20: Ὁ Κῦρος λέγεται Λυσάνδρῳ ἄλλα τε φιλοφρονεῖσθαι κ.τ.λ.

ἐν ταῖς ἁρμαμάξαις] Curtius 3, 3: "Quindecim inde quas *harmamaxas* appellant sequebantur." Mollis autem et fere muliebris vehiculi genus fuisse constat: nam ubi apud Xen. *harmamaxarum*, ibi et mulierum mentio fieri solet. Persis eas præcipue in usu fuisse testatur Max. Tyr. dissert. 34 init.: Ἐὰν δὲ Σπαρτιάτης εἶναι λέγων καὶ Ἕλλην καὶ Δωριεὺς καὶ Ἡρακλείδης, θαυμάζῃς τιάραν Μηδικὴν—καὶ ἁρμάμαξαν Περσικήν, περσίζεις etc. HUTCH. Quum ἅμαξαι ab ἁρμαμάξαι distinguantur 4, 3, 1, etsi utrumque vocabulum promiscue usurpatur ab Æliano V. H. 12, 64, ubi v. Perizon., nihil tamen hic tribuendum videtur libris permutantibus quæ etiam alibi confundi notavit Periz.

ἀπῇ τὸ εὐμισητότατον· τὸ γὰρ ψευδόμενον φαίνεσθαι εὖ
ἴσθι ὅτι καὶ τοῦ συγγνώμης τινὸς τυγχάνειν ἐμποδὼν μά-
λιστα ἀνθρώποις γίγνεται· ἔπειτα δ', ἔφη, συνίσασι μέν
σοι καὶ οἱ παῖδες καὶ αἱ γυναῖκες αὗται πάντα ὅσα ἔπραξας,
καὶ Ἀρμενίων οἱ παρόντες· ἢν δὲ αἰσθάνωνταί σε ἄλλα
ἢ τὰ γενόμενα λέγοντα, νομιοῦσί σε καὶ αὐτὸν καταδι-
κάζειν σεαυτοῦ πάντα τὰ ἔσχατα παθεῖν, ἢν ἐγὼ τἀληθῆ πύ-
θωμαι. Ἀλλ' ἐρώτα, ἔφη, ὦ Κῦρε, ὅ τι βούλει, ὡς τἀληθῆ
10 ἐροῦντος· τούτου ἕνεκα καὶ γενέσθω ὅ τι βούλεται. Λέγε [6]
δή μοι, ἔφη, ἐπολέμησάς ποτε Ἀστυάγει τῷ τῆς ἐμῆς
μητρὸς πατρὶ καὶ τοῖς ἄλλοις Μήδοις; Ἔγωγ', ἔφη.
Κρατηθεὶς δ' ὑπ' αὐτοῦ συνωμολόγησας δασμὸν οἴσειν
καὶ συστρατεύσεσθαι ὅποι ἐπαγγέλλοι καὶ ἐρύματα μὴ
ἕξειν; Ἦν ταῦτα. Νῦν οὖν διὰ τί οὔτε τὸν δασμὸν
ἀπῆγες οὔτε τὸ στράτευμα ἔπεμπες, ἐτείχιζές τε τὰ ἐρύ-
ματα; Ἐλευθερίας ἐπεθύμουν· καλὸν γάρ μοι ἐδόκει εἶναι
καὶ αὐτὸν ἐλεύθερον εἶναι καὶ παισὶν ἐλευθερίαν καταλι-
11 πεῖν. Καὶ γάρ ἐστιν, ἔφη ὁ Κῦρος, καλὸν μάχεσθαι,
ὅπως μήποτέ τις δοῦλος μέλλοι γενήσεσθαι· ἢν δὲ δὴ
πολέμῳ κρατηθεὶς ἢ καὶ ἄλλον τινὰ τρόπον δουλωθεὶς
ἐπιχειρῶν τις φαίνηται τοὺς δεσπότας ἀποστερεῖν ἑαυτοῦ,
τοῦτον σὺ πρῶτος πότερον ὡς ἀγαθὸν ἄνδρα καὶ καλὰ
πράττοντα τιμᾷς ἢ ὡς ἀδικοῦντα, ἢν λάβῃς, κολάζεις;
12 Κολάζω, ἔφη· οὐ γὰρ ἐᾷς σὺ ψεύδεσθαι. Λέγε δὴ σαφῶς, [7]

ὅτι G. s. v. r. τοῦ] τοῖς, ut videtur, D. pr. idemque ἐμποδῶν. Hic mg. G. r. ω γν παρόντες] αρ in ras. G,, qui pr. fort ερ. αἰσθάνονται D., corr. etiam in αι, ut super ω, quod in litura, erasit fort. ο G. solus. σαυτοῦ D. ἢν] ἢν μὴ G. et qui μὴ punctis notat L., ut qui extremo versui alia m. addit D. ἢ μὴ A. εἵνεκα A.G. καὶ om. D. 10. τῆς] τε A.G. συστρατεύσεσθαι Stephanus. συστρατεύσασθαι A.G. συστρατεύεσθαι D. ὅποι] Libri ὅπου. ἐπαγγέλοι D. οὔτε] οὐδὲ D. ἀπήγαγες D. τὸ om. D. ἀπέπεμπες A.L. ἀπέμπεπες G. ἐρύματα] καὶ ὃς ἔφη add. G. mg. r. δοκεῖ D. καὶ—εἶναι om. D. ὅσον γλυκὺ ἡ ἐλευθερία mg. G. 11. δὴ ἢ πολέμῳ D.G. s.v. r. τρόπον τινὰ A. πρῶτος] εἰπὲ add. G. mg. r. τιμήσαις A.G. ἢν λάβῃς] εἰ λάβῃς G. corr., qui pr. pro utroque aliud quid (spatium caperet λαβὼν) habuit.

9. σε καὶ αὐτὸν] Plato Phædonis s. 66: Ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ. et s. 7. Δοκεῖ τί μοι καὶ αὐτῷ λέγειν Κέβης. SCHN.

10. ὅποι] ὅπου pro illo suppositum sustuli etiam 8, 3, 23. Conf. 7, 4, 9: Στρατεύειν ὅποι Κῦρος ἐπαγγέλλοι. H. Gr. 5, 2, 8: Συνεστρατεύοντο ὅποι ἡγοῦντο.

11. πρῶτος] V. ad 1, 3, 18.

ἔφη ὁ Κῦρος, καθ' ἓν ἕκαστον· ἢν ἄρχων τις τύχῃ σοι
καὶ ἁμάρτῃ, πότερον ἐᾷς ἄρχειν ἢ ἄλλον καθίστης ἀντ'
αὐτοῦ; Ἄλλον καθίστημι. Τί δὲ, ἢν χρήματα πολλὰ
ἔχῃ, ἐᾷς πλουτεῖν ἢ πένητα ποιεῖς; Ἀφαιροῦμαι, ἔφη, ἃ
ἂν ἔχων τυγχάνῃ. Ἢν δὲ καὶ πρὸς πολεμίους γιγνώ-
σκῃς αὐτὸν ἀφιστάμενον, τί ποιεῖς; Κατακαίνω, ἔφη· τί
γὰρ δεῖ ἐλεγχθέντα ὅτι ψεύδομαι ἀποθανεῖν μᾶλλον ἢ
13 τἀληθῆ λέγοντα; ἔνθα δὴ ὁ μὲν παῖς αὐτοῦ ὡς ἤκουσε [8]
ταῦτα, περιεσπάσατο τὴν τιάραν καὶ τοὺς πέπλους κατερ-
ρήξατο, αἱ δὲ γυναῖκες ἀναβοήσασαι ἐδρύπτοντο, ὡς οἰχο-
μένου τοῦ πατρὸς καὶ ἀπολωλότων πάντων σφῶν ἤδη.
καὶ ὁ Κῦρος σιωπῆσαι κελεύσας εἶπεν, Εἶεν· τὰ μὲν δὴ
σὰ δίκαια ταῦτα, ὦ Ἀρμένιε· ἡμῖν δὲ τί συμβουλεύεις ἐκ
τούτων ποιεῖν; ὁ μὲν δὴ Ἀρμένιος ἀπορῶν ἐσιώπα πότερα
συμβουλεύοι τῷ Κύρῳ κατακαίνειν αὐτὸν ἢ τἀναντία δι-
14 δάσκοι ὧν αὐτὸς ἔφη ποιεῖν. ὁ δὲ παῖς αὐτοῦ Τιγράνης
ἐπήρετο τὸν Κῦρον, Εἰπέ μοι, ἔφη, ὦ Κῦρε, ἐπεὶ ὁ πατὴρ
ἀποροῦντι ἔοικεν, ἦ συμβουλεύσω περὶ αὐτοῦ ἃ οἶμαί σοι
βέλτιστα εἶναι; καὶ ὁ Κῦρος, ᾐσθημένος, ὅτε συνεθήρα
αὐτῷ ὁ Τιγράνης, σοφιστήν τινα αὐτῷ συνόντα καὶ θαυ-
μαζόμενον ὑπὸ τοῦ Τιγράνου, πάνυ ἐπεθύμει αὐτοῦ ἀκοῦ-
σαι ὅ τι ποτ' ἐροίη· καὶ προθύμως ἐκέλευσε λέγειν ὅ τι
γιγνώσκοι.

15 Ἐγὼ τοίνυν, ἔφη ὁ Τιγράνης, εἰ μὲν ἄγασαι τοῦ πατρὸς [9]

12. κῦρος] ὧδε add. G. s. v. r. ἃ ἂν] ἂν D., fortasse pro ἄν. αὐτὸν γιγνώσκῃς D. κατακαίνω] ἀναιρῶ mg. A. ead. m. ἔφη om. D. δὴ] δεῖ G. ει s. v. r. 13. ἐνταῦθα D. κατερήξατο A. ἐδρύπτοντο] ἐκόπτοντο mg. A. ead. m. πάντων D. s. v. al. m. G. mg. r. εἶπεν] πάλιν εἶπεν D. ταῦτα om. G. ἐσιώπα ἀπορῶν D.L. s.v. συμβουλεύει A.G. pr. κατακαίειν G. pr., ν s.v. al. m. αὐτὸν A.G. ἑαυτὸν D. 14. ὦ κῦρε ἔφη D. ἦ A. οἴομαι A.G. σοι] σε L. pr., corr. s. v. al. m., et fortasse G., qui οι in ras. s. v. ἐπεθύμῃ corr. s. v. al. m. D.

13. καὶ τοὺς πέπλους κατερρήξατο] Pollux 7, 50: Ξ. καὶ ἀνδρεῖον οἴεται φόρημα εἶναι τὸν πέπλον· τὸν γὰρ Ἀρμένιον ἔφη κατασχίσασθαι (sic) τοὺς πέπλους, εἰ μὴ ἄρα ὅτι οἱ βάρβαροι καὶ ταῖς θηλυπρεπεστέραις τῶν ἐσθήτων ἔχαιρον. Rectius defenditur usu poetarum Atticorum, quum Tragici quoque de virili et pluralem de unius amictu dixerint.

ὁ παῖς] Sabaris.

ταῦτα] *hoc tu jure adversus alium uteris*, seu *ita de alio statuere, tu justum putas*. SCHN.

14. σοφιστὴν] De quo infra 38 s.

ἐροίη] Hinc, ut animadvertit Elmsl. ad Soph. Œd. T. 538, Etym. M. p. 379, 30: Ἐροίη ὡς περιπατοίη. Libanii exempla v. apud interpretes Thomæ p. 366.

ἢ ὅσα βεβούλευται ἢ ὅσα πέπραχε, πάνυ σοι συμβουλεύω
τοῦτον μιμεῖσθαι· εἰ μέντοι σοι δοκεῖ πάντα ἡμαρτηκέναι,
συμβουλεύω τοῦτον μὴ μιμεῖσθαι. Οὐκοῦν, ἔφη ὁ Κῦρος,
τὰ δίκαια ποιῶν ἥκιστ' ἂν τὸν ἁμαρτάνοντα μιμοίμην.
Ἔστιν, ἔφη, ταῦτα. Κολαστέον ἄρ' ἂν εἴη κατά γε τὸν
σὸν λόγον τὸν πατέρα, εἴπερ τὸν ἀδικοῦντα δίκαιον κολά-
ζειν. Πότερα δ' ἡγεῖ, ὦ Κῦρε, ἄμεινον εἶναι σὺν τῷ σῷ
ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι ἢ σὺν τῇ σῇ ζημίᾳ; Ἐμαυ-
16 τόν, ἔφη, οὕτω γ' ἂν τιμωροίμην. Ἀλλὰ μέντοι, ἔφη ὁ
Τιγράνης, μεγάλα γ' ἂν ζημιοῖο, εἰ τοὺς σεαυτοῦ κατα-
καίνοις τότε ὁπότε σοι πλείστου ἄξιοι εἶεν κεκτῆσθαι. Πῶς
δ' ἄν, ἔφη ὁ Κῦρος, τότε πλείστου ἄξιοι γίγνοιντο ἄνθρω-
ποι ὁπότε ἀδικοῦντες ἁλίσκοιντο; Εἰ τότε, οἶμαι, σώ-
φρονες γίγνοιντο. δοκεῖ γάρ μοι, ὦ Κῦρε, οὕτως ἔχειν,
ἄνευ μὲν σωφροσύνης οὐδ' ἄλλης ἀρετῆς οὐδὲν ὄφελος
εἶναι· τί γὰρ ἄν, ἔφη, χρήσαιτ' ἄν τις ἰσχυρῷ ἢ ἀνδρείῳ
μὴ σώφρονι, τί δ' ἱππικῷ, τί δὲ πλουσίῳ, τί δὲ δυνάστῃ
ἐν πόλει; σὺν δὲ σωφροσύνῃ καὶ φίλος πᾶς χρήσιμος καὶ
17 θεράπων πᾶς ἀγαθός. Τοῦτ' οὖν, ἔφη, λέγεις ὡς καὶ ὁ [10]
σὸς πατὴρ ἐν τῇδε τῇ μιᾷ ἡμέρᾳ ἐξ ἄφρονος σώφρων
γεγένηται; Πάνυ μὲν οὖν, ἔφη. Πάθημα ἄρα τῆς ψυχῆς
σὺ λέγεις εἶναι τὴν σωφροσύνην, ὥσπερ λύπην, οὐ μά-
θημα· οὐ γὰρ ἂν δήπου, εἴγε φρόνιμον δεῖ γενέσθαι τὸν
μέλλοντα σώφρονα ἔσεσθαι, παραχρῆμα ἐξ ἄφρονος σώ-
18 φρων ἄν τις γένοιτο. Τί δ', ἔφη, ὦ Κῦρε, οὔπω ᾔσθου
καὶ ἕνα ἄνδρα δι' ἀφροσύνην μὲν ἐπιχειροῦντα κρείττονι
ἑαυτοῦ μάχεσθαι, ἐπειδὰν δὲ ἡττηθῇ, εὐθὺς πεπαυμένον τῆς

15. *συμβουλεύσω* A.G. *εἰ—μιμεῖσθαι* om. A. mg. m. recentissima add. B.G. Eadem om. L., qui post *πέπραχε* mg. al. m. *τοῦ δοκεῖν πάντα ἡμαρτηκέναι.* *μέντοι* B., qui hæc in mg., H.M. *μέντι* D.G. *συμβουλεύσω* D.G. *οὐ συμβουλεύω σοι αὐτὸν μ.* mg. B. *σ. σοι αὐτὸν μὴ μ.* Ald. *σὸν* om. A.G. *ἡγῇ* A.G. *ἐμαυτὸν*] *ἄρα* add. D. 16. *ἀλλὰ*] *σὺ* add. G. s. v. r. *γ' ἂν*] *κἂν* A.G. *σεαυτοῦ*] *ἑαυτοῦ* corr. s.v. D. *τότε* om. G. *εἶεν—ἄξιοι* G. mg. r. *δ' ἂν*] *δ'* D. *ἄνθρωποι*] *οἱ ἄνθρωποι* D. *γίγνοιτο* A. *οὐδενὸς* D. pr. *ἰσχυρῷ*] *ἐχυρῷ*, ut videtur, D. *ἢ* om. D. *τί δ'* H. *ἢ* A.G. *μηδ' ἰσχυρῷ ἢ* pro his D. 17. *σώφρων*] *σω* in litura, quæ affecit etiam *ν* in *ἄφρον* (os supra), G. *σοι λέγεις τῆς ψυχῆς* D. *λύγην* A. *παραχρῆμα* om. A.G. mg. r. *ἄν τις*] *τις ἂν* D. 18. *ἀφροσύνης* D.

πάθημα—οὐ μάθημα] Conf. Comment. 1, 2, 19, 8.

παραχρῆμα si recte deest A.G. et ex s. 18, additum, sequens *ἐξ ἄφρονος* in *ἐξαίφνης* mutandum foret. *Φρόνιμον* autem tempore fieri putat Xenophon.

πρὸς τοῦτον ἀφροσύνης; πόλιν δ', ἔφη, οὔπω ἑόρακας
ἀντιταττομένην πρὸς πόλιν ἑτέραν, ἧς ἐπειδὰν ἡττηθῇ,
παραχρῆμα ταύτῃ ἀντὶ τοῦ μάχεσθαι πείθεσθαι ἐθέλει;
19 Ποίαν δ', ἔφη ὁ Κῦρος, καὶ σὺ τοῦ πατρὸς ἧτταν λέγων [11]
οὕτως ἰσχυρίζει σεσωφρονίσθαι αὐτόν; Ἣν νὴ Δί', ἔφη,
σύνοιδεν ἑαυτῷ ἐλευθερίας μὲν ἐπιθυμήσας, δοῦλος δ' ὡς
οὐδεπώποτε γενόμενος, ἃ δὲ ᾠήθη χρῆναι λαθεῖν ἢ φθάσαι
ἢ ἀποβιάσασθαι, οὐδὲν τούτων ἱκανὸς γενόμενος διαπρά-
ξασθαι. σὲ δὲ οἶδεν, ἐπεὶ ἐβουλήθης ἐξαπατῆσαι αὐτὸν,
οὕτως ἐξαπατήσαντα ὥσπερ ἄν τις τυφλοὺς καὶ κωφοὺς
καὶ μηδ' ὁτιοῦν φρονοῦντας ἐξαπατήσειεν· ἃ δὲ ᾠήθης
λαθεῖν χρῆναι, οὕτω σὲ οἶδε λαθόντα ὥστε ἃ ἐνόμιζεν
ἑαυτῷ ἐχυρὰ χωρία ἀποκεῖσθαι, σὺ εἱρκτὰς ταῦτα ἔλαθες
προκατασκευάσας· τάχει δὲ τοσοῦτον περιεγένου αὐτοῦ
ὥστε πρόσωθεν ἔφθασας ἐλθὼν σὺν πολλῷ στόλῳ πρὶν
20 τοῦτον τὴν παρ' ἑαυτῷ δύναμιν ἀθροίσασθαι. Ἔπειτα [12]
δοκεῖ σοι, ἔφη ὁ Κῦρος, καὶ ἡ τοιαύτη ἧττα σωφρονίζειν
ἱκανὴ εἶναι ἀνθρώπους, τὸ γνῶναι ἄλλους ἑαυτῶν βελ-
τίονας ὄντας; Πολύ γε μᾶλλον, ἔφη ὁ Τιγράνης, ἢ ὅταν
μάχῃ τις ἡττηθῇ. ὁ μὲν γὰρ ἰσχύι κρατηθεὶς ἔστιν ὅτε
ᾠήθη σωμασκήσας ἀναμαχεῖσθαι· καὶ πόλεις γε ἁλοῦσαι

πρὸ τούτου D. pr. πόλιν] πάλιν D. G. corr. Libri ἑώρακας, nisi quod ω in D. fortasse fuit pr. ο, ut 1, 1, 3. ἀντιτ.] πόλιν ἀντιτ. D.G. corr. ἧς] ἥτις D.G. corr. θέλει D. 19. ποίαν] ν in lit. G. ἰσχυρίζει Schneiderus. ἰσχυρίζεις A. et qui η s. v. r. G. ἰσχυρίζῃ D. pr. ἰσχυρίζῃς D. corr. L. σεσωφρονῆσθαι G. ἦν νὴ δί'] ἐν ἦν ὴ, suppleto in mg. δί', D. αὐτῷ σύνοιδεν D. οὐδέποτε G. ἢ ante ἀποβιάσασθαι add. C.D. om. A.G. διατάξασθαι A.G. corr. s. v. r. ἐπεὶ] ἃ μὲν D. a s. v. r. G. ἐπεὶ ἃ L. ᾠήθη G. pr. οὕτως A.D. ἑαυτῷ] αὐτῷ D. ἰσχυρὰ G. σὺ εἱρκτὰς ταῦτα] σοὶ εἱρκτὰς ταῦτα A.G., in quo puncta sub σοί. ταῦτα σὺ εἱρκτὰς αὐτῷ D. ἔλαθε A.G. πρόσωθεν C. πρόσωπον D. πρόσθεν A.G. στόλῳ] στόλος G. mg. r. instar lemmatis. 20. τὸ] τοῦ D.G. s. v. r. ἄλλους] ἀλλήλους A.L. post ἑαυτῶν ponens, et G. pr., ut videtur. ἑαυτοῦ D. πολύ γε] G. om. A.G. pr. τὸ σῶμα ἀσκήσας D. σῶμ' ἀσκήσας et τὸ s. v. r. G. τὸ σῶμ' ἀσκήσας L.

19. λαθεῖν—ἀποβιάσασθαι] H. Gr. 6, 1, 15, contulit Bejotus: Φρόνιμος οὕτω στρατηγός ἐστιν ὡς ὅσα τε λανθάνειν καὶ ὅσα φθάνειν καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ, οὐ μάλα ἀφαμαρτάνει. Unde ἢ βιάσασθαι conjicias pro ἀποβιάσασθαι, ut est in A.G., quod ipsum probans Zeunius φθάσαι ἀποβιάσασθαι conjungebat, vertens *prius uti vi aperta*, ut λαθεῖν explicaretur verbis σὲ δὲ οἶδεν—προκατασκευάσας, alterum verbis τάχει δὲ—ἀθροίσασθαι. Cujus constructionis exempla v. in Thes. Stephani.

20. σωμασκήσας] Supra 1, 6, 17, σωμασκεῖν dicitur, ut Comment. 3, 5, 15. Hinc σωμασκία ib. 3, 9, 11. V. supra ad 2, 3, 8. SCHN.

οὓς δ' ἂν—ἡγήσωνται] Conf. 1, 6, 21 seq.

21 συμμάχους προσλαβοῦσαι οἴονται ἀναμαχέσασθαι ἄν· οὓς
δ' ἂν βελτίους τινὲς ἑαυτῶν ἡγήσωνται, τούτοις πολλάκις
καὶ ἄνευ ἀνάγκης ἐθέλουσι πείθεσθαι. Σύ, ἔφη, ἔοικας οὐκ
οἴεσθαι τοὺς ὑβριστὰς γιγνώσκειν τοὺς ἑαυτῶν σωφρονε-
στέρους, οὐδὲ τοὺς κλέπτας τοὺς μὴ κλέπτοντας, οὐδὲ τοὺς
ψευδομένους τοὺς τἀληθῆ λέγοντας, οὐδὲ τοὺς ἀδικοῦντας
τοὺς τὰ δίκαια ποιοῦντας· οὐκ οἶσθα, ἔφη, ὅτι καὶ νῦν ὁ
22 σὸς πατὴρ ἐψεύσατο καὶ οὐκέτ' ἠμπέδου τὰς πρὸς ἡμᾶς
συνθήκας, εἰδὼς ὅτι ἡμεῖς οὐδ' ὁτιοῦν ὧν Ἀστυάγης συνέ-
θετο παραβαίνομεν; Ἀλλ' οὐδ' ἐγὼ ταῦτα λέγω ὡς τὸ
γνῶναι μόνον τοὺς βελτίονας σωφρονίζει ἄνευ τοῦ δίκην [13]
διδόναι ὑπὸ τῶν βελτιόνων, ὥσπερ ὁ ἐμὸς πατὴρ νῦν δί-
23 δωσιν. Ἀλλ', ἔφη ὁ Κῦρος, ὅ γε σὸς πατὴρ πέπονθε
μὲν οὐδ' ὁτιοῦν πω κακόν· φοβεῖταί γε μέντοι εὖ οἶδ' ὅτι
μὴ πάντα τὰ ἔσχατα πάθῃ. Οἴει οὖν τι, ἔφη ὁ Τιγράνης,
μᾶλλον καταδουλοῦσθαι ἀνθρώπους τοῦ ἰσχυροῦ φόβου;
οὐκ οἶσθ' ὅτι οἱ μὲν τῷ ἰσχυροτάτῳ κολάσματι νομιζο-
μένῳ σιδήρῳ παιόμενοι ὅμως ἐθέλουσι καὶ πάλιν μάχεσθαι
τοῖς αὐτοῖς; οὓς δ' ἂν σφόδρα φοβηθῶσιν ἄνθρωποι, τού-
24 τοις οὐδὲ παραμυθουμένοις ἔτι ἀντιβλέπειν δύνανται; Λέγεις [14]
σύ, ἔφη, ὡς ὁ φόβος τοῦ ἔργῳ κακοῦσθαι μᾶλλον κολάζει
τοὺς ἀνθρώπους. Καὶ σύγε οἶσθα ὅτι ἀληθῆ λέγω· ἐπί-
στασαι γὰρ ὅτι οἱ μὲν φοβούμενοι μὴ φύγωσι πατρίδα καὶ
οἱ μέλλοντες μάχεσθαι δεδιότες μὴ ἡττηθῶσιν ἀθύμως

τινὰς G. s. v. r. αὐτῶν D. ἡγήσονται D. θέλουσιν A.G. 21. τἀληθῆ D.E.H. ἀληθῆ A., sed in τοὺς ita corr., ut pr. τὰ τἀληθῆ fuisse videatur, G. ἐψεύσατο καὶ οὐκ D. mg. al. m. οὐκέτ' ἠμπέδου] Libri οὐκ ἐξημπέδου. 22. περὶ φόβου hic mg. G. ταῦτα] τοῦτο D. σωφρονίζειν B.G. 23. τι οὖν D. οἶσθ'] οἶδ' A. παραμυθούμενοι A. et corr. s. v. G. παραμυθουμένων D. 24. γε] γε ἔφη D.G. mg. r. μέλλοντες] μὲν μέλλοντες D. ἀθύμως] ῥαθύμως D. ρ puncto notans. διάγωσιν D.

21. τἀληθῆ λέγοντας] Conf. 2, 4, 31; 3, 1, 9, 12. Ubi contrarium ψεύδεσθαι. Sed ἀληθῆ λέγειν, i. q. recte judicare, 4, 1, 23; 5, 5, 33.

οὐκ ἐξημπέδου] Verbum non aliunde cognitum quam ex Hesychii glossa, ubi contraria significatione ponitur Ἐξημπέδου (cod. Ἐξηπέδου) ἔλυε ἔμπεδα, recte sustulit Cobetus Var. Lect. p. 120, nisi quod οὐκέτι scripsit quod οὐκέτ' erat scribendum, ut apud Stob. Fl. vol. 3, p. 300, οὐκ ἐξανέστησαν pro οὐκέτ' ἀνέστησαν scriptum in verbis Axiochi p. 367 B. Nisi utrique præstat οὐκ ἠμπέδου, quum οὐκ ἐξημπέδου in B. ita sit scriptum ut de pr. manu οὐκ πέδου tantum appareat, ἐξημ autem anguste sit insertum eadem, ut videtur, manu, pro litteris 2 vel 3, ut aut ἠμ fuerit pr. aut ἐνε, sicut variatur 8, 8, 2.

διάγουσι, καὶ οἱ πλέοντες μὴ ναυαγήσωσι, καὶ οἱ δουλείαν
καὶ δεσμὸν φοβούμενοι, οὗτοι μὲν οὔτε σίτου οὔθ' ὕπνου
δύνανται λαγχάνειν διὰ τὸν φόβον· οἱ δὲ ἤδη μὲν φυγάδες,
ἤδη δ' ἡττημένοι, ἤδη δὲ δουλεύοντες, ἔστιν ὅτε δύνανται
25 καὶ μᾶλλον τῶν εὐδαιμόνων ἐσθίειν τε καὶ καθεύδειν. ἔτι
δὲ φανερώτερον καὶ ἐν τοῖσδε οἷον φόρημα ὁ φόβος· ἔνιοι
γὰρ φοβούμενοι μὴ ληφθέντες ἀποθάνωσι προαποθνή-
σκουσιν ὑπὸ τοῦ φόβου, οἱ μὲν ῥιπτοῦντες ἑαυοοὺς, οἱ δ'
ἀπαγχόμενοι, οἱ δ' ἀποσφαττόμενοι· οὕτω πάντων τῶν
δεινῶν φόβος μάλιστα καταπλήττει τὰς ψυχάς. τὸν δ'
ἐμὸν πατέρα, ἔφη, νῦν πῶς δοκεῖς διακεῖσθαι τὴν ψυχὴν,
ὃς οὐ μόνον περὶ ἑαυτοῦ, ἀλλὰ καὶ περὶ ἐμοῦ καὶ περὶ γυ-
26 ναικὸς καὶ περὶ πάντων τῶν τέκνων δουλείας φοβεῖται; καὶ [15]
ὁ Κῦρος εἶπεν, Ἀλλὰ νῦν μὲν ἔμοιγε οὐδὲν ἄπιστον τοῦ-
τον οὕτω διακεῖσθαι· δοκεῖ μέντοι μοι τοῦ αὐτοῦ ἀνδρὸς
εἶναι εὐτυχοῦντα ἐξυβρίσαι καὶ πταίσαντα ταχὺ πτῆξαι,
καὶ ἀνεθέντα γε πάλιν αὖ μέγα φρονῆσαι καὶ πάλιν αὖ
27 πράγματα παρέχειν. Ἀλλὰ ναὶ μὰ Δί', ἔφη, ὦ Κῦρε,
ἔχει μὲν προφάσεις τὰ ἡμέτερα ἁμαρτήματα ὥστ' ἀπιστεῖν
ἡμῖν· ἔξεστι δέ σοι καὶ φρούρια ἐντειχίζειν καὶ τὰ ἐχυρὰ
κατέχειν καὶ ἄλλο ὅ τι ἂν βούλῃ πιστὸν λαμβάνειν. καὶ
μέντοι, ἔφη, ἡμᾶς μὲν ἕξεις οὐδέν τι τούτοις μέγα λυπου-
μένους· μεμνησόμεθα γὰρ ὅτι ἡμεῖς αὐτῶν αἴτιοί ἐσμεν· εἰ
δέ τινι τῶν ἀναμαρτήτων παραδοὺς τὴν ἀρχὴν ἀπιστῶν
αὐτοῖς φανεῖ, ὅρα μὴ ἅμα τε εὖ ποιήσεις καὶ ἅμα οὐ φίλον

δασμὸν D. corr. s. v. G. s. v. r. λαγχάνειν] τυγχάνειν G. s. v. r. ὅτε] ὅταν D. καὶ μᾶλλον] μᾶλλον A.G. 25. δὲ post φαν. D. ἔνιοι γὰρ] ἔνιοι δὲ A. ὑπὸ τοῦ φόβου πρ. G. φόβος] ὁ φόβος D. διακεῖσθαι] αἰκίζεσθαι D. alterum al. m. mg. περὶ γυναικὸς] γυναικὸς D. 26. τοῦτον οὕτως A. οὕτω τοῦτον D. τούτων G. pr. εὐτυχοῦντα] καὶ εὐτυχοῦντα D.G. s. v. r. εὐτυχοντα δὲ B. πτήξαντα A.G. corr. s. v. μέγα φρονῆσαι καὶ πάλιν αὖ om. A.G. mg. r. παρασχεῖν D. 27. ὥστ'] ὥστ' ἂν A.G. βούλει A.G. τούτοις] υ s. v. r. G. μεταλυπ. G. corr. s. v. r. παραδοὺς E. παρεδίδους A.G. pr. παραδιδοὺς D.G. corr. ἀπιστῶ. A., sed ος s. v. et B. mg. ων. ἀπιστῶν G. corr. ἄπιστος pr. ἄπιστος L. pr., ἀπιστῶν corr., uterque erasis aliquot litteris post hoc. αὐτὸς D.G. s. v. r. L. pr., qui infra v. r. οἷς, mg. r. αὐτῷ. φανεῖ D. φανεὶς A. ει, ut videtur, G. pr., qui corr. φανῇ, ut D. s. v. ποιήσεις E.L. ποιήσῃς A.D.G.

25 φόβος μάλιστα καταπλήττει] Conf. Dio Chrys. Orat. 6, vol. 1, p. 212 s. 27. οὐ φίλον] Conf. Comment. 2, 6, q. ZEUN.

νομιοῦσί σε· εἰ δ' αὖ φυλαττόμενος τὸ ἀπεχθάνεσθαι μὴ
ἐπιθήσεις αὐτοῖς ζυγὰ τοῦ μὴ ὑβρίσαι, ὅρα μὴ ἐκείνους
αὖ δεήσει σε σωφρονίζειν ἔτι μᾶλλον ἢ ἡμᾶς νῦν ἐδέησεν.
28 Ἀλλὰ ναὶ μὰ τοὺς θεούς, ἔφη, τοιούτοις μὲν ἔγωγε ὑπηρέ- [16]
ταις, οὓς εἰδείην ἀνάγκῃ ὑπηρετοῦντας, ἀηδῶς ἄν μοι δοκῶ
χρῆσθαι· οὓς δὲ γιγνώσκειν δοκοίην ὅτι εὐνοίᾳ καὶ φιλίᾳ
τῇ ἐμῇ τὸ δέον συλλαμβάνοιεν, τούτους ἄν μοι δοκῶ καὶ
ἁμαρτάνοντας ῥᾷον φέρειν ἢ τοὺς μισοῦντας μέν, ἔκπλεω
δὲ πάντα ἀνάγκῃ διαπονουμένους. καὶ ὁ Τιγράνης εἶπε
πρὸς ταῦτα, Φιλίαν δὲ παρὰ τίνων ἄν ποτε λάβοις τοσαύ-
την ὅσην σοι παρ' ἡμῶν ἔξεστι κτήσασθαι νῦν; Παρ'
ἐκείνων, οἶμαι, ἔφη, παρὰ τῶν μηδέποτε πολεμίων γεγενη-
μένων, εἰ ἐθέλοιμι εὐεργετεῖν αὐτοὺς ὥσπερ σὺ νῦν με
29 κελεύεις εὐεργετεῖν ὑμᾶς. Ἦ καὶ δύναιο ἄν, ἔφη, ὦ Κῦρε, [17]
ἐν τῷ παρόντι νῦν εὑρεῖν ὅτῳ ἂν χαρίσαιο ὅσαπερ τῷ ἐμῷ
πατρί; αὐτίκα, ἔφη, ἢν τινα ἐᾷς ζῆν τῶν σε μηδὲν ἠδικη-
κότων, τίνα σοι τούτου χάριν οἴει αὐτὸν εἴσεσθαι; τί δ',
ἢν αὐτοῦ τέκνα καὶ γυναῖκα μὴ ἀφαιρῇ, τίς σε τούτου
ἕνεκα φιλήσει μᾶλλον ἢ ὁ νομίζων προσήκειν αὑτῷ ἀφαι-
ρεθῆναι; τὴν δ' Ἀρμενίων βασιλείαν εἰ μὴ ἕξει, οἶσθά
τινα, ἔφη, νῦν λυπούμενον μᾶλλον ἢ ἡμᾶς; οὐκοῦν καὶ
τοῦτ', ἔφη, δῆλον ὅτι ὁ μάλιστα λυπούμενος εἰ μὴ βασι-
λεὺς εἴη, οὗτος καὶ λαβὼν τὴν μεγίστην ἄν σοι χάριν
30 εἰδείη. εἰ δέ τί σοι, ἔφη, μέλει καὶ τοῦ ὡς ἥκιστα τετα-
ραγμένα τάδε καταλιπεῖν, ὅταν ἀπίῃς, σκόπει, ἔφη, πό-
τερον ἂν οἴει ἠρεμεστέρως ἔχειν τὰ ἐνθάδε καινῆς ἀρχομέ-

νομιοῦσι D. νομίσουσι A.G. εἰ] οὐ D. ἐπιθήσεις G. corr., pr. fortasse ut L. ἐπιθυμήσεις αὖ om. D. δεήσει] δεήσῃ A.G. 28. ὑπηρέταις] αις in ras. G. οὓς] οὗσι G. mg. r. δοκῶ s. v. r. G. δοκοίην] ν s. v. G. τούτοις D. εἶπε om. D. et add. ἔφη post δέ. λάβοις ἂν ποτε G. οἴομαι D. μηδεπώποτε D. νῦν με κελεύεις] με κελεύεις B. νῦν κελεύεις με D. νῦν με κελεύεις με νῦν L. Et με νῦν s. v. erasum G. 29. χάριν τούτου D. οἴσεσθαι D. corr., G. ἢν] ἂν D. ἀφέρῃς D. et η super ε. εἵνεκα G. ὁ D. s. v. αὐτῷ A.G. ἑαυτῷ D. νῦν om. D. μᾶλλον] ἄλλον A.G. pr. τούτου D. βασιλεὺς εἴη] βασιλεύσει D. τὴν] ἀρχὴν add. D.G. mg. r., τὴν ἀρχὴν L. mg. al. m. 30. ἠρεμητέρως et εστ s. v. r. G. ἀρχομένης] γενομένης D.

28. συλλαμβάνοιεν] Adminiculentur, adjuvent. SCHN.

τὴν μεγίστην χάριν] Comment. 1, 2, 7: Μὴ τὴν μεγίστην χάριν ἕξοι. Conv. 4, 12: Ἡμέρᾳ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα ὅτι μοι Κλεινίαν ἀναφαίνουσιν. Male ἀρχὴν vel τὴν ἀρχὴν addiderunt correctores, qui non intelligerent λαβὼν referri ad τὴν Ἀρμενίων βασιλείαν, quod facile ex illo suppletur.

νης ἀρχῆς ἢ τῆς εἰωθυίας καταμενούσης· εἰ δέ τί σοι μέλει
καὶ τοῦ ὡς πλείστην στρατιὰν ἐξάγειν, τίν' ἂν οἴει μᾶλλον
ἐξετάσαι ταύτην ὀρθῶς τοῦ πολλάκις αὐτῇ κεχρημένου;
εἰ δὲ καὶ χρημάτων δεήσει, τίνα ἂν ταῦτα νομίζεις κρεῖττον
ἐκπορίσαι τοῦ καὶ εἰδότος καὶ ἔχοντος πάντα τὰ ὄντα;
ὠγαθέ, ἔφη, Κῦρε, φύλαξαι μὴ ἡμᾶς ἀποβαλὼν σαυτὸν
ζημιώσῃς πλείω ἢ ὁ πατὴρ ἐδυνήθη σε βλάψαι. ὁ μὲν [18]
τοιαῦτα ἔλεγεν.
31 Ὁ δὲ Κῦρος ἀκούων ὑπερήδετο, ὅτι ἐνόμιζε περαίνεσθαι
πάντα αὐτῷ ὅσαπερ ὑπέσχετο τῷ Κυαξάρῃ πράξειν· ἐμέ-
μνητο γὰρ εἰπὼν ὅτι καὶ φίλον οἴοιτο μᾶλλον ἢ πρόσθεν
ποιήσειν. καὶ ἐκ τούτου δὴ τὸν Ἀρμένιον ἐρωτᾷ, Ἢν δὲ
δὴ ταῦτα πείθωμαι ὑμῖν, λέγε μοι, ἔφη, σύ, ὦ Ἀρμένιε,
πόσην μὲν στρατιάν μοι συμπέμψεις, πόσα δὲ χρήματα
32 συμβαλεῖ εἰς τὸν πόλεμον; πρὸς ταῦτα δὴ λέγει ὁ Ἀρμέ-
νιος, Οὐδὲν ἔχω, ὦ Κῦρε, ἔφη, ἁπλούστερον εἰπεῖν οὐδὲ
δικαιότερον ἢ δεῖξαι μὲν ἐμὲ πᾶσαν τὴν οὖσαν δύνα-
μιν, σὲ δὲ ἰδόντα ὅσην μὲν ἄν σοι δοκῇ στρατιὰν
ἄγειν, τὴν δὲ καταλιπεῖν τῆς χώρας φυλακήν. ὡς δ'
αὔτως περὶ χρημάτων δηλῶσαι μὲν ἐμὲ δίκαιόν σοι
πάντα τὰ ὄντα, σὲ δὲ τούτων αὐτὸν γνόντα ὁπόσα ἂν
33 βούλῃ φέρεσθαι καὶ ὁπόσα ἂν βούλῃ καταλιπεῖν. καὶ ὁ [19]
Κῦρος εἶπεν, Ἴθι δὴ λέξον μοι πόση σοι δύναμίς ἐστι, λέξον
δὲ καὶ πόσα χρήματα. ἐνταῦθα δὴ λέγει ὁ Ἀρμένιος, Ἱπ-
πεῖς μὲν τοίνυν εἰσὶν Ἀρμενίων εἰς ὀκτακισχιλίους, πεζοὶ
δὲ εἰς τέτταρας μυριάδας· χρήματα δ', ἔφη, σὺν τοῖς θη-
σαυροῖς οἷς ὁ πατὴρ κατέλιπεν ἔστιν εἰς ἀργύριον λογι-
34 σθέντα τάλαντα πλείω τῶν τρισχιλίων. καὶ ὁ Κῦρος οὐκ
ἐμέλλησεν, ἀλλ' εἶπε, Τῆς μὲν τοίνυν στρατιᾶς, ἐπεί σοι,

στρατειὰν A.D.G. pr. ὦ γαθὲ A. ὦ ἀγαθὲ D. ὦ 'γαθὲ G. ἠδυνήθη A.G. 31. ὑπέσχετο] πάντα add. A.G., punctis notatum L. et τῷ post πάντα G. κυαξάρει A.D. μᾶλλον] αὐτοῦ punctis notatum add. D. πείθομαι D., sed ut erasum videatur ω super ο. ἔφη σὺ] σὺ ἔφη D. μὲν στρατιάν μοι] στρατιὰν D. συμβαλεῖ B. συμβαλῇ A.D.G. 32. ἔχω —ἔφη] ἔφη—ἔχω D. τὴν δ. τὴν οὖσαν D. ὡς δ' αὔτως] ὡς δ' αὔτως A.D. ὡσαύτως G. τοῦτον G. αὐτῶν D. corr. ὁπόσα] τε add. D. βούλει bis codices. 33. δὴ] δὲ A. om. D. δεῖ punctis notatum ei add. L. λέξον] δεῖξον G., sed δεῖ in ras. et s. v. r. λε. ὁπόση D. δὲ] δὴ G. ἁρμ. εἰσὶν D. σὺν τοῖς] ἐν s. v. r. G. αὐτοῖς A. εἰς om. G. 34. μέλλησεν D., etsi ἐ in fine versus erasum videtur. ἐμέλησεν G. σοι] τε A.G. pr.

32. τὴν δὲ] Conf. 4, 5, 46, eodem modo positum οἱ δέ.

ἔφη, οἱ ὅμοροι Χαλδαῖοι πολεμοῦσι, τοὺς ἡμίσεις μοι σύμπεμπε· τῶν δὲ χρημάτων, ἀντὶ μὲν τῶν πεντήκοντα ταλάντων ὧν ἔφερες δασμὸν διπλάσια Κυαξάρῃ ἀπόδος, ὅτι ἔλιπες τὴν φοράν· ἐμοὶ δ᾽, ἔφη, ἄλλα ἑκατὸν δάνεισον· ἐγὼ δέ σοι ὑπισχνοῦμαι, ἢν ὁ θεὸς εὖ διδῷ, ἀνθ᾽ ὧν ἂν ἐμοὶ δανείσῃς ἄλλα πλείονος ἄξια εὐεργετήσειν ἢ τὰ χρήματα ἀπαριθμήσειν, ἢν δύνωμαι· ἢν δὲ μὴ δύνωμαι, ἀδύνατος ἂν φαινοίμην, οἶμαι, ἄδικος δ᾽ οὐκ ἂν δικαίως κρι-
35 νοίμην. καὶ ὁ Ἀρμένιος, Πρὸς τῶν θεῶν, ἔφη, ὦ Κῦρε, μὴ οὕτω λέγε· εἰ δὲ μή, οὐ θαρροῦντά με ἕξεις· ἀλλὰ νόμιζε, ἔφη, ἃ ἂν καταλίπῃς μηδὲν ἧττον σὰ εἶναι ὧν ἂν ἔχων ἀπίῃς. Εἶεν, ἔφη ὁ Κῦρος· ὥστε δὲ τὴν γυναῖκα ἀπολα- [20]
βεῖν, ἔφη, πόσα ἄν μοι χρήματα δοίης; Ὁπόσα ἂν δυναίμην, ἔφη. Τί δὲ, ὥστε τοὺς παῖδας; Καὶ τούτων, ἔφη, ὁπόσα ἂν δυναίμην. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ταῦτα μὲν
36 ἤδη διπλάσια τῶν ὄντων. σὺ δὲ, ἔφη, ὦ Τιγράνη, λέξον μοι πόσου ἂν πρίαιο ὥστε τὴν γυναῖκα ἀπολαβεῖν. ὁ δὲ ἐτύγχανε νεόγαμος ὢν καὶ ὑπερφιλῶν τὴν γυναῖκα. Ἐγὼ μὲν, ἔφη, ὦ Κῦρε, κἂν τῆς ψυχῆς πριαίμην ὥστε μήποτε
37 λατρεῦσαι ταύτην. Σὺ μὲν τοίνυν, ἔφη, ἀπάγου τὴν σήν· οὐδὲ γὰρ εἰλῆφθαι ἔγωγε αἰχμάλωτον ταύτην νομίζω σοῦ γε μηπώποτε φυγόντος ἡμᾶς. καὶ σὺ δὲ, ὦ Ἀρμένιε, ἀπάγου τὴν γυναῖκα καὶ τοὺς παῖδας μηδὲν αὐτῶν καταθεὶς, ἵν᾽ εἰδῶσιν ὅτι ἐλεύθεροι πρὸς σὲ ἀπέρχονται· καὶ νῦν, ἔφη, δειπνεῖτε παρ᾽ ἡμῖν· δειπνήσαντες δὲ ἀπελαύνετε ὅποι ὑμῖν θυμός. οὕτω δὴ κατέμειναν.

38 Διασκηνούντων δὲ μετὰ δεῖπνον ἐπήρετο ὁ Κῦρος, Εἰπέ [21]

συμπέμπετε D. σύμπεπε, inserto μ s. v. r. G. Ante ταλάντων D. χ̣ρ̣. ὧν] ὃν B. διπλασίονα D. κυαξάρει A.D. ἔλιπε et ς add. s. v. r. G. ἣν ὁ] ἂν D. ἄλλα] ἢ ἄλλα D. φανοίμην G. corr. s. v. r. οἶμαι] εἶναι B. 35. ὦ κῦρε—3, 2, 5, ὑμεῖς δὲ L. in foliis duobus manu alia, sed non multo recentiori scriptis. ὡς] οὐ s. v. r. G. ἔφη πόσα] πόσα D. πόσα—δοίης om. A. δὲ] δαὶ D.G. ὡς D. ὁπόσα] ὅσα A.G. 36. ὁπόσου D. νεόγαμός τε ὢν D. 37. μήποτε A.G. φεύγοντος A.G. τὴν] τήν τε D. νῦν] νῦν μὲν D. ὅπου D. 38. ἐπείρετο A.

34. ἢν ὁ θεὸς] Infra c. 2, 29: Ἢν θεὸς ἀγαθὸν τέλος διδῷ. 5, 4, 21: Ἢν θεὸς θέλῃ. Ceterum similiter Euripides Suppl. 463: Κακοῖσιν ὅταν δαίμων διδῷ καλῶς. SCHN.

35. καὶ τούτων] Similiter s. 37. μηδὲν αὐτῶν καταθείς. et damnavit insertum ab Stephano ἀντὶ Valcken. ad Theocriti 1, 57. SCHN.

38. διασκηνούντων] Est quod supra

μοι, ὦ Τιγράνη, ποῦ δὴ ἐκεῖνός ἐστιν ὁ ἀνὴρ ὃς συνεθήρα
ἡμῖν καὶ σύ μοι μάλα ἐδόκεις θαυμάζειν αὐτόν. Οὐ γὰρ,
ἔφη, ἀπέκτεινεν αὐτὸν οὑτοσὶ ὁ ἐμὸς πατήρ; Τί λαβὼν
ἀδικοῦντα; Διαφθείρειν αὐτὸν ἔφη ἐμέ. καίτοι γ', ἔφη, ὦ
Κῦρε, οὕτω καλὸς κἀγαθὸς ἐκεῖνος ἦν ὡς καὶ ὅτε ἀποθνή-
σκειν ἔμελλε προσκαλέσας με εἶπε, Μήτι σὺ, ἔφη, ὦ Τι-
γράνη, ὅτι ἀποκτείνει με, χαλεπανθῇς τῷ πατρί· οὐ γὰρ
κακονοίᾳ τινὶ τοῦτο ποιεῖ, ἀλλ' ἀγνοίᾳ· ὁπόσα δὲ ἀγνοίᾳ
ἄνθρωποι ἐξαμαρτάνουσι, πάντ' ἀκούσια ταῦτα ἐγὼ νο-
39 μίζω. ὁ μὲν δὴ Κῦρος ἐπὶ τούτοις εἶπε, Φεῦ τοῦ ἀνδρός. ὁ [22]
δ' Ἀρμένιος ἔλεξεν, Οὔτοι, ἔφη, ὦ Κῦρε, οὐδ' οἱ ταῖς
ἑαυτῶν γυναιξὶ λαμβάνοντες συνόντας ἀλλοτρίους ἄνδρας
οὐ τοῦτο αἰτιώμενοι αὐτοὺς κατακτείνουσιν ὡς ἀφρονεστέ-
ρας ποιοῦντας τὰς γυναῖκας, ἀλλὰ νομίζοντες ἀφαιρεῖσθαι
αὐτοὺς τὴν πρὸς αὐτοὺς φιλίαν, διὰ τοῦτο ὡς πολεμίοις
αὐτοῖς χρῶνται. καὶ ἐγὼ ἐκείνῳ ἐφθόνουν, ὅτι μοι ἐδόκει

μοι] *μοι ἔφη* D. *οὑτοσὶ* om. A.G. mg. r. *γ' ἔφη* om. D. *ἦν ἐκεῖνος* D. *ὦ τιγράνη ἔφη* D. *ἀποκτέννει* D. pr., ut videtur, in quo erasum quid inter *ε* et *ν* et insertum *ε*. *χαλεπανθῇς*] *θη* in ras. D., ut *αν* et *ῖσ* tantum de pr. conspiciantur, quæ et ipsa *χαλεπανθηῖσ* fuisse videtur potius quam *χαλεπανθείης*, ut corr. nihil nisi pr. nescio quomodo corruptam reduxerit. *τινὶ*] *τῇ σῇ* D. *ὁπόσα δὲ ἀγνοίᾳ ἄνοι* om. A.G. mg. r. *ἄνθρωποι*] *οἱ ἄνθρωποι* L. *ἔγωγε* D. 39. *δὴ* om. L. *τούτοις*] *τοῦτ'* A.G. *οὔτοι*] *οὗτοι* A.D.G. *οὕτως* G. s. v. r. V. 8, 7, 19. *ἔφη* om. D. *συνόντας*] *ὄντας* A.G. corr. s. v. r. *τούτω* D. *ἀφρονεστέρας* I. *σωφρονεστέρας* A.G. *ἀμαθεστέρας* D. *ποιοῦντες* A.G. *αὐτοὺς*] *αὐτὰς* G. s. v. r. *αὐτοὺς*] *αὑτοὺς* A.G. *ἑαυτοὺς* D. *ἐκείνῳ*] *ἐκείνῳ ἔφη* D.G. mg. r. *ἐφθόνησα* D.

διαλύειν τὴν σκηνὴν dixit. Ita etiam Anab. 4, 4, 5, et 6, 5, 3; H. Gr. 4, 8, 18, ubi recte Morus verbum est interpretatus. SCHN. Contrarium *συσκηνεῖν* infra 3, 2, 25.

ἐκεῖνος ὁ ἀνὴρ] *σοφιστὴς* dictus supra s. 14.

χαλεπανθῇς] Anab. 4, 6, 2: *Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη*. Ubi Lobeck. ad Phryn. p. 36 *ἐχαλέπηνε*, ut hic Aldus intulit *χαλεπήνῃς*, quod in nullo inventum codice propagavit Stephanus. Nec tale quid fuit in D. pr.

ἀκούσια] *ἀκούσια εἶναι τὰ βίᾳ ἢ δι' ἄγνοιαν γιγνόμενα* pluribus explicat Aristot. Eth. Nic. 3, 1. ZEUN.

39. *ἀφρονεστέρας*] *ἀφρονεῖν* de libidine Eurip. Bacch. 310. *μωρία* Hippol. 649, 919. Electr. 1042. *ἀνόητος* libidinosus. Conf. Heindorf. ad Platon. Gorg. p. 158, et ad Comment. 1, 3, 9, dicta. Xenoph. Hier. 3, 3, ubi lex Attica eadem commemoratur, quam Lysiæ oratio p. 34 tractat: *Ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι· ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνὴ, οὐδὲν ἧττον τούτου ἕνεκα τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάν περ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν.* Igitur hic verba *ὡς ἀφρονεστέρας—γυναῖκας* sic intelligenda censeo, quasi scriptum esset *ὡς αἰτίους ὄντας τοῦ ἀφροδισιάζεσθαι τὰς γυναῖκας* aut *ὅτι ἠφροδισιάσθησαν αἱ γυναῖκες*. Eandem legis Atticæ et pœnæ capitalis adulterorum blanditiis propositæ rationem interpretatur Lysias. SCHN. Conf. infra 5, 5, 30, Conv. 8, 20. ZEUN.

ἐφθόνουν] Xenophontem in animo habuisse Socratem ejusque mortem

40 τοῦτον ποιεῖν αὐτὸν μᾶλλον θαυμάζειν ἢ ἐμέ. καὶ ὁ Κῦρος
εἶπεν, Ἀλλὰ ναὶ μὰ τοὺς θεοὺς, ὦ Ἀρμένιε, ἀνθρώπινά
μοι δοκεῖς ἁμαρτεῖν· καὶ σὺ, ὦ Τιγράνη, συγγίγνωσκε τῷ [23]
πατρί. τότε μὲν δὴ τοιαῦτα διαλεχθέντες καὶ φιλοφρονηθέντες ὥσπερ εἰκὸς ἐκ συναλλαγῆς, ἀναβάντες ἐπὶ τὰς ἁρμαμάξας σὺν ταῖς γυναιξὶν ἀπήλαυνον εὐφραινόμενοι.
41 Ἐπεὶ δ' ἦλθον οἴκαδε, ἔλεγον τοῦ Κύρου ὁ μέν τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πρᾳότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος. ἔνθα δὴ ὁ Τιγράνης ἐπήρετο τὴν γυναῖκα, Ἦ καὶ σοὶ, ἔφη, ὦ Ἀρμενία, καλὸς ἐδόκει ὁ Κῦρος εἶναι; Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐκεῖνον ἐθεώμην. Ἀλλὰ τίνα μήν; ἔφη ὁ Τιγράνης. Τὸν εἰπόντα νὴ Δία ὡς τῆς αὐτοῦ ψυχῆς ἂν πρίαιτο ὥστε μή με δουλεύειν. τότε μὲν δὴ ὥσπερ εἰκὸς ἐκ τοιούτων ἀνεπαύοντο σὺν ἀλλήλοις.
42 Τῇ δ' ὑστεραίᾳ ὁ Ἀρμένιος Κύρῳ μὲν καὶ τῇ στρατιᾷ ἁπάσῃ ξένια ἔπεμπε, προεῖπε δὲ τοῖς ἑαυτοῦ, οὓς δεήσοι στρατεύεσθαι, εἰς τρίτην ἡμέραν παρεῖναι· τὰ δὲ χρήματα ὧν εἶπεν ὁ Κῦρος διπλάσια ἀπηρίθμησεν. ὁ δὲ Κῦρος ὅσα εἶπε λαβὼν τἄλλα ἀπέπεμψεν· ἤρετο δὲ πότερος ἔσται ὁ τὸ στράτευμα ἄγων, ὁ παῖς ἢ αὐτός. εἰπέτην δὲ ἅμα ὁ μὲν πατὴρ οὕτως, Ὁπότερον ἂν σὺ κελεύῃς· ὁ δὲ παῖς οὕτως, Ἐγὼ μὲν οὐκ ἀπολείψομαί σου, ὦ Κῦρε, οὐδ' ἂν σκευο-
43 φόρον ἐμὲ δέῃ σοι συνακολουθεῖν. καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπε, Καὶ ἐπὶ πόσῳ ἄν, ἔφη, ἐθέλοις τὴν γυναῖκά σου

τοῦτον Schneiderus. τοῦτο A.G. τὸν ἐμὸν υἱὸν D., quæ G. mg. al. m., post τοῦτο inserit L. θαυμάζειν] ὀνομάζειν A.G. et qui θαυμάζειν mg. r. L. 40. θεοὺς] θεοὺς ἔφη D. ταῖς ἁρμαμάξαις A.G. et qui corr. r. L. τὰς ἁμάξας D. εὐηνόμενοι A.G. pr. et corr. in mg. B. 41. παντοδαποὶ κύρου ἔπαινοι G. mg. ἢ om. D. σὺ A.G. pr. αὐτοῦ codices. Hic G. mg. θαυμαστὴ γυναικὸς σωφροσύνη. ἂν om. A.G. s. v. r. με om. A. 42. πάσῃ D. οὓς] οὒ A.G. pr. τὰ ἄλλα ἔπεμψεν D. κελεύεις G. με D. δέῃ σοι Stephanus. δεήσοι A.D.G. 43. πόσῳ ἐθέλοις ἂν D.

sub persona Sophistæ cum Tigrane versati induxisse animadvertit Brodæus. Inimicorum criminatio hæc erat maxima apud Xen. Comment. 1, 2, 52: Οὕτω διατιθέναι τοὺς ἑαυτῷ συνόντας ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν. SCHN.

41. τὸ κάλλος] V. 1, 2, 1.

ὦ Ἀρμενία] Nullum enim ejus nomen proprium finxit Xenophon.

ἀνεπαύοντο] Homericam Alexandri et Helenæ consuetudinem Il. Γ, 447, comparat Zeunius. SCHN.

43. ἐπὶ πόσῳ] Plato Apolog. p. 41 A: Ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἄν. Xen. Comment. 2, 2, 8: Λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. SCHN.

ἀκοῦσαι ὅτι σκευοφορεῖς; Ἀλλ' οὐδέν, ἔφη, ἀκούειν δεήσει αὐτήν· ἄξω γάρ, ὥστε ὁρᾶν ἐξέσται αὐτῇ ὅ τι ἂν ἐγὼ πράττω. Ὥρα ἄν, ἔφη, συσκευάζεσθαι ὑμῖν εἴη. Νόμιζε δ', ἔφη, συνεσκευασμένους παρέσεσθαι ὅ τι ἂν ὁ πατὴρ δῷ. τότε μὲν δὴ ξενισθέντες οἱ στρατιῶται ἐκοιμήθησαν.

ΚΕΦ. Β.

Τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν ὁ Κῦρος τὸν Τιγράνην καὶ
τῶν Μήδων ἱππέων τοὺς κρατίστους καὶ τῶν ἑαυτοῦ
φίλων ὁπόσους καιρὸς ἐδόκει εἶναι, περιελαύνων τὴν χώραν
κατεθεᾶτο, σκοπῶν ποῦ τειχίσειε φρούριον. καὶ ἐπ' ἄκρον
τι ἐλθὼν ἐπηρώτα τὸν Τιγράνην ποῖα εἴη τῶν ὀρέων ὁπό-
θεν οἱ Χαλδαῖοι καταθέοντες λῄζονται. καὶ ὁ Τιγράνης
ἐδείκνυ. ὁ δὲ πάλιν ἤρετο, Νῦν δὲ ταῦτα τὰ ὄρη ἔρημά
ἐστιν; Οὐ μὰ Δί', ἔφη, ἀλλ' ἀεὶ σκοποὶ εἰσὶν ἐκείνων οἳ
σημαίνουσι τοῖς ἄλλοις ὅ τι ἂν ὁρῶσι. Τί οὖν, ἔφη,
ποιοῦσιν, ἐπὴν αἴσθωνται; Βοηθοῦσιν, ἔφη, ἐπὶ τὰ ἄκρα,
2 ὡς ἂν ἕκαστος δύνηται. ταῦτα μὲν δὴ ὁ Κῦρος ἠκηκόει·
σκοπῶν δὲ κατενόει πολλὴν τῆς χώρας τοῖς Ἀρμενίοις
ἔρημον καὶ ἀργὸν οὖσαν διὰ τὸν πόλεμον. καὶ τότε μὲν
ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον καὶ δειπνήσαντες ἐκοιμήθη-

αὖ ante αὐτὴν D. αὐτῇ om. A.G. mg. r. εἴη] ἀνάγκη B. νόμιζ' ἔφη D. 1. λαβὼν D. τειχισθεῖεν D. φρούριον om. A.G. mg. r. ὁρῶν A.G. Libri ληίζονται. Libri ἐδείκνυεν. ἀλλ' ἀεὶ] ἀλλὰ D. ἐπεὶ D. 2. ηκησθεὶς A. sine spiritu super η. ἠκηκόει B. mg. D.G. corr. in ει, quod est in ras., L. πολλὴν] μὲν πολλὴν G. δειπνήσαντες] τες s. v. r. G.

σκευοφορεῖς] Plut. Mor. p. 634 B: Οἷον ἄν τις σκώπτηται τῆς γυναικὸς παρούσης εἰς τὸ ἀνέραστον ἑτέρων, ἐκείνης δὲ δοῦλον καὶ θεραπευτικόν, ὡς ὁ Τιγράνης ὑπὸ τοῦ Κύρου, Τί δ', ἄν σε ἡ γυνὴ σκευοφοροῦντα ἀκούσῃ; Ἀλλ' οὐκ ἀκούσεται, εἶπεν, ὄψεται δὲ αὐτὴ παροῦσα.

1. φρούριον τειχίζειν est s. 11, ut casu omissum videatur in A.G., etsi χώραν τειχίζειν dixerunt Demosth. p. 326, 1, Æschines p. 65, 33, Isocr. p. 224 A.

ὀρέων] Al. ὁρῶν. Sed Grammaticus apud Suidam in ἀνθέων admonet Xenophontem βελέων, ὀρέων et similia divisim scripsisse. SCHN. V. ad Thes. Steph. v. Ὄρος, et Anab. 1, 2, 25. De ἐδείκνυεν v. ad 6, 4, 6.

Χαλδαῖοι] Non Chaldæi in Babylonia, sed iidem qui Chalybes, finitimi Armeniis. V. Strabo 12, p. 548, 549, Steph. Byz. v. Χαλδαῖοι, Constantin. Them. 1, p. 12. HUTCH.

ἐπὴν] V. de formæ hujus apud Atticos usu ad H. Gr. 2, 1, 24.

2. ἠκηκόει] Etsi ἠκηκόει addito sequenti σ facile potuit in ἠκησθεὶς depravari, tamen ipsum illud ἠκηκόει adeo est inane ut credibilius ducam ἤκουεν vel ἤκουσεν ἡσθείς, postquam verbum prius in ηκ esset decurtatum, sic esse a correctore correctum, quum etiam in G. non solum ultima ει sit in rasura, sed fortasse etiam κο pro litteris σθ elutis suppositum, ut alia alibi. Inversa constructione 3, 1, 31: Ὁ δὲ Κῦρος ἀκούων ὑπερήδετο.

3 σαν. τῇ δ' ὑστεραίᾳ αὐτός τε ὁ Τιγράνης παρῆν συνε- [2]
σκευασμένος καὶ ἱππεῖς εἰς τοὺς τετρακισχιλίους συνελέ-
γοντο αὐτῷ καὶ τοξόται εἰς τοὺς μυρίους, καὶ πελτασταὶ
ἄλλοι τοσοῦτοι. ὁ δὲ Κῦρος ἐν ᾧ συνελέγοντο ἐθύετο·
ἐπεὶ δὲ καλὰ τὰ ἱερὰ ἦν αὐτῷ, συνεκάλεσε τούς τε τῶν
4 Περσῶν ἡγεμόνας καὶ τοὺς τῶν Μήδων. ἐπεὶ δ' ὁμοῦ
ἦσαν, ἔλεξε τοιάδε.
Ἄνδρες φίλοι, ἔστι μὲν τὰ ὄρη ταῦτα ἃ ὁρῶμεν Χαλ-
δαίων· εἰ δὲ ταῦτα καταλάβοιμεν καὶ ἐπ' ἄκρου γένοιτο
ἡμέτερον φρούριον, σωφρονεῖν ἀνάγκη ἂν εἴη πρὸς ἡμᾶς
ἀμφοτέροις, τοῖς τε Ἀρμενίοις καὶ τοῖς Χαλδαίοις. τὰ
μὲν οὖν ἱερὰ καλὰ ἡμῖν. ἀνθρωπίνῃ δὲ προθυμίᾳ εἰς τὸ
πραχθῆναι ταῦτα οὐδὲν οὕτω μέγα σύμμαχον ἂν γένοιτο
ὡς τάχος. ἢν γὰρ φθάσωμεν πρὶν τοὺς πολεμίους συλλε-
γῆναι ἀναβάντες, ἢ παντάπασιν ἀμαχεὶ λάβοιμεν ἂν τὸ
ἄκρον ἢ ὀλίγοις τε καὶ ἀσθενέσι χρησαίμεθ' ἂν πολεμίοις.
5 τῶν οὖν πόνων οὐδεὶς ῥᾴων οὐδ' ἀκινδυνότερος, ἔφη, ἐστὶ
τοῦ νῦν καρτερῆσαι σπεύδοντας. ἴτε οὖν ἐπὶ τὰ ὅπλα. καὶ
ὑμεῖς μέν, ὦ Μῆδοι, ἐν ἀριστερᾷ ἡμῶν πορεύεσθε· ὑμεῖς
δέ, ὦ Ἀρμένιοι, οἱ μὲν ἡμίσεις ἐν δεξιᾷ, οἱ δ' ἡμίσεις ἔμ-
προσθεν ἡμῶν ἡγεῖσθε· ὑμεῖς δ', ὦ ἱππεῖς, ὄπισθεν ἕπεσθε
παρακελευόμενοι καὶ ὠθοῦντες ἄνω ἡμᾶς, ἢν δέ τις μαλα-
6 κύνηται, μὴ ἐπιτρέπετε. ταῦτ' εἰπὼν ὁ Κῦρος ἡγεῖτο ὀρ- [3]
θίους ποιησάμενος τοὺς λόχους. οἱ δὲ Χαλδαῖοι ὡς ἔγνω-
σαν τὴν ὁρμὴν ἄνω οὖσαν, εὐθὺς ἐσήμαινόν τε τοῖς ἑαυτῶν
καὶ συνεβόων ἀλλήλους καὶ ἠθροίζοντο. ὁ δὲ Κῦρος παρ-
ηγγύα, Ἄνδρες Πέρσαι, ἡμῖν σημαίνουσι σπεύδειν. ἢν

3. τε om. A.G. pr. συνεσκευασμένος] παρεσκευασμένος G. τοὺς ante τετρ. om. D. ἦν τὰ ἱερὰ D. 4. ἡμέτερον] τὸ ἡμέτερον D.G. corr. s. v. r. ἀμφοτέροις] καὶ ἀμφοτέροις L. οις G. s. v. al. m. et fortasse *a* in ras. συμμάχων D. pr. συλλέγειν A. ἀναβάντας G. pr., corr. s. v. r. χρησαίμεθα D. 5. οὐδεὶς ῥᾴων] οὐδὲν ῥᾷον A.G. pr., ut videtur. τοῦ] τοὺς A.G. pr. σπεύδοντας] σπουδάζοντας A.G., corr. mg. r. ἱππῆς D. in ras. ὄπισθ' A.G. pr. διακελευόμενοι D. 6. εὐθὺς G. mg. r. ἀλλήλους Schneiderus. Libri ἀλλήλοις. συνηθροίζοντο D. παρηγγύα] η in ras. G.

6. ὀρθίους] I. e. quorum major esset altitudo quam longitudo s. latitudo. V. Ælian. Tact. c. 29, p. 51, Arrian. Tact. p. 63. ed. Scheffer. HUTCH.

συνεβόων ἀλλήλους] Vulgatum ἀλλήλοις correxi. Anab. 6, 1, 6: Συνεβόων τε ἀλλήλους καὶ συνελέγοντο ἐρρωμένως τῆς νυκτός. Sensu diverso est infra 7, 5, 26, συνεβόων αὐτοῖς. SCHN.

γὰρ φθάσωμεν ἄνω γενόμενοι, οὐδὲν τὰ τῶν πολεμίων
δυνήσεται.
7 Εἶχον δ' οἱ Χαλδαῖοι γέρρα τε καὶ παλτὰ δύο· καὶ πο-
λεμικώτατοι δὲ λέγονται οὗτοι τῶν περὶ ἐκείνην τὴν χώραν
εἶναι· καὶ μισθοῦ στρατεύονται, ὁπόταν τις αὐτῶν δέηται,
διὰ τὸ πολεμικοί τε καὶ πένητες εἶναι· καὶ γὰρ ἡ χώρα αὐ-
8 τοῖς ὀρεινή τέ ἐστι καὶ ὀλίγη ἡ τὰ χρήματα ἔχουσα. ὡς δὲ [4]
μᾶλλον ἐπλησίαζον οἱ ἀμφὶ τὸν Κῦρον τῶν ἄκρων, ὁ Τι-
γράνης σὺν τῷ Κύρῳ πορευόμενος εἶπεν, Ὦ Κῦρε, ἆρ'
οἶσθ', ἔφη, ὅτι αὐτοὺς ἡμᾶς αὐτίκα μάλα δεήσει μάχεσθαι;
ὡς οἵ γε Ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους. καὶ ὁ
Κῦρος εἰπὼν ὅτι εἰδείη τοῦτο, εὐθὺς παρηγγύησε τοῖς
Πέρσαις παρασκευάζεσθαι, ὡς αὐτίκα δεῆσον διώκειν,
ἐπειδὰν ὑπαγάγωσι τοὺς πολεμίους ὑποφεύγοντες οἱ Ἀρ-
9 μένιοι ὥστ' ἐγγὺς ἡμῖν γενέσθαι. οὕτω δὴ ἡγοῦντο μὲν οἱ
Ἀρμένιοι· τῶν δὲ Χαλδαίων οἱ παρόντες, ὡς ἐπλησίαζον
οἱ Ἀρμένιοι, ἀλαλάξαντες ἔθεον, ὥσπερ εἰώθεσαν, εἰς
αὐτούς· οἱ δὲ Ἀρμένιοι, ὥσπερ εἰώθεσαν, οὐκ ἐδέχοντο.
10 ὡς δὲ διώκοντες οἱ Χαλδαῖοι εἶδον ἐναντίους μαχαιροφό- [5]
ρους ἱεμένους ἄνω, οἱ μέν τινες αὐτοῖς πελάσαντες ταχὺ
ἀπέθνησκον, οἱ δ' ἔφευγον, οἱ δέ τινες καὶ ἑάλωσαν αὐτῶν·
ταχὺ δὲ εἴχετο τὰ ἄκρα. ἐπεὶ δὲ τὰ ἄκρα εἶχον οἱ ἀμφὶ τὸν
Κῦρον, καθεώρων τε τῶν Χαλδαίων τὰς οἰκήσεις καὶ
11 ᾐσθάνοντο φεύγοντας αὐτοὺς ἐκ τῶν ἐγγὺς οἰκήσεων. ὁ δὲ
Κῦρος, ὡς πάντες οἱ στρατιῶται ὁμοῦ ἐγένοντο, ἀριστοποι-
εῖσθαι παρήγγειλεν. ἐπεὶ δὲ ἠριστήκεσαν, καταμαθὼν ἔνθα
αἱ σκοπαὶ ἦσαν τῶν Χαλδαίων ἐρυμνόν τε ὂν καὶ ἔνυδρον,

7. *γέρα* A. *πελτὰ* D. corr. s. v. *δέηται*] *δε* in ras. D. *πολεμικοί*] *πολεμικώτατοι* D. 8. *τὸν κῦρον τῶν ἄκρων*] *τῶν ἄκρων τὸν κῦρον* G., sed s. v. r. *γ δ α β* litteris transponens. *δέξονται* G. *εὐθὺς* om. D. *παρεγγύησε* G. *ὑπάγωσι* D. 9. *τῶν χαλδαίων* D., addito *δ'* post *χαλδαίων* m. r. *ἀλ.*] *ταχὺ ἀλ.* D.G. mg. r. *ἀλαλάζοντες* A. *εἰς*] *ἐπ'* D. 10. *ἱεμένους* A. *αὐτοῖς*] *αὐτῶν* D. *πελάσαντες*] *ἐ* ante *π*, ut videtur, G. pr. *ἔφευγον*] *ευ* corr. A., pr. fort. *υ*. *εἴχετο*] *εἶχον* D. *τὸν* om. D. 11. *ἀριστοποιῆσαι* D. *δὲ* post *ἠριστήκεσαν* add. G. corr. *ἦσαν*] *ἦσαν αἱ* D.

7. *χρήματα* vel agros cultos ipsos vel agrorum fructus opesque rusticas significat. Xenophon H. Gr. 3, 4, 24, *χρήματα* dicit quæ alii *λείαν*, prædam, iterumque 3, 5, 3, *ἐλάσαι χρήματα*. SCHN.

9. *ἀλαλάξαντες*] Morem pugnam clamore ineundi sæpe memorant præter Xenophontem Polybius, Arrianus, Plutarchus aliique historici. HUTCH.

εὐθὺς ἐτείχιζε φρούριον· καὶ τὸν Τιγράνην ἐκέλευε πέμπειν ἐπὶ τὸν πατέρα καὶ κελεύειν παραγενέσθαι ἔχοντα ὁπόσοι εἶεν τέκτονές τε καὶ λιθοτόμοι. ἐπὶ μὲν δὴ τὸν Ἀρμένιον [6] ᾤχετο ἄγγελος· ὁ δὲ Κῦρος τοῖς παροῦσιν ἐτείχιζεν.

12 Ἐν δὲ τούτῳ προσάγουσι τῷ Κύρῳ τοὺς αἰχμαλώτους δεδεμένους, τοὺς δέ τινας καὶ τετρωμένους. ὡς δὲ εἶδεν, εὐθὺς λύειν μὲν ἐκέλευσε τοὺς δεδεμένους, τοὺς δὲ τετρωμένους ἰατροὺς καλέσας θεραπεύειν ἐκέλευσεν· ἔπειτα δὲ ἔλεξε τοῖς Χαλδαίοις ὅτι ἥκοι οὔτε ἀπολέσαι ἐπιθυμῶν ἐκείνους οὔτε πολεμεῖν δεόμενος, ἀλλ' εἰρήνην βουλόμενος ποιῆσαι Ἀρμενίοις καὶ Χαλδαίοις. Πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα οἶδ' ὅτι οὐκ ἐδεῖσθε εἰρήνης· τὰ μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε, τὰ δὲ τῶν Ἀρμενίων ἤγετε καὶ ἐφέρετε· νῦν
13 δὲ ὁρᾶτε δὴ ἐν οἵῳ ἐστέ. ἐγὼ οὖν ἀφίημι ὑμᾶς οἴκαδε τοὺς εἰλημμένους, καὶ δίδωμι ὑμῖν σὺν τοῖς ἄλλοις Χαλδαίοις βουλεύσασθαι εἴτε βούλεσθε πολεμεῖν ἡμῖν εἴτε φίλοι εἶναι. καὶ ἢν μὲν πόλεμον αἱρῆσθε, μηκέτι ἥκετε δεῦρο ἄνευ ὅπλων, εἰ σωφρονεῖτε· ἢν δὲ εἰρήνης δοκῆτε δεῖσθαι, ἄνευ

ἐκέλευε ἐπέμπειν sic A. ἐκέλευεν ἐκπέμπειν B. ἔχοντα] καὶ ἔχοντα A.G. Libri λιθοδόμοι, sed D. δ et μ in ras. Et Brodæus: "*Alii codices* λιθοτόμοι, *non* λιθοδόμοι." τοῖς] σὺν s. v. B. 12. τινὰς καὶ D. mg. al. m., et pr. τοῖς δὲ τετρωμένοις, postea in τοὺς δὲ τετρωμένους mutatum propter omissa deinde ὡς δὲ—δεδεμένους. λύειν μὲν] μὲν λύειν G. ἐκέλευσε] ἐκέλευε B. ἀπολέσαι] ἀπελάσειν A.G. corr. mg. r. ποιῆσαι βουλόμενος D. ποιεῖσθαι, ut videtur, G. pr., qui η corr. et post $\overset{\alpha\iota}{\sigma}$ ras. οὐκ] οὐδὲν D. 13. τοὺς] καὶ τοὺς D. ὑμῖν] Syllabæ ιν compendium in ϊν mutat D. corr. βούλεσθε] βούλεσθαι A. corr. s. v. ead. m. ἡμῖν] ὑμῖν D. καὶ ἢν] κἂν D. αἱρεῖσθε A. αἱρήσησθε D. pr. δοκεῖτε D. pr., corr. ead. m. ἄνευ ὅπλων ἥκετε] ἥκετε D.

11. λιθοτόμοι] Pollux 7, 118: Καὶ λιθοτόμον δὲ Ξενοφῶν ἐν τῷ τρίτῳ τῆς Παιδείας εἴρηκεν. Ubi item olim λιθοδόμον, quod eximendum eidem 1, 161: Οἱ δὲ πρὸς τοῦτο ἐπιτήδειοι λιθοδόμοι, λιθολόγοι, τέκτονες· et Procopio Ædif. 1, 7, p. 18 D: Ἡνίκα οἱ λιθοδόμοι διώρυσσον οὗπερ ἐπεμνήσθην ἀρτίως, quorum ignarus locorum jam Valckenarius Adnot. crit. in N. F. Opusc. vol. 2, p. 288 recte judicaverat de locis Xen. et priori Pollucis, nec minus recte Piersonus ad Mœrin p. 254, miræ vocem compositionis dicens λιθοδόμος. Λιθοτόμος vero habent Diog. L. 3, 42, et Tacticus MS. apud Bandin. Bibl. Medic. vol. 2, p. 228 B: Ῥητέον ὅτι παντὸς τοῦ ἐν τῇ στρατείᾳ (potius στρατιᾷ) πλήθους τὸ μέν ἐστι μάχιμον, ὃ καὶ ἀπειλητικὸν καὶ ἔνοπλον καὶ στράτευμα καὶ στρατὸς ὀνομάζεται· τὸ δὲ τεχνικόν, οἷον λιθοτόμοι, χαλκεῖς, τέκτονες καὶ τὰ ὅμοια, οὓς οὐ μόνον διὰ τὰς πολιορκίας, ἀλλὰ καὶ τἄλλα συνεπιφέρειν ἀνάγκη. Piersonus quod Valckenarium Xenophonti restituere perhibet λιθολόγοι, fieri potest ut habuerit D. pr., in quo non solum δ manu recentissima scriptum in spatio multo ampliori quam τ potuit occupare, sed etiam μ super alia scriptum littera, quæ supra versum eminuit altius quam μ.

ὅπλων ἥκετε· ὡς δὲ καλῶς ἕξει τὰ ὑμέτερα, ἢν φίλοι γέ-
14 νησθε, ἐμοὶ μελήσει. ἀκούσαντες δ' οἱ Χαλδαῖοι ταῦτα, [7]
πολλὰ μὲν ἐπαινέσαντες, πολλὰ δὲ δεξιωσάμενοι ᾤ-
χοντο οἴκαδε.
Ὁ δὲ Ἀρμένιος ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ Κύρου
καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας καὶ ἄλλα ὅσων
15 ᾤετο δεῖν, ἧκε πρὸς τὸν Κῦρον ὡς ἐδύνατο τάχιστα. ἐπεὶ
δὲ εἶδε τὸν Κῦρον, ἔλεξεν, Ὦ Κῦρε, ὡς ὀλίγα δυνάμενοι
προορᾶν ἄνθρωποι περὶ τοῦ μέλλοντος πολλὰ ἐπιχειροῦ-
μεν πράττειν. νῦν γὰρ δὴ καὶ ἐγὼ ἐλευθερίαν μὲν μηχα-
νᾶσθαι ἐπιχειρήσας δοῦλος ὡς οὐδεπώποτε ἐγενόμην· ἐπεὶ
δ' ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομίσαντες νῦν ἀναφαινό-
μεθα σεσωσμένοι ὡς οὐδεπώποτε. οἱ γὰρ οὐδεπώποτε
ἐπαύοντο πολλὰ κακὰ ἡμᾶς ποιοῦντες, νῦν ὁρῶ τούτους
16 ἔχοντας ὥσπερ ἐγὼ ηὐχόμην. καὶ τοῦτο ἐπίστω, ἔφη, ὦ
Κῦρε, ὅτι ἐγὼ ὥστε ἀπελάσαι Χαλδαίους ἀπὸ τούτων
τῶν ἄκρων πολλαπλάσια ἂν ἔδωκα χρήματα ὧν σὺ νῦν
ἔχεις παρ' ἐμοῦ· καὶ ἃ ὑπισχνοῦ ποιήσειν ἀγαθὰ ἡμᾶς
ὅτ' ἐλάμβανες τὰ χρήματα, ἀποτετέλεσταί σοι ἤδη, ὥστε
καὶ προσοφείλοντές σοι ἄλλας χάριτας ἀναπεφήναμεν,
ἃς ἡμεῖς γε, εἰ μὴ κακοί ἐσμεν, αἰσχυνοίμεθ' ἂν σοι μὴ
17 ἀποδιδόντες. ὁ μὲν Ἀρμένιος τοσαῦτα ἔλεξεν. [8]
Οἱ δὲ Χαλδαῖοι ἧκον δεόμενοι τοῦ Κύρου εἰρήνην σφίσι
ποιῆσαι. καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς, Ἄλλο τι, ἔφη, ὦ
Χαλδαῖοι, ἢ τούτου ἕνεκα εἰρήνης νῦν ἐπιθυμεῖτε ὅτι νομί-

ἡμέτερα G. pr., ut videtur. γένησθε] η in οι mutat D. r. ἐμοὶ] ἐμοὶ ἔφη A. 14. ταῦτα οἱ χ. D. δεξιωσάμενοι] τὸν κῦρον add. D. ὁ δὲ—16. παρ' ἐμοῦ Gregor. Cor. in Hermog. Walz. Rhett. vol. 7, p. 1195, 15. τοὺς om. D. ἄλλα] τἄλλα D. ἄλλα ὅσα Gregor. ἠδύνατο A.G. ἄνθρ. πρ. Greg. οὐδέποτε Greg. σεσ. ὡς οὐδέποτε L. Greg. οἱ γὰρ] οὐδὲ γὰρ Greg. Ad οἳ G. mg. r. γρ. χαλδαῖοι. ὅρα Greg. εὐχόμην A.G. εὔχομαι D. corr. s. v. ead. m. 16. σοι] σοι ἤδη D. ἀναπεφήναμεν C.D. ἂν ἀπεφήναμεν A.G. ἀποδιδόντες] ἃ καὶ ἀποδιδόντες οὐδὲν ἄξιον οὐδὲ οὕτως πρὸς εὐεργέτην καταλαμβανόμεθα τοσοῦτον ποιοῦντες (—τὰς L.) add. G. mg. r. L.M. 17. τοσαῦτα] ταῦτ' D. εἰρήνης A. σφίσιν A. ἄλλο τι] ἄλλου του L. mg. al. m. ἐπιθυμεῖτε] ε in ras. D., pr. αι.

οἳ—ποιοῦντες] ποιεῖν πρός τινα sic est 1, 6, 31, 32; 7, 4, 3, Comment. 1, 1, 6; 4, 2, 16. Nihilominus totum hoc membrum tam exiguam fidem habet ab libris, ut omittendum duxerim quod Aldus, qui σοι μὴ ἀποδιδόναι, tolerabile reddidit ἃ in ᾧ mutato, Muretus in οἷ.

ζετε ἀσφαλέστερον ἂν δύνασθαι ζῆν εἰρήνης γενομένης ἢ
πολεμοῦντες, ἐπειδὴ ἡμεῖς τάδ' ἔχομεν; ἔφασαν οἱ Χαλ-
18 δαῖοι. καὶ ὃς Τί δ', ἔφη, εἰ καὶ ἄλλα ὑμῖν ἀγαθὰ προσ-
γένοιτο διὰ τὴν εἰρήνην; Ἔτι ἂν, ἔφασαν, μᾶλλον εὐ-
φραινοίμεθα. Ἄλλο τι οὖν, ἔφη, ἢ διὰ τὸ γῆς σπανίζειν
ἀγαθῆς νῦν πένητες νομίζετ' εἶναι; συνέφασαν καὶ τοῦτο.
Τί οὖν; ἔφη ὁ Κῦρος, βούλοισθ' ἂν ἀποτελοῦντες ὅσαπερ
οἱ ἄλλοι Ἀρμένιοι ἐξεῖναι ὑμῖν τῆς Ἀρμενίας γῆς ἐργά-
ζεσθαι ὁπόσην ἂν θέλητε; ἔφασαν οἱ Χαλδαῖοι, εἰ πι-
19 στεύοιμεν μὴ ἀδικήσεσθαι. Τί δὲ, σὺ, ἔφη, ὦ Ἀρμένιε, [9]
βούλοιο ἄν σοι τὴν νῦν ἀργὸν οὖσαν χώραν ἐνεργὸν γε-
νέσθαι, εἰ μέλλοιεν τὰ νομιζόμενα παρὰ σοὶ ἀποτελεῖν οἱ
ἐργαζόμενοι; ἔφη ὁ Ἀρμένιος πολλοῦ ἂν τοῦτο πρίασθαι·
20 πολὺ γὰρ ἂν αὐξάνεσθαι τὴν πρόσοδον. Τί δ', ὑμεῖς,
ἔφη, ὦ Χαλδαῖοι, ἐπεὶ ὄρη ἀγαθὰ ἔχετε, ἐθέλοιτ' ἂν ἐὰν
νέμειν ταῦτα τοὺς Ἀρμενίους, εἰ ὑμῖν μέλλοιεν οἱ νέμοντες
τὰ δίκαια ἀποτελεῖν; ἔφασαν οἱ Χαλδαῖοι· πολλὰ γὰρ ἂν
ὠφελεῖσθαι οὐδὲν πονοῦντας. Σὺ δὲ, ἔφη, ὦ Ἀρμένιε,
ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλλοις μικρὰ
ὠφελῶν Χαλδαίους πολὺ πλείω ὠφεληθήσεσθαι; Καὶ σφό-
δρα ἂν, ἔφη, εἰ οἰοίμην ἀσφαλῶς νέμειν. Οὐκοῦν, ἔφη,
ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα ἔχοιτε σύμμαχα; ἔφη ὁ

ἂν om. D. ἐπειδὴ Fischerus. ἐπεὶ δὲ A.G. ἐπεὶ D. τάδ'] τἄλλ' D. 18. τί δ'] τί οὖν D. ἔτι] ὅτι A.G. ἔφη ὁ κῦρος] ὁ κῦρος A.G. βούλοισθ'] ἢ βούλοισθ' D. ἄλλοι et γῆς D. mg. al. m. θέλητε] βούλησθε D. 19. σοι D. s. v. al. m. ἀργὸν Ald. et, ut videtur, H. M. ἀργὴν A.D.G. χώραν] γῆν D. ἐνεργὸν] post hoc ποιῆσαι punctis notat D. οἱ om. A. s. v. r. G. 20. ὠφελῆσθαι D. ὠφελεῖσθε G. ποιοῦντας A. πονοῦντες D. μέλλεις G. ὠφεληθήσεσθαι] ὠφελήσεσθαι D.H. εἰ οἰοίμην om. G., de quo v. paullo post. εἴπερ οἰοίμην B. ἀσφαλῶς] ἀσφαλὲς L. et qui mg. r. addit ·εἰ ἡμῖν ἀσφαλὲς νέμειν—οὐκ ἂν, sequens autem ἡμεῖς habet corr. in ras., pr. εἰ οἰοίμην, quod corr. mg. supplevit illo εἰ ἡμῖν, unde ἀσφαλῶς mutare debuit in ἀσφαλὲς, G. νέμειν—ἀσφαλῶς om. A. ἔφη om. G., qui, ut modo dictum, hæc omnia mg. r. ἂν νέμοιτε] νέμοιτε ἂν D.

18. γῆς σπανίζειν ἀγαθῆς] Chalybum s. Chaldæorum terræ sterilitatem notat etiam Apoll. Rh. 2, 374, Dionys. Per. 768. HUTCH.

ἀποτελοῦντες, quod non cum βούλοισθε sed cum ἐξεῖναι conjungendum fuerat, quum scriberet, in mente habebat tale quid ut ἐξουσίαν λαμβάνειν. Simili ratione mox dicuntur οἱ ἄλλοι Ἀρμένιοι pro οἱ ἄλλοι οἱ ἐργαζόμενοι τὴν Ἀρμενίαν, qui sunt Armenii.

20. ὠφεληθήσεσθαι] Varietas quæ hic est in codicibus sæpius redit in Comment. et apud Platonem, libris modo consentientibus in ὠφεληθήσεσθαι modo inter utramque formam variantibus, ut in aliis hujusmodi futurorum formis, velut τιμηθήσομαι, de quo dixi ad Stephanum v. Τιμάω, et φοβηθήσομαι, de quo ad 3, 3, 30.

21 Ἀρμένιος. Ἀλλὰ μὰ Δί', ἔφασαν οἱ Χαλδαῖοι, οὐκ ἂν [10]
ἡμεῖς ἀσφαλῶς ἐργαζοίμεθα μὴ ὅτι τὴν τούτων, ἀλλ' οὐδ'
ἂν τὴν ἡμετέραν, εἰ οὗτοι τὰ ἄκρα ἔχοιεν. Εἰ δ' ὑμῖν αὖ,
ἔφη, τὰ ἄκρα σύμμαχα εἴη; Οὕτως ἄν, ἔφασαν, ἡμῖν
καλῶς ἔχοι. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Ἀρμένιος, οὐκ ἂν
ἡμῖν αὖ καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται πάλιν τὰ ἄκρα
22 ἄλλως τε καὶ τετειχισμένα. καὶ ὁ Κῦρος εἶπεν, Οὑτωσὶ
τοίνυν, ἔφη, ἐγὼ ποιήσω· οὐδετέροις ὑμῶν τὰ ἄκρα παρα-
δώσω, ἀλλ' ἡμεῖς φυλάξομεν αὐτά· κἂν ἀδικῶσιν ὑμῶν
ὁπότεροι, σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα.
23 Ὡς δ' ἤκουσαν ἀμφότεροι ταῦτα, ἐπήνεσαν καὶ ἔλεγον [11]
ὅτι οὕτως ἂν μόνως ἡ εἰρήνη βεβαία γένοιτο. καὶ ἐπὶ τού-
τοις ἔλαβον καὶ ἔδοσαν πάντες τὰ πιστά, καὶ ἐλευθέρους
μὲν ἀμφοτέρους ἀπ' ἀλλήλων εἶναι συνετίθεντο, ἐπιγαμίας
δ' εἶναι καὶ ἐπεργασίας καὶ ἐπινομίας, καὶ ἐπιμαχίαν
24 κοινήν, εἴ τις ἀδικοίη ὁποτέρους. οὕτω μὲν οὖν τότε διε-
πράχθη· καὶ νῦν δὲ ἔτι οὕτω διαμένουσιν αἱ τότε γενόμεναι
συνθῆκαι Χαλδαίοις καὶ τῷ τὴν Ἀρμενίαν ἔχοντι. ἐπεὶ δὲ
αἱ συνθῆκαι ἐγεγένηντο, εὐθὺς συνετείχιζόν τε ἀμφότεροι
προθύμως ὡς κοινὸν φρούριον καὶ τἀπιτήδεια συνεισῆγον.
25 ἐπεὶ δ' ἑσπέρα προσῄει, συνδείπνους ἔλαβεν ἀμφοτέρους [12]
πρὸς ἑαυτὸν ὡς φίλους ἤδη. συσκηνούντων δὲ εἶπέ τις
τῶν Χαλδαίων ὅτι τοῖς μὲν ἄλλοις σφῶν πᾶσι ταῦτ'
εὐκτὰ εἴη· εἰσὶ δέ τινες τῶν Χαλδαίων οἳ λῃζόμενοι ζῶσι
καὶ οὔτ' ἐπίστανται ἐργάζεσθαι οὔτ' ἂν δύναιντο, εἰθισμέ-
νοι ἀπὸ πολέμου βιοτεύειν· ἀεὶ γὰρ ἐλῄζοντο ἢ ἐμισθοφό-
ρουν, πολλάκις μὲν παρὰ τῷ Ἰνδῶν βασιλεῖ, καὶ γάρ,

21. τὰ ἄκρα σ.] τὰ σ. D., versum inchoans ab σ. · εἴη] εἶεν A.G. 22. ἔφη post ποιήσω D. ὁπότεροι] ὁποτεροιοῦν D. corr., qui pr. ὁπότεροι οὖν. ἐσ. ἡμεῖς D. 23. ταῦτα ἀμφότεροι D. μόνως] εἴη μόνως D. βεβαία γένοιτο] βεβαίως et a s. v. D. ἔδοσαν καὶ ἔλαβον D. αβ in ras. corr. G. ἀμφοτέρους om. D. συνετ. εἶναι D. ἐπεργασίας] ἐνεργείας sed ει in ι mutato D. Illud Pollux 7, 142, et ἐπινομία 184. ἐπιμαχίαν] ἐπισυμμαχίαν A.G. κοινὴν] δὲ κοινὴν D. ὁποτέρους] ποτέρους A. et qui s. v. add. ὁ et οὖν G. ὁποτέρους οὖν D. 24. οὖν om. A.D. γεγένηντο A.G. ἐγένοντο D. συνετειχίζοντο ἀμφ. D. Libri τὰ ἐπιτήδεια. συνῆγον D. et εισ s. v. ead. m. 25. προσείη G. ἔλαβον G. pr. πᾶσιν εὐκτὰ ταῦτα D. εἰσὶ] εἶεν D. Libri ληιζόμενοι et ἐληίζοντο. ἐπίστανται] ἂν ἐπίσταιντο D. αἰεὶ A.G. ἢ] καὶ D. ἰνδῶν] τῶν ἰνδῶν G.

22. ὁπότεροι—23. ὁποτέρους] I. q. ὁποτεροιοῦν, ut 7, 4, 5.

25. παρὰ τῷ Ἰνδῶν βασιλεῖ] Duæ fuerunt nationes, quibus Indorum

ἔφασαν, πολύχρυσος ὁ ἀνήρ, πολλάκις δὲ καὶ παρ' Ἀστυ-
26 άγει. καὶ ὁ Κῦρος ἔφη, Τί οὖν οὐ καὶ νῦν παρ' ἐμοὶ μισθοφοροῦσιν; ἐγὼ γὰρ δώσω ὅσον τις καὶ ἄλλος πλεῖστον δήποτε ἔδωκε. συνέφασαν, καὶ πολλούς γε ἔσεσθαι ἔλεγον τοὺς ἐθελήσοντας.

27 Καὶ ταῦτα μὲν δὴ οὕτω συνωμολογεῖτο. ὁ δὲ Κῦρος ὡς [13] ἤκουσεν ὅτι πολλάκις πρὸς τὸν Ἰνδὸν οἱ Χαλδαῖοι ἐπορεύοντο, ἀναμνησθεὶς ὅτι ἦλθον παρ' αὐτοῦ κατασκεψόμενοι εἰς Μήδους τὰ αὐτῶν πράγματα καὶ ᾤχοντο πρὸς τοὺς πολεμίους, ὅπως αὖ καὶ τὰ ἐκείνων κατίδωσιν, ἐβού-
28 λετο μαθεῖν τὸν Ἰνδὸν τὰ ἑαυτῷ πεπραγμένα. ἤρξατο οὖν λόγου τοιοῦδε· Ὦ Ἀρμένιε, ἔφη, καὶ ὑμεῖς ὦ Χαλδαῖοι, εἴπατέ μοι, εἴ τινα ἐγὼ νῦν τῶν ἐμῶν ἀποστέλλοιμι πρὸς τὸν Ἰνδόν, συμπέμψαιτ' ἄν μοι τῶν ὑμετέρων οἵτινες αὐτῷ τὴν ὁδὸν ἡγοῖντο ἂν καὶ συμπράττοιεν ὥστε γενέσθαι ἡμῖν παρὰ τοῦ Ἰνδοῦ ἃ ἐγὼ βούλομαι; ἐγὼ γὰρ χρήματα μὲν προσγενέσθαι ἔτι ἂν βουλοίμην ἡμῖν, ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι οἷς ἂν δέῃ καὶ τιμᾶν καὶ δωρεῖσθαι τῶν

ὁ om. D. i. e. ἀνήρ. V. ad H. Gr. 4, 8, 22. 26. συνέφασαν] οἱ addunt libri. ἐθελήσαντας D. 27. οὕτως A.D. πολλάκις post ἰνδὸν D. ἰνδὸν] ἰδὼν A. pr. κατασκεψόμενοι Stephanus. Libri κατασκεψάμενοι. αὐτῷ D. pr. 28. ἀρμένιοι G. pr. ε s. v. νῦν om. D. ἀποστελλοίμην A.D. corr. G. τὴν] τήν τε D.

pariter nomen tribuerunt Veteres. Harum una in India Orientali proprie dicta, quæ inter Gangem Indumque jacet; altera in Æthiopia sedem nacta est. Neque hæc neque illa Indorum natio est, de qua hic agit Xenophon; cujus historiæ ratio postulat ut Indos etiam non longe ab Armenia Chaldæorumque seu Chalybum regione distantes investigemus. HUTCH. Conf. ad 4, 2, 1.

26. συνέφασαν] Delevi adjectum ab librario inutile pronomen, ut Anab. 3, 1, 5; 7, 8, 10, quod sic dici non potuisse ab scriptore Attico animadverterat jam Heindorfius. Recentiorum exempla attulimus ad Thes. Steph. v. Οὖ, vol. 5, p. 2354 B.

αὐτῶν] Rarum apud antiquiores pronominis hujus inter articulum et nomen collocationem tetigi ad 1, 1, 5. Sæpius sic recentiores. Dio Chrys. Or. 2, vol. 1, p. 98: Ὡς κρείττω μὲν αὐτὸν φανῆναι, κρείττω δὲ τὴν αὐτοῦ ἀγέλην· 6, p. 205: Μήτε Χείρωνος μήτε Ἀσκληπιοῦ μήτε τῶν Ἀσκληπιαδῶν ἰωμένων μηδὲν αὐτοῖς ὄφελος εἶναι διὰ τὴν αὐτῶν ἀκολασίαν καὶ πονηρίαν. Sed apud eundem Or. 7, vol. 1, p. 248, τὸν ἄνδρα αὐτῆς pro αὐτῆς ἄνδρα, quod αὑτῆς illic scribi posset, restitutum ex codd. Rursus ib. p. 260: Οἷον εἰώθασι λοιδορούμενοι προφέρειν πολλάκις οὐ μόνον τὰς αὐτῶν ἐργασίας, ἀλλὰ καὶ τῶν γονέων. Inscr. apud Curtium Anecd. Delph. p. 74, n. 39, 6, 18: Μηδὲ τὰ αὐτᾶν ὑπάρχοντα. Farnesiana Corp. Inscr. vol. 3, p. 810, n. 5984, 28: Φονεύσας Ἱππολύταν καὶ τὰν αὐτᾶς πόλιν Ἡρακλῆς ἑλών. Dio Cassius 62, 27: Τῷ τε Νέρωνι καὶ τοῖς αὐτοῦ φίλοις.

28. καὶ τιμᾶν καὶ δωρεῖσθαι] Apud Persas moris erat antiqui eorum omnium beneficia qui fortiter quid ac præclare gesserant aut de rep. bene

συστρατευομένων τοὺς ἀξίους· τούτων δὴ ἕνεκα βούλομαι
ὡς ἀφθονώτατα χρήματα ἔχειν, δεῖσθαι τούτων νομίζων.
τῶν δὲ ὑμετέρων ἡδύ μοι ἀπέχεσθαι φαίνεται· φίλους γὰρ
ὑμᾶς ἤδη νομίζω· παρὰ δὲ τοῦ Ἰνδοῦ ἡδέως ἂν λάβοιμι, εἰ
29 διδοίη. ὁ οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς ἡγεμόνας δοῦναι
καὶ συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε ὧδε λέξει·
Ἔπεμψέ με Κῦρος, ὦ Ἰνδέ, πρὸς σέ· φησὶ δὲ προσ- [14]
δεῖσθαι χρημάτων, προσδεχόμενος ἄλλην στρατιὰν οἴκοθεν
ἐκ Περσῶν· καὶ γὰρ προσδέχομαι, ἔφη· ἢν οὖν αὐτῷ
πέμψῃς ὁπόσα σοι προχωρεῖ, φησὶν, ἢν θεὸς ἀγαθὸν τέλος
διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι ὥστε σε νομίζειν καλῶς
30 βεβουλεῦσθαι χαρισάμενον αὐτῷ. ταῦτα μὲν ὁ παρ' ἐμοῦ
λέξει· τοῖς δὲ παρ' ὑμῶν ὑμεῖς αὖ ἐπιστέλλετε ὅ τι ὑμῖν
σύμφορον δοκοίη εἶναι. καὶ ἢν μὲν λάβωμεν, ἔφη, παρ'
αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα· ἢν δὲ μὴ λάβωμεν,
εἰσόμεθα αὐτῷ ὅτι οὐδεμίαν χάριν ὀφείλομεν, ἀλλ' ἐξέσται
ἡμῖν ἐκείνου ἕνεκεν πρὸς τὸ ἡμέτερον συμφέρον πάντα
31 τίθεσθαι. ταῦτ' εἶπεν ὁ Κῦρος, νομίζων τοὺς ἰόντας Ἀρ-
μενίων καὶ Χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ οἷα αὐτὸς
ἐπεθύμει πάντας ἀνθρώπους λέγειν καὶ ἀκούειν περὶ αὐτοῦ.
καὶ τότε μὲν δὴ, ὁπότε καλῶς εἶχε, διαλύσαντες τὴν σκη-
νὴν ἀνεπαύοντο.

ΚΕΦ. Γ.

Τῇ δ' ὑστεραίᾳ ὅ τε Κῦρος ἔπεμπε τὸν ἄγγελον ἐπι-
στείλας ὅσαπερ ἔφη καὶ ὁ Ἀρμένιος καὶ οἱ Χαλδαῖοι
συνέπεμψαν οὓς ἱκανωτάτους ἐνόμιζον εἶναι καὶ συμπρᾶξαι

στρατευομένων G. δὴ] μὲν δὴ D.G. s. v. r. δεῖσθαι] δὲ add. D.G. s. v. r. νομίζων C.D. νομίζω A.G. δὲ] μὲν D. ἀπέχεσθαι] φείδεσθαι B. mg. al. m., D.G. mg. r. φαίνεται D. mg. al. m. ἤδη ὑμᾶς G. 29. φασιν A.G. s. v. r. πειράσασθαι σε ποιήσειν D. σε om. G. χαρισάμενος A.G. 30. συμφέρον B. mg. G. s. v. r. δοκοίη] δοκεῖ ante σύμφορον D. ἔφη om. D. αὐτῷ post οὐδεμίαν D. οὐδὲ μίαν G. ὀφείλοιμεν A.G. ἕνεκα D. ἡμέτερον] ἐκείνου D. corr. mg. σύμφορον D. 31. ἰόντας] ἰδιώτας D. ἐπιθυμεῖ A.G. λέγειν A.G. καὶ λέγειν καὶ ἀκούειν D. καὶ ἀκούειν G. s. v. r. 1. συνέπεμπον D.

meriti erant, prolixe cumulateque remunerari, teste Herodoto 3, 154, et de militaribus præmiis Plut. Artax. c. 14. HUTCH.

30. σύμφορον] Pro συμφέρον ex melioribus restitui etiam Anab. 7, 7, 21, quum utraque forma utatur Xenophon.

δοκοίη] V. ad 1, 4, 14.

καὶ εἰπεῖν περὶ Κύρου τὰ προσήκοντα. ἐκ δὲ τούτου κατασκευάσας ὁ Κῦρος τὸ φρούριον καὶ φύλαξιν ἱκανοῖς καὶ τοῖς ἐπιτηδείοις πᾶσι καὶ ἄρχοντ' αὐτῶν καταλιπὼν Μῆδον ὃν ᾤετο Κυαξάρῃ ἂν μάλιστα χαρίσασθαι, ἀπῄει συλλαβὼν τὸ ἕτερον στράτευμα ὅσον τε ἦλθεν ἔχων καὶ ὃ παρ' Ἀρμενίων προσέλαβε, καὶ τοὺς παρὰ Χαλδαίων εἰς τετρακισχιλίους, οἳ ᾤοντο καὶ συμπάντων τῶν ἄλλων κρείττονες
2 εἶναι. ὡς δὲ κατέβη εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον [2]
Ἀρμενίων οὔτ' ἀνὴρ οὔτε γυνή, ἀλλὰ πάντες ὑπήντων ἡδόμενοι τῇ εἰρήνῃ καὶ φέροντες καὶ ἄγοντες ὅ τι ἕκαστος ἄξιον εἶχε. καὶ ὁ Ἀρμένιος τούτοις οὐκ ἤχθετο, οὕτως ἂν νομίζων καὶ τὸν Κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ πάντων τιμῇ. τέλος δ' οὖν ὑπήντησε καὶ ἡ γυνὴ τοῦ Ἀρμενίου, τὰς θυγατέρας ἔχουσα καὶ τὸν νεώτερον υἱόν, καὶ σὺν ἄλλοις δώροις τὸ χρυσίον ἐκόμιζεν ὃ πρότερον οὐκ ἤθελε
3 λαβεῖν Κῦρος. καὶ ὁ Κῦρος ἰδὼν εἶπεν, Ὑμεῖς ἐμὲ οὐ ποι- [3]
ήσετε μισθοῦ περιιόντα εὐεργετεῖν, ἀλλὰ σύ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα ἃ φέρεις ἄπιθι, καὶ τῷ μὲν Ἀρμενίῳ μηκέτι δῷς αὐτὰ κατορύξαι, ἔκπεμπε δὲ τὸν υἱὸν ὡς κάλλιστα ἀπ' αὐτῶν κατασκευάσασα ἐπὶ τὴν στρατιάν· ἀπὸ δὲ τῶν λοιπῶν κτῶ καὶ σαυτῇ καὶ τῷ ἀνδρὶ καὶ ταῖς θυγατράσι καὶ τοῖς υἱοῖς ὅ τι κεκτημένοι καὶ κεκοσμημένοι κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε· εἰς δὲ τὴν γῆν, ἔφη, ἀρκείτω τὰ σώματα, ὅταν ἕκαστος τελευτήσῃ, κατα-
4 κρύπτειν. ὁ μὲν ταῦτ' εἰπὼν παρήλασεν· ὁ δ' Ἀρμένιος [4]
συμπρούπεμπε καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦν-

κατασκευάσας Poppo. παρασκευάσας A.G. ἐπιτελέσας D. post κῦρος. ἱκανοῖς καὶ] οἷς καὶ in ras. D. in ἱκανῶς mutatum videtur. μήδων D. corr. in hoc et in καταλιπὼν, pr. —ῶ. κυαξάρει A.D. ἕτερον om. D. ξυμπάντων G. 2. ὑπὸ πάντων] ὑπαντων D. pr. ὑπ' αυτων corr. sine accentu. δ' οὖν] δὲ D. τὸ] καὶ τὸ D. 3. ἰδὼν] λαβὼν A.G. ποιήσετε] θ (sic, non σθ) D. pro τ corr. περιόντα D. et ι s. v. r. τὰ χρήματα om. G. ἔκπεψαι G. pr., μ et ον corr., ἔκπεμψον D. τὸν] τὸν σὸν D.G. s. v. r. ἀπ' αὐτῶν] ἀπάντων D. στρατείαν D. κεκοσμημένοι] κοσμήσεσθε D. μενοι s. v. al. m. διάξετε] ε prius in ras. D. ἔφη ἀρκείτω D. pr. G. ἔφη ἀρκείσθω corr. ἐφ' ἣν ἂν κείσθω A. 4. παρήλαυνεν D. συμπρόπεμπε G. pr., υ s. v. r., et ε priori a corr. inserto, pr. s. v. eraso. προύπεμπεν D. ἄλλοι] λοιποὶ A.L. Conf. var. scr. Anab. 1, 9, 2.

2. φέροντες] De muneribus quæ regi Persarum ii quorum fines transiret offerre solebat v. Ælian. V. H. 1, 31. HUTCH.

3. ὅτι κεκτημένοι καὶ κεκοσμημένοι] Id est καὶ ὅτῳ κεκοσμημένοι. V. ad H. Gr. 6, 1, 13.

κατακρύπτειν] Respiciunt hæc superiora μηκέτι δῷς αὐτὰ κατορύξαι. SCHN.

τες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν· καὶ τοῦτ' ἐποί-
ουν, ἕως ἐκ τῆς χώρας ἀπῆν. συναπέστειλε δ' αὐτῷ καὶ ὁ
5 Ἀρμένιος στρατιὰν πλείονα, ὡς εἰρήνης οἴκοι οὔσης. οὕτω
δὴ ὁ Κῦρος ἀπῄει κεχρηματισμένος οὐχ ἃ ἔλαβε μόνον
χρήματα, ἀλλὰ πολὺ πλείονα τούτων ἡτοιμασμένος διὰ
τὸν τρόπον, ὥστε λαμβάνειν ὁπότε δέοιτο. καὶ τότε μὲν
ἐστρατοπεδεύσατο ἐν τοῖς μεθορίοις. τῇ δ' ὑστεραίᾳ τὸ μὲν [5]
στράτευμα καὶ τὰ χρήματα ἔπεμψε πρὸς Κυαξάρην· ὁ δὲ
πλησίον ἦν, ὥσπερ ἔφησεν· αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ
Περσῶν τοῖς ἀρίστοις ἐθήρα ὅπουπερ ἐπιτυγχάνοιεν θη-
ρίοις καὶ ηὐφραίνετο.
6 Ἐπεὶ δ' ἀφίκετο εἰς Μήδους, τῶν χρημάτων ἔδωκε τοῖς
αὑτοῦ ταξιάρχοις ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι, ὅπως καὶ
ἐκεῖνοι ἔχοιεν τιμᾶν, εἴ τινας ἄγαιντο τῶν ὑφ' ἑαυτούς·
ἐνόμιζε γάρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον ποιήσειε, τὸ
ὅλον αὐτῷ καλῶς ἔχειν. καὶ αὐτὸς δὲ ὅ τι που καλὸν ἴδοι
εἰς στρατιάν, τοῦτο κτώμενος διεδωρεῖτο τοῖς ἀεὶ ἀξιωτά-
τοις, νομίζων ὅ τι καλὸν κἀγαθὸν ἔχοι τὸ στράτευμα, τού-
7 τοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. ἡνίκα δὲ αὐτοῖς διεδίδου
ὧν ἔλαβεν, ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιάρχων
καὶ λοχαγῶν καὶ πάντων ὅσους ἐτίμα. Ἄνδρες φίλοι, [6]
δοκεῖ ἡμῖν εὐφροσύνη τις νῦν παρεῖναι, καὶ ὅτι εὐπορία τις
προσγεγένηται καὶ ὅτι ἔχομεν ἀφ' ὧν τιμᾶν ἕξομεν οὓς ἂν
8 βουλώμεθα, καὶ τιμᾶσθαι ὡς ἂν ἕκαστος ἄξιος ᾖ. πάντως
δὴ ἀναμιμνησκώμεθα τὰ ποῖ' ἄττ' ἔργα τούτων τῶν ἀγα-
θῶν ἐστιν αἴτια· σκοπούμενοι γὰρ εὑρήσετε τό τε ἀγρυ-
πνῆσαι ὅπου ἔδει καὶ τὸ πονῆσαι καὶ τὸ σπεῦσαι καὶ τὸ
μὴ εἶξαι τοῖς πολεμίοις. οὕτως οὖν χρὴ καὶ τὸ λοιπὸν ἄν-

ταῦτ' D. ἀπῆν] ἐξέπεμψαν D. καὶ ὁ] ὁ D. στρατιὰν] καὶ στρατιὰν D. 5. ἑτοιμασάμενος D. ἐστρατοπεδεύσαντο D. τὰ om. A.G. δὲ om. D. pr. ὅπου D. εὐφραίνετο A.D.G. ἐφαίνετο B. ηὐφραίνετο mg. 6. αὐτοῦ A.G. ἑαυτοῦ D. ὅσα] ὡς D. ὅπως καὶ] καὶ ὅπως καὶ A.G. εἴ τινας] οἵτινες A. οἵ τινες G. ἄγοιντο D. pr. G. s. v. r. ἄγειντο D. corr. ἑαυτοῖς A. ἑαυτοῖς et ου s. v. r. G., in quo erasum quid inter ι et ς, etsi ι non fuit υ. ποιήσειε τὸ] ποιήσαι τὸ L. ποιήσαιτο A.G. ἴδοι ante καλὸν A. εἴδοιεν D. ἴδοιεν corr. ἐς A.G. ταῦτα D. ἐδωρεῖτο D. ἀεὶ om. D. ὅ τι] εἰ post hoc D. s. v. r. 7. ταξιαρχῶν A.D.G. οὗς D. γεγένηται D. ἄξιος ᾖ] ἀξιώσῃ A. ἀξιώσοι G. corr. mg. 8. δὴ] δὲ E. ἀναμιμνησκόμεθα A. ποῖ' ἄττ'] ποῖα ἄττα A.D. ποῖ' ἄτ' G. ποῖα τ' M. sed ἄττα mg. ἔργα (etsi hoc ita partim resectum partim evanidum ut vix agnoscatur)—γὰρ G. mg. r. τοῦ λοιποῦ B.

δρας ἀγαθοὺς εἶναι, γιγνώσκοντας ὅτι τὰς μεγάλας ἡδονὰς καὶ τἀγαθὰ τὰ μεγάλα ἡ πειθὼ καὶ ἡ καρτερία καὶ οἱ ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι παρέχονται.

9 Κατανοῶν δὲ ὁ Κῦρος ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα [7]
οἱ στρατιῶται πρὸς τὸ δύνασθαι στρατιωτικοὺς πόνους φέρειν, εὖ δὲ τὰς ψυχὰς πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων, ἐπιστήμονες δ' ἦσαν τὰ προσήκοντα τῇ ἑαυτῶν ἕκαστοι ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους, ἐκ τούτων οὖν ἐπεθύμει τι ἤδη τῶν πρὸς τοὺς πολεμίους πράττειν, γιγνώσκων ὅτι ἐν τῷ μέλλειν πολλάκις τοῖς ἄρχουσι καὶ τῆς καλῆς παρα-
10 σκευῆς ἀλλοιοῦταί τι. ἔτι δ' ὁρῶν ὅτι φιλοτίμως ἔχοντες, ἐν οἷς ἀντηγωνίζοντο, πολλοὶ καὶ ἐπιφθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν, καὶ τῶνδε ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολεμίαν ὡς τάχιστα, εἰδὼς ὅτι οἱ κοινοὶ κίνδυνοι φιλοφρόνως ποιοῦσιν ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους, καὶ οὐκέτι ἐν τούτῳ οὔτε τοῖς ἐν ὅπλοις κοσμουμένοις φθονοῦσιν οὔτε τοῖς δόξης ἐφιεμένοις, ἀλλὰ μᾶλλον καὶ ἐπαινοῦσι καὶ ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους, νο-
11 μίζοντες συνεργοὺς αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι. οὕτω [8]
δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιὰν καὶ κατέταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα, ἔπειτα δὲ συνεκάλεσε μυριάρχους καὶ χιλιάρχους καὶ ταξιάρχους καὶ λοχαγούς. οὗτοι γὰρ ἀπολελυμένοι ἦσαν τοῦ καταλέγεσθαι ἐν τοῖς τακτικοῖς ἀριθμοῖς, καὶ ὁπότε δέοι ἢ ὑπακούειν τῷ στρατηγῷ ἢ παραγγέλλειν τι, οὐδ' ὣς οὐδὲν ἄναρχον κατελείπετο, ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρχοις πάντα τὰ κατα-
12 λειπόμενα διεκοσμεῖτο. ἐπεὶ δὲ συνῆλθον οἱ ἐπικαίριοι,

τἀγαθὰ] τὰ ἀγαθὰ D.G. 9. εἶχον] ει in ras. corr. D. καταφρονεῖν] φρονεῖν κατὰ A.G. corr. r. ἕκαστος D. pr. παρασκευασμ. A. 10. ἀντιγων. G. πολλοὶ] δὲ add. G. corr. τῶνδε] τούτων δὲ A.G. ἐν ὅπλοις] ἐνόπλοις D. corr., G. 11. ἀπολειμμένοι pr. et καταδεδέσθαι D. ἦσαν post hoc ponens. ἐν τοῖς] αὐτοῖς G. τῶν στρατηγῶν A.G. pr. κατελίπετο D. δωδεκαδάρχοις] αδ s. v. ead. m. A.

8. πειθὼ de obedientia dictum ut supra 2, 3, 19, et mox 59.

9. ἑώρα] Structuræ negligentia orta eo quod scriptor orationis initium quomodo fecisset oblitus erat propter interposita. Similis locus H.Gr.3,5,23.

10. τῶνδε] Refertur tam ad præcedentia quam ad sequentia εἰδὼς ὅτι —ποιοῦσιν.

11. ἀριθμοῖς] Recensus copiarum dicit.

παράγων αὐτοὺς ἐπεδείκνυ τε αὐτοῖς τὰ καλῶς ἔχοντα καὶ
ἐδίδασκεν ᾗ ἕκαστον ἰσχυρὸν ἦν τῶν συμμαχικῶν. ἐπεὶ δὲ
κἀκείνους ἐποίησεν ἐρωτικῶς ἔχειν τοῦ ἤδη ποιεῖν τι, εἶπεν
αὐτοῖς νῦν μὲν ἀπιέναι ἐπὶ τὰς τάξεις καὶ διδάσκειν ἕκα-
στον τοὺς ἑαυτοῦ ἅπερ αὐτὸς ἐκείνους, καὶ πειρᾶσθαι ἐπι-
θυμίαν ἐμβαλεῖν πᾶσι τοῦ στρατεύεσθαι, ὅπως εὐθυμότατα
πάντες ἐξορμῷντο, πρῲ δὲ παρεῖναι ἐπὶ τὰς Κυαξάρου
13 θύρας. τότε μὲν δὴ ἀπιόντες οὕτω πάντες ἐποίουν. τῇ δ' [9]
ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ παρῆσαν οἱ ἐπικαίριοι ἐπὶ θύραις.
σὺν τούτοις οὖν ὁ Κῦρος εἰσελθὼν πρὸς τὸν Κυαξάρην
ἤρχετο λόγου τοιοῦδε.

Οἶδα μέν, ἔφη, ὦ Κυαξάρη, ὅτι ἃ μέλλω λέγειν σοὶ
πάλαι δοκεῖ οὐδὲν ἧττον ἢ ἡμῖν· ἀλλ' ἴσως αἰσχύνει λέ-
γειν ταῦτα, μὴ δοκῇς ἀχθόμενος ὅτι τρέφεις ἡμᾶς ἐξόδου
14 μεμνῆσθαι. ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω καὶ ὑπὲρ σοῦ
καὶ ὑπὲρ ἡμῶν. ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπείπερ παρεσκευ-
άσμεθα, μὴ ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν σὴν
χώραν, τότε μάχεσθαι, μηδ' ἐν τῇ φιλίᾳ καθημένους ἡμᾶς
15 ὑπομένειν, ἀλλ' ἰέναι ὡς τάχιστα εἰς τὴν πολεμίαν. νῦν
μὲν γὰρ ἐν τῇ σῇ χώρᾳ ὄντες πολλὰ τῶν σῶν σινόμεθα
ἄκοντες· ἢν δ' εἰς τὴν πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς
16 ποιήσομεν ἡδόμενοι. ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις
πολλὰ δαπανῶν, ἢν δ' ἐκστρατευσώμεθα, θρεψόμεθα ἐκ
17 τῆς πολεμίας. ἔτι δὲ εἰ μὲν μείζων τις κίνδυνος ἔμελλεν
ἡμῖν εἶναι ἐκεῖ ἢ ἐνθάδε, ἴσως τὸ ἀσφαλέστατον ἦν αἱρε-
τέον. νῦν δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἤν τε ἐνθάδε ὑπο-
μένωμεν ἤν τε εἰς τὴν ἐκείνων ἰόντες ὑπαντῶμεν αὐτοῖς·
ἴσοι δὲ ἡμεῖς ὄντες μαχούμεθα, ἤν τε ἐνθάδε ἐπιόντας αὐ-
τοὺς δεχώμεθα ἤν τε ἐπ' ἐκείνους ἰόντες τὴν μάχην συν-

12. ἐπεδείκνυέ τε A.G. ἐπεδεικνύετε corr. in ult. D. καὶ ἐκείνους A.G. πειρᾶσθαι] αὐτοὺς add. D.G. mg. r. ἐμβάλλειν A.G. Libri πρωί. δὲ] δὲ καὶ A.G. θήρας D. pr. 13. οὕτω πάντες] οὕτω D. ἐπίκουροι A.G. corr. mg. θύραις] τὰς θύρας D. ἐλθὼν A.G. ἤρξατο D. ἢ om. A.G. pr. Libri αἰσχύνῃ. ταῦτα] αὐτὰ D. 14. καὶ ὑπὲρ σοῦ] ὑπὲρ σοῦ D. ἐπείπερ] ἐπεὶ A.G. 15. χώρᾳ] πόλει D. πολεμίων G. corr. s. v. ποιήσωμεν D. 16. νῦν] δὲ νῦν D. τρέφῃς G. corr. s. v. ἐκστρατευσώμεθα D. ἐκστρατευώμεθα A.G. 17. εἰ] ἢν G. ἡμῖν ὁ κ. ἔμελλεν D. ἦν αἱρετέον G. corr. et ἂν s. v. r. εἶ ἂν αἱρητέον L. εἶναι ῥητέον A.G. pr. ἤν τε—ἤν] ἐάντε—ἐάν D. priori loco. ἐπιόντας αὐτοὺς δεχώμεθα D. ἐπιόντες αὐτοῖς μαχώμεθα A.G., qui ους δεχω s. v. r. ἐκείνοις G. corr. συνάπτομεν D.

18 ἅπτωμεν. πολὺ μέντοι ἡμεῖς μὲν βελτίοσι καὶ ἐρρωμενε-
στέραις ταῖς ψυχαῖς τῶν στρατιωτῶν χρησόμεθα, ἢν ἴωμεν
ἐπὶ τοὺς ἐχθροὺς καὶ μὴ ἄκοντες ὁρᾶν δοκῶμεν τοὺς πολε-
μίους· πολὺ δὲ κἀκεῖνοι μᾶλλον ἡμᾶς φοβήσονται, ὅταν
ἀκούσωσιν ὅτι οὐχ ὡς φοβούμενοι πτήσσομεν αὐτοὺς οἴκοι
καθήμενοι, ἀλλ' ἐπεὶ αἰσθανόμεθα προσιόντας, ἀπαντῶμέν
τε αὐτοῖς, ἵν' ὡς τάχιστα συμμίξωμεν, καὶ οὐκ ἀναμένομεν
ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται, ἀλλὰ φθάνοντες ἤδη δη-
19 οῦμεν τὴν ἐκείνων γῆν. καίτοι, ἔφη, εἴ τι ἐκείνους μὲν φο-
βερωτέρους ποιήσομεν, ἡμᾶς δ' αὐτοὺς θαρραλεωτέρους,
πολὺ τοῦτο ἡμῖν ἐγὼ πλεονέκτημα νομίζω, καὶ τὸν κίνδυ-
νον οὕτως ἡμῖν μὲν ἐλάττω λογίζομαι, τοῖς δὲ πολεμίοις
μείζω [πολὺ ἂν μᾶλλον]. καὶ ὁ πατὴρ ἀεὶ λέγει καὶ σὺ
φῄς, καὶ οἱ ἄλλοι δὲ πάντες ὁμολογοῦσιν ὡς αἱ μάχαι κρί-
νονται μᾶλλον ταῖς ψυχαῖς ἢ ταῖς τῶν σωμάτων ῥώμαις.
20 ὁ μὲν οὕτως εἶπε· Κυαξάρης δὲ ἀπεκρίνατο, Ἀλλ' ὅπως [10]
μέν, ὦ Κῦρε καὶ οἱ ἄλλοι Πέρσαι, ἐγὼ ἄχθομαι ὑμᾶς τρέ-
φων μηδ' ὑπονοεῖτε· τό γε μέντοι ἰέναι εἰς τὴν πολεμίαν
ἤδη καὶ ἐμοὶ δοκεῖ βέλτιον εἶναι πρὸς πάντα. Ἐπεὶ
τοίνυν, ἔφη ὁ Κῦρος, ὁμογνωμονοῦμεν, συσκευαζώμεθα
καὶ ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς
τάχιστα.
21 Ἐκ τούτου τοῖς μὲν στρατιώταις εἶπον συσκευάζεσθαι· [11]
ὁ δὲ Κῦρος ἔθυε πρῶτον μὲν Διὶ βασιλεῖ, ἔπειτα δὲ καὶ

18. Ante *μέντοι* erasit fortasse *γε* D., quod post *μέντοι* add. H. *μὲν* om. D.G. *δοκῶμεν ὁρᾶν* D. *φοβηθήσονται* D. *ὡς* s. v. al. m. D. *πτήσομεν* D.G. *ἀναμένωμεν* D.G. 19. *ποιήσωμεν* D.G. *αὐτοὺς*] *ἑαυτοὺς* D. *τοῖς* s. v. et *πολεμίοις δὲ* D. *πολὺ γὰρ μᾶλλον* D. Delet Schneiderus. *αἰεὶ* A.G. *μάχαιραι* G., corr. mg. r. Idem *κρίνονται*, ut videtur, al. m., ut ῥ (αι supra) post *μάχαι* fortasse spectet ad *ῥώννυνται* pro *κρίνονται* positum in marg. ed. Steph. 20. *ἀλλὸ πῶς* D. et *ο* in ras. *τρέφων ὑμᾶς* D. *συσκευαζόμεθα* D. pr. *συγκατενῇ* D. corr. mg. et s. v. 21. *εἰπὼν* D. *ὁ δὲ*] *ὁ* D. *διὶ—θεοῖς*] *ἀκαθάρτοις δαίμοσιν* D. mg.

19. *ταῖς ψυχαῖς*] Conf. Anab. 3, 1, 42. ZEUN.

20. *ἢν—θᾶττον*] *Quum primum dii et auguria addixerint*. Sic *ἐπειδὰν* vel *ἐπειδὴ τάχιστα* est supra 1, 3, 14; 1, 5, 6; 5, 4, 21, *ἐπεὶ τάχιστα* mox s. 22. Comparativo Anab. 6, 5, 20: *Ἂν θᾶττον ἐκεῖ γενώμεθα, θᾶττον ἐξιέναι πάλιν*· sed 3, 1, 9: *Ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν*. SCHN. Alia comparativi exempla sunt apud Platonem et alios.

21. *Διὶ βασιλεῖ*] Regiæ gentis auctori et patrono. Idem tanquam patriæ tutor et patronus s. 22, et 8, 7, 3, *πατρῷος* dicitur. Darius apud Plutarchum p. 338 F: *Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι θεοί*. Conf. Arriani Anab. 4, 20. SCHN.

τοῖς ἄλλοις θεοῖς, οὓς ᾐτεῖτο ἵλεως καὶ εὐμενεῖς ὄντας ἡγεμόνας γενέσθαι τῇ στρατιᾷ καὶ παραστάτας ἀγαθοὺς καὶ
22 συμμάχους καὶ συμβούλους τῶν ἀγαθῶν. συμπαρεκάλει δὲ καὶ ἥρωας γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας. ἐπεὶ δ' ἐκαλλιέρησε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε δὴ οἰωνοῖς χρησάμενος αἰσίοις ἐνέβαλεν εἰς τὴν πολεμίαν. ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, ἐκεῖ αὖ καὶ Γῆν ἱλάσκετο χοαῖς καὶ θεοὺς θυσίαις καὶ ἥρωας Ἀσσυρίας οἰκήτορας ηὐμενίζετο. ταῦτα δὲ ποιήσας αὖθις Διὶ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἀνεφαίνετο, οὐδενὸς ἠμέλει.

23 Ἐπεὶ δὲ καλῶς ταῦτα εἶχεν, εὐθὺς τοὺς μὲν πεζοὺς [12]
προαγαγόντες οὐ πολλὴν ὁδὸν ἐστρατοπεδεύοντο, τοῖς δ' ἵπποις καταδρομὴν ποιησάμενοι περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. καὶ τὸ λοιπὸν δὲ μεταστρατοπεδευόμενοι καὶ ἔχοντες ἄφθονα τἀπιτήδεια καὶ δῃοῦντες τὴν χώραν
24 ἀνέμενον τοὺς πολεμίους. ἡνίκα δὲ προσιόντες ἐλέγοντο οὐκέτι δέχ' ἡμερῶν ὁδὸν ἀπέχειν, τότε δὴ ὁ Κῦρος λέγει, Ὦ Κυαξάρη, ὥρα δὴ ἀπαντᾶν καὶ μήτε τοῖς πολεμίοις δοκεῖν μήτε τοῖς ἡμετέροις φοβουμένους μὴ ἀντιπροσιέναι,
25 ἀλλὰ δῆλοι ὦμεν ὅτι οὐκ ἄκοντες μαχούμεθα. ἐπεὶ δὲ [13]
ταῦτα συνέδοξε τῷ Κυαξάρῃ, οὕτω δὴ συντεταγμένοι προῇσαν τοσοῦτον καθ' ἡμέραν ὅσον ἐδόκει αὐτοῖς καλῶς ἔχειν. καὶ δεῖπνον μὲν ἀεὶ κατὰ φῶς ἐποιοῦντο, πυρὰ δὲ

ἄλλοι G. pr. οὗς] καὶ D. ἡγεῖτο A.G. pr. γίνεσθαι D. γῆς] τῆς A.G. pr. 22. μηδείας D. δὲ καλλιέρησαν A.G., unde frustra ἐκαλλιερήσατο Schneiderus. Inter ι et ε erasit quid D. καὶ] τε καὶ D. ἐνέβαλλεν D. καὶ ἥρωας] καὶ s. v. D. Libri εὐμενίζετο. δὲ] δὴ G. s. v. r., om. pr. ἐφαίνετο D. 23. ἐπεὶ δὲ ταῦτα ἐποίησαν, εὐθὺς τοῖς μὲν πεζοῖς προαγαγόντες πολλὴν ὁδὸν D. προσαγαγόντες A. ἐστρατοπεδεύσαντο D. ποιήσαντες D. περιεβάλλοντο A. D. G. Libri τὰ ἐπιτήδεια. δὲ] δὴ A. 24. ἰόντες D. κυαξάρει L. ἀπατᾶν D. pr. ἐξαπατᾶν G. et ν s. v. r. ἐξαπαντᾶν A. φοβουμένοις D. pr. 25. κυαξάρει D. pr. συντ.] ἀεὶ add. D. Libri προῄεσαν, sed προσῄεσαν D.G. s. v. r. αἰεὶ A.G. πυρὰν cum puncto sub ν D. α inserit anguste et fort. in litura G., ut pr. videri possit πυρί.

22. γῆς Μηδίας] Conf. 2, 1, 1.

ἀνεφαίνετο] Significabatur ab incolis vel a magis. Conf. 7, 5, 57; 8, 3, 11, et infra 34. ZEUN.

23. καταδρομὴν π.] Huc Suidæ gl. Περιεβ. Οἱ δὲ καταδραμόντες τὴν χώραν περιεβάλοντο λείας πλῆθος, refert Abreschius.

μεταστρ.] Conf. Reip. Lac. 12, 5.

25. Dolum repetit in Anabasi 7, 2, 18, et H. Gr. 6, 2, 29. Conf. Lucretius 4, 338 sqq. SCHN.

νύκτωρ οὐκ ἔκαον ἐν τῷ στρατοπέδῳ· ἔμπροσθεν μέντοι τοῦ στρατοπέδου ἔκαον, ὅπως ὁρῷεν μὲν εἴ τινες νυκτὸς προσίοιεν διὰ τὸ πῦρ, μὴ ὁρῷντο δ' ὑπὸ τῶν προσιόντων. πολλάκις δὲ καὶ ὄπισθεν τοῦ στρατοπέδου ἐπυρπόλουν ἀπάτης ἕνεκα τῶν πολεμίων· ὥστ' ἔστιν ὅτε καὶ κατάσκοποι ἐνέπιπτον εἰς τὰς προφυλακὰς αὐτῶν, διὰ τὸ ὄπισθεν τὰ πυρὰ εἶναι ἔτι πρόσω τοῦ στρατοπέδου οἰόμενοι εἶναι.

26 *Οἱ μὲν οὖν Ἀσσύριοι καὶ οἱ σὺν αὐτοῖς, ἐπεὶ ἤδη ἐγγὺς* [14] *ἀλλήλων τὰ στρατεύματα ἐγίγνετο, τάφρον περιεβάλοντο, ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρβαροι βασιλεῖς, ὅπου ἂν στρατοπεδεύωνται, τάφρον περιβάλλονται εὐπετῶς διὰ τὴν πολυχειρίαν· ἴσασι γὰρ ὅτι ἱππικὸν στράτευμα ἐν νυκτὶ ταραχῶδές ἐστι καὶ δύσχρηστον ἄλλως τε καὶ βάρβαρον.*
27 *πεποδισμένους τε γὰρ ἔχουσι τοὺς ἵππους ἐπὶ ταῖς φάτναις, καὶ εἴ τις ἐπ' αὐτοὺς ἴοι, ἔργον μὲν νυκτὸς λῦσαι ἵππους, ἔργον δὲ χαλινῶσαι, ἔργον δ' ἐπισάξαι, ἔργον δὲ θωρακίσασθαι, ἀναβάντας δ' ἐφ' ἵππων ἐλάσαι διὰ στρα-*

ἔκαον G. pr., *ἔκᾳον* corr. r., etsi mox *ἔκαιον*. *προΐοιεν* D. *ὁρῷεν*] *ὁρῷντο* G. pr. *μὴ*] *καὶ* A. *ὄπιθε* vel *ὄπισθε* D. pr. *ἐπὶ πρόσω* A. *ἔτι πόρρω* D. *ἐπιπρόσω* G. 26. *ἐπεὶ ἤδη*] *ἐπειδὴ* D. *ἐγίγνετο*] *ἐγίγνοντο* A.G. *περιεβάλλοντο* D. *ὅπου ἂν*] *ὁπόταν* D.G. mg. r. *στρατοπεδεύονται* A. pr., ut videtur, D. pr. G. pr., corr. s. v. r. *δύσοιστον* A.G. pr., *δύσχρηστον* corr. r. *ἄλλως τε* om. A. G. mg. r. 27. *τε* om. D. *ἐπειράξαι* G. Citant Pollux 7, 186, et ex h. l. schol. Bodl. Anab. 3, 4, 35. *ἐπιθωρακ.* D.G. s. v. r. *ἀναβάντα* D. *ἵππον* A.G. corr. *ἱππέων* D. *τοῦ στρατ.* D.

26. *ποιοῦσιν—περιβάλλονται*] Euripides Heraclid. 177: *Μηδ' ὅπερ φιλεῖτε δρᾶν, πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν φίλους ἑλέσθαι, τοὺς κακίονας λάβῃς.* Conf. 8, 1, 6 extr. Anab. 7, 3, 22: *Πρῶτος τοῦτο ἐποίει Σεύθης, ἀνελόμενος τοὺς—ἄρτους διέκλα.* Dio Chr. Or. 21, vol. 1, p. 502.

βάρβαροι] Persæ etiam, teste Xenophontis Anabasi 3, 4, 35. Vegetius 3, 10: "Persæ imitantes Romanos ductis fossis castra constituunt." Debebat imitatores Romanos dicere. SCHN. Græci vero fossæ ducendæ laborem fugientes loca natura munita eligebant. V. Polyb. 6, 42. ZEUN.

27. *πεποδισμένους*] Suo tempore Persas eodem more usos narrat Olearius Itinerarii p. 573, et repetit Xenophon narrationem Anab. 3, 4, 35. Vaccas inter mulgendum impediri solitas fuisse in Græcia docet Idyllion inter Theocritea 25, 103. SCHN.

θωρακίσασθαι] Hoc verbum quanquam omnes interpretes ad equos referunt, quos laminis ferreis inter se connexis tectos fuisse novimus ex Curtio 3, 11, et 4, 9, mihi tamen ad equites ipsos referendum potius videtur. Primum enim, si equos respicere nos voluisset Xenophon, *ἐπιθωρακίσαι* vel *θωρακίσαι* dixisset: deinde locus Anab. antea citatus idem suadere videtur: *Δεῖ ἐπισάξαι τὸν ἵππον καὶ χαλινῶσαι δεῖ, καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον*: denique ipse Xenophon Anabas. 2, 2, 14, *θωρακίζεσθαι* de pedite thoracem induente dixit. SCHN. Ad utrosque referre

τοπέδου παντάπασιν ἀδύνατον. τούτων δὴ ἕνεκα πάντων
καὶ οἱ ἄλλοι καὶ ἐκεῖνοι τὰ ἐρύματα περιβάλλονται, καὶ
ἅμα αὐτοῖς δοκεῖ τὸ ἐν ἐχυρῷ εἶναι ἐξουσίαν παρέχειν ὅταν
28 βούλωνται μάχεσθαι. τοιαῦτα μὲν δὴ ποιοῦντες ἐγγὺς ἀλ- [15]
λήλων ἐγίγνοντο. ἐπεὶ δὲ προσιόντες ἀπεῖχον ὅσον παρα-
σάγγην, οἱ μὲν Ἀσσύριοι οὕτως ἐστρατοπεδεύοντο ὥσπερ
εἴρηται, ἐν περιτεταφρευμένῳ μὲν καταφανεῖ δέ, ὁ δὲ Κῦρος
ὡς ἐδύνατο ἐν ἀφανεστάτῳ, κώμας τε καὶ γηλόφους ἐπί-
προσθεν ποιησάμενος, νομίζων πάντα τὰ πολέμια ἐξαίφνης
ὁρώμενα φοβερώτερα τοῖς ἐναντίοις εἶναι. καὶ ἐκείνην μὲν
τὴν νύκτα ὥσπερ ἔπρεπε προφυλακὰς ποιησάμενοι ἑκάτε-
ροι ἐκοιμήθησαν.
29 Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Ἀσσύριος καὶ ὁ Κροῖσος καὶ οἱ [16]
ἄλλοι ἡγεμόνες ἀνέπαυον τὰ στρατεύματα ἐν τῷ ἐχυρῷ·
Κῦρος δὲ καὶ Κυαξάρης συνταξάμενοι περιέμενον, ὡς εἰ
προσίοιεν οἱ πολέμιοι, μαχούμενοι. ὡς δὲ δῆλον ἐγένετο
ὅτι οὐκ ἐξίοιεν οἱ πολέμιοι ἐκ τοῦ ἐρύματος οὐδὲ μάχην
ποιήσοιντο ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὁ μὲν Κυαξάρης καλέσας
τὸν Κῦρον καὶ τῶν ἄλλων τοὺς ἐπικαιρίους ἔλεξε τοιάδε·
30 Δοκεῖ μοι, ἔφη, ὦ ἄνδρες, ὥσπερ τυγχάνομεν συντεταγμέ-
νοι οὕτως ἰέναι πρὸς τὸ ἔρυμα τῶν ἀνδρῶν καὶ δηλοῦν ὅτι
θέλομεν μάχεσθαι. οὕτω γάρ, ἔφη, ἐὰν μὴ ἀντεπεξίωσιν
ἐκεῖνοι, οἱ μὲν ἡμέτεροι μᾶλλον θαρρήσαντες ἀπίασιν, οἱ
πολέμιοι δὲ τὴν τόλμαν ἰδόντες ἡμῶν μᾶλλον φοβήσονται.
31 τούτῳ μὲν οὕτως ἐδόκει. ὁ δὲ Κῦρος, Μηδαμῶς, ἔφη, πρὸς [17]

μὴ μάχεσθαι D. 28. γηλόφους E. γεωλόφους A.D.G. ἐπίπροσθε A.D. pr. πολεμικὰ D. ἐξαίφνης] inter ξ et α litteram erasit D. ἔπρεπε] ἔμπροσθεν A. et, ut videri potest, G. pr., in quo ἔπρεπε paullo nigriori atramento scriptum prodere videtur correctorem etiam litteras paullo aliter pingentem, etsi nolim affirmare non esse primæ manus, quæ non erasa, sed eluta fuerit necesse est, si ἔπρεπε est secundæ. φυλακὰς προποιησάμενοι A.G. 29. ὁ κροῖσος] κροῖσος D. οἱ om. D. περιέμενον om. A. ὅτι G. mg. r. ποιήσαιντο D. ἐν om. D. τῶν ἄλλων τοὺς ἐπικαιρίους A. τοὺς ἄλλους τῶν ἐπικαιρίων G. τοὺς ἄλλους τοὺς ἐπικαιρίους D. τοιάδε om. G. 30. ἔφη om. G. πρὸς mg. D. ἐὰν] ἐπειδὰν D. pr. μὲν] μὲν οὖν G. θαρρήσαντες] τες in ras. et litura D. ἀπίασιν] ἐπιᾶσιν A. ἀπιᾶσιν G. pr., et ε s. v. r. ἂν ἀπιᾶσιν D., inserto a corr. ι. οἱ δὲ πολέμιοι D. τόλμην ἰδότες A. Libri φοβηθήσονται. 31. ἔφη μηδ. D.

licet, ut 6, 1, 50: Περὶ τοὺς τεθωρακισμένους ἵππους τε καὶ ἱππέας.

στρατοπέδου] De articulo omisso v. ad Anab. 6, 5, 4.

28. προφυλακὰς] Sic 4, 1, 7: Φυλακὰς καταστησάμενοι, ὡς ἔδει, ἐκοιμήθησαν. SCHN.

30. φοβήσονται] Male libri φοβηθήσονται, ut solent in talibus peccare. Conf. supra s. 18; 1, 4, 19.

τῶν θεῶν, ὦ Κυαξάρη, οὕτω ποιήσωμεν. εἰ γὰρ ἤδη ἐκφανέντες πορευσόμεθα, ὡς σὺ κελεύεις, νῦν τε προσιόντας ἡμᾶς οἱ πολέμιοι θεάσονται οὐδὲν φοβούμενοι, εἰδότες ὅτι ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν, ἐπειδάν τε μηδὲν ποιήσαντες ἀπίωμεν, πάλιν καθορῶντες ἡμῶν τὸ πλῆθος πολὺ ἐνδεέστερον τοῦ ἑαυτῶν καταφρονήσουσι, καὶ αὔριον ἐξίασι
32 πολὺ ἐρρωμενεστέραις ταῖς γνώμαις. νῦν δ', ἔφη, εἰδότες μὲν ὅτι πάρεσμεν, οὐχ ὁρῶντες δὲ ἡμᾶς, εὖ τοῦτο ἐπίστω, οὐ καταφρονοῦσιν, ἀλλὰ φροντίζουσι τί ποτε τοῦτ' ἔστι, καὶ διαλεγόμενοι περὶ ἡμῶν ἐγᾦδ' ὅτι οὐδὲν παύονται. ὅταν δ' ἐξίωσι, τότε δεῖ αὐτοῖς ἅμα φανερούς τε ἡμᾶς γενέσθαι καὶ ἰέναι εὐθὺς ὁμόσε, εἰληφότας αὐτοὺς ἔνθα πάλαι
33 ἐβουλόμεθα. λέξαντος δὲ οὕτω Κύρου συνέδοξε ταῦτα καὶ Κυαξάρῃ καὶ τοῖς ἄλλοις. καὶ τότε μὲν δειπνοποιησάμενοι καὶ φυλακὰς καταστησάμενοι καὶ πυρὰ πολλὰ πρὸ τῶν
34 φυλακῶν καύσαντες ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ πρῴ [18]
Κῦρος μὲν ἐστεφανωμένος ἔθυε, παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις ὁμοτίμοις ἐστεφανωμένοις πρὸς τὰ ἱερὰ παρεῖναι. ἐπεὶ δὲ τέλος εἶχεν ἡ θυσία, συγκαλέσας αὐτοὺς ἔλεξεν, Ἄνδρες, οἱ μὲν θεοὶ, ὡς οἵ τε μάντεις φασὶ καὶ ἐμοὶ συνδοκεῖ, μάχην ἔσεσθαι προαγγέλλουσι καὶ νίκην διδόασι καὶ
35 σωτηρίαν ὑπισχνοῦνται ἐν τοῖς ἱεροῖς. ἐγὼ δὲ ὑμῖν μὲν παραινῶν ποίους τινὰς χρὴ εἶναι ἐν τῷ τοιῷδε κἂν αἰσχυνοίμην ἄν· οἶδα γὰρ ὑμᾶς ταὐτὰ ἐπισταμένους καὶ με-

ὦ κ. πρὸς τῶν θεῶν D. ἐμφανέντες corr. s. v. r. G. ὡς] ἧ D. pr., ut videtur, qui ὡς in ras. τοῦ om. D. V. ad 2, 4, 13. ἐξιᾶσι A.D. corr., G. 32. ἐγᾦδ'] ἐγὼ δ' A. εὖ οἶδ' G. ἐγὼ εὖ οἶδ' D. δεῖ] δεῖν D.G. 33. καὶ ταῦτα κυαξάρει D. φύλακας—φυλάκων D. 34. Libri πρωί. μάχην] μάχην τ' D. παραγγέλλουσι A. παραγγέλουσι G. προαγγέλουσι D. προϋπισχνοῦνται D. 35. μὲν om. A. ὁποίους D. κἂν αἰσχ.] αἰσχ. D. ταῦτα A.D. pr. G. pr. ταὐτὰ D. corr. G. corr. Ei ἐμοὶ add. D. corr., qui pr. ὑμᾶς, ut videtur. μεμελετηκότας] ταυτὰ (ταῦ scriptum) add. D. et post ταυτὰ idem καὶ ἀκηκοότας, solum ἀκηκοότας G. mg. r.

34. ἐστεφανωμένος] Lætitiæ et boni ominis causa sacrificia coronati peragebant Græci; et Lacedæmonii statim a sacrificio ad pugnam pergebant, teste Xenophonte Reip. Laced. 13, 8. Ipsos Persas coronatos sacrificare solitos tradit Herodotus 1, 132. SCHN.
μάντεις] Magos interpretantur Hutch. et Zeun. ex Herodoto 1, 132, Æliano V. H. 2, 17, Strabone 16, p. 762, Philostr. V. Ap. 1, 29, Cicerone de Divinat. 1, 41, et Ammiano 23, 6. SCHN.
35. κἂν ante αἰσχυνοίμην omissum in D. non est in locis similibus infra 5, 1, 20; H. Gr. 3, 4, 9: Εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν· Dionis Chrys. vol. 1, p. 250; est vol. 2, p. 60.

*μελετηκότας καὶ ἀκούοντας διὰ τέλους οἷάπερ ἐγώ, ὥστε
κἂν ἄλλους εἰκότως ἂν διδάσκοιτε. τάδε δὲ εἰ μὴ τυγχά-
36 νετε κατανενοηκότες, ἀκούσατε· οὓς γὰρ νεωστὶ συμμά-
χους τε ἔχομεν καὶ πειρώμεθα ἡμῖν αὐτοῖς ὁμοίους ποιεῖν,
τούτους δὲ ἡμᾶς δεῖ ὑπομιμνήσκειν ἐφ' οἷς τε ἐτρεφόμεθα
ὑπὸ Κυαξάρου, ἅ τε ἠσκοῦμεν, ἐφ' ἅ τε αὐτοὺς παρακε-
κλήκαμεν, ὧν τε ἄσμενοι ἀνταγωνισταὶ ἔφασαν ἡμῖν
37 ἔσεσθαι. καὶ τοῦτο δ' αὐτοὺς ὑπομιμνήσκετε ὅτι ἥδε ἡ
ἡμέρα δείξει ὧν ἕκαστός ἐστιν ἄξιος. ὧν γὰρ ἂν ὀψιμα-
θεῖς ἄνθρωποι γένωνται, οὐδὲν θαυμαστὸν εἴ τινες αὐτῶν
καὶ τοῦ ὑπομιμνήσκοντος δέοιντο, ἀλλ' ἀγαπητὸν εἰ καὶ ἐξ
38 ὑποβολῆς δύναιντο ἄνδρες ἀγαθοὶ εἶναι. καὶ ταῦτα μέντοι
πράττοντες ἅμα καὶ ὑμῶν αὐτῶν πεῖραν λήψεσθε. ὁ μὲν
γὰρ δυνάμενος ἐν τῷ τοιῷδε καὶ ἄλλους βελτίους ποιεῖν
εἰκότως ἂν ἤδη καὶ ἑαυτῷ συνειδείη τελέως ἀγαθὸς ἀνὴρ
ὤν, ὁ δὲ τὴν τούτων ὑπόμνησιν αὐτὸς μόνος ἔχων καὶ
39 τοῦτ' ἀγαπῶν εἰκότως ἂν ἡμιτελῆ αὑτὸν νομίζοι. τούτου
δ' ἕνεκα οὐκ ἐγώ, ἔφη, αὐτοῖς λέγω, ἀλλ' ὑμᾶς κελεύω λέ-
γειν, ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶνται· ὑμεῖς γὰρ καὶ πλη-
σιάζετε αὐτοῖς ἕκαστος τῷ ἑαυτοῦ μέρει. εὖ δ' ἐπίστασθε
ὡς ἣν θαρροῦντας τούτοις ὑμᾶς αὐτοὺς ἐπιδεικνύητε, καὶ
τούτους καὶ ἄλλους πολλοὺς οὐ λόγῳ ἀλλ' ἔργῳ θαρρεῖν
40 διδάξετε. τέλος εἶπεν ἀπιόντας ἀρισταν ἐστεφανωμένους [19]
καὶ σπονδὰς ποιησαμένους ἥκειν εἰς τὰς τάξεις αὐτοῖς στε-
φάνοις. ἐπεὶ δ' ἀπῆλθον, αὖθις τοὺς οὐραγοὺς προσεκά-
λεσε, καὶ τούτοις τοιάδε ἐνετέλλετο.*

οἷάπερ] ἅπερ D. κὰν] καὶ D. delet et mg. r. καὶ L. εἰκότως ἂν] ἂν εἰκότως D. διδάσκητε G. δὲ] ἃ A.D. corr., qui pr. δὲ, G., τάδε præcedentibus jungentes et post εἰ ponentes. Transposuit Heindorfius. μὴ] μὲν G. pr. 36. δὲ ἡμᾶς δεῖ] δεῖ ὑμᾶς D. κυαξάρους D. παρακεκλήκαμεν, ὧν τε] παρακεκλημένων τε A.G. pr. παρακεκλήκαμεν ὥστε D.G. corr. ἡμῖν ἔφασαν D. 37. τούτου D. ἥδε ἡ] ἥδε A. ἤδη D. ἄξιός ἐστιν D. ἄνθρ. ὀψιμαθεῖς D. ὑπομνήσοντος δέονται D. δύναιντ' ἂν A.G. 38. πράττοντες—γὰρ G. mg. r. λήψεσθαι A. ἤδη καὶ D.G. s. v. r. ἤδη A. τελείως D. αὐτὸν codices. νομίζει A. 39. εὖ] εἰ D. ὡς ἣν] ἔφη ἕως ἂν D. ἂν addit etiam L. ἕως ἂν G. s. v. r. τούτοις om. D. οὐ λόγῳ] οὐκ ἐν λόγῳ G. sed corr. in λο et ἐν fortasse a corr. inserto. 40. ἀπιόντες A. τάξεις] πράξεις G. corr. s. v. r. δ'] δὲ οὗτοι D. αὖθις] αὐτοὺς A.G. corr. s. v. al. m. τούτοις] αὖ add. D.G. s. v. al. m. ἐντέλλετο A. ἐνετέλετο G. ἔλεξε D.

διὰ τέλους ἀκούοντας est quod alias dici solet *ἀκούοντας διατελοῦντας*; sed vitavit Xenophon participiorum concursum et obscuritatem. SCHN.

36. *νεωστὶ*] V. 2, 1, 2.

40. *σπονδὰς*] Negat Herodotus 1, 132 Persas libatione usos; sed cum Xen. facit Ammianus 23, 6. ZEUN.

41 Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ τῶν ὁμοτίμων γεγόνατε καὶ ἐπιλελεγμένοι ἐστὲ, οἳ δοκεῖτε τὰ μὲν ἄλλα τοῖς κρατίστοις ὅμοιοι εἶναι, τῇ δ' ἡλικίᾳ καὶ φρονιμώτεροι. καὶ τοίνυν χώραν ἔχετε οὐδὲν ἧττον ἔντιμον τῶν πρωτοστατῶν· ὑμεῖς γὰρ ὄπισθεν ὄντες τούς τ' ἀγαθοὺς ἂν ἐφορῶντες καὶ ἐπικελεύοντες αὐτοῖς ἔτι κρείττους ποιοῖτε, καὶ εἴ τις μαλακί-
42 ζοιτο, καὶ τοῦτον ὁρῶντες οὐκ ἂν ἐπιτρέποιτε αὐτῷ. συμφέρει δ' ὑμῖν, εἴπερ τῳ καὶ ἄλλῳ, τὸ νικᾶν καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὸ βάρος τῆς στολῆς. ἢν δ' ἄρα ὑμᾶς καὶ οἱ ἔμπροσθεν ἀνακαλοῦντες ἕπεσθαι παρεγγυῶσιν, ὑπακούετε αὐτοῖς, καὶ ὅπως μηδ' ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε, ἀντιπαρακελευόμενοι αὐτοῖς θᾶττον ἡγεῖσθαι ἐπὶ τοὺς πολεμίους. καὶ ἀπιόντες, ἔφη, ἀριστήσαντες καὶ ὑμεῖς ἥκετε
43 σὺν τοῖς ἄλλοις ἐστεφανωμένοι εἰς τὰς τάξεις. οἱ μὲν δὴ [20]
ἀμφὶ Κῦρον ἐν τούτοις ἦσαν· οἱ δὲ Ἀσσύριοι καὶ δὴ ἠριστηκότες ἐξῇσάν τε θρασέως καὶ παρετάττοντο ἐρρωμένως. παρέταττε δὲ αὐτοὺς αὐτὸς ὁ βασιλεὺς ἐφ' ἅρματος παρελαύνων καὶ τοιάδε παρεκελεύετο.

44 Ἄνδρες Ἀσσύριοι, νῦν δεῖ ἄνδρας ἀγαθοὺς εἶναι. νῦν γὰρ ὑπὲρ ψυχῶν τῶν ὑμετέρων ἀγὼν καὶ ὑπὲρ γῆς ἐν ᾗ

41. ἀπειλεγμένοι D. ἔντιμον] ἡμῶν A., quod erasit B., G., qui ἔντιμον post ἡμῶν add. mg. r. πρωτοστατῶν] Libri προστατῶν. ποιοῖτε C.D. ποιεῖτε A.G. καὶ εἴ] εἴ τε D. 42. συμφέρειν D. pr. τῳ καὶ] καὶ τῷ A.G. pr. καί τῳ corr. ἢν] ἂν D. ἡμᾶς fortasse G. pr., et ἀνα in ras. αὐτοῖς om. G., qui in mg. r. supplet ὅπως—ἡττηθήσεσθε ἀντιπαρα, quorum pars litteræ ο et σε a bibliopego resecta: sed αὐτοῖς ne mg. quidem habuisse videtur. μηδ' ἐν] μηδὲ A. ἡγεῖσθαι Stephanus. Libri ἡγεῖσθε. ἀριστήσαντες] ησ in ras. G. στεφανωμένοις ἄλλοις A. et qui ἐστεφ. G. εἰς vel ἐς D. pr. εἰς τὰς corr. 43. καὶ ἤδη ἀριστηκότες A. καὶ ἤδη ἠριστηκότες G. ἐξῇσαν] ἐξῆσαν A.G. pr. ἐξῄεσαν G. corr. D. ἐρρωμένοι D. αὐτοὺς om. D. ὁ om. A.G. pr. V. s. 48, 68. 44. ὑπὲρ] περὶ D. Qui hic in mg. δημηγορία τοῦ ἀσσυρίου σημείωσαι τὴν τῆς δημηγορίας μέθοδον ὅπως μεθώδευται αὐτῷ, ut G. δημηγορία ὡραία. ἀγὼν] ἀγὼν A.G. pr. ὁ ἀγὼν D.G. corr. r. ὑπὲρ] περὶ D.

41. πρωτοστατῶν] Idem quod hic vitium ex libris correctum vel corrigendum H. Gr. 2, 4, 16, Hipparch. 2, 2 et 6, redit infra 6, 3, 27. Ἡμῶν autem qui addidit, non vidit ortum esse ex ἔντιμον, quod vicissim deest libris illud præbentibus. Ceterum conf. de his οὐραγοῖς ed. Turic. Scriptt. milit. vol. 2, p. 258.

ἐφορῶντες] Conf. 6, 3, 27. SCHN.

43. στολῇ] Armatura, ut ap. Ælian. V. H. 3, 24: Ξενοφῶντι ἔμελε τῶν ἄλλων σπουδαίων, καὶ οὖν καὶ ὅπλα καλὰ ἔχειν. Νικῶντι γὰρ ἔλεγε τοὺς πολεμίους τὴν καλλίστην στολὴν ἁρμόττειν· καὶ ἀποθνήσκοντα ἐν τῇ μάχῃ κεῖσθαι καλῶς ἐν καλῇ τῇ πανοπλίᾳ. ubi v. Perizon. HUTCH. V. autem de ἡλικίᾳ et στολῇ 1, 2, 13; 2, 1, 16. ZEUN.

ἡγεῖσθαι] Quum Philelphus ita vertisset quasi ἀντιπαρακελεύεσθε—ἡγεῖσθαι legisset, *Ipsos adhortamini ut celerrime antecedant adversus hostes*, recte Stephanus ed. sec. restituit ἡγεῖσθαι, ut est s. 59, et Anab. 3, 4, 49, τοῖς ἔμπροσθεν ὑπάγειν παρεκελεύετο.

43. αὐτὸς ὁ βασιλεὺς] Conf. s. 48. SCHN.

ἔφυτε καὶ περὶ οἴκων ἐν οἷς ἐτράφητε, καὶ ὑπὲρ γυναικῶν δὲ
καὶ τέκνων καὶ περὶ πάντων ὧν πέπασθε ἀγαθῶν. νική-
σαντες μὲν γὰρ ἁπάντων τούτων ὑμεῖς ὥσπερ πρόσθεν
κύριοι ἔσεσθε· εἰ δ' ἡττηθήσεσθε, εὖ ἴστε ὅτι παραδώσετε
45 ταῦτα πάντα τοῖς πολεμίοις. ἅτε οὖν νίκης ἐρῶντες μένον-
τες μάχεσθε. μωρὸν γὰρ τὸ κρατεῖν βουλομένους τὰ τυφλὰ
τοῦ σώματος καὶ ἄοπλα καὶ ἄχειρα ταῦτα ἐναντία τάττειν
τοῖς πολεμίοις φεύγοντας· μωρὸς δὲ καὶ εἴ τις ζῆν βουλό-
μενος φεύγειν ἐπιχειροίη, εἰδὼς ὅτι οἱ μὲν νικῶντες σώζον-
ται, οἱ δὲ φεύγοντες ἀποθνήσκουσι μᾶλλον τῶν μενόν-
των· μωρὸς δὲ καὶ εἴ τις χρημάτων ἐπιθυμῶν ἧτταν
προσίεται. τίς γὰρ οὐκ οἶδεν ὅτι οἱ μὲν νικῶντες τά τε
ἑαυτῶν σώζουσι καὶ τὰ τῶν ἡττωμένων προσλαμβάνουσιν,
οἱ δὲ ἡττώμενοι ἅμα ἑαυτούς τε καὶ τὰ ἑαυτῶν πάντα
46 ἀποβάλλουσιν; ὁ μὲν δὴ Ἀσσύριος ἐν τούτοις ἦν. [21]

Ὁ δὲ Κυαξάρης πέμπων πρὸς τὸν Κῦρον ἔλεγεν ὅτι
ἤδη καιρὸς εἴη ἄγειν ἐπὶ τοὺς πολεμίους· εἰ γὰρ νῦν, ἔφη,
ὀλίγοι ἔτι εἰσὶν οἱ ἔξω τοῦ ἐρύματος, ἐν ᾧ ἂν προσίωμεν
πολλοὶ ἔσονται· μὴ οὖν ἀναμείνωμεν ἕως ἂν πλείους ἡμῶν
γένωνται, ἀλλ' ἴωμεν ἕως ἔτι οἰόμεθα εὐπετῶς ἂν αὐτῶν
47 κρατῆσαι. ὁ δ' αὖ Κῦρος ἀπεκρίνατο, Ὦ Κυαξάρη, εἰ μὴ

ἐγράφητε A. ὑπὲρ] περὶ D. δὲ] τε A.G. τέκνων] περὶ τέκνων A.G. ὑπὲρ τέκνων L. πέπασθε] κέκτησθε D.G. corr. r. πρόσθε A.G. pr. ἡττήσεσθε D. 45. ἅτε Castalio. οἵ τε A.D.G. pr. εἴτε D. s. v. G. corr. r. μάχεσθαι A. pr. βουλευομένους A.G. τυφθλὰ D. ζεῖν G. pr. ἐπιχειροῖ D. ἡττωμένων] πολεμίων ἡττωμένων A. πολεμίων καὶ ἡττωμένων G. Aut ἡττωμένων verum aut solum πολεμίων. ἑαυτοῖς D. 46. ἔτι ὀλίγοι D.G. οἱ om. D. προσίεμεν G. pr. corr. s. v. r. ἀναμένωμεν D. ἕως ἂν ἔτι οἰώμεθα A.G. εὐπετῶς αὐτῶν κρατῆσαι ἂν D.

44. ὑπὲρ—περὶ] Ita μάχεσθαι ὑπὲρ τῶν τρεφόντων et ὑπὲρ τῆς χώρας 2, 1, 21; 5, 3, 5; περὶ τῶν ἀγαθῶν Anab. 2, 1, 12.

πέπασθε] Conf. de hoc verbo etiam alibi a Xenophonte usurpato (et Anab. 7, 7, 41 per κέκτηται explicato in schol.) Valcken. ad Theocr. Adon. p. 384 A, qui codicem hic non dicit Leidensem, κέκτησθε exhibentem, sed unde H. Steph. margo petiit A.

εἰ δὲ] Eadem sententia 2, 1, 17; 2, 3, 2. ZEUN.

45. καὶ ἄχειρα] Partes corporis ad pugnam et hostem a corpore defendendum ineptas nominare voluit, ut Sallustius Jug. c. 115: "Nec quenquam decere, qui manus armaverit, ab inermis pedibus auxilium petere, in maximo metu nudum et cœcum corpus ad hostes vertere." SCHN. Conf. Bell. Cat. c. 61, Hom. Il. Θ, 94. HUTCH.

ταῦτα] Anab. 1, 6, 9: Ὡς σχολὴ ᾖ ἡμῖν τὸ κατὰ τοῦτον εἶναι τοὺς ἐθελοντὰς φίλους τούτους εὖ ποιεῖν. V. ad 6, 1, 17.

οἱ νικῶντες σώζονται] Conf. Anab. 3, 1, 43; 2, 39, Reip. Lac. 9, 1, Hom. Il. E, 531: Αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται. HUTCH. Tyrtæus Stob. Fl. 50, 7, 11. Infra 4, 5, 1.

ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττηθέντες, εὖ ἴσθι ὅτι ἡμᾶς
μὲν ἐροῦσι φοβουμένους τὸ πλῆθος τοῖς ὀλίγοις ἐπιχειρῆ-
σαι, αὐτοὶ δὲ οὐ νομιοῦσιν ἡττῆσθαι, ἀλλ' ἄλλης σοι
μάχης δεήσει, ἐν ᾗ ἄμεινον ἂν ἴσως βουλεύσαιντο ἢ νῦν
βεβούλευνται, παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι ὥσθ'
48 ὁπόσοις ἂν βουλώμεθα αὐτῶν μάχεσθαι. οἱ μὲν δὴ ἄγγε- [22]
λοι ταῦτ' ἀκούσαντες ᾤχοντο.
Ἐν τούτῳ δὲ ἧκε Χρυσάντας τε ὁ Πέρσης καὶ ἄλλοι
τινὲς τῶν ὁμοτίμων αὐτομόλους ἄγοντες. καὶ ὁ Κῦρος
ὥσπερ εἰκὸς ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν πολεμίων.
οἱ δ' ἔλεγον ὅτι ἐξίοιέν τε ἤδη σὺν τοῖς ὅπλοις καὶ παρα-
τάττοι αὐτοὺς αὐτὸς ὁ βασιλεὺς ἔξω ὢν καὶ παρακελεύοιτο
μὲν δὴ τοῖς ἀεὶ ἔξω οὖσι πολλά τε καὶ ἰσχυρά, ὡς ἔφασαν
49 λέγειν τοὺς ἀκούοντας. ἔνθα δὴ ὁ Χρυσάντας εἶπε, Τί δ', [23]
ἔφη, ὦ Κῦρε, εἰ καὶ σὺ συγκαλέσας ἕως ἔτι ἔξεστι παρα-
κελεύσαιο, εἰ ἄρα τι καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρα-
50 τιώτας; καὶ ὁ Κῦρος εἶπεν, Ὦ Χρυσάντα, μηδέν σε λυπούν-
των αἱ τοῦ Ἀσσυρίου παρακελεύσεις· οὐδεμία γάρ ἐστιν
οὕτω καλὴ παραίνεσις ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς αὐθη-
μερὸν ἀκούσαντας ἀγαθοὺς ποιήσει· οὐκ ἂν οὖν τοξότας
γε, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν, οὐδὲ μὴν
ἀκοντιστάς, οὐδὲ μὴν ἱππέας, ἀλλ' οὐδὲ μὴν τά γε σώματα
51 ἱκανοὺς πονεῖν, ἢν μὴ πρόσθεν ἠσκηκότες ὦσι. καὶ ὁ Χρυ- [24]
σάντας εἶπεν, Ἀλλ' ἀρκεῖ τοι, ὦ Κῦρε, ἢν τὰς ψυχὰς αὐτῶν
ἀμείνονας παρακελευσάμενος ποιήσῃς. Ἦ καὶ δύναιτ' ἄν,
ἔφη ὁ Κῦρος, εἷς λόγος ῥηθεὶς αὐθημερὸν αἰδοῦς μὲν ἐμπλῆ-

47. νομίζουσι D. pr. ἀλλ' ἄλλης] ἄλλης οὖν D. δεήσει, ἐν Schneiderus. Libri δεήσειεν. ᾗ] ἡ A.G. pr. ἄμεινον ἂν] ἂν ἄμεινον D. βεβούλευται A. ὁπόσους D. pr. et ταμιεύσθαι, cum ε s. v. 48. δὲ ἧκε] δ' ἦλθεν D. τε om. D. αὐτοὺς αὐτὸς] αὐτοὺς D. παρεκελεύετο B. δὴ] ἤδη A.G. αἰεὶ A. 49. ἔνθα δὴ] ἐνταῦθα D. Hic G. mg. καλὴ διάλεξις χρυσάντα καὶ κύρου. εἶπεν ὁ χρ. D. ὡς A.G. pr. παρακέλευσαι D. et ο s. v. ποιήσαις D. corr. ποιῆσαι A.D. corr. G. 50. μηδέ D. λυπούντων] ἤγουν λυπείτωσαν L. mg. al. m. οὕτως ἐστὶν D. τοῦτο] τούτου L. οὐδὲ μὴν ἀκ.] οὐ δ' ἀκ. D. ἱππεῖς A.G. ἀλλ' om. D. οὐδὲ] οὔγε A.L. πονεῖν] ποιεῖν A. corr. s. v. r. ἢν] εἰ Bekk. Anecd. p. 144, 29, et deteriores quidam. 51. ἀρκεῖ τοι] ἀρκεῖτο A. ἀρκεῖ τι D. corr., qui pr. ἀρκεῖται vel ἀρκεῖτοι, G. ἢν] ἐὰν D. παρακ. ἀμείνονας ποιήσεις D. ἢ D.

47. ταμιεύεσθαι] Eadem formula Anab. 2, 5, 18, Hipparch. 7, 11, infra 4, 1, 18. SCHN.
50. οὐδεμία] Sententiam eandem tractat Sallustius Catilinarii belli c. 61. SCHN. Quem contulerat B. Martin. Var. Lect. p. 26. Conf. Xen. H. Gr. 7, 4, 32.

σαι τὰς ψυχὰς τῶν ἀκουσάντων ἢ ἀπὸ τῶν αἰσχρῶν κωλῦσαι, προτρέψαι δὲ ὡς χρὴ ἐπαίνων ἕνεκα πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύεσθαι, λαβεῖν δ' ἐν ταῖς γνώμαις βεβαίως τοῦτο ὡς αἱρετώτερόν ἐστι μαχομένους ἀποθνή-
52 σκειν μᾶλλον ἢ φεύγοντας σώζεσθαι; ἆρ' οὐκ, ἔφη, εἰ μέλλουσι τοιαῦται διάνοιαι ἐγγραφήσεσθαι ἀνθρώποις καὶ ἔμμονοι ἔσεσθαι, πρῶτον μὲν νόμους ὑπάρξαι δεῖ τοιούτους δι' ὧν τοῖς μὲν ἀγαθοῖς ἔντιμος καὶ ἐλευθέριος ὁ βίος παρασκευασθήσεται, τοῖς δὲ κακοῖς ταπεινός τε καὶ ἀλ-
53 γεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται; ἔπειτα δὲ διδασκάλους, οἶμαι, δεῖ καὶ ἄρχοντας ἐπὶ τούτοις γενέσθαι οἵτινες δείξουσί τε ὀρθῶς καὶ διδάξουσι καὶ ἐθιοῦσι ταῦτα δρᾶν, ἔστ' ἂν ἐγγένηται αὐτοῖς τοὺς μὲν ἀγαθοὺς καὶ εὐκλεεῖς εὐδαιμονεστάτους τῷ ὄντι νομίζειν, τοὺς δὲ κακοὺς καὶ δυσκλεεῖς ἀθλιωτάτους ἁπάντων ἡγεῖσθαι. οὕτω γὰρ δεῖ διατεθῆναι τοὺς μέλλοντας τοῦ ἀπὸ τῶν πολεμίων
54 φόβου τὴν μάθησιν κρείττονα παρέξεσθαι. εἰ δέ τοι ἰόντων

ἀκουόντων D. κωλῦσαι] κωλύειν A., qui pr. κωλείειν, ut videtur, G. corr. s. v. r. κωλύειν γε L. ἐπαίνων ἕνεκα πάντα] ἐπαίνου μὲν εἰς ἅπαντα D. μαχουμένους D. σωθῆναι D. 52. ἐντραφήσεσθαι D. pr. ἔμονοι A. ἐμμόνοις D. pr. μὲν om. D. δεῖ om. D. pr. 53. δὲ om. D., qui δὲ pro δεῖ. οἵ τινες] τίνες A.G. pr. τε ὀρθῶς καὶ διδάξουσι om. A.G. pr., add. mg. r. ἐθίσουσι D. ἔς τ' G. ἕως D. ἐγγίνηται D. εὐκλεεῖς] καὶ add. G. πάντων D. δεῖ om. D. μάθησιν] μάχην A.G. 54. δέ τοι] δέ τι D. corr.

λαβεῖν δ' ἐν ταῖς γνώμαις] Hipparchici 6, 6: *Πρὸς δὲ τούτοις κἂν ἐκεῖνο λάβωσιν εἰς τὴν γνώμην, ὡς οὔτ' ἂν εἰκῇ οὔτ' ἄνευ θεῶν—ἡγήσαιτ' ἂν ἐπὶ πολεμίους.* SCHN.

52. *ἐγγραφήσεσθαι*] Similes locutiones comparavit B. Martinus Var. Lect. 4, 5, p. 206 s., ubi contra scripturam *ἐντραφήσεσθαι* disputat. Contra Schneiderus "Scripturam *ἐγγραφήσεσθαι* defendunt esse exquisitiorem, et dici eleganter de rebus et sensibus firmis et constantibus. Recte vero. At enim prius erat dicere sensus hos animis hominum insinuari debere; deinde vero omni ratione connitendum est ut ibi quasi coalescant cum naturalibus sensibus et cupiditatibus, neque unquam ex animo effluant. Hoc est *ἔμμονοι γίνονται.* Præterea debebat esse non *ἀνθρώποις*, sed potius *ταῖς ψυχαῖς τῶν ἀνθρώπων.* Sic *inscribere in animo, in mentibus insculpere* apud Ciceronem. Cato R. R. 5, 5, *scribit in mente familiæ.* Nemo dicat recte *sensum* vel *cogitationem inscribere* vel *insculpere homini.* Accedit usus ejusdem verbi *ἐγγενέσθαι* s. 53, a Xenophonte adhibiti." Sed similiter Plato Tim. p. 26 C: *Ὥστε οἷον ἐγκαύματα ἀνεκπλύτου γραφῆς ἔμμονά μοι γέγονε,* quod Plut. Mor. p. 759 C dixit *οἷον ἐν ἐγκαύμασι γραφόμεναι διὰ πυρός.*

53. *τοὺς ἀγαθοὺς—εὐδαιμονεστάτους νομίζειν*] Reip. Laced. 9, 3: *Ἐκεῖνος* (Lycurgus) *σαφῶς παρεσκεύασε τοῖς ἀγαθοῖς εὐδαιμονίαν, τοῖς δὲ κακοῖς κακοδαιμονίαν.*

μάθησιν κρ. παρέξεσθαι] Est præcepta diligenti disciplina tradita et diuturna exercitatione percepta factorum exemplis comprobare et exsequi, nec pati ut timor hostium et instantis prælii sibi præcepta omnia subito excutiat. SCHN.

εἰς μάχην σὺν ὅπλοις, ἐν ᾧ πολλοὶ καὶ τῶν παλαιῶν μα-
θημάτων ἐξίστανται, ἐν τούτῳ δυνήσεταί τις ἀπορραψῳδή-
σας παραχρῆμα ἄνδρας πολεμικοὺς ποιῆσαι, πάντων ἂν
ῥᾷστον εἴη καὶ μαθεῖν καὶ διδάξαι τὴν μεγίστην τῶν ἐν
55 ἀνθρώποις ἀρετήν. ἐπεὶ ἔγωγ', ἔφη, οὐδ' ἂν τούτοις ἐπί-
στευον ἐμμόνοις ἔσεσθαι οὓς νῦν ἔχοντες παρ' ἡμῖν αὐτοῖς
ἠσκοῦμεν, εἰ μὴ καὶ ὑμᾶς ἑώρων παρόντας, οἳ καὶ παρα-
δείγματα αὐτοῖς ἔσεσθε οἵους χρὴ εἶναι καὶ ὑποβαλεῖν δυ-
νήσεσθε, ἤν τι ἐπιλανθάνωνται. τοὺς δ' ἀπαιδεύτους παν-
τάπασιν ἀρετῆς θαυμάζοιμ' ἄν, ἔφη, ὦ Χρυσάντα, εἴ τι
πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν ἢ
τοὺς ἀπαιδεύτους μουσικῆς ᾆσμα μάλα καλῶς ᾀσθὲν εἰς
μουσικήν.

56 Οἱ μὲν ταῦτα διελέγοντο. ὁ δὲ Κυαξάρης πάλιν πέμ- [25]
πων ἔλεγεν ὅτι ἐξαμαρτάνοι διατρίβων καὶ οὐκ ἄγων ὡς
τάχιστα ἐπὶ τοὺς πολεμίους. καὶ ὁ Κῦρος ἀπεκρίνατο δὴ
τότε τοῖς ἀγγέλοις, Ἀλλ' εὖ μὲν ἴστω, ἔφη, ὅτι οὔπω
εἰσὶν ἔξω ὅσους δεῖ· καὶ ταῦτα ἀπαγγέλλετε αὐτῷ ἐν
57 ἅπασιν· ὅμως δέ, ἐπεὶ ἐκείνῳ δοκεῖ, ἄξω ἤδη. ταῦτ' εἰπὼν
καὶ προσευξάμενος τοῖς θεοῖς ἐξῆγε τὸ στράτευμα. ὡς δ'
ἤρξατο ἄγειν, θᾶττον ἡγεῖτο, οἱ δ' εἵποντο εὐτάκτως μὲν
διὰ τὸ ἐπίστασθαι καὶ μεμελετηκέναι ἐν τάξει πορεύεσθαι,
ἐρρωμένως δὲ διὰ τὸ φιλονείκως ἔχειν πρὸς ἀλλήλους καὶ
διὰ τὸ τὰ σώματα ἐκπεπονῆσθαι καὶ διὰ τὸ πάντας ἄρχον-
τας τοὺς πρωτοστάτας εἶναι, ἡδέως δὲ διὰ τὸ φρονίμως
ἔχειν· ἠπίσταντο γὰρ καὶ ἐκ πολλοῦ οὕτως ἐμεμαθήκεσαν
ἀσφαλέστατον εἶναι καὶ ῥᾷστον τὸ ὁμόσε ἰέναι τοῖς πο-

ῥᾷστον] ἄριστον A.G. corr. mg. r. καὶ μαθεῖν] μαθεῖν G. 55. ἐπεὶ] ἐπεὶ δ' D. οὐδ'] οὐκ A.G. ἐν μόνος D. pr. μὴ καὶ] μὴ D. παρόντας] ο in ras. D. πάντας G. mg. παράδειγμα A.D. ἔσεσθαι A. corr. s. v. ead. m. ὑποβάλλειν D. ἤν] ἄν D. χρύσαντες D. α super ες posito. μάλλα A. om. D.L. pr. 56. τοιαῦτα D. πέμπων πάλιν G. ἐπὶ] ὡς G. δεῖ] ἔδει D. ἀπάγγελε D., sed λ in ras., et τε s. v. al. m. 57. θεοῖς] αὐτοῦ add. D. θᾶττον Zeunius. ἐπεὶ θᾶσσον A. (sed ἐπεὶ ita cum ἐπὶ confusum, ut utrum pr. dubites) G., sed ἔτι G. mg. r. D. ἡγεῖτο] ὁ μὲν ἡγεῖτο G. corr. r. ἐπίστασθαί τε καὶ D. ἠπίστατο G. pr., corr. s. v. r.

56. ἐν ἅπασιν] Coram omnibus, ad augendam Medorum de Persis opinionem.

57. θᾶττον] Conf. ὡς τάχιστα s. 56. πρωτοστάτας] Hanc aciem Lacedæmoniorum exponit De republica eorum c. 11, 5, et Hipparchici 2, 6. SCHN.

τοξόταις] Tria hæc vocabula cum vocabulo πολεμίοις jungenda sunt. SCHN.

λεμίοις, ἄλλως τε καὶ τοξόταις καὶ ἀκοντισταῖς καὶ ἱπ-
58 πεῦσιν. ἕως δ' ἔτι ἔξω βελῶν ἦσαν, παρηγγύα ὁ Κῦρος [26]
σύνθημα Ζεὺς σύμμαχος καὶ ἡγεμών. ἐπεὶ δὲ πάλιν ἧκε
τὸ σύνθημα ἀνταποδιδόμενον, ἐξῆρχεν αὖ ὁ Κῦρος παιᾶνα
τὸν νομιζόμενον· οἱ δὲ θεοσεβῶς πάντες συνεπήχησαν με-
γάλῃ τῇ φωνῇ· ἐν τῷ τοιούτῳ γὰρ δὴ οἱ δεισιδαίμονες ἧτ-
59 τον τοὺς ἀνθρώπους φοβοῦνται. ἐπεὶ δ' ὁ παιὰν ἐγένετο,
ἅμα πορευόμενοι οἱ ὁμότιμοι φαιδροί, πεπαιδευμένοι, καὶ
παρορῶντες εἰς ἀλλήλους, ὀνομάζοντες παραστάτας, ἐπι-
στάτας, λέγοντες πολὺ τὸ Ἄγετ', ἄνδρες φίλοι, Ἄγετ', ἄν-
δρες ἀγαθοί, παρεκάλουν ἀλλήλους ἕπεσθαι. οἱ δ' ὄπισθεν
αὐτῶν ἀκούσαντες ἀντιπαρεκελεύοντο τοῖς πρώτοις ἡγεῖ-
σθαι ἐρρωμένως. ἦν δὲ μεστὸν τὸ στράτευμα τῷ Κύρῳ
προθυμίας, φιλοτιμίας, ῥώμης, θάρρους, παρακελευσμοῦ,
σωφροσύνης, πειθοῦς, ὅπερ οἶμαι δεινότατον τοῖς ὑπεναν-
60 τίοις. τῶν δ' Ἀσσυρίων οἱ μὲν ἀπὸ τῶν ἁρμάτων προμα- [27]
χοῦντες, ὡς ἐγγὺς ἤδη προσεμίγνυ τὸ Περσικὸν πλῆθος,
ἀνέβαινόν τε ἐπὶ τὰ ἅρματα καὶ ὑπεξῆγον πρὸς τὸ ἑαυτῶν

58. ξύνθημα G. ἐπεὶ δὲ] ἐπεὶ δὴ A. ἐπειδὴ G. ὁ om. L. ὁ κῦρος] διοσκούροις D. add. G. mg. r. ἧττον] εἰσι A.G. pr. 59. πεπαιδ.] τε πεπαιδ. A.G. περιορῶντες D. ὀνομάζοντας G. corr. s. v. r. τὸ om. A.G. φιλοτιμίας om. D. ἐναντίοις D. 60. μὲν ead. et ἀπὸ al. m. s. v. D. ῥυμάτων C. corr. mg., D. pr. ἐρυμάτων G. s. v. al. m. προσεμιγνύετο D. pr. προσεμίγνυε τὸ D. corr. G. s. v. r. προσεμίγνυον A.G. τε om. D. ὑπεξῆγον] ἀνεχώρουν D.G. mg. r.

58. βελέων] Codices βελῶν, sed βελέων Xenophontem ubique posuisse, ut ἀνθέων, ὀρέων et similia, Grammaticus nescio quis apud Suidam in vocabulo ἀνθέων docet. Conf. Pierson. ad Mœrin p. 456, et Kœn. ad Gregor. de Dial. p. 380. SCHN. Credibile est talia multa esse ab librariis sublata. V. ad 8, 1, 26.

σύνθημα] De tessera, ore et voce tradita, non, ut apud Romanos, tabula, et ad imperatorem redeunte compara Anabasin 1, 8, 11. SCHN. Erant plerumque fausti voces ominis aut numinum quorundam nomina, a quibus felicem inceptorum exitum exspectabat imperator. Conf. infra 7, 1, 10 etc. HUTCH.

δεισιδαίμονες] Sunt religiosi homines et reverentia deorum pleni. Canticorum et pæanum vicem apud Lacedæmonios tibiarum sonus gerebat; hodieque musici modi fere apud omnes gentes in locum pæanum successerunt. SCHN.

59. παρορῶντες εἰς ἀλλήλους] Infra 8, 1, 4, παρορᾶν πρὸς τὸ σημεῖον est. Οἱ πεπαιδευμένοι, hic et s. 70, intelligendi exercitatione militari exculti.

ὀνομάσαντες] Nomine compellantes, ut 7, 1, 19.

οἱ δ' ὄπισθεν] Sunt οἱ ἐπιστάται, ut οἱ πρῶτοι deinde οἱ πρωτοστάται. SCHN.

60. προσεμίγνυον] V. ad 2, 4, 20. Verum haud dubie, quod restitui, προσεμίγνυ, de quo ad 6, 4, 6.

ὑπεξῆγον] *Sensim se subducebant.* Fugiunt igitur οἱ ἀπὸ τῶν ἁρμάτων προμαχοῦντες, ante aciem stantes: post eos collocatis ipsis curribus ἀπεστραμμένοις ὥσπερ εἰς φυγήν, ut est infra 6, 2, 17. Hostem timentes et fugam capessentes currum adscendunt

πλῆθος· οἱ δὲ τοξόται καὶ ἀκοντισταὶ καὶ σφενδονῆται αὐ-
61 τῶν ἀφίεσαν τὰ βέλη πολὺ πρὶν ἐξικνεῖσθαι. ὡς δ' ἐπιόν-
τες οἱ Πέρσαι ἐπέβησαν τῶν ἀφειμένων βελῶν, ἐφθέγξατο
δὴ ὁ Κῦρος, Ἄνδρες ἄριστοι, ἤδη θᾶττόν τις ἰὼν ἐπι-
δεικνύτω ἑαυτὸν καὶ παρεγγυάτω. οἱ μὲν δὴ παρεδίδοσαν·
ὑπὸ δὲ προθυμίας καὶ μένους καὶ τοῦ σπεύδειν συμμίξαι
δρόμου τινὲς ἦρξαν, συνεφείπετο δὲ καὶ πᾶσα ἡ φάλαγξ
62 δρόμῳ. καὶ αὐτὸς δὲ ὁ Κῦρος ἐπιλαθόμενος τοῦ βάδην
δρόμῳ ἡγεῖτο, καὶ ἅμα ἐφθέγγετο Τίς ἕψεται; Τίς ἀγα-
θός; Τίς ἄνδρα πρῶτος καταβαλεῖ; οἱ δὲ ἀκούσαντες
ταὐτὸ τοῦτο ἐφθέγγοντο, καὶ διὰ πάντων δὴ ὥσπερ παρ-
63 ηγγύα οὕτως ἐχώρει Τίς ἕψεται; Τίς ἀγαθός; οἱ μὲν δὴ [28]
Πέρσαι οὕτως ἔχοντες ὁμόσε ἐφέροντο· οἵ γε μὴν πολέμιοι
οὐκέτι ἐδύναντο μένειν, ἀλλὰ στραφέντες ἔφευγον εἰς τὸ
64 ἔρυμα. οἱ δ' αὖ Πέρσαι κατά τε τὰς εἰσόδους ἐφεπόμενοι
ὠθουμένων αὐτῶν πολλοὺς κατεστρώννυσαν, τοὺς δ' εἰς
τὰς τάφρους ἐμπίπτοντας ἐπεισπηδῶντες ἐφόνευον ἄνδρας
ὁμοῦ καὶ ἵππους· ἔνια γὰρ τῶν ἁρμάτων εἰς τὰς τάφρους
65 ἠναγκάσθη φεύγοντα ἐμπεσεῖν. καὶ οἱ τῶν Μήδων δ' ἱπ-
πεῖς ὁρῶντες ταῦτα ἤλαυνον εἰς τοὺς ἱππέας τοὺς τῶν πο-
λεμίων· οἱ δ' ἐνέκλιναν καὶ τούτοις. ἔνθα δὴ καὶ ἵππων

σφ^αι (erasum videtur ε) δονῆτε A. σφενδονηταὶ D. 61. ἀπέβησαν A.G. pr. ἐφιεμένων D. δὴ] ἤδη A.G. ἤδη om. D. ἐπιδεικνυέτω D.G. s. v. r. αὐτὸν L. δὴ om. D. παρεδ. τοῦτο D. ἀπὸ A. καὶ μένους] α et ους in ras. D. τινος D.G. s. v. r. ἦρξαν D. pr. H. ἤρξαντο A.D. s. v. G. συνέπετο A.G. pr. συνάπτετο L., s. v. al. m. είπε. Conf. var. scr. Anab. 7, 4, 6. 62. ἐφθέγγοντο A.G. pr. ἕψεται] ἐφέπεται A.G. πρῶτος ἄνδρα D. καταβαλλεῖ G. pr. τὸ αὐτὸ D. δὴ] δὲ D. παρηγγύα] ε in lit. G. 63. τὸ ἔρυμα] τὰ ἐρύματα A.G. 64. τε om. D. ἑπόμενοι D. κατεστρώννυσαν] ἀπέκτεινον D. ἐμπεσεῖν] συνεμπεσεῖν D. corr. συνεισπεσεῖν D. pr. 65. ἱππεῖς] ἱππῆς D. pr. ἱππέας] ἱππεῖς D. ἐνέκλινον A.G. corr. s. v. r. τούτους D.G. corr. ἔνθα—ἀμφοτέρων G. mg. r.

et aufugiunt. ubi vide annotata. Etiam infra in exercitu Assyriorum 7, 1, 29, currus bellici, statim ubi Abradatas cum curribus falcatis impetum facit, fugiunt, *τὰ μὲν ἀναλαβόντα τοὺς παραιβάτας, τὰ δὲ καὶ ἀπολιπόντα.* Igitur bellatores non curribus insistentes pugnabant, sed ubi se in fugam dare cogitabant, currum pone relictum adscendebant. SCHN.

63. *ἔρυμα*] Ita liber Philelphi cum Guelferb. et Zonara: ceteri cum Paris. *τὰ ἐρύματα* habent, quæ sunt loca munita, ut 4, 2, 5. SCHN. Singularis est s. 66; 4, 1.

65. *ἐνέκλιναν καὶ τούτοις*] Cum accus. Polyb. 14, 8, 8: *Ἅμα δὲ τῷ γενέσθαι τὴν πρώτην ἔφοδον εὐθέως οἱ Νομάδες ἐνέκλιναν τοὺς Ἰταλικοὺς ἱππεῖς.* Sed cum dat. improprie Dionys. Ant. Rom. 5, 54: *Ἀπαγγέλλετε ἀπιόντες πρὸς τὸ κοινὸν τῶν Λατίνων*

66 διωγμὸς ἦν καὶ ἀνδρῶν καὶ φόνος ἐξ ἀμφοτέρων. οἱ δ' [29]
ἐντὸς τοῦ ἐρύματος τῶν Ἀσσυρίων ἑστηκότες ἐπὶ τῆς κε-
φαλῆς τῆς τάφρου τοξεύειν μὲν ἢ ἀκοντίζειν εἰς τοὺς κατα-
καίνοντας οὔτε ἐφρόνουν οὔτε ἐδύναντο διὰ τὰ δεινὰ ὁρά-
ματα καὶ διὰ τὸν φόβον. τάχα δὲ καὶ καταμαθόντες τῶν
Περσῶν τινας διακεκοφότας πρὸς τὰς εἰσόδους τοῦ ἐρύμα-
67 τος ἐτράποντο καὶ ἀπὸ τῶν κεφαλῶν τῶν ἔνδον. ἰδοῦσαι
δ' αἱ γυναῖκες τῶν Ἀσσυρίων καὶ τῶν συμμάχων ἤδη
φυγὴν καὶ ἐν τῷ στρατοπέδῳ ἀνέκραγον καὶ ἔθεον ἐκπε-
πληγμέναι, αἱ μὲν καὶ τέκνα ἔχουσαι, αἱ δὲ καὶ νεώτεραι,
καταρρηγνύμεναί τε πέπλους καὶ δρυπτόμεναι, καὶ ἱκετεύ-
ουσι πάντας ὅτῳ ἐντυγχάνοιεν μὴ φεύγειν καταλιπόντας
αὐτάς, ἀλλ' ἀμῦναι καὶ αὐταῖς καὶ τέκνοις καὶ σφίσιν αὐ-
68 τοῖς. ἔνθα δὴ καὶ αὐτοὶ οἱ βασιλεῖς σὺν τοῖς πιστοτάτοις
στάντες ἐπὶ τὰς εἰσόδους καὶ ἀναβάντες ἐπὶ τὰς κεφαλὰς
69 καὶ αὐτοὶ ἐμάχοντο καὶ τοῖς ἄλλοις παρεκελεύοντο. ὡς δ' [30]
ἔγνω ὁ Κῦρος τὰ γιγνόμενα, δείσας μὴ καὶ εἰ βιάσαιντο

ἀνδρῶν] τῶν ἀνδρῶν L. ἐξαμφοτέρων A. 66. ἢ] καὶ D. κατακαίνοντας] ἀποκτείνοντας D. διὰ τὰ] διά τε τὰ D. διὰ τὰς κεκοφότας A.G. pr. τῶν ἔνδον] ἔφευγον D. ἔφυγον post ἔνδον add. G. mg. r. 67. φυγὴν ἤδη D. καταρηγν. A. πέπλους] τοὺς πέπλους H. Zonaras p. 151 A. ἱκετεύουσαι D. καὶ αὐταῖς καὶ τέκνοις] καὶ τέκνοις καὶ ἑαυταῖς D. 69. τὸ γιγνόμενον D. καὶ εἰ] εἰ καὶ D.

ὅτι ὁ Ῥωμαίων δῆμος οὔτε πρότερον Ταρκυινίταις ἀξιοῦσιν ἐχαρίσατο τὴν τῶν τυράννων κάθοδον οὔθ' ὕστερον ἅπασι Τυρρηνοῖς ἐνέκλινεν.

ἐξ ἀμφοτέρων] Nisi ad Persas Medosque refertur, sed ad *ἵππους* et *ἄνδρας*, delendum *ἐξ*, ut conjecit Hertleinius et verterat Walzius.

66. *κεφαλῆς τῆς τάφρου*] Aggerem juxta fossam interpretatur Camerarius. Κατὰ κεφαλήν τινος εἶναι in superiore loco *stare et eminere supra aliquem* est. V. ad H. Gr. 7, 2, 8. SCHN.

τοξεύειν οὔτε ἐφρόνουν οὔτε ἐδύναντο] *Cogitabant*, ut Hom. h. Apoll. 247: Ἐνθάδε δὴ φρονέω περικαλλέα νηὸν ἀνθρώπων τεῦξαι χρηστήριον, et 258, 287.

διακεκοφότας πρὸς τὰς εἰσόδους] Delendum videtur *πρὸς*, additum ab eo qui inepte hæc cum *ἐτράποντο* junxisset, ut D. interpungit post *διακεκοφότας*, et facile quivis faciat inserto *πρὸς*, unde explicandum deteriorum *ἔφευγον*, deficiente rursus illic verbo. Erant enim jam s. 64, *κατὰ τὰς εἰσόδους ἐφεπόμενοι*.

67. *καταρρηγνύμεναι*] Conf. 3, 1, 13.

πάντας ὅτῳ] Conf. 7, 4, 14, Hom. Od. M, 39: Πάντας ἀνθρώπους, ὅτις σφέας εἰσαφίκηται. HUTCH. V. ad Anab. 6, 3, 15.

68. *οἱ βασιλεῖς*] Præter Crœsum Assyriorum rex, qui ibi cecidit, ut Xen. narrat 4, 6, 2, de cujus morte scriptum aliquid hoc in loco periisse suspicatur Weiskius. Verum qui potuit vir doctus ponere Xenophontem altero illo in loco ex facto prorsus ignoto, cujus nullam ipse mentionem fecerit, argumentari? Hoc quidem in loco nihil attinebat mortem regis commemorari; altero vero mors simul editur et in causa tristitiæ publicæ ponitur, loco sane commodissimo. SCHN.

εἴσω, ὀλίγοι ὄντες ὑπὸ πολλῶν σφαλεῖέν τι, παρηγγύησεν ἐπὶ πόδ' ἀνάγειν ἔξω βελῶν καὶ πείθεσθαι. ἔνθα δὴ ἔγνω τις ἂν τοὺς ὁμοτίμους πεπαιδευμένους ὡς δεῖ· ταχὺ μὲν γὰρ αὐτοὶ ἐπείθοντο, ταχὺ δὲ τοῖς ἄλλοις παρήγγελλον. ὡς δ' ἔξω βελῶν ἐγένοντο, ἔστησαν κατὰ χώραν, πολὺ μᾶλλον χοροῦ ἀκριβῶς εἰδότες ὅπου ἔδει ἕκαστον αὐτῶν γενέσθαι.

πεπαιδ.] *καὶ πεπαιδ.* D. om. G., sed mg. r. add. resecto, ut videtur, *καί*. *παρήγγελον* D. pr. *παρήγγειλον* G. *ὅπου ἔδει*] *ὅτι οὐδεὶς* A.G. pr. *αὐτῶν* om. D.

69. *ἐπὶ πόδα ἀνάγειν*] Facie hostibus obversa retrogredi. Quod est referre pedem, cum in eodem veluti vestigio pedem retro cedendo ponimus. Polybius *ἀναχωρεῖν* et *ὑποχωρεῖν ἐπὶ πόδα* dicere solet; cujus locum pessime habitum a librariis 2, 68, 8, et in quo nuperus interpres ita lapsus est, ut miram differentiam inter *ἐπὶ πόδα* et *ὑπὸ πόδα* comminisceretur, obiter hic emendatum ponere licebit: *Οὐ γὰρ ἀπολιπόντες αὐτοῖς ἀναχώρησιν, προσδεξάμενοι δ' ἀκεραίους ἅμα καὶ συνεστώσας τὰς σπείρας, εἰς τοῦτο δυσχρηστίας ἦλθον, ὥστε δι' αὐτῆς τοῦ λόφου κορυφῆς διαμάχεσθαι πρὸς τοὺς βιαζομένους. εὐθέως δὲ οἱ μὲν Ἰλλυριοὶ τὴν κατάστασιν ἐλάμβανον, οἱ δὲ περὶ τὸν Εὐκλείδην διὰ τὸ μὴ καταλείπεσθαι τόπον εἰς ἀναχώρησιν τὴν ἐπὶ πόδα καὶ μετάστασιν ἑαυτοῖς, τὸ λοιπὸν ὅσον ἐκ ποδὸς ἐπιέσθησαν τῷ βάρει τοῦ καθοπλισμοῦ καὶ τῆς συντάξεως, ἐξ οὗ ταχέως συνέβη τραπέντας αὐτοὺς ὀλεθρίῳ χρήσασθαι φυγῇ, κρημνώδη καὶ δύσβατον ἐχόντων ἐπὶ πολὺ τὴν ἀναχώρησιν τῶν τόπων*, ubi nihil aut parum in verbis, multum vero in ordine eorum mutatum vides. SCHN.

πείθεσθαι] Imperato parere quum milites etiam injus si debeant, mihi *φείδεσθαι* scribendum esse visum est.

70. *χοροῦ*] V. ad 1, 6, 18.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. Α.

Μείνας δὲ ὁ Κῦρος μέτριον χρόνον αὐτοῦ σὺν τῷ στρα-
τεύματι καὶ δηλώσας ὅτι ἕτοιμοί εἰσι μάχεσθαι, εἴ τις
ἐξέρχοιτο, ὡς οὐδεὶς ἀντεξῄει, ἀπήγαγεν ὅσον ἐδόκει καλῶς
ἔχειν καὶ ἐστρατοπεδεύσατο. φυλακὰς δὲ καταστησάμενος
καὶ σκοποὺς προπέμψας, στὰς εἰς τὸ μέσον συνεκάλεσε
2 τοὺς ἑαυτοῦ στρατιώτας καὶ ἔλεξε τοιάδε. Ἄνδρες Πέρ- [2]
σαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγὼ ἐπαινῶ ὅσον δύναμαι, καὶ
ὑμεῖς δὲ πάντες, οἶμαι· νίκης τε γὰρ τετυχήκαμεν καὶ σω-
τηρίας. τούτων μὲν οὖν χρὴ χαριστήρια ὧν ἂν ἀεὶ ἔχωμεν
τοῖς θεοῖς ἀποτελεῖν. ἐγὼ δὲ σύμπαντας μὲν ὑμᾶς ἤδη
ἐπαινῶ· τὸ γὰρ γεγενημένον ἔργον πᾶσιν ὑμῖν καλὸν ἀπο-
τετέλεσται· ὧν δ᾽ ἕκαστος ἄξιος, ἐπειδὰν παρ᾽ ὧν προσή-
κει πύθωμαι, τότε τὴν ἀξίαν ἑκάστῳ καὶ ἔργῳ καὶ λόγῳ
3 πειράσομαι ἀποδιδόναι. τὸν δ᾽ ἐμοῦ ἐγγύτατα ταξίαρχον
Χρυσάνταν οὐδὲν ἄλλων δέομαι πυνθάνεσθαι, ἀλλ᾽ αὐτὸς

1. ἕτοιμοι] ἕτιμοι G., pr. ut videtur. ἐξέρχεται D. pr., ut H. ὡς] ὡς δὴ D. ἐξῄει et pr. ἐξείη D. καὶ κατεστρατοπ. D. φυλακὰς H. et fortasse M. φύλακας A.D.G. τὸ G. s. v. r. 2. ἐγὼ] ἐγώ τε D. ἀεὶ om. D. ἀποτελεῖν G. corr., pr. ejusmodi quid ut ἀπαιτεῖν. ξύμπαντας G. πασιν] σὺν s. v. r. G. σὺν πᾶσιν L. σύμπασιν D. παρ᾽ ὧν D. mg. r. καὶ λόγῳ καὶ ἔργῳ D. 3. ἐγγυτάτω D. χρυσάντα A. χρυσάντ et αν s. v. corr. G. οὐδὲν in ras. G. corr. ἄλλων] παρ᾽ ἄλλων D.G. corr., pr. haud dubie ἄλλο, ut L., qui παρ᾽ s. v. al. m., ut G. in ras., et pr. ἄλλο, ut G. eraso ο compendium syllabæ ων habet s. v.

2. ἀεὶ] V. ad 2, 3, 2. ἤδη] Demosth. p. 664, 23, τὴν ἤδη χάριν. Conf. s. 4, et ad Anab. 1, 4, 16.

3. παρ᾽] Similiter, ut videtur, interpositum notavi ad Anab. 1, 2, 5.

οἶδα οἷος ἦν· τὰ μὲν γὰρ ἄλλα ὅσαπερ, οἶμαι, καὶ πάντες
ὑμεῖς ἐποιεῖτε· ἐπεὶ δ' ἐγὼ παρηγγύησα ἐπανάγειν καλέσας
αὐτὸν ὀνομαστὶ, ἀνατεταμένος οὗτος τὴν μάχαιραν, ὡς
παίσων πολέμιον, ὑπήκουσέ τε ἐμοὶ εὐθὺς ἀφείς τε ὃ
ἔμελλε ποιεῖν τὸ κελευόμενον ἔπραττεν· αὐτός τε γὰρ ἐπα-
νῆγε καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα, ἔστ'
ἔφθασεν ἔξω βελῶν τὴν τάξιν ποιήσας πρὶν τοὺς πολε-
μίους κατανοῆσαι ὅτι ἀνεχωροῦμεν καὶ τόξα ἐντείνασθαι
καὶ τὰ παλτὰ ἐπαφεῖναι· ὥστε αὐτός τε ἀβλαβὴς καὶ
τοὺς αὑτοῦ ἄνδρας ἀβλαβεῖς διὰ τὸ πείθεσθαι παρέχεται.
4 ἄλλους δ', ἔφη, ὁρῶ τετρωμένους, περὶ ὧν ἐγὼ σκεψά-
μενος ἐν ὁποίῳ χρόνῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ
αὐτῶν ἀποφανοῦμαι. Χρυσάνταν δὲ καὶ ὡς ἐργάτην τῶν
ἐν πολέμῳ καὶ φρόνιμον καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν
χιλιαρχίᾳ μὲν ἤδη τιμῶ· ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν
5 διδῷ ὁ θεὸς, οὐδὲ τότε ἐπιλήσομαι αὐτοῦ. καὶ πάντας δὲ
βούλομαι ὑμᾶς, ἔφη, ὑπομνῆσαι· ἃ γὰρ νῦν εἴδετε ἐν τῇ
μάχῃ τῇδε, ἐνθυμούμενοι μήποτε παύεσθε, ἵνα παρ' ὑμῖν
αὐτοῖς ἀεὶ κρίνητε πότερον ἡ ἀρετὴ μᾶλλον ἢ ἡ φυγὴ
σώζει τὰς ψυχὰς καὶ πότερον οἱ μάχεσθαι ἐθέλοντες ῥᾷον
ἀπαλλάττουσιν ἢ οἱ οὐκ ἐθέλοντες, καὶ ποίαν τινὰ ἡδονὴν

ὅπερ D. et σα s. v. r. ὑμεῖς (et pr. ἡμεῖς) πάντες D. ἐποίει D., corr. s. v. ἐποιεῖτε. ὀνομαστὶ αὐτὸν D. ἐμοὶ] ου s. v. r. G. ἀφεὶς] καὶ s. v. r. G. καὶ ἀφεὶς D. τε om. D. erasit G. ποεῖν L. ἐπανήγαγεν D. ἔστ'] ἔστ' G. ὥστ' D. κατανοῆσαι] τε add. D.G. r. πελτὰ fortasse D. pr., corr. in α. ἐπαφιέναι D. ἀβλαβὴς] ἄπο βλάβης A. ἀπὸ βλάβης G., sed corr. in accentibus, ut ο gravem habeat r., tum in fine versus quasi littera sit erasa, accentus super α in ras., et super ς sit ras. αὑτοῦ] αὐτοῦ A.G. ἑαυτοῦ D. 4. τεταραγμένους L. pr., corr. s. v. al. m. ρω G. in ras. χρυσάντα A. ὡς καὶ D. ἐν πολέμῳ] πολεμικῶν D. διδῷ ὁ θεὸς] ὁ θεὸς δῷ D. οὔτε D. 5. ὑμᾶς βούλομαι D. ὑμᾶς post ἔφη add. G. corr. post βούλομαι D. ἐνθ.] ταῦτα ἐνθ. D.G. s. v. r. αἰεὶ A.G. κρίνηται D. ἡ] εἴη A. εἰ G. pr. ἀρετῇ A. τὰς ψυχὰς G. mg. r. μάχεσθαι θέλοντες G.

ἐποιεῖτε plus habet ab libris præsidii quam ἐποίει. Utroque modo loquuntur Græci. Conviv. 2, 17: Εἰ τοιούτων γυμνασίων ἐπιθυμῶ, μὴ ὥσπερ οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν παχύνονται, τοὺς ὤμους δὲ λεπτύνονται, μηδ' ὥσπερ οἱ πύκται τοὺς μὲν ὤμους παχύνονται, τὰ δὲ σκέλη λεπτύνονται, ἀλλὰ παντὶ διαπονῶν τῷ σώματι πᾶν ἰσόρροπον ποιεῖν. Thuc. 1, 82, 1.

ἀνατεταμένος] Plutarchus in Quæst. Romanis p. 273 F, ubi h. l. respicit, καὶ τὴν κοπίδα διηρμένος, ἀκούσας τὸ ἀνακλητικὸν, ἀφῆκε τὸν ἄνδρα laudat. In Marcelli et Pelopidæ Comparat. 2: Ὃς διηρμένος κοπίδα καὶ παίειν μέλλων πολέμιον, ὡς ὑπεσήμηνεν ἡ σάλπιγξ ἀνακλητικὸν, ἀφεὶς τὸν ἄνδρα μάλα πρᾴως καὶ κοσμίως ἀνεχώρησεν. SCHN. Conf. id. Apopth. Lac. 68, p. 236 E. ZEUN. Epictet. Diss. 2, 6, 15.

5. ἡ φυγὴ σώζει] V. ad 3, 3, 45. ZEUN.

*τὸ νικᾶν παρέχει· ταῦτα γὰρ νῦν ἄριστ' ἂν κρίναιτε πεῖράν
τε αὐτῶν ἔχοντες καὶ ἄρτι γεγενημένου τοῦ πράγματος.
6 καὶ ταῦτα μὲν, ἔφη, ἀεὶ διανοούμενοι βελτίους ἂν εἴητε·
νῦν δὲ ὡς θεοφιλεῖς καὶ ἀγαθοὶ καὶ σώφρονες ἄνδρες δει-
πνοποιεῖσθε καὶ σπονδὰς τοῖς θεοῖς ποιεῖσθε καὶ παιᾶνα
7 ἐξάρχεσθε καὶ τὸ παραγγελλόμενον προνοεῖτε. εἰπὼν δὲ [3]
ταῦτα ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλασε καὶ πρὸς Κυαξάρην
ἦλθε· καὶ συνησθεὶς ἐκείνῳ κοινῇ ὡς εἰκὸς καὶ ἰδὼν τἀκεῖ
καὶ ἐρόμενος εἴ τι δέοιτο, ἀπήλαυνεν εἰς τὸ αὑτοῦ στρά-
τευμα. καὶ οἱ μὲν δὴ ἀμφὶ Κῦρον δειπνοποιησάμενοι καὶ
φυλακὰς καταστησάμενοι ὡς ἔδει ἐκοιμήθησαν.*

8 *Οἱ δὲ Ἀσσύριοι, καὶ τεθνηκότος τοῦ ἄρχοντος καὶ σχε-
δὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν μὲν πάντες, πολλοὶ
δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρατο-
πέδου. ὁρῶντες δὲ ταῦτα ὅ τε Κροῖσος καὶ οἱ ἄλλοι σύμ-
μαχοι αὐτῶν πάντες ἠθύμουν· πάντα μὲν γὰρ ἦν χαλεπά·
ἀθυμίαν δὲ πλείστην παρεῖχε πᾶσιν ὅτι τὸ ἡγούμενον τῆς
στρατιᾶς φῦλον διεφθάρθαι ἐδόκει ταῖς γνώμαις. οὕτω δὴ
ἐκλείπουσι τὸ στρατόπεδον καὶ ἀπέρχονται τῆς νυκτός.
9 ὡς δ' ἡμέρα ἐγένετο καὶ ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν [4]
πολεμίων στρατόπεδον, εὐθὺς διαβιβάζει ὁ Κῦρος τοὺς
Πέρσας πρώτους· κατελέλειπτο δὲ ὑπὸ τῶν πολεμίων
πολλὰ μὲν πρόβατα, πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι
πολλῶν ἀγαθῶν μεσταί· ἐκ δὲ τούτου διέβαινον ἤδη καὶ οἱ*

ἄριστα κρίναιτ' ἂν D. 6. *ἀεὶ* om. D. *ὡς*] *ὡς καὶ* D. *καὶ σπ.—ποιεῖσθε* om. A.G. mg. r. *παιᾶνας* A.G. *ἐξάρχετε* D. *καὶ*] *καὶ ἅμα* D.G. s.v.r. *παραγγελόμενον* G. 7. *εἰπὼν δὲ* Zeunius. *εἰπών τε* A.G. *εἰπὼν* D. *ἦλθε*] *ἐλθὼν* D. *συνησθεὶς*] *συγγενόμενος* A. *συγγινόμενος* G., sed *συνησθεὶς* corr. *τἀκεῖ*] *τὰ ἐκεῖ* A.D. corr. G. *δέοιτο*] *δεῖ*] A.G. *ἀπήλασεν* D. *αὑτοῦ*] *αὐτοῦ* A.G. *ἑαυτοῦ* D. *ὡς ἔδει* om. A.G. s.v.r. 8. *ἀσσύριοι*] *ἅτε* add. D. *γε* add. G. et s.v.m. primæ simili *ἅτε*, *γε ἅτε* L. *πάντες* om. D. *πᾶσιν πλείστην παρεῖχεν* D. *φῦλον τῆς στρατιᾶς* D. *διέφθαρτο τὰς γνώμας* D. 9. *κατελέλειπτο* H.K. *καταλέλειπτο* A.D.G. *βοῦς* A.G. *ἐκ τούτου δὲ* G.

7. *κοινῇ* est invicem, inter se, recte monente Weiskio, ut 3, 2, 23, *συμμαχία κοινή*. Aristoph. Nub. 67, *κοινῇ ξυνέβημεν*. SCHN.

ὡς ἔδει] Omittunt nonnulli. Sed supra 3, 3, 28, similiter est *ὥσπερ ἔπρεπε, προφυλακὰς ποιησάμενοι ἑκάτεροι ἐκοιμήθησαν*. SCHN. Et 7, 2, 1: *Φυλακὰς καταστησάμενοι, ὥσπερ ἔδει, ἐκοιμήθησαν*, et ib. 5, *φυλάττοντας τὴν ἄκραν ὥσπερ ἔδει*. Οἷς *ἔδει* similiter omittit D. 5, 4, 10.

8. *ἅτε* sic additum etiam 4, 2, 6, ut ib. 4, *οἷα δὴ* vel *ὡς δή*.

τῶν βελτίστων] Curtius 3, 11, 9: "Circa currum Darii jacebant nobilissimi duces." etc. HUTCH.

9. *στρατόπεδον*] Zonaras recte *χαράκωμα* dixit; castra enim munita erant. SCHN.

ἀμφὶ Κυαξάρην Μῆδοι πάντες καὶ ἠριστοποιοῦντο ἐνταῦθα.
10 ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος τοὺς αὐτοῦ
ταξιάρχους καὶ ἔλεξε τοιάδε. Οἷά μοι δοκοῦμεν καὶ ὅσα, [5]
ἄνδρες, ἀγαθὰ ἀφεῖναι, θεῶν ἡμῖν αὐτὰ διδόντων. νῦν γὰρ
ὅτι οἱ πολέμιοι ἡμᾶς ἀποδεδράκασιν αὐτοὶ ὁρᾶτε· οἵτινες
δὲ ἐν ἐρύματι ὄντες ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς ἄν
τις τούτους οἴοιτ' ἂν μεῖναι ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ;
οἵτινες δὲ ἡμῶν ἄπειροι ὄντες οὐχ ὑπέμειναν, πῶς νῦν γ'
ἂν ὑπομείνειαν, ἐπεὶ ἥττηνταί τε καὶ πολλὰ κακὰ ὑφ' ἡμῶν
πεπόνθασιν; ὧν δὲ οἱ βέλτιστοι ἀπολώλασι, πῶς οἱ πονη-
11 ρότεροι ἐκείνων μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν; καί τις εἶπε, [6]
Τί οὖν οὐ διώκομεν ὡς τάχιστα, καταδήλων γε οὕτω τῶν
ἀγαθῶν ὄντων; καὶ ὃς εἶπεν, Ὅτι ἵππων προσδεόμεθα· οἱ
μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλιστα καιρὸς ἦν
ἢ λαβεῖν ἢ κατακανεῖν, οὗτοι ἐφ' ἵππων νέονται· οὓς ἡμεῖς
τρέπεσθαι μὲν σὺν τοῖς θεοῖς ἱκανοί, διώκοντες δὲ αἱρεῖν
12 οὐχ ἱκανοί. Τί οὖν, ἔφασαν, οὐκ ἐλθὼν Κυαξάρῃ λέγεις
ταῦτα; καὶ ὃς εἶπε, Συνέπεσθέ τοίνυν μοι πάντες, ὡς εἰδῇ
ὅτι πᾶσιν ἡμῖν ταῦτα δοκεῖ. ἐκ τούτου εἵποντό τε πάντες
καὶ ἔλεγον οἷα ἐπιτήδεια ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο. [7]
13 Καὶ ὁ Κυαξάρης ἅμα μὲν ὅτι ἐκεῖνοι ἦρχον τοῦ λόγου,
ὥσπερ ὑπεφθόνει· ἅμα δ' ἴσως καλῶς ἔχειν ἐδόκει αὐτῷ

10. αὐτοῦ] αὐτοῦ A.G. ἑαυτοῦ D. ταξιάρχας A.G. μοι] μὲν A.G. ἄνδρες ἀγαθὰ A.G. add. s. v. r. ὦ. ἀγαθὰ ὦ ἄνδρες D. ἀφεῖναι] ἐφί-ενται A.G. pr. (ut spatium ostendit quod occupat ἀφεῖναι, penitus eraso pr. ἐφίενται.) διδόντων] ἤγουν διδότωσαν L. mg. al. m. ὅτι] ὅτι μὲν D. ἡμᾶς] φοβούμενοι ἡμᾶς D.G. mg. r. ἐρύμασιν—ταῦτα B. ἄν τις τούτους οἴοιτ' ἂν] τούτους οἴεται ἄν τις D. ἄπειροι ἡμῶν D. ὑπομείναιεν A.G. τε om. B.D. πονηρότεροι A. πονηρότατοι G. φαυλότεροι D.G. mg. r. 11. ἦν D. s.v.r. κατακανεῖν] κατακαίνειν A.G., sed hic κ in lit. κατακτεῖναι D. οὗτοι] οὗτοι αὐτῶν A.G. νέονται D. pr. E. "*Legitur in MS. A. marg. ut conj. alia m.*" Valck. ἔσονται A.D. corr. G. αἵρειν D. αἵρειν A.G. 12. κυαξάρει A.D.G. corr. ταῦτα λέγεις D. συνέπεσθαι D. pr. εἰδείη A.D. corr. G. ὑμῖν D. pr. 13. ἤρχοντο D. ὑπό τι ἐφθόνει D., οτι punctis notans. ἱππότης D. mg. r. G. mg. r. ead. m. ἐδόκει ἔχειν D.

11. νέονται] Vocabulum poeticum, de quo v. Thes. Steph.

12. ἐλθὼν] Sic Anab. 1, 3, 14, ubi v. annot.; 7, 4, 12. Et supra 2, 2, 6.

13. ἦρχον] ἤρχοντο esset *verba facere cœperant*. At ἦρχον est primi *mentionem injicere et monere ea de re ausi erant*, ut apparet ex 6, 1, 6. SCHN. Ita falsum ἐξάρχετε s. 6.

ὑπεφθόνει] Quod pauci præbent ὑπό τι ἐφθόνει, non ita reconditum est quin etiam ab recentissimis scriptoribus frequentetur. V. Dobræi Aristoph. ad Vesp. 1281, p. 143. Quare nihil tribuendum libris qui locutionem Xenophonti non alibi usurpatam inferunt.

μὴ πάλιν κινδυνεύειν· καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν
ἐτύγχανεν ὢν καὶ τῶν ἄλλων Μήδων *ἑώρα πολλοὺς τὸ*
14 *αὐτὸ ποιοῦντας· εἶπε δ' οὖν ὧδε.* Ὦ Κῦρε, *ἀλλ' ὅτι μὲν* [8]
τῶν ἄλλων μᾶλλον ἀνθρώπων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι
μηδὲ πρὸς μίαν ἡδονὴν ἀπλήστως διακεῖσθαι καὶ ὁρῶν καὶ
ἀκούων οἶδα· ἐμοὶ δὲ δοκεῖ τῆς μεγίστης ἡδονῆς πολὺ
μᾶλλον συμφέρειν ἐγκρατῆ εἶναι. μείζω δὲ ἡδονὴν τί παρ-
15 *έχει ἀνθρώποις εὐτυχίας ἢ νῦν ἡμῖν παραγεγένηται; ἣν*
μὲν τοίνυν, ἐπεὶ εὐτυχοῦμεν, σωφρόνως διαφυλάττωμεν
αὐτήν, ἴσως δυναίμεθ' ἂν ἀκινδύνως εὐδαιμονοῦντες γηρᾶν·
εἰ δ' ἀπλήστως χρώμενοι ταύτῃ ἄλλην καὶ ἄλλην πειρα-
σόμεθα διώκειν, ὁρᾶτε μὴ πάθωμεν ἅπερ πολλοὺς μὲν
λέγουσιν ἐν θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυχεῖν οὐκ
ἐθέλοντας παύσασθαι πλέοντας ἀπολέσθαι· πολλοὺς δὲ
νίκης τυχόντας ἑτέρας ἐφιεμένους καὶ τὴν πρόσθεν ἀπο-
16 *βαλεῖν. καὶ γὰρ εἰ μὲν οἱ πολέμιοι ἥττους ὄντες ἡμῶν*
ἔφευγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥττους ἀσφαλῶς εἶχε·
νῦν δὲ κατανόησον πόστῳ μέρει αὐτῶν πάντες μαχεσά-
μενοι νενικήκαμεν· οἱ δ' ἄλλοι ἄμαχοί εἰσιν· οὓς εἰ μὲν
μὴ ἀναγκάσομεν μάχεσθαι, ἀγνοοῦντες καὶ ἡμᾶς καὶ ἑαυ-
τοὺς δι' ἀμαθίαν καὶ μαλακίαν ἀπίασιν· εἰ δὲ γνώσονται
ὅτι ἀπιόντες οὐδὲν ἧττον κινδυνεύουσιν ἢ μένοντες, ὅπως
μὴ ἀναγκάσωμεν αὐτούς, κἂν μὴ βούλωνται, ἀγαθοὺς γε-
17 *νέσθαι. ἴσθι δ' ὅτι οὐ σὺ μᾶλλον τὰς ἐκείνων γυναῖκας*
καὶ παῖδας λαβεῖν ἐπιθυμεῖς ἢ ἐκεῖνοι σῶσαι. ἐννόει δ' ὅτι

πάλαι G. corr. s. v. r. *τε*] *τε καὶ* D. *αὐτὸ*] *αὐτὸ τοῦτο* D. *εἶπε δ'*] *εἶπεν* A. *εἶ* et *πε* s. v. r. G. 14. *ὦ κῦρε ἀλλ'*] *ἀλλ' ὦ κῦρε* D. *τῶν ἄλλων μᾶλλον*] *μάλιστα* D. *ἀνθρώπων*] *εὖ ἀνθρώπων* A.G. *διακεῖσθε* D. *μᾶλλον*] *μάλιστα* A.D. *συμφέρει* D. *ἡδονὴ παρέχει* A. *ἡδονὴν παρέχει* G. et *τί* s.v.r. *εὐτυχία* A.G. 15. *σωφρόνως*] *σοφῶς* A.B. corr. s. v. G. corr. mg. r. *γηρᾶν*] *θηρᾶν αὐτήν* A.G., sed hic *γ* s. v. r. *ἀπλήστως*] *η* hic et infra in ras. D. *παύεσθαι* D. *πλέοντας* post *ἐθέλοντας* A.G. *ἀπολέσθαι*] *ἕως ἂν ἀπόλωνται* D. *καὶ τὴν*] *τὴν* D. 16. *πόστῳ*] *πρὸς τῷ* G. pr., ut videtur. *αὐτῶν μέρει* D. *οἱ δ' ἄλλοι—εἰ μὲν* om. A.G. mg. r. *ἀναγκάσομεν* Weckherlinus. *ἀναγκάσωμεν* A.G. *ἀναγκάσοιμεν* D. *αὐτοὺς* D. *ἀπιᾶσιν* A.G. *ὅτι*] *ὅτι καὶ* D. *κινδυνεύσουσιν* D. *κἂν*] *καὶ* G. *εἰ* s. v. r. *καὶ εἰ* D. 17. *δ'*] *γὰρ* D. *τὰς* om. D. *ἐπιθυμεῖς λαβεῖν* D. *ἐννόει ὅτι αἱ ὗες ἐπὰν ὀφθῶσιν* D.

εὐθυμίαν] Describit 4, 5, 8. ZEUN.

14. Egregie fingitur persona Cyaxaris, qui pulcris utitur sententiis ad ignaviam suam tegendam. Sic in comœdiis, ut quisque est ignavissimus, ita maxime sententiosus reperitur. Conf. Donatus ad Terent. Phorm. 1, 1, 7. ZEUN.

ἄμαχοι] *ὁ μὴ μαχόμενος* (potius *ὁ μήπω μεμαχημένος*) ex h. l. Suidas.

καὶ αἱ σύες ἐπειδὰν ὀφθῶσι, φεύγουσι, κἂν πολλαὶ ὦσι, σὺν τοῖς τέκνοις· ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων, οὐκέτι φεύγει οὐδ' ἣν μία τύχῃ οὖσα, ἀλλ' ἵεται ἐπὶ
18 τὸν λαμβάνειν πειρώμενον. καὶ νῦν μὲν κατακλείσαντες ἑαυτοὺς εἰς ἔρυμα παρέσχον ἡμῖν ταμιεύεσθαι ὥστε ὁπόσοις ἐβουλόμεθα αὐτῶν μάχεσθαι· εἰ δ' ἐν εὐρυχωρίᾳ πρόσιμεν αὐτοῖς καὶ μαθήσονται χωρὶς γενόμενοι οἱ μὲν κατὰ πρόσωπον ἡμῖν ὥσπερ καὶ νῦν ἐναντιοῦσθαι, οἱ δ' ἐκ πλαγίου, οἱ δὲ καὶ ὄπισθεν, ὅρα μὴ πολλῶν ἑκάστῳ ἡμῶν χειρῶν δεήσει καὶ ὀφθαλμῶν. προσέτι δ' οὐδ' ἂν ἐθέλοιμι, ἔφη, ἐγὼ νῦν, ὁρῶν Μήδους εὐθυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύσοντας ἰέναι.

19 Καὶ ὁ Κῦρος ὑπολαβὼν εἶπεν, Ἀλλὰ σύγε μηδένα [9] ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός· καὶ ἴσως ἄν σοι καὶ τῶν σῶν φίλων τούτων ἥκοιμεν ἑκάστῳ ἄγοντες ἐφ' οἷς ἅπαντες εὐθυμήσεσθε. τὸ μὲν γὰρ πλῆθος ἡμεῖς γε τῶν πολεμίων οὐδὲ διωξόμεθα· πῶς γὰρ ἂν καὶ καταλάβοιμεν; ἢν δέ τι ἀπεσχισμένον τοῦ στρατεύματος λάβωμεν ἤ τι ὑπολειπόμενον, ἥξομεν πρὸς σὲ ἄγοντες.
20 ἐννόει δ', ἔφη, ὅτι καὶ ἡμεῖς, ἐπεὶ σὺ ἐδέου, ἤλθομεν σοὶ χαριζόμενοι μακρὰν ὁδόν· καὶ σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντι-

ἐπειδὴ A.G. φεύγειν A. οὐδὲ ἂν μία τύχοι D. ἵεται A.G. 18. αυτοὺς sine spiritu D. ταμιεύσασθαι D. ὥστε—μάχεσθαι om. A.G. mg. r. προσίεμεν D. μαχήσονται A.G. ἐναντιοῦσθαι] ἀντίοις ἐξ ἐναντίου A.G. ἐναντιοῦσθαι in ἐναντίοι mutat et ἐξ ἐναντίου s. v. r. D. πλαγίου] καὶ ἄλλοι ἐκ τοῦ ἑτέρου πλαγίου add. D. καὶ ὀ. καὶ χ. δεήσει D. πρὸς δ' ἔτι ἔφη οὐ βουλοίμην ἔγωγε νῦν D. ἐθέλοιμι, ἔφη Poppo. ἐθέλοιμεν ἢ A.G. pr. ἐθέλοιμι G. corr. ὁρῶ A.G. pr. solus. ἀναγκάζειν] κινδυνεύειν ἀναγκάζειν A.L. et punctis sub κινδυνεύειν positis G. 19. μηδένα A. μηδένα post ἀλλὰ D. ἑκάστῳ ἥκοιμεν D. πάντες D. γε] τε A.G. pr. οὐ D. ἢν] ἐὰν D. δέ τι] δέ τι ἢ D. ἐπιλειπόμενον A.G. corr. s. v. r. 20. ἐπεὶ] ἐπειδὴ D. ἀντιχαρίζεσθε A.D. pr.

17. *αἱ σύες*] Similia Cyneg. 10, 23. HUTCH. De forma dixi ad Thes. Steph.

18. *Μήδους*] Simulat se aliorum causa facere quod ipse maxime cupiebat sua causa. ZEUN.

κινδυνεύσοντας ἰέναι] Sic 5, 5, 21. Anab. 5, 3, 6.

μαθήσονται] Speciosam librorum meliorum scripturam redarguit forma *μαχήσομαι*, quod *μαχοῦμαι* dicturum fuisse Xenophontem ostendunt quæ de aliena ab antiquioribus forma priori diximus ad Thes. Steph.

19. *ὑπολειπόμενον*] Ut meliores, sic omnes Anab. 1, 8, 18: *Ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ἐπιλειπόμενον ἤρξατο δρόμῳ θεῖν.* Sed quum tot aliis locis sit *ὑπολείπεσθαι* et apud Xenophontem, ut in simillimo Hipparch. 7, 9: *Πορευομένων ἀταξίᾳ οἱ μὲν προέρχονται, οἱ δὲ ὑπολείπονται πλέον τοῦ καιροῦ*, et apud alios omnes, nunc mihi utroque scribendum videtur *ὑπολειπόμενον*.

χαρίζεσθαι, ἵνα καὶ ἔχοντές τι οἴκαδ' ἀφικώμεθα καὶ μὴ εἰς
21 τὸν σὸν θησαυρὸν πάντες οἵδε ὁρῶμεν. ἐνταῦθα δὴ ἔλεξεν ὁ [10
Κυαξάρης, Ἀλλ' εἴ γε μέντοι ἐθέλων τις ἕποιτο, καὶ χάριν
ἔγωγέ σοι εἰδείην ἄν. Σύμπεμψον τοίνυν μοί τινα, ἔφη,
τῶν ἀξιοπίστων τούτων, ὃς ἐρεῖ ἃ ἂν σὺ ἐπιστείλῃς.
22 Λαβὼν δὴ ἴθι ὅντινα ἐθέλεις τούτων. ἔνθα δὴ ἔτυχε παρὼν
ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι καὶ φιληθείς. εὐθὺς
οὖν ὁ Κῦρος εἶπεν, Ἀρκεῖ μοι, ἔφη, οὑτοσί. Οὗτος τοίνυν
σοι ἑπέσθω. καὶ λέγε σύ, ἔφη, τὸν ἐθέλοντα ἰέναι μετὰ
23 Κύρου. οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῄει. ἐπεὶ δ' ἐξῆλθεν, [11
ὁ Κῦρος εἶπε, Νῦν δὴ σὺ δηλώσεις εἰ ἀληθῆ ἔλεγες, ὅτε
ἔφης ἥδεσθαι θεώμενος ἐμέ. Οὔκουν ἀπολείψομαί γέ σου,
ἔφη ὁ Μῆδος, εἰ τοῦτο λέγεις. Οὐκοῦν καὶ ἄλλους, ἔφη,
προθύμως ἐξάξεις; ἐπομόσας οὖν ἐκεῖνος Νὴ τὸν Δί',
24 ἔφη, ἔστε γ' ἂν ποιήσω καὶ σὲ ἐμὲ ἡδέως θεᾶσθαι. τότε δὴ
καὶ ἐκπεμφθεὶς ὑπὸ τοῦ Κυαξάρου τά τε ἄλλα προθύμως
ἀπήγγελλε τοῖς Μήδοις καὶ προσετίθει ὅτι αὐτός γε οὐκ
ἀπολείψοιτο ἀνδρὸς καλλίστου καὶ ἀριστου, καὶ τὸ μέγιστον, ἀπὸ θεῶν γεγονότος.

τὸν] τὸ D. pr. οἵδε om. D. ἂν om. A.G., ut κἂν pro καὶ scribendum videatur. σύμπεψον G. pr. μοι τῶν ἀ. τούτων τινά, ὃς D. ἐπιστέλῃς D. δὴ om. D. ἴθι] ἴθι ἔφη D. τουτωνί D. 22. ἔτυχεν ὢν A. ἔτυχεν ὢν sic, sed ν in ras. a corr., qui affecit etiam sequens ο, spiritumque ei fortasse imposuit, D. ἐτύγχανεν ὢν G., sed παρὼν mg. r., ut L. mg. ead. m. M. φιληθεὶς] παρών add. D. ἀρκεῖ, ἔφη, ἔμοιγε D. οὑτοσίν A. σοι] ἔφη σοι D.G. s.v. r. σοι ἔφη L. θέλοντα D.G. 23. ὁ] εὐθὺς ὁ D. νῦν δὴ—λέγεις. καὶ ὁ κῦρος εἶπεν D. mg. ead. m. ὅτε] ὅτι fortasse G. pr., qui ε in ras. ἥδεσθαί με θεώμενος D. εἰ] εἰς G. pr. λέγεις] καὶ ὁ κῦρος εἶπεν add. D. καὶ ὁ κῦρος G. mg. r. ἔφη om. D. ἐξάξεις] ἀξάξεις A. ἐξα in lit. D., qui pr. fortasse λέξεις, ut H., qui ἄλλοις, sed utrumque corr. mg. ἐπομόσας οὖν ἐκεῖνος] κἀκεῖνος ἐπομόσας D. ἔστε γ' ἂν vel ἔστε γ' ἂν A. ἕως ἄν γε D. ἕως ἂν G. corr., pr. ἔστε γ', quod erasum. ἔστι γ' ἂν L. corr., mg. al. m. γρ. ἕως. ἡδέως ἐμὲ D. θεάσασθαι A.G. 24. τότε F.G. corr. ὅτε A.D.G. pr. καὶ om. D. κυαξάρουσ puncto sub σ posito D. ἀπήγγειλεν D. ἀπήγγειλε G. ἀπήγγελε L. pr. ἀπήγγειλε corr. αὐτός τε D. αὐτοί—ἀπολείψοιντο A.G. pr. αὐτὸς—ἀπολείψοιντο L. ν puncto notans. καλλίστου καὶ om. D.

22. ποτε] 1, 4, 27. Conf. 6, 1, 9.

οὑτοσι] De forma οὑτοσὶν v. Thes. Steph.

23. ἔφης] 1, 4, 28. Apud Dionem Chr. Or. 59, vol. 2, p. 306, ἔφησθα codex pro ἔφης, quod suspectum etiam Or. 14, vol. 1, p. 438, ubi v. Reiskius, ut Xenophonteo formæ a Phrynicho p. 236: Ἔφης· ἔστι μὲν παρὰ τοῖς ἀρχαίοις, ἀλλ' ὀλίγον· τὸ δὲ πλεῖστον ἔφησθα, non omnino improbatæ exemplo pariterque Platonis et Oratorum nonnullis nihilo plus tribuendum videatur, quum omnes altera quoque utantur. Paullo ante malis ἐξῆλθον.

οὔκουν ἀπολείψομαί γέ σου] Conf. 7, 5, 73.

24. ἀπὸ θεῶν γεγονότος] A Perseo Jovis f., 1, 2, 1. Conf. 7, 2, 24.

ΚΕΦ. Β.

Πράττοντος δὲ τοῦ Κύρου ταῦτα θείως πως ἀφικνοῦνται ἀπὸ Ὑρκανίων ἄγγελοι. οἱ δὲ Ὑρκάνιοι ὅμοροι τῶν Ἀσσυρίων εἰσὶν, ἔθνος δ' οὐ πολύ· διὸ καὶ ὑπήκοοι ἦσαν τῶν Ἀσσυρίων· εὔιπποι δὲ καὶ τότε δὴ ἐδόκουν καὶ νῦν δοκοῦσιν εἶναι· διὸ καὶ ἐχρῶντο αὐτοῖς οἱ Ἀσσύριοι ὥσπερ καὶ οἱ Λακεδαιμόνιοι τοῖς Σκιρίταις, οὐδὲν φειδόμενοι αὐτῶν οὔτ' ἐν πόνοις οὔτ' ἐν κινδύνοις· καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν ἐκέλευον αὐτοὺς ὡς χιλίους ἱππέας ὄντας, ὅπως εἴ τι ὄπισθεν δεινὸν εἴη, ἐκεῖνοι πρὸ αὐτῶν τοῦτ'
2 ἔχοιεν. οἱ δὲ Ὑρκάνιοι, ἅτε μέλλοντες ὕστατοι πορεύ- [2]
εσθαι, καὶ τὰς ἁμάξας τὰς ἑαυτῶν καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον. στρατεύονται γὰρ δὴ οἱ κατὰ τὴν Ἀσίαν ἔχοντες οἱ πολλοὶ μεθ' ὧνπερ οἰκοῦσι· καὶ τότε δὴ ἐστρα-
3 τεύοντο οὕτως οἱ Ὑρκάνιοι. ἐννοηθέντες δὲ οἷά τε πάσχουσιν ὑπὸ τῶν Ἀσσυρίων καὶ ὅτι νῦν τεθναίη μὲν ὁ ἄρχων αὐτῶν, ἡττημένοι δ' εἶεν, φόβος δ' ἐνείη τῷ στρατεύματι,

1. ταῦτα τοῦ κύρου D. ἀπὸ] ὑπὸ G. pr. τῶν] μὲν τῶν D.G. s. v. r. πολλοί G. τῶν ἀ. ἦσαν D. Priscian. 18, 30, 299, citans διὸ—ἦσαν. εὔιπποι Fischerus. Libri ἔφιπποι. καὶ om. D. δὴ] δὲ A. om. D. ἐδόκουν εἶναι καὶ νῦν—ἔτι δοκοῦσιν D. κιρίταις A. σκειρίταις D. ἱππέας—ὅπως] ὄντας ἱππέας ἵνα D. ἑαυτῶν D. ταῦτ' A. 2. ἁμάξας τὰς] ἁμάξας A.G. pr., τὰς mg. in fine versus γ. Idem mg. ἔθος τῶν Ὑρκανίων τοῦ στρατεύεσθαι. δὴ] οἱ D. pr. κατὰ A.G. οἱ κατὰ D. pr. δὴ κατὰ corr. οἰκοῦσι] καὶ οἰκοῦσιν D. οἱ ὑ. οὕτως D. 3. ἡσσώμενοι G. δ' ἐνείη] δὲ πολὺς εἴη D. πολὺς post φόβος s. v. r. G. ante δ' ἐνείη add. L.

1. *οἱ δὲ Ὑρκάνιοι*] At secundum Ptolemæum, Strabonem aliosque tam veteres quam recentiores geographos tota fere Media inter Hyrcaniam jacet et Assyriam. Et aliis quidem de causis hæc Xenophontea gentis istius descriptio incolis Hyrcaniæ juxta mare Caspium sitæ parum accommodata videtur. HUTCH. Conf. quæ de Bactriis dicentur ad 5, 1, 3, et de Indis dicta ad 3, 2, 25.

ἔφιπποι] Philelphus vertit *strenui equites:* unde Fischerus *εὔιπποι*, ut infra 5, 5, 5, est de iisdem Hyrcanis. SCHN. Vertere sic potuit Philelphus etiam *ἔφιπποι*.

Σκιρίταις] *λόχος Σκιρίτης* erat ex Arcadibus sociis selectus, in comitatu regio, et in cornu sinistro positus pugnabat. Thucyd. 7, 67, Diodor. 15, 63, Xenoph. de Laced. rep. 13, 6. SCHN. Erant autem pedites levis armaturæ.

ὡς cum *χιλίους* jungendum.

2. *στρατεύονται*] Morem eundem Persarum memorat Herodotus 7, 83, Curtius 4, 14, 11, Germanorum Tacitus Germ. 7 et 8. SCHN. Maxim. Tyr. Diss. 30, 7, addit Hutch. V. ad 4, 3, 2.

οἰκέτας] Schol. Aristid. p. 520, 16: *Οἰκέται*] *ἐνταῦθα οὐ λέγει δούλους, ἀλλ', ὡς Ξενοφῶν, τοὺς οἰκείους οὕτως ἐκάλεσεν.* Eandem signif. Pollux, Hesychius aliique notant grammatici.

3. *ἐννοηθέντες—ἔδοξεν αὐτοῖς*] V. ad 6, 1, 31.

οἱ δὲ σύμμαχοι αὐτῶν ὡς ἀθύμως ἔχοιεν καὶ ἀπολείποιεν,
ταῦτα ἐνθυμουμένοις ἔδοξεν αὐτοῖς νῦν καλὸν εἶναι ἀπο-
στῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ Κῦρον συνεπιθέσθαι. καὶ πέμ-
πουσιν ἀγγέλους πρὸς Κῦρον· ἀπὸ γὰρ τῆς μάχης τὸ
4 τούτου ὄνομα μέγιστον ηὔξητο. οἱ δὲ πεμφθέντες λέγουσι [3]
Κύρῳ ὅτι μισοῖέν τε τοὺς Ἀσσυρίους δικαίως, νῦν τ', εἰ
βούλοιτο ἰέναι ἐπ' αὐτούς, καὶ σφεῖς σύμμαχοι ὑπάρξοιεν
καὶ ἡγήσοιντο· ἅμα δὲ πρὸς τούτοις διηγοῦντο τὰ τῶν
πολεμίων ὡς ἔχοι, ἐπαίρειν βουλόμενοι μάλιστα στρατεύ-
5 εσθαι αὐτόν. καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς, Καὶ δοκεῖτε ἄν,
ἔφη, ἔτι ἡμᾶς καταλαβεῖν αὐτοὺς πρὶν ἐν τοῖς ἐρύμασιν
εἶναι; ἡμεῖς μὲν γάρ, ἔφη, μάλα συμφορὰν τοῦτο ἡγού-
μεθα ὅτι ἔλαθον ἡμᾶς ἀποδράντες. ταῦτα δ' ἔλεγε βουλό-
6 μενος αὐτοὺς ὡς μέγιστον φρονεῖν ἐπὶ σφίσιν. οἱ δὲ ἀπε-
κρίναντο ὅτι καὶ αὔριον ἕωθεν εἰ εὔζωνοι πορεύοιντο, κατα-
λήψοιντο· ὑπὸ γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ πο-
ρεύεσθαι αὐτούς· καὶ ἅμα, ἔφασαν, τὴν προτέραν νύκτα
ἀγρυπνήσαντες νῦν μικρὸν προελθόντες ἐστρατοπέδευνται.

οἱ δὲ] οἵ τε D. ξύμμαχοι G. ὡς om. D. ἐνθυμουμένοις] ου s. v. D. νῦν] καὶ ὡς νῦν D. οἱ s. v. al. m. D. ἀμφὶ] μ s. v. D. συνέπεσθαι A.G. συνεπιθέσθαι D. τὸ τούτου] τούτου A.G. ηὔξετο D. 4. τε om. D. τ'] δ' G. βούλοιντο G. s. v. r. σφεῖς] σφῖν L. ιν s. v. G. ὑπάρχοιεν A.G. ἡγήσαιντο D. ν s. v. posito. ἔχοιεν D., addens οἷα δὴ punctis notatum, ὡς δὴ L. mg. r. μάλιστα] ὡς μάλιστα D. 5. ἡμᾶς ἔτι D. ἡγούμεθα] εἶναι add. D. σφῖσιν A.D. pr. 6. καὶ ἦν αὔριον ἕωθεν εὔζωνοι πορεύοιντο A.G., sed εἰ L. mg. r. post ἕωθεν. ἦν post καὶ mg. r. add. et spiritum super ε in ε mutat D. κἂν αὔριον ἕ. π. εὔζωνοι Zonaras p. 151 D. ἀμαξῶν A.G. pr. σχολῇ] ἤγουν μόλις L. mg. al. m. τὴν] ἅτε τὴν D. προελθόντες Zeunius. προσελθόντες A.G. πορευθέντες D. ἐστρατοπεδεύκασιν D. pr.

τὸ τούτου ὄνομα μέγιστον ηὔξητο] Plato Tim. p. 72 D: Μέγας καὶ ὕπουλος αὐξάνεται. Reip. 8, p. 565 C: Τοῦτον τρέφειν τε καὶ αὔξειν μέγαν.

5. μάλα συμφορὰν τοῦτο ἡγούμεθα] V. ad H. Gr. 6, 2, 39.

ἐπὶ σφίσιν] Cyri copiis.

αὔριον ἕωθεν εἰ εὔζωνοι πορεύοιντο] εἰ sic postpositum supra 1, 6, 9, et H. Gr. 6, 1, 9: Οἶμαι ἂν αὐτῶν εἰ καλῶς τις ἐπιμελοῖτο etc.

ἕωθεν — πορεύοιντο] Persæ ante ortum solem exercitum non movebant, teste Curtio 3, 3. Conf. Herodot. 7, 54. HUTCH.

εὔζωνοι] Morier, *A second Journey through Persia*, p. 209: "He (the Persian *chappar*, or courier) wore a long linen bandage that was tightly wound about him in many folds, which the Persians say is of great support to the body. This will perhaps explain what Herodotus means by εὐζώνῳ ἀνδρί. If it be intended to denote a man on foot, the many bandages with which the Persian *cossids*, or foot-messengers, bind themselves, will also afford a good illustration. They are generally so tightly zoned that they can scarcely stoop, and they also bandage their legs, and tighten their trowsers, to be less encumbered in walking."

7 καὶ ὁ Κῦρος ἔφη, Ἔχετε οὖν ὧν λέγετε πιστόν τι ἡμᾶς [4]
διδάσκειν ὡς ἀληθεύετε; Ὁμήρους γ', ἔφασαν, ἐθέλομεν
αὐτίκα ἐλάσαντες τῆς νυκτὸς ἀγαγεῖν· μόνον καὶ σὺ ἡμῖν
πιστὰ θεῶν πεποίησο καὶ δεξιὰν δὸς, ἵνα φέρωμεν καὶ τοῖς
8 ἄλλοις ταὐτὰ ἅπερ ἂν αὐτοὶ λάβωμεν παρὰ σοῦ. ἐκ τού-
του πιστὰ δίδωσιν αὐτοῖς ἦ μὴν, ἐὰν ἐμπεδώσωσιν ἃ λέ-
γουσιν, ὡς φίλοις καὶ πιστοῖς χρήσεσθαι αὐτοῖς, ὡς μήτε
Περσῶν μήτε Μήδων μεῖον ἔχειν παρ' ἑαυτῷ. καὶ νῦν
ἔστιν ἔτι ἰδεῖν Ὑρκανίους καὶ πιστευομένους καὶ ἀρχὰς
ἔχοντας, ὥσπερ καὶ Περσῶν καὶ Μήδων οἳ ἂν δοκῶσιν
ἄξιοι εἶναι.
9 Ἐπεὶ δ' ἐδείπνησαν, ἐξῆγε τὸ στράτευμα ἔτι φάους [5]
ὄντος, καὶ τοὺς Ὑρκανίους περιμένειν ἐκέλευσεν, ἵνα
ἅμα ἴοιεν. οἱ μὲν δὴ Πέρσαι, ὥσπερ εἰκὸς, πάντες ἔξω
10 ἦσαν, καὶ Τιγράνης ἔχων τὸ αὑτοῦ στράτευμα· τῶν δὲ
Μήδων ἐξῆσαν οἱ μὲν διὰ τὸ παιδὶ ὄντι Κύρῳ παῖδες
ὄντες φίλοι γενέσθαι, οἱ δὲ διὰ τὸ ἐν θήραις συγγενόμενοι
ἀγασθῆναι αὐτοῦ τὸν τρόπον, οἱ δὲ διὰ τὸ καὶ χάριν εἰδέ-
ναι ὅτι μέγαν αὐτοῖς φόβον ἀπεληλακέναι ἐδόκει, οἱ δὲ καὶ
ἐλπίδας ἔχοντες διὰ τὸ ἄνδρα φαίνεσθαι ἀγαθὸν καὶ εὐτυχῆ
καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσεσθαι αὐτὸν, οἱ δὲ, ὅτε ἐτρέφετο ἐν
Μήδοις, εἴ τι ἀγαθόν τῳ συνέπραξεν, ἀντιχαρίζεσθαι ἐβού-

7. διδάσκειν om. A.G. mg. r. ἐθέλομεν ἐλάσαντες αὐτίκα D. θέλομεν αὐτίκα ἐλάσαντες A.G. θεῶν τε πιστὰ ποίησον D. τὰ αὐτὰ A.G. ταῦτα D. 8. πιστὰ] τὰ πιστὰ D. ἦ] εἰ G. corr. ἐὰν D. pr. ἂν A.G. ἐμπεδῶσιν D. λέγωσιν A.G. μεῖον] πλεῖον D. pr. ἑαυτῷ E. ἑαυτοῦ A.D.G. καὶ νῦν δ' ἔτ' ἔτι ἰδεῖν ἐστιν D., eraso δ' et punctis sub ἔτ' positis. 9. ἐπεὶ] ἐπειδὴ D. φάους] φωτὸς D.G. mg. r. ὄντος καὶ αὐτὸς καὶ τοὺς ὑρκανίους μένειν ἅμα ἴοιεν G., sed περι ante μένειν et ἐκέλευσεν ἵνα post hoc s. v. r. ὄντος καὶ αὐτὸς καὶ τοὺς ὑ. περιμένειν ἐκέλευσεν, ἵνα ἅμα ἴοιεν L. ὄντος] καὶ αὐτὸς add. A.G. ὑρκανοὺς D. ἐκέλευεν D. δὴ] γὰρ A.G. πάντες ὥσπερ εἰκὸς εὐθὺς ἔξω D. ἑαυτοῦ D. αὐτοῦ A.G. 10. Libri ἐξῄεσαν. κύρῳ ὄντι D. τὸ καὶ] τὸ D. χάριν] χάριν εὖ A. χάριν αὖ G. ἐδόκει] ἐκεῖ D. εἴ τινι ἀγαθόν τι συνέπραξεν D. Super τι erasum quid, quasi νι, G. ἔπραξεν A.G. ἠβούλοντο A.G.

7. διδάσκειν] Zonaras p. 151 C: Καὶ ὁ Κῦρος πίστεις ᾔτει ὡς ἀληθεύοιεν.

δεξιὰν δὸς] Conf. 8, 8, 2. Diodor. 16, 43, ubi πίστις βεβαιοτάτη παρὰ τοῖς Πέρσαις dicitur. ZEUN. Δεξιὰς φέρειν παρὰ βασιλέως, ut hic, Anab. 2, 4, 1.

8. πιστὰ δίδωσιν αὐτοῖς] Anab. 7, 4, 22: Πιστὰ λαμβάνειν ἐκέλευον.

καὶ νῦν ἔστιν ἔτι ἰδεῖν] 8, 6, 5: Καὶ νῦν εἰσὶν ἔτι τοῖς ἀπογόνοις τῶν τότε κ. τ. λ.

9. φάους] Sic 26, (28 φάος,) Œcon. 9, 3. ZEUN. V. de hac forma Thes. Steph.

10. συνέπραξεν] Cum ἔπραξεν conferas 5, 5, 14: Ἐὰν δὲ δὴ καὶ ἀγαθά σοι πε-

λοντο· πολλοῖς δὲ πολλὰ διὰ φιλανθρωπίαν παρὰ τοῦ
πάππου ἀγαθὰ διεπέπρακτο· πολλοὶ δ', ἐπεὶ καὶ τοὺς Ὑρ-
κανίους εἶδον καὶ λόγος διῆλθεν ὡς ἡγήσοιντο ἐπὶ πολλὰ
11 ἀγαθά, ἐξῆσαν καὶ τοῦ λαβεῖν τι ἕνεκα. οὕτω δὴ ἐξῆλθον [6]
σχεδὸν πάντες καὶ οἱ Μῆδοι πλὴν ὅσοι σὺν Κυαξάρῃ
ἔτυχον σκηνοῦντες· οὗτοι δὲ κατέμενον καὶ οἱ τούτων ὑπή-
κοοι· οἱ δ' ἄλλοι πάντες φαιδρῶς καὶ προθύμως ἐξωρμῶν-
το, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάριτος ἕνεκα ἐξι-
12 όντες. ἐπεὶ δ' ἔξω ἦσαν, πρῶτον μὲν πρὸς τοὺς Μήδους
ἐλθὼν ἐπῄνεσέ τε αὐτοὺς καὶ ἐπηύξατο μάλιστα μὲν θεοὺς
αὐτοῖς ἵλεως ἡγεῖσθαι καὶ σφίσιν, ἔπειτα δὲ καὶ αὐτὸς δυ-
νασθῆναι χάριν αὐτοῖς ταύτης τῆς προθυμίας ἀποδοῦναι.
τέλος δ' εἶπεν ὅτι ἡγήσοιντο μὲν αὐτοῖς οἱ πεζοί, ἐκείνους
δ' ἕπεσθαι σὺν τοῖς ἵπποις ἐκέλευσε· καὶ ὅπου ἂν ἀναπαύ-
ωνται ἢ ἐπίσχωσι τῆς πορείας, ἐνετείλατο αὐτοῖς πρὸς
13 αὑτὸν παρελαύνειν τινάς, ἵνα εἰδῶσι τὸ ἀεὶ καίριον. ἐκ [7]
τούτου ἡγεῖσθαι ἐκέλευε τοὺς Ὑρκανίους. καὶ οἳ ἠρώτων
Τί δέ, οὐ γὰρ ἀναμένεις, ἔφασαν, τοὺς ὁμήρους ἕως ἂν
ἀγάγωμεν, ἵνα ἔχων καὶ σὺ τὰ πιστὰ παρ' ἡμῶν πορεύῃ;
καὶ τὸν ἀποκρίνασθαι λέγεται, Ἐννοῶ γάρ, φάναι, ὅτι
ἔχομεν τὰ πιστὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς καὶ ταῖς ἡμετέ-

παρὰ] διὰ D. παρὰ s. v. ead. m. ἐπεὶ καὶ] ἐπεὶ D. λόγος διῆλθεν] λόγος διεδόθη D., sed ut erasum sit aliquid super ος. λόγος ἐδόθη G. corr., ut ἐδόθη sit in ras. et ς videatur ex parte corr., ut pr. habuisse videatur quod L. λόγους διῆλθον. λόγος ἐδόθη G. mg. r. L. ead. m., ut G. idem habeat in mg. quod in textu corr. Libri ἐξήεσαν. 11. οὕτω δὴ καὶ μῆδοι σχεδὸν ἅπαντες ἐξῆλθον D. κυαξάρει D. κατέμειναν D. οὕνεκα A.G. ἐξιόντες] ο in ras. D. 12. ἐλθὼν] ἐξ s. v. r. G. ἐξελθὼν L. ἐπεύξατο A.D. pr. ἵλεως] ἡδέως D. pr., corr. in λ. ἡγεῖσθαι] ὄντας ἡγεῖσθαι D. σφῖσιν A.D. δυνασθῆναι] η s. v. r. et puncta sub ασ G. δυνηθῆναι D. et corr. L., pr. ασ vel ησ. δ'] δ' οὖν D. ἐκέλευεν D. ἂν] ἢ add. D.G. s. v. r. ἀναπαύωνται] ω in ras. et lit. G. ἐπιστήσωσι A.G. ἐνετείλατο] ἐκέλευσεν D. αὑτὸν] αὐτὸν A.G. ἑαυτὸν D. ἴδωσι G. pr. ἀεὶ] δὴ A.G. 13. ἐκέλευσεν D. οὐκ ἀναμένεις D. ἔφασαν] ὡς ἐπαγγείλαντο add. G. mg. m. recentiss. in ras. καὶ σὺ ἔχων D. ἔχομεν] ἔχωμεν πάντες D. πάντες add. etiam G. mg. r.

πραχὼς δῆλος ὦ. Sed cum συνέπραξεν melius convenit διεπέπρακτο, quod cum illo sic conjungitur Anab. 7, 4, 12, 13.

λόγος διῆλθεν] Anab. 1, 4, 7: Διῆλθε λόγος ὅτι διώκει αὐτοὺς Κῦρος, ubi deteriores διῆλθεν ὁ λόγος, ut omnes Thucydidis 6, 46: Ἐπειδὴ διῆλθεν ὁ λόγος ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ τὰ χρήματα.

12. ἐπίσχωσι τῆς πορείας] Anab. 3, 4, 36: Χρόνον μέν τινα ἐπέσχον τῆς πορείας οἱ βάρβαροι.

ραις χερσίν. οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι ὡς ἢν μὲν
ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν· ἢν δὲ ἐξαπατᾶτε,
οὕτω νομίζομεν ἔχειν ὡς οὐχ ἡμᾶς ἐφ' ὑμῖν ἔσεσθαι, ἀλλὰ
μᾶλλον, ἢν οἱ θεοὶ θέλωσιν, ὑμᾶς ἐφ' ἡμῖν γενέσθαι. καὶ
μέντοι, ἔφη, ὦ Ὑρκάνιοι, ἐπείπερ φατὲ ὑστάτους ἕπεσθαι
τοὺς ὑμετέρους, ἐπειδὰν ἴδητε αὐτούς, σημήνατε ἡμῖν ὅτι οἱ
14 ὑμέτεροί εἰσιν, ἵνα φειδώμεθα αὐτῶν. ἀκούσαντες δὲ ταῦτα [8]
οἱ Ὑρκάνιοι τὴν μὲν ὁδὸν ἡγοῦντο ὥσπερ ἐκέλευε, τὴν δὲ
ῥώμην τῆς ψυχῆς ἐθαύμαζον· καὶ οὔτε Ἀσσυρίους οὔτε
Λυδοὺς οὔτε τοὺς συμμάχους αὐτῶν ἔτι ἐφοβοῦντο, ἀλλὰ
μὴ παντάπασιν ὁ Κῦρος μικράν τινα αὐτῶν οἴοιτο ῥοπὴν
εἶναι καὶ προσόντων καὶ ἀπόντων.

15 Πορευομένων δὲ ἐπεὶ νὺξ ἐπεγένετο, λέγεται φῶς τῷ
Κύρῳ καὶ τῷ στρατεύματι ἐκ τοῦ οὐρανοῦ προφανὲς γενέ-
σθαι, ὥστε πᾶσι μὲν φρίκην ἐγγίγνεσθαι πρὸς τὸ θεῖον,
θάρρος δὲ πρὸς τοὺς πολεμίους. ὡς δ' εὔζωνοί τε καὶ ταχὺ
ἐπορεύοντο, εἰκότως πολλήν τε ὁδὸν διήνυσαν καὶ ἅμα
κνέφᾳ πλησίον γίγνονται τοῦ τῶν Ὑρκανίων στρατεύμα-
16 τος. ὡς δ' ἔγνωσαν οἱ ἄγγελοι, καὶ τῷ Κύρῳ λέγουσιν ὅτι [9]
οὗτοί εἰσιν οἱ σφέτεροι· τῷ τε γὰρ ὑστάτους εἶναι γιγνώ-
17 σκειν ἔφασαν καὶ τῷ πλήθει τῶν πυρῶν· ἐκ τούτου πέμπει
τὸν ἕτερον αὐτῶν πρὸς αὐτούς, τάξας λέγειν, εἰ φίλοι
εἰσὶν, ὡς τάχιστα ὑπαντᾶν τὰς δεξιὰς ἀνατείναντας· συμ-

ἢν—ἢν] ἐὰν—ἐὰν D. ἐξαπατῆτε A.G. corr. s. v. r. νομίζωμεν D. pr. οὐχ ἡμᾶς] μὴ ἡμᾶς D., qui post ὑμῖν (pr. ἡμῖν, ut A.) mg. r. (resectum et detritum initium) σθαι, ἀλλὰ ἢν οἱ (θε)οὶ θελωσιν, ὑμᾶς (ἐ)φ' ἡμῖν. γενέσθαι] γενήσεσθαι D., ησ punctis notans. ἐπειδήπερ D. ἔφατε A.G. ἕπεσθαι] πορεύεσθαι D. σημήνατε] σημάνετε A. σημαίνετε D. σημάνετε G. pr., sed ι post ι inserto ν. σημένετε L., sed corr. in altero ε. ὑμέτεροι Brodæus. Libri ἡμέτεροι. 14. ἀκούοντες D. δὲ om. D. οὔτε—οὔτε] οὐχὶ τοὺς ἀ. οὐδὲ τοὺς λ. οὐδὲ D. ἔτι om. A.G. s. v. r. αὐτῶν] ἑαυτῶν D. προσόντων] παρόντων D. 15. ἐγένετο D. προφανῶς D., ε s. v. ead. m. φρίκην D. mg. r. πρὸς τὸ θεῖον ἐ. D. δ'] τ' A.G. κνέφᾳ G. κνέφαι A. κνέφαϊ D. 16. ὡς δ'] ὥστ' A.G. καὶ—λέγουσιν] λέγουσιν τῷ κύρῳ D. πλήθη A. 17. τάξας] προστάξας D. ὑπαντᾶν] α s. v. r. G. ἀπατᾶν, et ν s. v. r. D. τινα] *unum* Philelphus. τινας A.D.G.

13. σημήνατε] Male α pro η inferunt nonnulli, ut 4, 5, 36. Quod recte damnat Phrynichus p. 24 Lob. et p. 62, 19 Bekk. Restitui vero aoristum.
15. φῶς] Conf. 1, 6, 1, Hom. Il. Δ, 76; Θ, 76; Κ, 8. ZEUN.
ἅμα κνέφᾳ] Conf. H. Gr. 7, 1, 15. SCHN.
17. τάξας] προστάττειν pro τάττειν illatum etiam infra 4, 3, 3; 5, 3, 50, ut eadem verba permutantur ap. Diod. 1, 55. Thucyd. 3, 22, 7: Οἷς ἐτέτακτο παραβοηθεῖν· et alia contuli ad Steph. Thes. v. Τάττω.

πέμπει δέ τινα καὶ τῶν σὺν ἑαυτῷ καὶ λέγειν ἐκέλευσε
τοῖς Ὑρκανίοις ὅτι ὡς ἂν ὁρῶσιν αὐτοὺς προσφερομέ-
νους, οὕτω καὶ αὐτοὶ ποιήσουσιν. οὕτω δὴ ὁ μὲν μένει τῶν
ἀγγέλων παρὰ τῷ Κύρῳ, ὁ δὲ προσελαύνει πρὸς τοὺς Ὑρ-
18 κανίους. ἐν ᾧ δ᾽ ἐσκόπει τοὺς Ὑρκανίους ὁ Κῦρος ὅ τι [1
ποιήσουσιν, ἐπέστησε τὸ στράτευμα· παρελαύνουσι δὲ
πρὸς αὐτὸν οἱ τῶν Μήδων προεστηκότες καὶ ὁ Τιγράνης
καὶ ἐπερωτῶσι τί δεῖ ποιεῖν. ὁ δὲ λέγει αὐτοῖς ὅτι τοῦτ᾽
ἔστι τὸ πλησίον Ὑρκανίων στράτευμα καὶ οἴχεται ὁ ἕτερος
τῶν ἀγγέλων πρὸς αὐτοὺς καὶ τῶν ἡμετέρων τις σὺν αὐτῷ,
ἐροῦντες, εἰ φίλοι εἰσὶν, ὑπαντιάζειν τὰς δεξιὰς ἀνατείναν-
τας πάντας. ἢν μὲν οὖν οὕτω ποιῶσι, δεξιοῦσθέ τε αὐτοὺς
καθ᾽ ὃν ἂν ᾖ ἕκαστος καὶ ἅμα θαρρύνετε· ἢν δὲ ὅπλα αἴ-
ρωνται ἢ φεύγειν ἐπιχειρῶσι, τούτων, ἔφη, εὐθὺς δεῖ πρώ-
των πειρᾶσθαι μηδένα λιπεῖν. ὁ μὲν τοιαῦτα παρήγγειλεν. [1
19 οἱ δὲ Ὑρκάνιοι ἀκούσαντες τῶν ἀγγέλων ἥσθησάν τε καὶ
ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους παρῆσαν τὰς δεξιὰς,
ὥσπερ εἴρητο, προτείνοντες· οἱ δὲ Μῆδοι καὶ Πέρσαι ἀν-
20 τεδεξιοῦντό τε αὐτοὺς καὶ ἐθάρρυνον. ἐκ τούτου δὴ ὁ
Κῦρος λέγει, Ἡμεῖς μὲν δὴ, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πι-
στεύομεν· καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. τοῦτο
δ᾽, ἔφη, πρῶτον ἡμῖν εἴπατε πόσον ἀπέχει ἐνθένδε ἔνθα αἱ
ἀρχαί εἰσι τῶν πολεμίων καὶ τὸ ἀθρόον αὐτῶν. οἱ δ᾽ ἀπε-
κρίναντο ὅτι ὀλίγῳ πλέον ἢ παρασάγγην.

ποιήσωσιν A.G., sed hic ω fortasse in ras. δὴ] δὲ A.G. corr. s. v. r. τῷ om. D. 18. ἐν ᾧ—ὁ κῦρος om. A.G. mg. r. ἐπέστησε add. G. mg. r. L. s. v. al. m., servantes ν in ποιήσουσιν. ἐπιστεῖλαι A. τῷ στρατεύματι A.G. pr. τὸ στράτευμα L., sed pr. τὸ στρατεύματι. παρελαύνουσι δὲ] καὶ παρελαύνουσιν D. ἐρωτῶσιν D. ὅτι om. D. στράτευμα G. mg. r. τις] τινες D. ὑπαντᾶν D. ἐὰν μὲν οὖν οὕτως ἴωσιν D. τε om. D. καθ᾽] καὶ καθ᾽ D. Idem pr. fortasse ὧν et ἴῃ. ἢν] ἐὰν D. πρῶτον δεῖ εὐθὺς πειρᾶσθαι μηδένα λείπειν D. εὐθὺ A.G., sed ς s. v. r. πρῶτον A.G. μηθένα A. 19. προτείνοντες] ο in ras. G., qui pr. fortasse α. πέρσαι] οἱ πέρσαι D. 20. καὶ ἐκ τούτου δὴ λέγει ὁ κῦρος D. ἡμεῖς] εἰ ἡμεῖς A.G. ἤδη ante ὑμῖν add. D. ὑμῖν om. A. s. v. r. G. ὑμεῖς A. ἡμᾶς G. pr. ἡμῖν πρῶτον D. ὁπόσον D. εἰσὶ τῶν] Hinc lacuna in D. usque ad 5, 2, 27, ὁ γωβρύας. Unde scriptura simpliciter in lemmate posita est intelligenda Juntinæ.

τινα] Pro τινας restitui ex Philelpho, ut s. 18 τῶν ἡμετέρων τις. Præstat autem singularis, quod primum plures mittere nil attinebat, deinde unus Hyrcanus obses retinebatur a Cyro. ZEUN.

18. ἐρωτῶσι] Conf. s. 12.

τοῦτ᾽ ἔστι] V. ad Anab. 5, 4, 3: Ἐντεῦθεν λέγει ὁ Τιμησίθεος ὅτι πολέμιοι οὗτοί εἰσιν οἱ ἐκ τοῦ ἐπέκεινα. Conf. s. 16.

20. εἰ in melioribus ante ἡμεῖς repetitum videri potest ex εἶεν ortum, quod ante μὲν δὴ est 3, 1, 13; 4, 3, 8.

21 Ἐνταῦθα δὴ λέγει ὁ Κῦρος, Ἄγετε δή, ἔφη, ὦ ἄνδρες [12]
Πέρσαι καὶ Μῆδοι καὶ ὑμεῖς, ὦ Ὑρκάνιοι, ἤδη γὰρ καὶ πρὸς ὑμᾶς ὡς πρὸς συμμάχους καὶ κοινωνοὺς διαλέγομαι, εὖ χρὴ εἰδέναι νῦν ὅτι ἐν τοιούτῳ ἐσμὲν ἔνθα δὴ μαλακισάμενοι μὲν ἂν πάντων τῶν χαλεπωτάτων τύχοιμεν· ἴσασι γὰρ οἱ πολέμιοι ἐφ' ἃ ἥκομεν· ἢν δὲ τὸ καρτερὸν ἐμβαλόμενοι ἴωμεν ῥώμῃ καὶ θυμῷ ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλ' ὄψεσθε ὥσπερ δούλων ἀποδιδρασκόντων ηὑρημένων τοὺς μὲν ἱκετεύοντας αὐτῶν, τοὺς δὲ φεύγοντας, τοὺς δ' οὐδὲ ταῦτα φρονεῖν δυναμένους. ἡττημένοι τε γὰρ ὄψονται ἡμᾶς καὶ οὔτε οἰόμενοι ἥξειν οὔτε συντεταγμένοι οὔτε
22 μάχεσθαι παρεσκευασμένοι κατειλημμένοι ἔσονται. εἰ οὖν ἡδέως βουλόμεθα καὶ δειπνῆσαι καὶ νυκτερεῦσαι καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν τούτοις σχολὴν μήτε βουλεύσασθαι μήτε παρασκευάσασθαι ἀγαθὸν αὑτοῖς μηδέν, μηδὲ γνῶναι πάμπαν ὅτι ἄνθρωποί ἐσμεν, ἀλλὰ γέρρα καὶ κοπίδας καὶ σαγάρεις ἅπαντα καὶ πληγὰς ἥκειν νομιζόν-
23 των. καὶ ὑμεῖς μέν, ἔφη, ὦ Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν πορεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμετέρων ὅπλων ὁρωμένων λανθάνωμεν ὅτι πλεῖστον χρόνον. ἐπειδὰν δ' ἐγὼ πρὸς τῷ στρατεύματι γένωμαι τῶν πολε-

21. κοινοὺς G. πάντων τῶν] πάντων A.G. τὸ] κατὰ ante hoc G. s. v. r. μᾶλλ' G. εὑρημένων A.G. καὶ εὑρημένων Aldina. ἡττημένοι γὰρ ὄψονταί τε G. παρασκευασάμενοι A. κατειλημένοι A. 22. δειπνῆσαι καὶ νυκτερεῦσαι] νυκτερεύσειν καὶ δειπνῆσαι A. et qui εῦσαι s. v. r. G. ἑαυτοῖς] αὐτοῖς A.G. ἅπαντα] πάντας A.G. πάντα s. v. r. νομιζ.] κ super ν erasit G. 23. προπετάσαντες] προσπελάσαντες A. et qui τ super ελ erasit G. πορεύεσθαι G. corr. s. v. r.

21. ὡς πρὸς] Recte fortasse Junt. ὡς, ut meliores Anab. 3, 3, 2.
ἐφ' ἃ ἥκομεν] V. 4, 1, 17. ZEUN.
κατὰ τὸ καρτερὸν] Alii omittunt κατά; sed poetarum est τὸ καρτερὸν pro καρτερῶς, ut τὸ καλὸν pro καλῶς. Sequens ἐμβαλόμενοι mihi displicet pro magis usitato ἐμβαλόντες positum. Quid si olim scriptum ἐμβάλωμεν ῥώμῃ καὶ θυμῷ τοῖς πολεμίοις suspicer? ἐπὶ τοὺς πολεμίους postea fuit scriptum, quam ἐμβαλόμενοι ἴωμεν factum fuerat. SCHN. Formulæ τὸ καρτερὸν et κατὰ τὸ καρτερὸν exempla v. in Thes. Steph. vol. 4, p. 989 A, B. Sed ἐμβαλόμενοι quum nullo modo dici potuerit pro ἐμβαλόντες, deleto κατὰ conjungenda ἐμβαλόμενοι τὸ καρτερόν, quo de usu verbi dixit Stephanus in Thes. v. Ἐμβάλλω vol. 3, p. 801 C; 803 C, etsi nullum attulit exemplum huic prorsus simile, ubi contraria μαλακισάμενοι et τὸ καρτερὸν ἐμβαλόμενοι. Simile additamentum sequens καὶ in Aldina.
οὐδὲ ταῦτα] Nec fugam cogitantes nec preces, sed timore stupentes et mente dejectos. SCHN.
22. μηδὲ refertur non ad μήτε, sed ad μή. ZEUN.
ἅπαντα] Agesil. 2, 7: Ὥπλισέ τε οὕτως ὡς ἅπαντα μὲν χαλκόν, ἅπαντα δὲ φοινικᾶ φαίνεσθαι.

μίων, παρ' ἐμοὶ μὲν καταλείπετε ἕκαστοι τάξιν ἱππέων, ἐάν
24 τι δέωμαι, ὡς χρῶμαι μένων παρὰ τὸ στρατόπεδον. ὑμῶν
δὲ οἱ μὲν ἄρχοντες καὶ οἱ πρεσβύτεροι ἐν τάξει ἀθρόοι
ἐλαύνετε, εἰ σωφρονεῖτε, ἵνα μήποτε ἀθρόῳ τινὶ ἐντυχόντες
ἀποβιασθῆτε, τοὺς δὲ νεωτέρους ἐφίετε διώκειν· οὗτοι δὲ
καινόντων· τοῦτο γὰρ ἀσφαλέστατον, νῦν ὡς ἐλαχίστους
25 τῶν πολεμίων λιπεῖν. ἂν δὲ νικῶμεν, ἔφη, ὃ πολλοῖς δὴ
κρατοῦσι τὴν τύχην ἀνέτρεψε, φυλάξασθαι δεῖ τὸ ἐφ' ἁρ-
παγὴν τραπέσθαι· ὡς ὁ τοῦτο ποιῶν οὐκέτ' ἀνήρ ἐστιν,
ἀλλὰ σκευοφόρος, καὶ ἔξεστι τῷ βουλομένῳ χρῆσθαι δὴ
26 τούτῳ ὡς ἀνδραπόδῳ. ἐκεῖνο δὲ χρὴ γνῶναι ὅτι οὐδέν ἐστι
κερδαλεώτερον τοῦ νικᾶν· ὁ γὰρ κρατῶν ἅμα πάντα συν-
ήρπακε, καὶ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ χρήματα
καὶ πᾶσαν τὴν χώραν. πρὸς ταῦτα τοῦτο μόνον ὁρᾶτε
ὅπως τὴν νίκην διασωζώμεθα· ἐὰν γὰρ κρατηθῇ, καὶ αὐτὸς ὁ
ἁρπάζων ἔχεται. καὶ τοῦτο ἅμα διώκοντες μέμνησθε, ἥκειν
πάλιν ὡς ἐμὲ ἔτι φάους ὄντος· ὡς σκότους γενομένου οὐ-
δένα ἔτι προσδεξόμεθα.
27 Ταῦτ' εἰπὼν ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάστους καὶ [13
ἐκέλευεν ἅμα πορευομένους τοῖς ἑαυτοῦ ἕκαστον δεκαδάρ-
χοις ταὐτὰ σημαίνειν· ἐν μετώπῳ γὰρ ἦσαν οἱ δεκάδαρχοι,
ὥστε ἀκούειν· τοὺς δὲ δεκαδάρχους τῇ δεκάδι ἕκαστον κε-
λεύειν παραγγέλλειν. ἐκ τούτου δὲ προηγοῦντο μὲν οἱ

ἵππων A.G. corr. s.v. r. ἐάν τι δέωμαι] ἢ ἄν τι δέωμαι (δέομαι G.) A.G. στράτευμα A.G. corr. s. v. r. 24. εἰς ὁ super εἰ σω G. r. ἵνα—ἀποβ. G. mg. r. μήποτε] μήποτέ που A. ἐντυγχάνοντες G. ἀποβιασθείητε A. καινόντων] ἀποκτεινόντων D. Cam. λιπεῖν] ἢν (δὲ s. v.) τὸ πολλοῖς συμβεβηκὸς κρατοῦσι τὴν τύχην ἀνατρέψαι γίγνηται add. G. mg. r. 25. ὁ om. A.G. s. v. r. δὴ] δέη A.G. pr. ἀνέτρεψε] ἀνέστρεψε A.G. δεῖ] δὲ A.G. pr. τράπεσθαι A. fortasse G. pr., qui acc. super ε r. et erasit aliquid super α. 26. κεῖνον A.G. pr. πάντας A. συνήρπασε G. ἅμα post χώραν G. s. v. r. διασωζοίμεθα G. ἐὰν γὰρ κρατηθῇ] ἐν γὰρ ταύτῃ V. Aldina. φάους] φωτὸς G. s. v. r. 27. ταὐτὰ Zeunius. τὰ αὐτὰ A.G. ταῦτα Junt. τοὺς δὲ Aldina. τοὺς A.G. παραγγέλειν G.

23. ἐάν τι δέωμαι] Hæc collocanda erant post ὡς χρῶμαι, nisi deleto ὡς legitur ἢ ἄν. V. annot. ad Anab. 3, 2, 31.

μένων παρὰ τὸ στρατόπεδον] Eadem constructio 1, 4, 18.

τοὺς νεωτέρους διώκειν] Conf. ed. Turic. Scriptt. milit. vol. 2, p. 260.

25. πολλοῖς] Conf. Diod. 16, 20 med. Plat. Reip. 5, p. 376 ed. Cant. HUTCH.

26. ὁ γὰρ κρατῶν] Sic Alexander apud Curtium 3, 10, omnia victoria parari. Et Cyrus supra 2, 1, 17. HUTCH.

πρὸς ταῦτα] i. e. propterea, ut sæpe apud Tragicos. SCHN.

φάους] V. ad s. 9.

Ὑρκάνιοι, αὐτὸς δὲ τὸ μέσον ἔχων σὺν τοῖς Πέρσαις ἐπο-
ρεύετο· τοὺς δὲ ἱππέας ἑκατέρωθεν, ὥσπερ εἰκὸς, παρέταξε.
28 τῶν δὲ πολεμίων, ἐπεὶ φάος ἐγένετο, οἱ μὲν ἐθαύμαζον τὰ [14]
δρώμενα, οἱ δ' ἐγίγνωσκον ἤδη, οἱ δ' ἤγγελλον, οἱ δ'
ἐβόων, οἱ δ' ἔλυον ἵππους, οἱ δὲ συνεσκευάζοντο, οἱ
δ' ἐρρίπτουν τὰ ὅπλα ἀπὸ τῶν ὑποζυγίων, οἱ δ' ὡπλί-
ζοντο, οἱ δ' ἀνεπήδων ἐπὶ τοὺς ἵππους, οἱ δ' ἐχαλί-
νουν, οἱ δὲ τὰς γυναῖκας ἀνεβίβαζον ἐπὶ τὰ ὀχήματα, οἱ δὲ
τὰ πλείστου ἄξια ἐλάμβανον ὡς διασωσόμενοι, οἱ δὲ κα-
τορύττοντες τὰ τοιαῦτα ἡλίσκοντο, οἱ δὲ πλεῖστοι εἰς φυ-
γὴν ὥρμων· οἴεσθαι δὲ δεῖ πολλά τε καὶ παντοδαπὰ καὶ
ἄλλα ποιεῖν αὐτούς, πλὴν ἐμάχετο οὐδεὶς, ἀλλ' ἀμαχητὶ
29 ἀπώλλυντο. Κροῖσος δὲ ὁ Λυδῶν βασιλεὺς, ὡς θέρος ἦν, [15]
τάς τε γυναῖκας ἐν ταῖς ἁρμαμάξαις προαπεπέμψατο τῆς
νυκτὸς, ὡς ῥᾷον πορεύοιντο κατὰ ψῦχος, καὶ αὐτὸς ἔχων
30 τοὺς ἱππέας ἐπηκολούθει. καὶ τὸν Φρύγα τὰ αὐτὰ ταῦτα
ποιῆσαί φασι τὸν τῆς παρ' Ἑλλήσποντον ἄρχοντα Φρυ-
γίας. ὡς δὲ παρῄσθοντο τῶν φευγόντων καὶ καταλαμβα-
νόντων αὐτοὺς, πυθόμενοι τὸ γιγνόμενον ἔφευγον δὴ καὶ
31 αὐτοὶ ἀνὰ κράτος. τὸν δὲ τῶν Καππαδοκῶν βασιλέα καὶ
τὸν τῶν Ἀραβίων ἔτι ἐγγὺς ὄντας καὶ ὑποστάντας ἀθωρα-
κίστους κατακαίνουσιν οἱ Ὑρκάνιοι. τὸ δὲ πλεῖστον ἦν
τῶν ἀποθανόντων Ἀσσυρίων καὶ Ἀραβίων· ἐν γὰρ τῇ
αὑτῶν ὄντες χώρᾳ ἀσυντονώτατα πρὸς τὴν πορείαν εἶχον.

ἱππέας] ἱππεῖς A.G. Zonaras p. 152 A. 28. φάος] σαφὲς G. infra v. r. ἐγένετο] ἐγίνετο A.G. ἐρίπτουν G. ἱπποζυγίων G. corr. mg. r. ἐπὶ τοὺς om. A.G. διασωσόμενοι] διασωζόμενοι A.G. ἐς A.G. ἀμαχητεὶ A.G. 29. κροῖσσος A. προαπέμψατο G. ὡς] ἂν add. G. s. v. r. ἱππέας] ἱππεῖς A.G. Zonaras. 30. τὰ αὐτὰ om. Junt., ταῦτα Zonaras. 31. καὶ τὸν τῶν ἀραβίων C. καὶ τῶν ἀραβίων G. mg. r. om. A. ὄντας καὶ ὑποστάντας G. corr. r. ὄντα ὑποστάντα pr. ὄντα καὶ ὑποστάντα A. ἀθωράκιστον A.G. pr. ἀσσυρίων καὶ ἀραβίων] ἀσσύριον καὶ ἀράβιον D. Cam. αὑτῶν] αὐτῶν A.G. ἑαυτῶν Junt. συντομώτατα D. Cam.

27. τὸ μέσον ἔχων] Ex more Persarum, 1, 8, 17. SCHN. Lucian. Navig. c. 31 addit Hutch.

28. φάος] V. ad s. 9.

ἔλυον] V. 3, 3, 27.

ἀνεπήδων] Sic H. Gr. 4, 1, 39.

ἀμαχητὶ] Scribendum videri ἀμαχεὶ, quod etiam apud Thucydidem mutatum in alterum, pluribus dixi ad Thes. Steph. Et sic Zonaras vol. 1, p. 152 A.

πολλά τε καὶ παντοδαπὰ καὶ ἄλλα] Conv. 2, 9: Ἐν πολλοῖς μὲν καὶ ἄλλοις δῆλον καὶ ἐν οἷς δ' ἡ παῖς ποιεῖ.

29. ὡς] Conf. ad 6, 1, 37.

31. Ἀσσυρίων καὶ Ἀραβίων non cum ἀποθανόντων jungenda, sed seorsum sunt capienda. 8, 4, 28: Καὶ νῦν ἔτι ἔχουσιν οἱ τούτων ἀπόγονοι· πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων.

ἀσυντοιώτατα] σχολαίτατα in margine Stephani ex Philelphi *lente admodum* fictum esse jam Leonclavius monuit. SCHN.

32 οἱ μὲν δὴ Μῆδοι καὶ Ὑρκάνιοι, οἷα δὴ εἰκὸς κρατοῦντας, [16
ταῦτα ἐποίουν διώκοντες. ὁ δὲ Κῦρος τοὺς παρ' ἑαυτῷ ἱπ-
πέας καταλειφθέντας περιελαύνειν ἐκέλευε τὸ στρατόπεδον,
καὶ εἴ τινας σὺν ὅπλοις ἴδοιεν ἐξιόντας, κατακαίνειν· τοῖς
δ' ὑπομένουσιν ἐκήρυξεν, ὁπόσοι τῶν πολεμίων στρατιω-
τῶν ἦσαν ἱππεῖς ἢ πελτασταὶ ἢ τοξόται, ἀποφέρειν τὰ
ὅπλα συνδεδεμένα, τοὺς δὲ ἵππους ἐπὶ ταῖς σκηναῖς κατα-
λείπειν· ὅστις δὲ ταῦτα μὴ ποιήσοι, αὐτίκα τῆς κεφαλῆς
στερήσεσθαι· τὰς δὲ κοπίδας προχείρους ἔχοντες ἐν τάξει
33 περιέστασαν. οἱ μὲν δὴ τὰ ὅπλα ἔχοντες ἐρρίπτουν, ἀπο-
φέροντες εἰς ἓν χωρίον ὅποι ἐκέλευε· καὶ ταῦτα μὲν οἷς
ἐπέταξεν ἔκαον.
34 Ὁ δὲ Κῦρος ἐνενόησεν ὅτι ἦλθον μὲν οὔτε σῖτα οὔτε [17
ποτὰ ἔχοντες, ἄνευ δὲ τούτων οὔτε στρατεύεσθαι δυνατὸν
οὔτ' ἄλλο ποιεῖν οὐδέν. σκοπῶν δ' ὅπως ἂν κάλλιστα καὶ
τάχιστα ταῦτα γένοιτο, ἐνθυμεῖται ὅτι ἀνάγκη πᾶσι τοῖς
στρατευομένοις εἶναί τινα ὅτῳ καὶ σκηνῆς μελήσει καὶ
ὅπως τἀπιτήδεια παρεσκευασμένα τοῖς στρατιώταις εἰσιοῦ-
35 σιν ἔσται. καὶ τοίνυν ἔγνω ὅτι τούτους εἰκὸς μάλιστα
πάντων ἐν τῷ στρατοπέδῳ νῦν κατειλῆφθαι ἦν διὰ τὸ
ἀμφὶ συσκευασίαν ἔχειν· ἐκήρυξε δὴ παρεῖναι τοὺς ἐπι-
τρόπους πάντας· εἰ δέ που μὴ εἴη ἐπίτροπος, τὸν πρεσβύ-
τατον ἀπὸ σκηνῆς· τῷ δὲ ἀπειθοῦντι πάντα τὰ χαλεπὰ
ἀνεῖπεν. οἱ δὲ ὁρῶντες καὶ τοὺς δεσπότας πειθομένους ταχὺ
36 ἐπείθοντο. ἐπεὶ δὲ παρεγένοντο, πρῶτον μὲν ἐκέλευε καθί- [1
ζεσθαι αὐτῶν ὅσοις ἐστὶ πλέον ἢ δυοῖν μηνοῖν ἐν τῇ σκηνῇ

32. κρατοῦντας Castalio. Libri κρατοῦντες. ταῦτα] τοιαῦτα Junt. καταλείπειν F. κατέλειπεν A. et qui a et πεῖν s.v.r. G. ὥστις G. pr. μὴ ταῦτα G. ποιήσει A. pr., ut videtur. περιίστασαν A.G. Correxit Fischerus ad Weller. 2, p. 450. 33. Libri ἔκαιον. 34. σιτὰ A. τούτου A. στρατευομένοις] ἐστὶν s. v. r. add. G. Libri τὰ ἐπιτήδεια. παρασκ. G. pr. 35. νῦν om. A.G. s. v. r. ἦν] ἦν ἦν A.G. pr., ἂν ἦν corr., ut scribendum videatur κατειλῆφθαι νῦν ἦν. ἀμφὶ συ om. A.G. s. v. r. πάντα τὰ] τὰ add. G. s. v. r. om. A.G. pr.

32. οἷα—ταῦτα] Conf. 1, 6, 40. καταλειφθέντας] s. 23. τὸ στρατόπεδον] Hostium. ἔχοντες] Cyrus cum suis: conf. s. 23.
34. ἦλθον] Omnis Cyri exercitus.
35. συσκευασίαν] Quod adhuc essent in vasis colligendis occupati, nec tam subito aufugere ut ceteri potuissent. SCHN.
δεσπότας] Erant igitur ἐπίτροποι illi servi, qui mediastinorum vicibus in exercitu fungerentur et castris. SCHN.

τἀπιτήδεια. ἐπεὶ δὲ τούτους εἶδεν, αὖθις ἐκέλευεν ὅσοις
37 μηνὸς ἦν· ἐν τούτῳ σχεδὸν πάντες ἐκαθίζοντο. ἐπεὶ δὲ
ταῦτα ἔμαθεν, εἶπεν ὧδε αὐτοῖς· Ἄγετέ νυν, ἔφη, ὦ ἄν-
δρες, εἴ τινες ὑμῶν τὰ μὲν κακὰ μισεῖτε, ἀγαθοῦ δέ τινος
παρ' ἡμῶν βούλοισθ' ἂν τυγχάνειν, ἐπιμελήθητε προθύμως
ὅπως διπλάσια ἐν τῇ σκηνῇ ἑκάστῃ σῖτα καὶ ποτὰ παρε-
σκευασμένα ᾖ ἢ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις καθ'
ἡμέραν ἐποιεῖτε· καὶ τἄλλα δὲ πάντα ὁπόσα καλὴν δαῖτα
παρέξει ἕτοιμα ποιεῖτε, ὡς αὐτίκα μάλα παρέσονται ὁπότε-
ροι ἂν κρατῶσι καὶ ἀξιώσουσιν ἔκπλεω ἔχειν πάντα τἀπι-
τήδεια. εὖ οὖν ἴστε ὅτι συμφέροι ἂν ὑμῖν ἀμέμπτως δέ-
38 χεσθαι τοὺς ἄνδρας. οἱ μὲν δὴ ταῦτ' ἀκούσαντες πολλῇ [19]
σπουδῇ τὰ παρηγγελμένα ἔπραττον· ὁ δὲ συγκαλέσας
τοὺς ταξιάρχους ἔλεξε τοιάδε. Ἄνδρες φίλοι, γιγνώσκω
μὲν ὅτι νῦν ἔξεστιν ἡμῖν προτέροις ἀπόντων τῶν συμ-
μάχων ἀρίστου τυχεῖν καὶ τοῖς μάλιστα ἐσπουδασμέ-
νοις καὶ σίτοις καὶ ποτοῖς χρῆσθαι· ἀλλ' οὔ μοι δοκεῖ

τὰ ἐπιτήδεια G. αὖτις A. ἐκέλευσεν A.G. 37. Libri ἄγετε νῦν. εἴ] οἵ A. ἀγαθοῦ] μαλακοῦ A.G. pr. ὑμῶν G. s. v. r. παρασκευασμένα ᾖ G. corr. et quæ παρεσκ. Junt. παρασκευασθῆναι A.G. pr. τοῖς οἰκέταις καὶ τοῖς δεσπόταις A.G. Post quæ ἢ ἃ om. A.G. s. v. r. ὁπότεροι Aldina. ὁπότε A.G. ἀξιώσωσι G. ἀξιώσουσι D. Cam. Libri τὰ ἐπιτήδεια. συμφέροι C.O. συμφέρει A.G. ἀμέπτως G. μ infra v. addito. 38. δὲ] αὖ add. G. s. v. r. ταξιάρχους G. mg. r. ὑπάρχους A.G. pr. ἱππάρχους G. corr. γιγνώσκω μὲν O. γιγνώσκομεν A.G. ἔξεστιν] ἔστιν A.G. corr. s. v. r. ἁπάντων G. corr. s. v. r. δοκεῖ τοῦτ' ἂν τὸ ἄριστον Junt. ἂν δοκεῖ τοῦτο ἄριστον A.G.

37. ἀγαθοῦ] Cum μαλακοῦ Schneiderus confert 7, 2, 28, male tamen conjiciens ἀγαθοῦ δέ τινος ἢ μαλακοῦ, ut illic, ubi de femina, non, ut hic, de viris: quibus minus aptum μαλακοῦ.

διπλάσια ἢ—ἐποιεῖτε] Græce pronomen non additur ἃ post διπλάσια. Infra 8, 2, 18: Πολλαπλάσια εὑρεῖν ἢ ἔφη Κροῖσος ἂν εἶναι ἐν τοῖς θησαυροῖς. Xenophon H. Gr. 4, 8, 22: Καὶ δὴ ἔπλεον διπλασίαις τριήρεσιν ἢ αὐτὸς εἶχεν. ubi ex hujus loci ratione debebat esse ἢ ἃς αὐτὸς εἶχε. De rep. Athen. 3, 8: Ἄγουσι μὲν ἑορτὰς διπλασίας ἢ οἱ ἄλλοι est, non ἢ ἃς οἱ ἄλλοι. Thucyd. 1, 10: Διπλασίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι ἢ ἔστιν. Igitur mutavi scripturam vulgarem: Παρεσκευασμένα ᾖ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις, ἢ ἃ καθ' ἡμέραν ἐποιεῖτε. Codicum enim παρασκευασθῆναι præcedente ὅπως ferri non poterat. Solet enim Xenophon post ἐπιμελεῖσθαι ponere ὅπως cum futuro indicativi; nusquam ὅπως infinitivo conjunxit nec ipse nec alius probatus scriptor. SCHN. Cujus conf. annot. ad H. Gr. 6, 2, 32, ubi pauca et suspecta notavi constructionis part. ὅπως cum infinitivo exempla, hic fortasse ex παρασκευασθῇ ἢ nato. Œcon. quidem 7, 29: Πειρᾶσθαι ὅπως ὡς βέλτιστα τὰ προσήκοντα ἑκάτερον ἡμῶν διαπράττεσθαι, in Guelf. ὅπως ita scriptum ut pro οπ aliud quid fuisse videatur pr., nunc erasum. Pronomen autem post διπλάσιος insertum conferri quidem potest cum Hier. 1, 13: Πολλαπλάσια λαβόντες ἢ ὅσα—κτῶνται, sed hic exiguæ est cum ipso ἢ fidei omisitque Zonaras p. 152 C.

38. τοὺς ταξιάρχους] Conf. 3, 3.

τοῦτ' ἂν τὸ ἄριστον πλέον ὠφελῆσαι ἡμᾶς ἢ τὸ τῶν
συμμάχων ἐπιμελεῖς φανῆναι, οὐδ' ἂν αὕτη ἡ εὐωχία ἰσχυ-
ροτέρους τοσοῦτον ποιῆσαι ὅσον εἰ δυναίμεθα τοὺς συμ-
39 μάχους προθύμους ποιεῖσθαι. εἰ δὲ τῶν νῦν διωκόντων καὶ
κατακαινόντων τοὺς ἡμετέρους πολεμίους καὶ μαχομένων,
εἴ τις ἐναντιοῦται, τούτων δόξομεν οὕτως ἀμελεῖν ὥστε
καὶ πρὶν εἰδέναι πῶς πράττουσιν ἠριστηκότες φαίνεσθαι,
ὅπως μὴ αἰσχροὶ μὲν φανούμεθα, ἀσθενεῖς δ' ἐσόμεθα συμ-
μάχων ἀποροῦντες. τὸ δὲ τῶν κινδυνευόντων καὶ πονούν-
των ἐπιμεληθῆναι ὅπως εἰσιόντες τἀπιτήδεια ἕξουσιν, αὕτη
ἂν ἡμᾶς ἡ θοίνη πλείω εὐφράνειεν, ὡς ἐγώ φημι, ἢ τὸ πα-
40 ραχρῆμα τῇ γαστρὶ χαρίσασθαι. ἐννοήσατε δ', ἔφη, ὡς
εἰ μηδ' ἐκείνους αἰσχυντέον ἦν, οὐδ' ὣς ἡμῖν νῦν προσήκει
οὔτε πλησμονῆς πω οὔτε μέθης· οὐ γάρ πω διαπέπρακται
ἡμῖν ἃ βουλόμεθα, ἀλλ' αὖ τὰ πάντα νῦν ἀκμάζει ἐπιμε-
λείας δεόμενα. ἔχομεν γὰρ ἐν τῷ στρατοπέδῳ πολεμίους
πολλαπλασίους ἡμῶν αὐτῶν, καὶ τούτους λελυμένους· οὓς
καὶ φυλάττεσθαι ἴσως ἔτι προσήκει καὶ φυλάττειν, ὅπως
ὦσι καὶ οἱ ποιήσοντες ἡμῖν τἀπιτήδεια· ἔτι δ' οἱ ἱππεῖς
ἡμῖν ἄπεισι, φροντίδα παρέχοντες ποῦ εἰσι, κἂν ἔλθωσιν,
41 εἰ παραμενοῦσιν. ὥστ', ὦ ἄνδρες, νῦν μοι δοκεῖ τοιοῦτον
σῖτον ἡμᾶς προσφέρεσθαι δεῖν καὶ τοιοῦτον ποτὸν ὁποῖον
ἄν τι συμφορώτατον εἴη πρὸς τὸ μήτε ὕπνου μήτε ἀφρο-
42 σύνης ἐμπίμπλασθαι. ἔτι δὲ καὶ χρήματα πολλά ἐστιν ἐν τῷ

αὕτη ἡ εὐωχία] νῦν τὴν εὐωχίαν A.G. pr., qui erasit quid super τ et utrumque ν. ἰσχυροτέρους] ους in lit. G. εἰ] ἢ A. et, ut videtur, G. pr., δυνάμεθα G. corr. s. v. r. 39. ἀντιοῦται A.G. pr. πῶς] ὅτι G. s. v. r. ἐπιμεληθῆναι C.O. ἐπιμεληθῆναί τινα A.G. τὰ ἐπιτήδεια G. ἂν om. A.G. θοίνα A. 40. ἐννοήσατ' ἔφη A. ἐννοήσατε ἔφη G. μηδ'] μὴ A.G. κείνους A.G. pr. πω οὔτε] που οὔτε A. αὖ τὰ πάντα E. αὖ πάντα A.G. γὰρ] δ' A. δὲ G. corr. s.v. r. ποιήσαντες A.G. Libri τὰ ἐπιτήδεια. οἱ om. G. που] ὁποῦ G. corr. εἰ] ἢ G. s.v. r. παραμενοῦσιν E. παραμένουσιν A.G. 41. τι] τις A. συμφορώτατον eraso super ο accentu, τατον per compendium s. v. G. ἐμπίπλασθαι A. μ post ι infra v. r. G.

39. αἰσχροὶ] Dicitur ut αἰσχυντέον s. 40. De præcedenti ἐναντιοῦται v. ad 6, 3, 13.

40. φυλάττεσθαι, ne vim inferant; φυλάττειν, ne aufugiant. ZEUN. Conf. 4, 4, 7.

41. ὁποῖον ἄν τι συμφορώτατον εἴη] Infra 4, 5, 51: Κυαξάρῃ ἐκλέξασθε ὁποῖ' ἂν οἴησθε αὐτῷ μάλιστα χαρίζεσθαι. Anab. 2, 2, 2: Πράττετε ὁποῖον ἄν τι ὑμῖν οἴησθε μάλιστα συμφέρειν. Qui conjunctivus hic quoque locum haberet.

ὕπνου ad cibum, ἀφροσύνης ad potum refertur. ZEUN.

ἐμπίμπλασθαι] Non certior quam hic alterius μ fides ceteris est locis Xenophontis tam in hoc verbo quam in ἐμπιπράναι, ut dixi ad Steph. Thes. in utroque, ubi scriptorum inde ab

στρατοπέδῳ, καὶ οὐκ ἀγνοῶ ὅτι δυνατὸν ἡμῖν κοινῶν ὄντων τοῖς συγκατειληφόσι νοσφίσασθαι ὁπόσα ἂν βουλώμεθα· ἀλλ' οὔ μοι δοκεῖ τὸ λαβεῖν κερδαλεώτερον εἶναι τοῦ δικαίους φαινομένους ἐκείνους τούτῳ πειρᾶσθαι ἔτι μᾶλλον
43 ποιεῖν ἢ νῦν ἀσπάζεσθαι ἡμᾶς. δοκεῖ δ' ἔμοιγ', ἔφη, καὶ τὸ νεῖμαι τὰ χρήματα, ἐπειδὰν ἔλθωσι, Μήδοις καὶ Ὑρκανίοις καὶ Τιγράνῃ ἐπιτρέψαι, καὶ ἤν τι μεῖον ἡμῖν δάσωνται, κέρδος ἡγεῖσθαι· διὰ γὰρ τὰ κέρδη ἥδιον ἡμῖν παρα-
44 μενοῦσι. τὸ μὲν γὰρ νῦν πλεονεκτῆσαι ὀλιγοχρόνιον ἂν ἡμῖν τὸν πλοῦτον παράσχοι· τὸ δὲ ταῦτα προεμένους ἐκεῖνα κτήσασθαι ὅθεν ὁ πλοῦτος φύεται, τοῦτο, ὡς ἐγὼ δοκῶ, ἀεναώτερον ἡμῖν δύναιτ' ἂν τὸν ὄλβον καὶ πᾶσι τοῖς
45 ἡμετέροις παρέχειν. οἶμαι δ', ἔφη, καὶ οἴκοι ἡμᾶς τούτου ἕνεκα ἀσκεῖν καὶ γαστρὸς κρείττους εἶναι καὶ κερδέων ἀκαίρων, ἵν', εἴ ποτε δέοι, δυναίμεθα αὐτοῖς συμφόρως χρῆσθαι· ποῦ δ' ἂν ἐν μείζοσι τῶν νῦν παρόντων ἐπιδει-
46 ξαίμεθ' ἂν τὴν παιδείαν ἐγὼ μὲν οὐχ ὁρῶ. ὁ μὲν οὕτως [20]
εἶπε. συνεῖπε δ' αὐτῷ Ὑστάσπας ἀνὴρ Πέρσης τῶν ὁμοτίμων ὧδε· Δεινὸν γάρ τἂν εἴη, ὦ Κῦρε, εἰ ἐν θήρᾳ μὲν πολλάκις ἄσιτοι καρτεροῦμεν, ὅπως θηρίον τι ὑποχείριον ποιησώμεθα καὶ μάλα μικροῦ ἴσως ἄξιον· ὄλβον δὲ ὅλον πειρώμενοι θηρᾶν εἰ ἐμποδών τι ποιησαίμεθα γενέσθαι ἡμῖν ἃ τῶν μὲν κακῶν ἀνθρώπων ἄρχει, τοῖς δ' ἀγαθοῖς πείθε-
47 ται, οὐκ ἂν πρέποντα ἡμῖν δοκοίημεν ποιεῖν. ὁ μὲν οὖν Ὑστάσπας οὕτως εἶπεν· οἱ δ' ἄλλοι πάντες ταῦτα συνήνουν. ὁ δὲ Κῦρος εἶπεν, Ἄγε δή, ἔφη, ἐπειδὴ ὁμονοοῦμεν

42. κοινῶν] αὐτῶν add. G. mg. r. συγκατειλ.] κατειλ. A.G. ἂν βουλώμεθα] βουλώμεθα A. βουλόμεθα G. δικαίους] super ους erasit aliquid G. ἐκείνους τούτῳ G. corr. ἐκείνῳ τούτους A.G. pr. πειρᾶσθαι] super πειρ erasit aliquid G. 43. δέ μοι G. διὰ G. s. v. r. ἤδη A.G. pr. 44. ἡμῖν post ἂν add. G. mg. r. om. A.G. pr. ἀεναώτερον H. ἀενναότερον G. s. v. r. πλειότερον A.G., fortasse pro τελειότερον. τὸν om. A.G. 45. ἕνεκεν Junt. κερδέων] έ in ras. et lit. G. μὲν] super μ erasum quid et ἐν in ras. et lit. G. 46. Libri ὑστάσπης, ut 47. G., qui hic mg. r. συνηγορεῖ ὑστάσπης κύρῳ. 47. οὕτως om. A.G. mg. r. ὁμοθυμοῦμεν A.G. corr. s. v. r.

Homero exempla sunt allata. V. var. scr, 8, 7, 27, ubi solus A. ἐμπιμπλάναι, 3, 35, ubi A.G. ἐκπιμπλὰς pro ἐμπιπλὰς exhibentes ἐμπιμπλὰς voluisse videntur. Sed ἐμπιμπράντων contra grammaticorum præceptum Volum. Herc. part. 1, p. 57 D.

46. δεινὸν γάρ τἂν εἴη quum poneret, in mente habebat membrum ita conformatum ὄλβον δὲ ὅλον πειρώμενοι θηρᾶν ἐμποδών τι ποιησαίμεθα γενέσθαι. Simillimus est locus Œcon. 8, 17.

ταῦτα, πέμψατε ἀπὸ λόχου ἕκαστος πέντε ἄνδρας τῶν σπουδαιοτάτων· οὗτοι δὲ περιιόντες, οὓς μὲν ἂν ὁρῶσι πορσύνοντας τἀπιτήδεια, ἐπαινούντων· οὓς δ' ἂν ἀμελοῦντας, κολαζόντων ἀφειδέστερον ἢ ὡς δεσπόται. οὗτοι μὲν δὴ ταῦτα ἐποίουν.

ΚΕΦ. Γ.

Τῶν δὲ Μήδων τινὲς ἤδη, οἱ μὲν ἁμάξας προωρμημένας καταλαβόντες καὶ ἀποστρέψαντες προσήλαυνον μεστὰς ὧν δεῖται στρατιά, οἱ δὲ καὶ ἁρμαμάξας γυναικῶν τῶν βελτίστων τῶν μὲν γνησίων, τῶν δὲ καὶ παλλακίδων διὰ τὸ κάλλος συμπεριαγομένων, ταύτας εἰληφότες προσ-
2 ῆγον. πάντες γὰρ ἔτι καὶ νῦν οἱ κατὰ τὴν Ἀσίαν στρατευόμενοι ἔχοντες τὰ πλείστου ἄξια στρατεύονται, λέγοντες ὅτι μᾶλλον μάχοιντ' ἄν, εἰ τὰ φίλτατα παρείη· τούτοις γάρ φασιν ἀνάγκην εἶναι προθύμως ἀλέξειν. ἴσως μὲν οὖν οὕτως ἔχει, ἴσως δὲ καὶ ποιοῦσιν αὐτὰ τῇ ἡδονῇ χαριζόμενοι.

3 Ὁ δὲ Κῦρος θεωρῶν τὰ τῶν Μήδων ἔργα καὶ Ὑρκα- [2]
νίων ὥσπερ κατεμέμφετο καὶ αὐτὸν καὶ τοὺς σὺν αὐτῷ, εἰ οἱ ἄλλοι τοῦτον τὸν χρόνον ἀκμάζειν τε μᾶλλον ἑαυτῶν ἐδόκουν καὶ προσκτᾶσθαί τι, αὐτοὶ δ' ἐν ἀργοτέρᾳ χώρᾳ ὑπομένειν. καὶ γὰρ δὴ οἱ ἀπάγοντες καὶ ἀποδεικνύντες Κύρῳ ἃ ἦγον πάλιν ἀπήλαυνον, μεταδιώκοντες τοὺς ἄλλους· ταῦτα γάρ σφισιν ἔφασαν τετάχθαι ποιεῖν ὑπὸ τῶν

1. ταύτας] ταῦτα A.G. pr. 2. οὖν om. A.G. mg. r. 3. αὐτὸν A.G. αὐτῷ A.G. εἰ] ὅτι G. mg. r. τοῦτον] ἂν τοῦτον A.G. τι, αὐτοὶ δὲ G. corr. τί δὲ αὐτοὶ A.G. pr. ἐν ἀργωτέρᾳ G. corr. ἐνεργωτέρᾳ A.G. pr. σφῖσιν A. προς ante τετάχθαι G. s.v. r.

πορσύνοντας] Procurantes et apparantes commeatum cibumque. SCHN. V. ad 1, 6, 17.

1. ἁμάξας—μεστὰς] Anab. 1, 10, 18: Καταλαμβάνουσι—τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρεσκευάσατο Κῦρος, ἵνα εἴποτε σφοδρὰ τὸ στράτευμα λάβοι ἔνδεια, διαδιδοίη τοῖς Ἕλλησιν.

2. ἴσως] Suspicionem Xenophontis de Asiaticorum libidine sequitur Ammianus extremo libro 23: "Effusius," inquit, "plerique soluti in Venerem ægreque contenti multitudine pellicum pro opibus quisque adsciscunt matrimonia plura vel pauca." SCHN. V. ad 4, 2, 2.

3. ὥσπερ] Conf. 4, 1, 13. SCHN.

ἀκμάζειν vigorem corporis cum promtitudine animi et factorum significare, argumento sunt verba ἐν ἀργοτέρᾳ χώρᾳ, quæ dicta sunt ut supra ἐν μισθοφόρου χώρᾳ εἶναι, hoc sensu: *si ipsi subsidere hic et ignavis accenseri malle videbimur*. SCHN.

τετάχθαι] V. ad 4, 2, 17.

ἀρχόντων. δακνόμενος δὴ ὁ Κῦρος ἐπὶ τούτοις ταῦτα μὲν
ὅμως κατεχώριζε· συνεκάλει δὲ πάλιν τοὺς ταξιάρχους,
καὶ στὰς ὅπου αὐτοῦ ἔμελλον ἀκούσεσθαι τὰ βουλευόμενα
λέγει τάδε.

4 Ὅτι μὲν, ὦ ἄνδρες φίλοι, εἰ κατάσχοιμεν τὰ νῦν προ- [3]
φαινόμενα, μεγάλα μὲν ἂν ἅπασι Πέρσαις ἀγαθὰ γένοιτο,
μέγιστα δ' ἂν εἰκότως ἡμῖν δι' ὧν πράττεται, πάντες, οἶμαι,
γιγνώσκετε· ὅπως δ' ἂν αὐτῶν ἡμεῖς κύριοι γιγνοίμεθα, μὴ
αὐτάρκεις ὄντες κτήσασθαι αὐτὰ, εἰ μὴ ἔσται οἰκεῖον ἱππι-
5 κὸν Πέρσαις, τοῦτο ἐγὼ οὐκέτι ὁρῶ. ἐννοεῖτε γὰρ δὴ, ἔφη·
ἔχομεν ἡμεῖς οἱ Πέρσαι ὅπλα οἷς δοκοῦμεν τρέπεσθαι τοὺς
πολεμίους ὁμόσε ἰόντες· καὶ δὴ τρεπόμενοι ποίους ἱππέας
ἢ τοξότας ἢ πελταστὰς ἢ ἀκοντιστὰς ἄνευ ἵππων ὄντες δυ-
ναίμεθ' ἂν φεύγοντας ἢ λαβεῖν ἢ κατακανεῖν; τίνες δ' ἂν
φοβοῖντο ἡμᾶς προσιόντες κακοῦν ἢ τοξόται ἢ ἀκοντισταὶ
ἢ ἱππεῖς, εὖ εἰδότες ὅτι οὐδεὶς αὐτοῖς κίνδυνος ὑφ' ἡμῶν
κακόν τι παθεῖν μᾶλλον ἢ ὑπὸ τῶν πεφυκότων δένδρων;
6 εἰ δ' οὕτω ταῦτ' ἔχει, εὔδηλον ὅτι οἱ νῦν παρόντες ἡμῖν ἱπ-
πεῖς νομίζουσι πάντα τὰ ὑποχείρια γιγνόμενα ἑαυτῶν εἶναι
7 οὐχ ἧττον ἢ ἡμέτερα, ἴσως δὲ νὴ Δία καὶ μᾶλλον. νῦν μὲν
οὖν οὕτω ταῦτ' ἔχει κατ' ἀνάγκην. εἰ δ' ἡμεῖς ἱππικὸν
κτησαίμεθα μὴ χεῖρον τούτων, οὐ πᾶσιν ἡμῖν καταφανὲς
ὅτι τούς τ' ἂν πολεμίους δυναίμεθα καὶ ἄνευ τούτων ποιεῖν
ὅσαπερ νῦν σὺν τούτοις, τούτους τε ἔχοιμεν ἂν τότε με-
τριώτερον πρὸς ἡμᾶς φρονοῦντας; ὁπότε γὰρ παρεῖναι καὶ
ἀπιέναι βούλοιντο, ἧττον ἂν ἡμῖν μέλοι· καὶ γὰρ ἂν ἄνευ
8 τούτων ἀρκοῖμεν ἡμῖν αὐτοῖς. εἶεν· ταῦτα μὲν δὴ οἶμαι

δὴ] δὲ G. ταῦτα] τὰ A.G. ὅπως A.G. corr. s. v. r. βουλευό-μενα] ενα in ras. G. 4. νῦν om. A.G. s. v. r. ἂν om. A.G. pr. πράσσετε A. pr. G. γιγνώσκομεν G. s. v. r. 5. ἢ ἀκοντιστὰς om. A.G. mg. r. κατακανεῖν] κατακαίνειν A.G. ἀποκτεῖναι Junt. προσιόντας A.G. corr. s. v. r. κακόν τι] τι κακὸν G. 6. νομίζουσι] κ super ν G. r. ὑποχεῖρα A. pr. ὑποχείρα corr. 7. μὴ χεῖρον] μέχρι A.G. corr. mg. r. τ' ἂν add. Junt. τε G. s. v. r. om. A.G. pr. δυναίμεθα] δυνάμεθα A.G. παρεῖναι καὶ ἀπιέναι G., sed priora duo in lit., quid pr. non apparet. ἰέναι καὶ ἀπιέναι A. ἢ παρεῖναι ἢ ἀπεῖναι Junt. καὶ γὰρ] εἰ αὐτοὶ Junt. ἂν om. libri. ἀρκοίημεν A.G. 8. ταῦτα] τ prius in ras. G. r. οἴομαι A.G.

5. πεφυκότων] V. ad 1, 1, 3. SCHN.
6. ὑποχείρια] ὑπὸ χεῖρα, ut hic A. pr., in Ages. 1, 22: Ὑπὸ χεῖρα ἐποιεῖτο. SCHN.

καὶ γὰρ ἂν—ἀρκοῖμεν] Aristoph. Thesm. 196: Καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.

οὐδεὶς ἂν ἀντιγνωμονήσειε μὴ οὐχὶ τὸ πᾶν διαφέρειν Περ-
σῶν γενέσθαι οἰκεῖον ἱππικόν· ἀλλ᾽ ἐκεῖνο ἴσως ἐννοεῖτε
πῶς ἂν τοῦτο γένοιτο. ἆρ᾽ οὖν σκεψώμεθα, εἰ βουλοίμεθα
9 καθιστάναι ἱππικὸν, τί ἡμῖν ὑπάρχει καὶ τίνος ἐνδεῖ; οὐκ-
οῦν ἵπποι μὲν οὗτοι πολλοὶ ἐν τῷ στρατοπέδῳ κατειλημ-
μένοι καὶ χαλινοὶ οἷς πείθονται καὶ τἄλλα ὅσα δεῖ ἵπποις
ἔχουσι χρῆσθαι. ἀλλὰ μὴν καὶ οἷς γε δεῖ ἄνδρα ἱππέα
χρῆσθαι ἔχομεν, θώρακας μὲν ἐρύματα τῶν σωμάτων,
παλτὰ δὲ οἷς καὶ μεθιέντες καὶ ἔχοντες χρῴμεθ᾽ ἄν. τί δὴ
10 τὸ λοιπόν; δῆλον ὅτι ἀνδρῶν δεῖ. οὐκοῦν τοῦτο μάλιστα
ἔχομεν· οὐδὲν γὰρ οὕτως ἡμέτερόν ἐστιν ὡς ἡμεῖς ἡμῖν αὐ-
τοῖς. ἀλλ᾽ ἐρεῖ τις ἴσως ὅτι οὐκ ἐπιστάμεθα. μὰ Δί᾽, οὐδὲ
γὰρ τούτων τῶν ἐπισταμένων νῦν πρὶν μαθεῖν οὐδεὶς ἠπί-
στατο. ἀλλ᾽ εἴποι ἄν τις ὅτι παῖδες ὄντες ἐμάνθανον.
11 καὶ πότερα παῖδές εἰσι φρονιμώτεροι ὥστε μαθεῖν τὰ
φραζόμενα καὶ δεικνύμενα ἢ ἄνδρες; πότεροι δὲ ἃ ἂν
μάθωσιν ἱκανώτεροι τῷ σώματι ἐκπονεῖν, οἱ παῖδες ἢ οἱ
12 ἄνδρες; ἀλλὰ μὴν σχολή γε ἡμῖν μανθάνειν ὅση οὔτε
παισὶν οὔτε ἄλλοις ἀνδράσιν· οὔτε γὰρ τοξεύειν ἡμῖν μα-
θητέον ὥσπερ τοῖς παισί· προεπιστάμεθα γὰρ τοῦτο· οὔτε
μὴν ἀκοντίζειν· ἐπιστάμεθα γὰρ καὶ τοῦτο· ἀλλ᾽ οὐδὲ μὴν,
ὥσπερ τοῖς ἄλλοις ἀνδράσι τοῖς μὲν γεωργίαι ἀσχολίαν
13 παρέχουσι, τοῖς δὲ τέχναι, τοῖς δὲ ἄλλα οἰκεῖα ἡμῖν δὲ
στρατεύεσθαι οὐ μόνον σχολὴ, ἀλλὰ καὶ ἀνάγκη. ἀλλὰ
μὴν οὐχ ὥσπερ ἄλλα πολλὰ τῶν πολεμικῶν χαλεπὰ μὲν,

ἂν om. A.G. τὸ πᾶν] τὰ πάντα A. γενέσθαι περσῶν G. ἴσως om. A.G. mg. r. ἆρ᾽ οὖν E. ἂν A.G., cum γένοιτο jungentes. ὑμῖν A.G. ὑπάρξει G. s. v. r. 9. ἵππους G. s. v. r. ἔρυμα A.G. pr. χρῴμεθ᾽ ἂν] χρώμεθα A.G. 10. δὴ] δεῖ G. s. v. r. οὐθὲν et mox οὐθεὶς A. 11. πότεροι] πότερα A.G. corr. s. v. r. ἄνδρες] οἱ ἄνδρες A. 12. ἀνδράσιν] ἀνδράσι A.G., qui om. οὔτε γὰρ—ἀνδράσι, quæ G. mg. r. Unde τοῖς μὲν γὰρ γεωργίαι A. καὶ τοῦτο F.H. τοῦτο G.

9. ὅσα δεῖ ἵπποις ἔχουσι χρῆσθαι] Dicit equorum copiam esse ita omnibus rebus instructorum ut oporteat quibus quis uti velit.

12. ἡμῖν δὲ στρατεύεσθαι οὐ μόνον σχολὴ] Dici debebat ἡμῖν ἀσχολίαν τι παρέχει et mox s. 13, ἱππικὴ χαλεπή ἐστιν. Sed mutatæ similiter structuræ exempla sunt Agesil. 10, 1: Ταῦτα γὰρ οὐχ ὥσπερ εἰ θησαυρῷ τις ἐντύχοι, πλουσιώτερος μὲν ἂν εἴη—ὁ δὲ καρτερίᾳ πρωτεύων οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀνὴρ ἀγαθὸς παντελῶς ἂν νομίζεσθαι. Quod dicendum fuerat ταῦτα γὰρ—ἀνδρὸς παντελῶς ἀγαθοῦ ἔργα μοι δοκεῖ εἶναι. De Vectigal. 4, 6: Καὶ γὰρ οὐδ᾽ ὥσπερ ὅταν πολλοὶ χαλκοτύποι γένωνται—καταλύονται οἱ χαλκοτύποι—ἀργυρῖτις δὲ ὅσῳ ἂν πλείων φαίνηται, τοσούτῳ πλείονες ἐπὶ τὸ ἔργον τοῦτο ἔρχονται.

χρήσιμα δέ· ἱππικὴ δὲ οὐκ ἐν ὁδῷ μὲν ἡδίων ἢ αὐτοῖν τοῖν ποδοῖν πορεύεσθαι; ἐν δὲ σπουδῇ οὐχ ἡδὺ ταχὺ μὲν φίλῳ παραγενέσθαι, εἰ δέοι, ταχὺ δέ, εἴτε ἄνδρα εἴτε θῆρα δέοι διώκεσθαι, καταλαβεῖν; ἐκεῖνο δὲ οὐχὶ εὐπετὲς τὸ ὅ τι ἂν δέῃ ὅπλον φέρειν τὸν ἵππον τοῦτο συμφέρειν; οὔκουν
14 ταὐτό γ᾽ ἐστὶν ἔχειν τε καὶ φέρειν. ὅ γε μὴν μάλιστ᾽ ἂν τις φοβηθείη, μὴ εἰ δεήσει ἐφ᾽ ἵππου κινδυνεύειν ἡμᾶς πρότερον πρὶν ἀκριβοῦν τὸ ἔργον τοῦτο, κἄπειτα μήτε πεζοὶ ἔτι ὦμεν μήτε πω ἱππεῖς ἱκανοί, ἀλλ᾽ οὐδὲ τοῦτο ἀμήχανον· ὅπου γὰρ ἂν βουλώμεθα, ἐξέσται ἡμῖν πεζοῖς εὐθὺς μάχεσθαι· οὐδὲν γὰρ τῶν πεζικῶν ἀπομαθησόμεθα ἱπ-
15 πεύειν μανθάνοντες. Κῦρος μὲν οὕτως εἶπε· Χρυσάντας [4]
δὲ συναγορεύων αὐτῷ ὧδε ἔλεξεν.

Ἀλλ᾽ ἐγὼ μέν, ἔφη, οὕτως ἐπιθυμῶ ἱππεύειν μαθεῖν ὡς νομίζω, ἢν ἱππεὺς γένωμαι, ἄνθρωπος πτηνὸς γενέσθαι.
16 νῦν μὲν γὰρ ἔγωγε ἀγαπῶ ἤν γ᾽ ἐξ ἴσου τῳ θεῖν ὁρμηθεὶς ἀνθρώπων μόνον τῇ κεφαλῇ πρόσχω, κἂν θηρίον παραθέον ἰδὼν δυνασθῶ διατεινάμενος φθάσαι ὥστε ἀκοντίσαι ἢ τοξεῦσαι πρὶν πάνυ πρόσω αὐτὸ γενέσθαι· ἢν δ᾽ ἱππεὺς γένωμαι, δυνήσομαι μὲν ἄνδρα ἐξ ὄψεως μήκους καθαιρεῖν,

13. *αὐτοῖν*] *οὺς* s. v. r. G. *διώκεσθαι*] *κοντα* s. v. r. G. *τὸν*] *τὸ δ᾽* A.G. *ξυμφέρειν* G. Libri *οὐκοῦν*. *ταὐτό*] *τὸ αὐτό* A.G. *ἔχειν τε* G. s. v. r. 14. *μάλιστ᾽*] *μάλιστά γε* A.G. *μὴ* om. A.G. s. v. r. *τὸ ἔργον τοῦτο*] *τοῦτο ἔργον* A. G., fortasse pro *τοὔργον*. *οὐθὲν* A. 15. *οὕτω* A. 16. *δυνηθῶ* G. corr. r. *δυνήσωμαι* G. pr. *μὲν* om. A.G. s. v. r.

13. *εὐπετὲς* est commodum, commoditatem præbens. SCHN.

οὐκοῦν ταὐτό γ᾽ ἐστὶν ἔχειν τε καὶ φέρειν] Hoc eatenus verum est ut quod quis portet idem habeat necesse sit: atqui non id agendum erat Cyro ut arma, si equites fierent, Persis non defutura demonstraret: quod minime metuebant: sed hoc potius ostendendum quanto commodius ea præsto habituri essent. Itaque sententia requiritur contraria *οὔκουν ταὐτό γ᾽ ἐστίν*. Infra 5, 4, 44: *Οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν τε καὶ παράγειν.* Perpetuo autem libri variant inter *ταὐτὸ* et *τὸ αὐτό*.

14. *ἀμήχανον*] Huic rei facile est mederi vel providere. SCHN. Non temere autem hoc veretur Cyrus: nam passim docent historici, qui pedites sint optimi, equestris artis fere esse imperitos, et vicissim. Hinc Constantium Julian. Orat. 1, p. 11, laudat quod inter equites pariter ac pedites emineret, ubi v. Spanhem. HUTCH.

15. *πτηνὸς*] Duriusculum est quod ex Platonis Reip. 5, p. 467 D, apposuit Hutchinson.: *Πτεροῦν χρὴ παιδία ὄντα εὐθύς, ἵν᾽, ἄν τι δέῃ, πετόμενοι ἀποφεύγωσι. Πῶς λέγεις; ἔφη. Ἐπὶ τοὺς ἵππους, ἦν δ᾽ ἐγώ, ἀναβιβαστέον ὡς νεωτάτους καὶ διδαξομένους ἱππεύειν* etc. SCHN. *Πτηνὸς* similiter Xen. Hipparch. 8, 3. ZEUN.

16. *καθαιρεῖν*] Est consequi et superare; opponitur enim *τῷ ἐξ ἴσου ὁρμηθέντι*. Compara Abresch. ad Æschylum 2, p. 42. SCHN.

δυνήσομαι δὲ θηρία διώκων τὰ μὲν ἐκ χειρὸς παίειν κατα-
λαμβάνων, τὰ δὲ ἀκοντίζειν ὥσπερ ἑστηκότα· καὶ γὰρ ἐὰν
ἀμφότερα ταχέα ᾖ, ὅμως ἐὰν πλησίον γίγνηται ἀλλήλων,
17 ὥσπερ τὰ ἑστηκότα ἔσται. ὃ δὲ δὴ μάλιστα δοκῶ ζῷον,
ἔφη, ἐζηλωκέναι, ἱπποκενταύρους, εἰ ἐγένοντο, ὥστε προ-
βουλεύεσθαι μὲν ἀνθρώπου φρονήσει, ταῖς δὲ χερσὶ τὸ
δέον παλαμᾶσθαι, ἵππου δὲ τάχος ἔχειν καὶ ἰσχὺν, ὥστε τὸ
μὲν φεῦγον αἱρεῖν, τὸ δ' ὑπομένον ἀνατρέπειν, οὐκοῦν
ταῦτα πάντα καὶ ἐγὼ ἱππεὺς γενόμενος συγκομίζομαι πρὸς
18 ἐμαυτόν. προνοεῖν μέν γε ἕξω πάντα τῇ ἀνθρωπίνῃ γνώ-
μῃ, ταῖς δὲ χερσὶν ὁπλοφορήσω, διώξομαι δὲ τῷ ἵππῳ,
τὸν δ' ἐναντίον ἀνατρέψω τῇ τοῦ ἵππου ῥύμῃ, ἀλλ' οὐ
19 συμπεφυκὼς δεδήσομαι ὥσπερ οἱ ἱπποκένταυροι· οὐκοῦν
τοῦτό γε κρεῖττον ἢ συμπεφυκέναι. τοὺς μὲν γὰρ ἱππο-
κενταύρους οἶμαι ἔγωγε πολλοῖς μὲν ἀπορεῖν τῶν ἀνθρώ-
ποις ηὑρημένων ἀγαθῶν ὅπως δεῖ χρῆσθαι, πολλοῖς δὲ τῶν
20 ἵπποις πεφυκότων ἡδέων πῶς αὐτῶν χρὴ ἀπολαύειν. ἐγὼ
δὲ ἢν ἱππεύειν μάθω, ὅταν μὲν ἐπὶ τοῦ ἵππου γένωμαι, τὰ
τοῦ ἱπποκενταύρου δήπουθεν διαπράξομαι· ὅταν δὲ κατα-
βῶ, δειπνήσω καὶ ἀμφιέσομαι καὶ καθευδήσω ὥσπερ οἱ
ἄλλοι ἄνθρωποι· ὥστε τί ἄλλο ἢ διαιρετὸς ἱπποκένταυρος
21 καὶ πάλιν σύνθετος γίγνομαι; ἔτι δ', ἔφη, καὶ τοῖσδε
πλεονεκτήσω τοῦ ἱπποκενταύρου· ὁ μὲν γὰρ δυοῖν ὀφθαλ-
μοῖν προεωρᾶτο καὶ δυοῖν ὤτοιν ἤκουεν· ἐγὼ δὲ τέτ-
ταρσι μὲν ὀφθαλμοῖς τεκμαροῦμαι, τέτταρσι δὲ ὠσὶν

ἐὰν] ἂν A.G. ἐὰν] δ' ἁ Ald. δὲ A.G. Junt. πλησίον] πλησία A G. γίγνηται] γίνεται A.G. ἔσται om. A.G. mg. r. 17. ὃ] ᾧ D. Cam. δοκῶ ἔφη D. Cam. ζῶν A.G. corr. mg. r. ζώων D. Cam. ὅρειν A. ταῦτα πάντα καὶ ἐγὼ G. πάντα καὶ ἐγὼ ταῦτα A. πάντα κἀγὼ ταῦτα D. Cam. 18. διώξομαι δὲ] δὲ om. G. δ' om. A.G. s. v. r. ἐναντίον B. s. v. r. ἀντίον A.G. ῥύμῃ B. mg. r. ῥώμῃ A.G. δήποθεν G. pr. Libri εὑρημένων. 21. τέτταρσιν et μὲν om. A.G. s. v. r. τεκμηροῦμαι A.G. τέτταρσι] τέτρασι A.G. pr. τέσσαρσι corr. ὠσὶν αἰσθ. et ὠσὶν ἀκούοντα A.G. ὠσὶ προ-

17. ἱπποκενταύρους] Hæc vel s. 22 respicere videtur Eustath. Opusc. p. 220, 42.

ἐγένοντο ὥστε conjungenda, ut sit i. q. ἐγένοντο τοιοῦτοι ὥστε.

οὐκοῦν—πάντα] Hæc apodosin sententiæ totius continent; ita tamen ut, quod fieri solet post longiorem parenthesin, verba initio non accurate respondeant. SCHN.

18. ῥύμῃ] Conf. 7, 1, 31.

19. πολλοῖς δὲ] Hoc ponitur vel propter χρῆσθαι, quod in mente habebat, sed in αὐτῶν—ἀπολαύειν mutavit, vel propter ἀπορεῖν, quod quum est stupere ad aliquid, dativo jungitur.

21. διοῖν ὀφθαλμοῖν—αἰσθήσομαι] Similem Plutarchi locum Arat. c. 25 contulit Coraes, ubi προαισθάνεται.

αἰσθήσομαι· πολλὰ γάρ φασι καὶ ἵππον ἀνθρώπου τοῖς ὀφθαλμοῖς προορῶντα δηλοῦν, πολλὰ δὲ τοῖς ὠσὶν ἀκούοντα σημαίνειν. ἐμὲ μὲν οὖν, ἔφη, γράφε τῶν ἱππεύειν ὑπερεπιθυμούντων. Νὴ τὸν Δί', ἔφασαν οἱ ἄλλοι
22 πάντες, καὶ ἡμᾶς γε. ἐκ τούτου δὴ ὁ Κῦρος λέγει, Τί οὖν, ἔφη, ἐπεὶ σφόδρα ἡμῖν δοκεῖ ταῦτα, εἰ καὶ νόμον ἡμῖν αὐτοῖς ποιησαίμεθα αἰσχρὸν εἶναι, οἷς ἂν ἵππους ἐγὼ πορίσω, ἤν τις φανῇ πεζῇ ἡμῶν πορευόμενος, ἤν τε πολλὴν ἤν τε ὀλίγην ὁδὸν δέῃ διελθεῖν; ἵνα καὶ παντάπασιν ἱππο-
23 κενταύρους ἡμᾶς οἴωνται οἱ ἄνθρωποι εἶναι. ὁ μὲν οὕτως ἐπήρετο, οἱ δὲ πάντες συνῄνεσαν· ὥστ' ἔτι καὶ νῦν ἐξ ἐκείνου χρῶνται Πέρσαι οὕτω, καὶ οὐδεὶς ἂν τῶν καλῶν κἀγαθῶν ἑκὼν ὀφθείη Περσῶν οὐδαμῇ πεζὸς ἰών. οἱ μὲν δὴ ἐν τούτοις τοῖς λόγοις ἦσαν.

ΚΕΦ. Δ.

Ἡνίκα δ' ἔξω μέσου ἡμέρας ἐγένετο, προσήλαυνον μὲν οἱ Μῆδοι ἱππεῖς καὶ Ὑρκάνιοι, ἵππους τε ἄγοντες αἰχμαλώτους καὶ ἄνδρας· ὅσοι γὰρ τὰ ὅπλα παρεδίδοσαν, οὐ
2 κατέκανον· ἐπεὶ δὲ προσήλασαν, πρῶτον μὲν αὐτῶν ἐπυνθάνετο ὁ Κῦρος εἰ σωθεῖεν πάντες αὐτῷ· ἐπεὶ δὲ τοῦτ' ἔφασαν, ἐκ τούτου ἠρώτα τί ἔπραξαν. οἱ δὲ διηγοῦντο ἅ
3 τ' ἐποίησαν καὶ ὡς ἀνδρείως ἕκαστα ἐμεγαληγόρουν. ὁ δὲ

αισθήσομαι et ὠσὶ προακούοντα ceteri. οὖν om. G. ἔφασαν] ἔφησαν A.G. 22. εἰ] ἢ A.G. νόμον] μόνον A.G. corr. s. v. r. ποιησαίμεθα] πορισαίμεθα G. s. v. r. οἱ om. A. 1. μέσον G. ἡμέρα A.G. ἐγίνετο A.G. κατέκανον] κατέκαιον A. κατέκαινον B.G. Correxi in ed. a. 1824. 2. σωθεῖεν πάντες] σῶοι οἱ πάντες εἶεν E.F.H. σῶοι πάντες εἶεν Junt. αὐτῷ] αὐτῶν A.G.

22. αἰσχρὸν] Conf. 8, 8, 19. Eustath. Opusc. p. 210, 1: Οὐκ ἀπαξιῶν τὸ πεζὸν κατὰ τὸ πάλαι Περσικὸν ὑψηλόφρον, οἷς ἤρεσε νομοθετῆσαι δίχα τοῦ κατ' οἰκίαν περιπάτου λοιπὴν πορείαν ἐφ' ἵππου τίθεσθαι. De rege Heraclides Cumæus apud Athen. 12, p. 514 C: Πεζὸς οὐδέποτε ἑωράθη ἔξω τῶν βασιλείων.

23. χρῶνται] Sic solum positum verbum illustravit Heindorf. ad Platon. Sophist. p. 274. SCHN.

οὐδεὶς ἂν—ὀφθείη Περσῶν οὐδαμῇ πεζὸς ἰών] "C'est ce qui se pratique tout-à-fait aujourdhui. Tout le monde va à cheval, jusqu'aux gens de boutique." Chardin *Voyages en Perse*, vol. 3, p. 264 ed. Langlès. Conf. id. p. 427, Ker Porter *Travels in Georgia, Persia* etc. vol. 1, p. 291.

1. μέσου ἡμέρας] Infra 5, 3, 52: Ἡνίκα δ' ἦν ἐν μέσῳ νυκτῶν. Anab. 1, 8, 8: Καὶ ἤδη τε ἦν μέσον ἡμέρας. 7, 3, 44: Ἡνίκα ἦν μέσον ἡμέρας. SCHN.

2. σωθεῖεν] Varietates librorum conflatas videri ex scriptura σῷ εἶεν dixi præf. ad Anab. p. ix.

διήκουέ τε ἡδέως πάντων ἃ ἐβούλοντο λέγειν, ἔπειτα δὲ
καὶ ἐπήνεσεν αὐτοὺς οὕτως· Ἀλλὰ καὶ δῆλοί τοι, ἔφη,
ἐστὲ ὅτι ἄνδρες ἀγαθοὶ ἐγένεσθε· καὶ γὰρ μείζους φαί-
4 νεσθε καὶ καλλίους καὶ γοργότεροι ἢ πρόσθεν ἰδεῖν. ἐκ δὲ
τούτου ἐπυνθάνετο ἤδη αὐτῶν καὶ ὁπόσην ὁδὸν διήλασαν
καὶ εἰ οἰκοῖτο ἡ χώρα. οἱ δ᾽ ἔλεγον ὅτι καὶ πολλὴν διελά-
σειαν καὶ πᾶσα οἰκοῖτο καὶ μεστὴ εἴη οἰῶν καὶ αἰγῶν καὶ
5 βοῶν καὶ ἵππων καὶ σίτου καὶ πάντων ἀγαθῶν. Δυοῖν [2]
ἂν, ἔφη, ἐπιμελητέον ἡμῖν εἴη, ὅπως τε κρείττους ἐσόμεθα
τῶν αὐτὰ ἐχόντων καὶ ὅπως οὗτοι μενοῦσιν· οἰκουμένη μὲν
γὰρ χώρα πολλοῦ ἄξιον κτῆμα· ἐρήμη δ᾽ ἀνθρώπων οὖσα
6 ἐρήμη καὶ τῶν ἀγαθῶν γίγνεται. τοὺς μὲν οὖν ἀμυνομέ-
νους, ἔφη, οἶδα ὅτι κατεκάνετε, ὀρθῶς ποιοῦντες· τοῦτο
γὰρ μάλιστα σώζει τὴν νίκην· τοὺς δὲ παραδιδόντας
αἰχμαλώτους ἠγάγετε· οὓς εἰ ἀφείημεν, τοῦτ᾽ αὐτὸ σύμ-
7 φορον ἂν, ὡς ἐγώ φημι, ποιήσαιμεν. πρῶτον μὲν γὰρ νῦν
οὐκ ἂν φυλάττεσθαι οὐδὲ φυλάττειν ἡμᾶς τούτους δέοι, οὐδ᾽
αὖ σιτοποιεῖν τούτοις· οὐ γὰρ λιμῷ γε δήπου κατακανοῦ-
μεν αὐτούς· ἔπειτα δὲ τούτους ἀφέντες πλείοσιν αἰχμαλώ-
8 τοις χρησόμεθα. ἢν γὰρ κρατῶμεν τῆς χώρας, πάντες ἡμῖν
οἱ ἐν αὐτῇ οἰκοῦντες αἰχμάλωτοι ἔσονται· μᾶλλον δὲ τού-
τους ζῶντας ἰδόντες καὶ ἀφεθέντας μενοῦσιν οἱ ἄλλοι καὶ
πείθεσθαι αἱρήσονται μᾶλλον ἢ μάχεσθαι. ἐγὼ μὲν οὖν
9 οὕτω γιγνώσκω· εἰ δ᾽ ἄλλο τις ὁρᾷ ἄμεινον, λεγέτω. οἱ δὲ

3. *διήκουέ τε* Schneiderus. *διήκουε* (et *πάντα ἡ. ὅσα ἐβ.*) Junt. *διηκούετο* A.G. *ἠβούλοντο* A.G. *τοι*] *τε* A. 4. *οἰκεῖτο* G. pr., ut videtur, qui *ο* in ras. et lit., *ι* s. v. r. *οἰκοῖτο*] *ἡ χώρα* add. G. mg. r. *οἰῶν*] *ὑῶν* A.G. 5. *μὲν* G. s. v. r. *πολλοῦ*] *πολὺ* A.G. 6. *ἀμυνομένους*] *υν* in ras. G. *κατεκάνετε*] *κατεκαίνετε* A.G. Correxi in ed. a. 1824. *ξύμφορον* G. 7. *αὖ* Castalio. Libri *ἄν*. *γὰρ*] *γὰρ δὴ* A.G. *κατακανοῦμεν* Zeunius. *κατακαινοῦμεν* A.G. 8. *οὖν* om. A. *ἄλλο—ἄμεινον* C.E.F.H. *ἄλλά—ἀμείνονα* A. *ἄλλος—ἀμείνονα* G.

3. *διήκουε*] Videtur *διήκουέ τε* fuisse, quod mutarunt, qui in altero membro *καὶ* ex more non sequi, sed *δὲ* videbant. SCHN.

μείζους] V. ad 5, 2, 36.

5. *Δυοῖν ἂν*] Sic *ὥρα ἂν εἴη* sine *οὖν*, de quo ad 1, 4, 13. SCHN. V. ad 7, 5, 25.

6. *παραδιδόντας*] *τὰ ὅπλα* ex s. 1. repetitur. Nam quod Plato dixit Phædro p. 250 E. *ἡδονῇ παραδοὺς* cum hoc loco componi non potest.

7. *φυλάττεσθαι οὐδὲ φυλάττειν*] Conf. 4, 2, 40. ZEUN.

8. *εἰ δ᾽ ἄλλο τις ὁρᾷ ἄμεινον*] Male plerique *ἄλλος* et *ἀμείνονα*, qua de forma dixi ad Steph. Thes. v. *Ἀμείνων*. Anab. 3, 2, 37: *Εἰ μὲν οὖν ἄλλος τις βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω*, verissime Muretus *ἄλλο τις*, ut 38: *Εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον, λεξάτω*. Ubi v. annot. Infra 6, 2, 39: *Εἰ δέ τίς τι καὶ ἄλλο δέον ἐνορᾷ*.

ἀκούσαντες συνῄνουν ταῦτα ποιεῖν. οὕτω δὴ ὁ Κῦρος κα- [3]
10 λέσας τοὺς αἰχμαλώτους λέγει τοιάδε· Ἄνδρες, ἔφη, νῦν
τε ὅτι ἐπείθεσθε τὰς ψυχὰς περιεποιήσασθε, τοῦ τε λοι-
ποῦ, ἢν οὕτω ποιῆτε, οὐδ' ὁτιοῦν κακὸν ἔσται ὑμῖν ἀλλ' ἢ
οὐχ ὁ αὐτὸς ἄρξει ὑμῶν ὅσπερ καὶ πρότερον· οἰκήσετε δὲ
τὰς αὐτὰς οἰκίας καὶ χώραν τὴν αὐτὴν ἐργάσεσθε καὶ γυ-
ναιξὶ ταῖς αὐταῖς συνοικήσετε καὶ παίδων τῶν ὑμετέρων
ἄρξετε ὥσπερ νῦν· ἡμῖν μέντοι οὐ μαχεῖσθε οὐδὲ ἄλλῳ
11 οὐδενί· ἡνίκα δ' ἄν τις ὑμᾶς ἀδικῇ, ἡμεῖς ὑπὲρ ὑμῶν μα-
χούμεθα· ὅπως δὲ μηδ' ἐπαγγέλλῃ μηδεὶς ὑμῖν στρατεύειν,
τὰ ὅπλα πρὸς ἡμᾶς κομίσατε· καὶ τοῖς μὲν κομίζουσιν
ἔσται εἰρήνη καὶ ἃ λέγομεν ἀδόλως· ὁπόσοι δ' ἂν τὰ πο-
λεμικὰ μὴ ἀποφέρωσιν ὅπλα, ἐπὶ τούτους ἡμεῖς καὶ δὴ
12 στρατευσόμεθα. ἂν δέ τις ὑμῶν καὶ ἰὼν ὡς ἡμᾶς εὐνοϊκῶς
καὶ πράττων τι καὶ διδάσκων φαίνηται, τοῦτον ἡμεῖς ὡς
εὐεργέτην καὶ φίλον, οὐχ ὡς δοῦλον περιέψομεν. ταῦτα
13 οὖν, ἔφη, αὐτοί τε ἴστε καὶ τοῖς ἄλλοις διαγγέλλετε. ἢν δ'
ἄρα, ἔφη, ὑμῶν βουλομένων ταῦτα μὴ πείθωνταί τινες,
ἐπὶ τούτους ἡμᾶς ἄγετε, ὅπως ὑμεῖς ἐκείνων, μὴ ὑμεῖς ὑπ'
ἐκείνων ἄρχησθε. ὁ μὲν δὴ ταῦτ' εἶπεν· οἱ δὲ προσεκύνουν
τε καὶ ὑπισχνοῦντο ταῦτα ποιήσειν.

ΚΕΦ. Ε.

Ἐπεὶ δ' ἐκεῖνοι ᾤχοντο, ὁ Κῦρος εἶπεν, Ὥρα δή, ὦ Μῆδοι καὶ Ἀρμένιοι, δειπνεῖν πᾶσιν ἡμῖν· παρεσκεύασται

10. τοῦ τε] τε om. A. s. v. G. r. ὥσπερ G. Zonaras p. 152 D. ἐργάζεσθε A. οὐδενὶ] om. A.G. 11. ἀδικῇ] ῇ in lit. et ras. G. ὅπως δὲ μηδ' ἐπαγγέλλῃ] ὡς δ' ἐπαγγελθῇ A.G. ἔστιν A. corr. G. pr., corr. s. v. r. ἀποφέρωσιν] ἀνα s. v. r. G. 12. περιέψομεν C. περιόψοιμεν A.G. ἴστε] ἴετε A. 13. ἡμῶν G. ὑμεῖς ἐκείνων] ὑ in lit. et ras. G. 1. ἡμῖν] ὑμῖν A.G. παρεσκευάσθαι A.G. pr.

κακὸν] Zonaras καινὸν ἔσται legisse videtur: Ἓν γάρ τι καινὸν ἔσται ὑμῖν, πάντες αὐτῶν—τί ἔπραξαν—ἅ τ' ἐποίησαν. SCHN.

11. ἃ λέγομεν] Quæ promittimus. ZEUN.

13. ὅπως ὑμεῖς ἐκείνων] Intelligendum ex sequenti passivo activum ἄρχητε, ut vicissim passivum ex activo in locis Thucydidis quos conferunt interpretes 2, 11: Ἀξιοῦσιν ἐπιόντες τὴν τῶν πέλας δῃοῦν μᾶλλον ἢ τὴν ἑαυτῶν ὁρᾶν· 6, 79: Ὅταν ὑπ' ἄλλων καὶ μὴ αὐτοὶ ὥσπερ νῦν τοὺς πέλας ἀδικῶσιν.

προσεκύνουν] Humi procumbentes more Persico, de quo Herodot. 1, 134, Aesch. Pers. 588, Ælian. V. H. 1, 21 et alii. HUTCH.

δὲ ὑμῖν τἀπιτήδεια ὡς ἡμεῖς βέλτιστα ἐδυνάμεθα. ἀλλ᾽ ἴτε καὶ ἡμῖν πέμπετε τοῦ πεποιημένου σίτου τὸν ἥμισυν· ἱκανὸς δὲ ἀμφοτέροις πεποίηται· ὄψον δὲ μὴ πέμπετε μηδὲ πιεῖν· ἱκανὰ γὰρ ἔχομεν παρ᾽ ἡμῖν αὐτοῖς παρεσκευασμένα.
2 καὶ ὑμεῖς δέ, ὦ Ὑρκάνιοι, ἔφη, διάγετε αὐτοὺς ἐπὶ τὰς σκηνάς, τοὺς μὲν ἄρχοντας ἐπὶ τὰς μεγίστας, γιγνώσκετε δέ, τοὺς δ᾽ ἄλλους ὡς ἂν δοκῇ κάλλιστα ἔχειν· καὶ αὐτοὶ δὲ δειπνεῖτε ὅπουπερ ἥδιστον ὑμῖν· σῷ μὲν γὰρ ὑμῖν καὶ ἀκέραιοι αἱ σκηναί· παρεσκεύασται δὲ καὶ ἐνθάδε ὥσπερ
3 καὶ τούτοις. καὶ τοῦτο δὲ ἴστε ἀμφότεροι ὅτι τὰ μὲν ἔξω ὑμῖν ἡμεῖς νυκτοφυλακήσομεν, τὰ δ᾽ ἐν ταῖς σκηναῖς αὐτοὶ ὁρᾶτε καὶ τὰ ὅπλα εὖ τίθεσθε· οἱ γὰρ ἐν ταῖς σκηναῖς
4 οὔπω φίλοι ἡμῖν. οἱ μὲν δὴ Μῆδοι καὶ οἱ ἀμφὶ Τιγράνην [2] ἐλοῦντο, καί, ἦν γὰρ παρεσκευασμένα, ἱμάτια μεταλαβόντες ἐδείπνουν· καὶ οἱ ἵπποι αὐτοῖς εἶχον τἀπιτήδεια· καὶ τοῖς Πέρσαις δὲ ἔπεμπον τῶν ἄρτων τοὺς ἡμίσεις· ὄψον

Libri τὰ ἐπιτήδεια. βέλτιστα] ὦ βέλτιστοι A.G. Zonaras p. 153 A. πεποιημένου] πεπονημένου A.G. πιεῖν] ποιεῖν G. pr. ἱκανὰ—παρεσκευασμένα] ἱκανὸν—παρεσκευασμένον A.G. 2. διαγάγετε A. Zonaras p. 153 A. αἱ] καὶ αἱ A.G. pr. μὲν s. v. r. G. εὖ τίθεσθε A. ἐν s. v. r. G. οὔπω mg. r. B. Philelphus, cod. Brodæi. οὗτοι A.G. οὗτοι B. corr., pr. fortasse οὕτω. 4. ἐλοῦντο] ἐλούοντο A.G. καὶ γὰρ] καὶ ante ἱμάτια ponunt libri. Correxit Poppo. Libri τὰ ἐπιτήδεια.

1. πεποιημένου—πεποίηται] V. ad 8, 5, 5.
ὄψον—πιεῖν] V. s. 4.
2. σῶαι libri et Zonaras. Scribendum esse σῷ dictum præf. ad Anab. p. ix.
3. ἀμφότεροι] Medi cum Armeniis, ut s. 1, et Hyrcani.
εὖ τίθεσθε] Ut in promptu sint. V. Schneider. Ind. Anab. v. Τιθέναι, p. 464, b, ed. Oxon. Hom. Il. B, 381: Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ᾽ ἀσπίδα θέσθω, εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσιν, confert. ZEUN.
4. ἐλοῦντο] Inscitia librarii in C. irrepsit ἐλούοντο, quod a Xenophonte omnino amovendum docet Phrynichus: Λούομαι ἐλουόμην ἐλούοντο ἀδόκιμά ἐστιν. εἰ δὲ δόκιμα βούλει αὐτὰ ποιῆσαι, τὸ ε καὶ τὸ ο ἀφαίρει, καὶ λέγε λοῦμαι, ἐλούμην, ἐλοῦντο. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν. Cui astipulatur Thomas: Λοῦμαι πάντες οἱ Ἀττικοί. HUTCH. V. var. scr. 1, 3, 11, et ad Thes. Steph.

Verba ἦν γὰρ παρεσκευασμένα post ἐλοῦντο vulgo collocata. quasi balinea arte fuerint parata, cum liceret in fluvio vicino lavari, recte post ἱμάτια retraxit Weiskius. Vestes enim puras unde sumserint in castris milites, lectoris intererat scire. SCHN. Librorum scripturam sequutus Morier *A second Journey through Persia*, p. 279: "Many of the great personages have tents with boilers attached to them, which they convert into hot baths, as soon as they became stationary at one place for any time; and we may suppose this to have been the case formerly, for in the Cyrop. it is mentioned that the Medes and the soldiers of Tigranes bathed themselves in camp, all matters for that purpose having been provided." Sed ita παρεσκευασμένον dicendum foret.
ἱμάτια μεταλαβόντες] Citat Pollux 7, 44. Homero Od. Θ, 249; Ξ, 513, εἵματα ἐξημοιβὰ et χιτῶνες ἐξημοιβοί. ZEUN.

δὲ οὐκ ἔπεμπον οὐδ' οἶνον, οἰόμενοι ἔχειν τοὺς ἀμφὶ Κῦρον,
ὅτι ἔφη ἄφθονα ταῦτα ἔχειν. ὁ δὲ Κῦρος ἔλεγεν ὄψον μὲν
5 τὸν λιμὸν, πιεῖν δ' ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. ὁ μὲν [3]
οὖν Κῦρος δειπνίσας τοὺς Πέρσας, ἐπεὶ συνεσκότασε,
κατὰ πεμπάδας καὶ κατὰ δεκάδας πολλοὺς αὐτῶν διέπεμψε
καὶ ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν, νομίζων
ἅμα μὲν φυλακὴν ἔσεσθαι, ἄν τις ἔξωθεν προσίῃ, ἅμα δὲ,
ἄν τις ἔξω φέρων χρήματα ἀποδιδράσκῃ, ἁλώσεσθαι αὐ-
τόν· καὶ ἐγένετο οὕτω· πολλοὶ μὲν γὰρ ἀπεδίδρασκον,
6 πολλοὶ δὲ ἑάλωσαν. ὁ δὲ Κῦρος τὰ μὲν χρήματα τοὺς λα-
βόντας εἴα ἔχειν, τοὺς δὲ ἀνθρώπους ἀποσφάξαι ἐκέλευσεν·
ὥστε τοῦ λοιποῦ οὐδὲ βουλόμενος ἂν ηὗρες ῥᾳδίως τὸν
7 νύκτωρ πορευόμενον. οἱ μὲν δὴ Πέρσαι οὕτω διῆγον· οἱ δὲ
Μῆδοι καὶ ἔπινον [καὶ ηὐωχοῦντο] καὶ ηὐλοῦντο καὶ πάσης
εὐθυμίας ἐνεπίμπλαντο· πολλὰ γὰρ καὶ τὰ τοιαῦτα ἥλω,
ὥστε μὴ ἀπορεῖν ἔργου τοὺς ἐγρηγορότας.
8 Ὁ δὲ Κυαξάρης ὁ τῶν Μήδων βασιλεὺς τὴν μὲν νύκτα [4]
ᾗ ἐξῆλθεν ὁ Κῦρος αὐτός τε ἐμεθύσκετο μεθ' ὧνπερ ἐσκή-
νου ὡς ἐπ' εὐτυχίᾳ, καὶ τοὺς ἄλλους δὲ Μήδους ᾤετο παρ-
εῖναι ἐν τῷ στρατοπέδῳ πλὴν ὀλίγων, ἀκούων θόρυβον
πολύν· οἱ γὰρ οἰκέται τῶν Μήδων, ἅτε τῶν δεσποτῶν
ἀπελθόντων, ἀνειμένως ἔπινον καὶ ἐθορύβουν, ἄλλως τε καὶ
ἐκ τοῦ Ἀσσυρίου στρατεύματος καὶ οἶνον καὶ ἄλλα πολλὰ

ἔφη om. A.G. mg. r. ἔχειν om. A.G. s.v. r. 5. δειπνίσας Ald. δειπνήσας A.G. συνεσκότασε] συνεστηκότας ἴδεν A. et qui εἶδε G. πεντάδας A. καὶ κατὰ δεκάδας om. A.G. mg. r. ἐκέλευε A. τοῦ στρατοπέδου] τὸ στρατόπεδον A.G. κρυπτεύειν] ευ punctis notat r. G. ἀποδιδράσκει G. erasa post ε littera. 6. τοὺς λαβόντας εἴα ἔχειν τοὺς in ras. et lit. r. G. εὗρες Junt. εὕρετο A.G. 7. καὶ ἔπινον] ἔπινον A.G. εὐωχοῦντο καὶ ηὐλοῦντο] ἥδοντο A. et qui mg. r. add. καὶ ηὐλοῦντο G. ἥλω] ἑάλω G. mg. r. ἔργου] ἔργῳ A.G. 8. ἐν om. A.G. s.v.r. τε om. A.G. s.v.r.

5. πολλοὶ] Anaphoram esse ita intelligendam monuit Weiskius ut quicunque fuga elabi conati fuerint, omnes capti sint. SCHN.

7. εὐωχοῦντο] Infra 6, 1, 10: Εὐωχοῦμαι τὰ ἐκείνων καὶ πίνω τὰ τῶν πολεμίων. Plato Reip. 6, p. 488: Πίνοντάς τε καὶ εὐωχουμένους. Nihilominus suspectum verbum omissum etiam a Polluce 6, 26: Ἔπινον δὲ, ὡς οἱ νῦν, τὸ συνέπινον καὶ ποτοὺς ἐποιοῦντο Ξ. ἔφη. Οἱ δὲ Μῆδοι καὶ ἔπινον καὶ ηὐλοῦντο. Scribendum autem ηὐωχεῖτο, ut ap. Hesych. v. Ἐβρύαζεν. Quod augmentum fere evanuit ex libris.

ηὐλοῦντο] Anab. 6, 1, 11: Ἦισαν ἐν ῥυθμῷ πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι, ubi v. annot. Dio Chr. Or. 33, vol. 2, p. 6: Ἥκουσιν εἰς τὸν βίον αὐλούμενοι καὶ ᾀδόμενοι καὶ μεθύοντες.

ἥλω] Eadem forma cum altera, quæ est s. 5, conjungitur Anab. 4, 4, 21, et pluribus aliis locis cum forma soluta aoristi et perfecti alternat apud Xenophontem, ut apud eundem variatur inter ἤνοιγον et ἀνέῳγον.

9 εἰληφότες. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ἐπὶ θύρας οὐδεὶς ἧκε [5]
πλὴν οἵπερ καὶ συνεδείπνουν, καὶ τὸ στρατόπεδον ἤκουε
κενὸν εἶναι τῶν Μήδων καὶ τῶν ἱππέων, καὶ ἑώρα, ἐπειδὴ
ἐξῆλθεν, οὕτως ἔχοντα, ἐνταῦθα δὴ ἐβριμοῦτό τε τῷ Κύρῳ
καὶ τοῖς Μήδοις τῷ καταλιπόντας αὐτὸν ἔρημον οἴχεσθαι,
καὶ εὐθὺς, ὥσπερ λέγεται ὠμὸς εἶναι καὶ ἀγνώμων, τῶν
παρόντων κελεύει τινὰ λαβόντα τοὺς ἑαυτοῦ ἱππέας πορεύ-
εσθαι ὡς τάχιστα ἐπὶ τὸ ἀμφὶ Κῦρον στράτευμα καὶ
10 λέγειν τάδε. Ὤιμην μὲν ἔγωγε οὐδ' ἂν σὲ, ὦ Κῦρε,
περὶ ἐμοῦ οὕτως ἀπρονοήτως βουλεῦσαι, εἰ δὲ Κῦρος οὕτω
γιγνώσκοι, οὐκ ἂν ὑμᾶς, ὦ Μῆδοι, ἐθελῆσαι οὕτως ἔρημον
ἐμὲ καταλιπεῖν. καὶ νῦν, ἂν μὲν Κῦρος βούληται, εἰ δὲ μὴ,
11 ὑμεῖς τὴν ταχίστην πάρεστε. ταῦτα δὴ ἐπέστειλεν. ὁ δὲ [6]
ταττόμενος πορεύεσθαι ἔφη, Καὶ πῶς, ὦ δέσποτα, ἐγὼ
εὑρήσω ἐκείνους; Ὅπῃ δὲ Κῦρος, ἔφη, καὶ οἱ σὺν αὐτῷ
ἐφ' οὓς ἐπορεύοντο. Ὅτι νὴ Δί', ἔφη, ἀκούω ἀφεστηκό-
τας τῶν πολεμίων Ὑρκανίους τινὰς καὶ ἐλθόντας δεῦρο οἴ-
12 χεσθαι ἡγουμένους αὐτῷ. ἀκούσας δὲ ταῦτα ὁ Κυαξάρης
πολὺ μᾶλλον ἔτι τῷ Κύρῳ ὠργίζετο τῷ μηδ' εἰπεῖν αὐτῷ
ταῦτα, καὶ πολλῇ σπουδῇ μᾶλλον ἔπεμπεν ἐπὶ τοὺς Μή-
δους, ὡς ψιλώσων αὐτὸν, καὶ ἰσχυρότερον ἔτι ἢ πρόσθεν

9. *θύρας*] *θύραις* A.G. *οἵπερ*] *ι* super *ρ* et *ᾶ* vel tale quid post hoc erasit G. *καὶ τὸ*] *καὶ* G. *καταλιπόντα* A.G. pr. *καὶ ἀγνώμων*] *ἀγνωμόνως* A.G. corr. s. v. r. *κύρου* G. 10. *οὕτως ἀπρονοήτως*] *οὕτως* A. *οὕτω* G. corr. infra v. r. *γιγνώσκει* A. pr. *ὑμᾶς*] *ὑμᾶς γε* Junt. *οὕτως* om. A. al. m. initio versus add. G. *κῦρος*] *ὁ κῦρος* G. *ὑμεῖς*] *ὑμεῖς γε* Junt. 11. *ἀπέστειλεν* A. *αὐτῷ* E.F. *αὐτῶν* A.G.

9. *ἐπὶ θύρας*] *Porta* hic et alibi sæpe apud Xen. more Orientalium, ut hodie apud Turcas, pro *aula* s. *regia*, quæ cum persona principis in loca quævis, etiam castra, migrat. V. ad 1, 3, 2. HUTCH.

τῷ καταλιπόντας] *τῷ* iterum sic est s. 12. Conf. Heindorf. ad Phædon. p. 16. SCHN.

ὠμὸς] Conf. s. 19.

10. *εἰ δὲ μὴ*] V. ad 7, 5, 54.

11. *Ὅπῃ δὲ*] Particulæ sic in responsione positæ exempla Soph. Œd. T. 378: *Κρέοντος ἢ σοῦ ταῦτα τἀξευρήματα;—Κρέων δέ σοι πῆμ' οὐδὲν, ἀλλ' αὐτὸς σύ σοι,* et alia attulimus ad Steph. Thes. v. *Δέ.*

Ὅτι] Œcon. 1, 6: *Καὶ κτήματα αὐτῶν φήσομεν εἶναι τοὺς ἐχθρούς;—Γελοῖον μεντἂν εἴη εἰ ὁ τοὺς ἐχθροὺς αὔξων προσέτι καὶ μισθὸν τούτου φέροι.—Ὅτι τοι ἡμῖν ἐδόκει οἶκος ἀνδρὸς εἶναι ὅπερ κτῆσις.* Utroque loco *ὅτι* ad priorem interrogationem refertur sic ut ejus reddat rationem. Conf. infra 7, 1, 42.

ἡγουμένους αὐτῷ] Hyrcanii ducebant Cyrum contra hostes, a quibus ipsi discessionem fecerant. SCHN.

12. *τῷ μηδ' εἰπεῖν*] V. s. 9. SCHN.

ἀπεκάλει] Conf. 24, 25, et 29. Anab. 7, 3, 35. Suidas: *Ἀπεκάλει, ἀντὶ τοῦ ἀνεκάλει, μετεπέμπετο. Ξενοφῶν.* SCHN.

τοῖς Μήδοις ἀπειλῶν ἀπεκάλει, καὶ τῷ πεμπομένῳ δὲ
ἠπείλει, εἰ μὴ ἰσχυρῶς ταῦτα ἀπαγγέλλοι.
13 Ὁ μὲν δὴ πεμπόμενος ἐπορεύετο ἔχων τοὺς ἑαυτοῦ ἱπ- [7]
πέας ὡς ἑκατὸν, ἀνιώμενος ὅτι οὐ καὶ αὐτὸς τότε ἐπορεύθη
μετὰ τοῦ Κύρου. ἐν δὲ τῇ ὁδῷ πορευόμενοι διασχισθέντες
τρίβῳ τινὶ ἐπλανῶντο, καὶ οὐ πρόσθεν ἀφίκοντο ἐπὶ τὸ
φίλιον στράτευμα πρὶν ἐντυχόντες ἀποχωροῦσί τισι τῶν
Ἀσσυρίων ἠνάγκασαν αὐτοὺς ἡγεῖσθαι· καὶ οὕτως ἀφι-
κνοῦνται τὰ πυρὰ κατιδόντες ἀμφὶ μέσας πως νύκτας.
14 ἐπεὶ δ' ἐγένοντο πρὸς τῷ στρατοπέδῳ, οἱ φύλακες, ὥσπερ
εἰρημένον ἦν ὑπὸ Κύρου, οὐκ εἰσαφῆκαν αὐτοὺς πρὸ ἡμέ-
ρας. ἐπεὶ δὲ ἡμέρα ὑπέφαινε, πρῶτον μὲν τοὺς μάγους κα-
λέσας ὁ Κῦρος τὰ τοῖς θεοῖς νομιζόμενα ἐπὶ τοῖς τοιούτοις
15 ἀγαθοῖς ἐξαιρεῖσθαι ἐκέλευε. καὶ οἱ μὲν ἀμφὶ ταῦτα εἶχον·
ὁ δὲ συγκαλέσας τοὺς ὁμοτίμους εἶπεν, Ἄνδρες, ὁ μὲν [8]
θεὸς προφαίνει πολλὰ καὶ ἀγαθά· ἡμεῖς δὲ οἱ Πέρσαι ἐν
τῷ παρόντι ὀλίγοι ἐσμὲν ὡς ἐγκρατεῖς εἶναι αὐτῶν. εἴτε
γὰρ ὁπόσα ἂν προσεργασώμεθα, μὴ φυλάξομεν, πάλιν
ταῦτα ἀλλότρια ἔσται· εἴτε καταλείψομέν τινας ἡμῶν αὐ-
τῶν φύλακας ἐπὶ τοῖς ἐφ' ἡμῖν γιγνομένοις, αὐτίκα οὐδε-
16 μίαν ἰσχὺν ἔχοντες ἀναφανούμεθα. δοκεῖ οὖν μοι ὡς τά-
χιστα ἰέναι τινὰ ὑμῶν εἰς Πέρσας καὶ διδάσκειν ἅπερ ἐγὼ
λέγω, καὶ κελεύειν ὡς τάχιστα πέμπειν στράτευμα, εἴπερ
ἐπιθυμοῦσι Πέρσαι τὴν ἀρχὴν τῆς Ἀσίας αὐτοῖς καὶ τὴν
17 κάρπωσιν γενέσθαι. ἴθι μὲν οὖν σὺ, ἔφη, ὁ πρεσβύτατος,
καὶ ἰὼν ταῦτα λέγε, καὶ ὅτι οὓς ἂν πέμπωσι στρατιώτας,
ἐπειδὰν ἔλθωσι παρ' ἐμὲ, ἐμοὶ μελήσει περὶ τροφῆς αὐτοῖς.

12. τοῖς αὐτοῖς A.G. ἀπεκάλει C. ἐπεκάλει A.G. καὶ] καὶ post hoc delet G. r. 13. ὅτι οὐκ ἐπορεύθη μετὰ G. διασχισθέντες] διασχιζομένων ὁδῶν G. mg. r. φίλον A. 15. οἱ πέρσαι Bothius. Libri ὦ πέρσαι. ὡς] ὥστε G. mg. r. ὁπόσα Poppo. ὁποῖα A.G. ὅσα Junt. κατεργασώμεθα G. s. v. r. φυλάξωμεν G. καταλείψωμεν G. ἐφ'] ὑφ' E.H. ἀναφαινούμεθα G. pr. 16. κελεύειν ὡς] κελεύειν ὥσπερ G., περ punctis notans r. κάρπωσιν] Pollux 7, 149. 17. ἴθι μὲν] ἴοιμεν A. αὐτοῖς A. αὐτῶν, sed τῶν in ras. G., ut L. ῶν corr.

ἀμφὶ μέσας πως] Anab. 6, 2, 17: Κατὰ μέσον πως τῆς Θρᾴκης. SCHN.
14. τοὺς μάγους] Medorum. V. ad 8, 1, 23. De medio ἐξαιρεῖσθαι ad 5, 3, 2.
15. ὦ Πέρσαι] οἱ Πέρσαι recte Bothius. Nam alia ratio loci infra s. 22. Eadem confusa 4, 5, 52; 6, 2, 41, similiterque peccatum 4, 5, 1.
17. τροφῆς αὐτοῖς] Thuc. 1, 5: Τοῖς ἀσθενέσι τροφῆς· 4, 6; 8, 57.

ἃ δ' ἔχομεν ἡμεῖς, ὁρᾷς μὲν αὐτὰ, κρύπτε δὲ τούτων μηδέν·
ὅ τι δὲ τούτων ἐγὼ πέμπων εἰς Πέρσας καλῶς καὶ νομίμως
ποιοίην ἂν, τὰ μὲν πρὸς τοὺς θεοὺς τὸν πατέρα ἐρώτα, τὰ
δὲ πρὸς τὸ κοινὸν τὰς ἀρχάς. πεμψάντων δὲ καὶ ὀπτῆρας
ὧν πράττομεν καὶ φραστῆρας ὧν ἐρωτῶμεν. καὶ σὺ μὲν,
ἔφη, συσκευάζου καὶ τὸν λόχον προπομπὸν ἄγε.
18 Ἐκ τούτου δὲ καὶ τοὺς Μήδους ἐκάλει, καὶ ἅμα ὁ παρὰ [9]
τοῦ Κυαξάρου ἄγγελος παρίσταται, καὶ ἐν πᾶσι τήν τε
πρὸς Κῦρον ὀργὴν καὶ τὰς πρὸς Μήδους ἀπειλὰς αὐτοῦ
ἔλεγε· καὶ τέλος εἶπεν ὅτι ἀπιέναι Μήδους κελεύει, καὶ εἰ
19 Κῦρος μένειν βούλεται. οἱ μὲν οὖν Μῆδοι ἀκούσαντες τοῦ
ἀγγέλου ἐσίγησαν, ἀποροῦντες μὲν πῶς χρὴ καλοῦντος ἀπει-
θεῖν, φοβούμενοι δὲ πῶς χρὴ ἀπειλοῦντι ὑπακοῦσαι, ἄλλως
20 τε καὶ εἰδότες τὴν ὠμότητα αὐτοῦ. ὁ δὲ Κῦρος εἶπεν, Ἀλλ' [1]
ἐγὼ, ὦ ἄγγελέ τε καὶ Μῆδοι, οὐδὲν, ἔφη, θαυμάζω εἰ Κυα-
ξάρης, πολλοὺς μὲν πολεμίους τότ' ἰδὼν, ἡμᾶς δὲ οὐκ εἰδὼς
ὅ τι πράττομεν, ὀκνεῖ περὶ ἡμῶν καὶ περὶ αὑτοῦ· ἐπειδὰν
δὲ αἴσθηται πολλοὺς μὲν τῶν πολεμίων ἀπολωλότας,
πάντας δὲ ἀπεληλαμένους, πρῶτον μὲν παύσεται φοβού-
μενος, ἔπειτα γνώσεται ὅτι οὐ νῦν ἔρημος γίγνεται, ἡνίκα
21 οἱ φίλοι αὐτοῦ τοὺς ἐκείνου ἐχθροὺς ἀπολλύασιν. ἀλλὰ
μὴν μέμψεώς γε πῶς ἐσμεν ἄξιοι, εὖ τε ποιοῦντες ἐκεῖνον
καὶ οὐδὲ ταῦτα αὐτοματίσαντες; ἀλλ' ἐγὼ μὲν ἐκεῖνον
πείσας ἐᾶσαί με λαβόντα ὑμᾶς ἐξελθεῖν τάδε ποιῶ· ὑμεῖς
δὲ οὐχ ὡς ἐπιθυμοῦντες τῆς ἐξόδου ἠρωτήσατε εἰ ἐξίοιτε
καὶ νῦν δεῦρο ἥκετε, ἀλλ' ὑπ' ἐκείνου κελευσθέντες ἐξιέναι

κρύπτε] κρύπτηται G. corr. s. v. r. μηθέν A. ποιοίην] μ s. v. inter οι et η B. τὸ] τὸν A.G. ὀπτῆρας] Pollux 2, 59. φρατῆρας A.G. corr. s. v. r. προπομπὸν] πρῶτον A.G. corr. mg. r. 18. δὲ] δὴ A.G. corr. s. v. r. παρὰ om. G. καὶ εἰ] εἰ καὶ G. s. v. r. 19. μὲν] μὲν οὖν A.G., punctis notans οὖν r. ἀπειλοῦντι] ει in lit. G. 20. οὐθὲν A. περὶ ἡμῶν] περὶ αὐτῶν A. αὐτοῦ A.G. Libri ἀπολλύουσιν, ἀπολύουσιν G. pr. 21. πέμψεως A. γε] τε A.G. τε] γε A.G. ἀλλ' ὑπ'] ἀλλ' om. A.G. pr.

τὸν πατέρα] Penes quem, ut fere in regnis omnibus antiquis, sacrorum erat omnium summa potestas et administratio. SCHN. Conf. 8, 5, 26.

ὀπτῆρας] Ut Spartani Reip. Laced. 13, 5.

φραστῆρας] Hesychius interpretatur μηνυτάς. ZEUN. Redit 5, 4, 40.

18. μένειν] Intelligendum αὐτούς.

19. τὴν ὠμότητα] Conf. s. 9.

20. ἀπολλύασιν] V. ad 6, 4, 6.

21. αὐτοματίσαντες ex hoc ipso loco Mœris interpretari videtur ἀφ' ἑαυτῶν τι πράξαντες. SCHN.

ὅτῳ ὑμῶν μὴ ἀχθομένῳ εἴη. καὶ ἡ ὀργὴ οὖν αὕτη σάφ'
οἶδα ὑπό τε τῶν ἀγαθῶν πεπανθήσεται καὶ σὺν τῷ φόβῳ
22 λήγοντι ἄπεισι. νῦν μὲν οὖν, ἔφη, σύ τε, ὦ ἄγγελε, ἀνά-
παυσαι, ἐπεὶ καὶ πεπόνηκας, ἡμεῖς τε, ὦ Πέρσαι, ἐπεὶ
προσδεχόμεθα πολεμίους ἤτοι μαχουμένους γε ἢ πεισομέ-
νους παρέσεσθαι, ταχθῶμεν ὡς κάλλιστα· οὕτω γὰρ ὁρω-
μένους εἰκὸς πλέον προανύτειν ὧν χρῄζομεν. σὺ δ', ἔφη, ὁ
τῶν Ὑρκανίων ἄρχων, ὑπόμεινον προστάξας τοῖς ἡγεμόσι
23 τῶν σῶν στρατιωτῶν ἐξοπλίζειν αὐτούς. ἐπεὶ δὲ ταῦτα [11]
ποιήσας ὁ Ὑρκάνιος προσῆλθε, λέγει ὁ Κῦρος, Ἐγὼ δὲ,
ἔφη, ὦ Ὑρκάνιε, ἥδομαι αἰσθανόμενος ὅτι οὐ μόνον φιλίαν
ἐπιδεικνύμενος πάρει, ἀλλὰ καὶ σύνεσιν φαίνει μοι ἔχειν.
καὶ νῦν ὅτι συμφέρει ἡμῖν ταὐτὰ δῆλον· ἐμοί τε γὰρ πο-
24 λέμιοι Ἀσσύριοι σοί τε νῦν ἐχθίονές εἰσιν ἢ ἐμοί· οὕτως
οὖν ἡμῖν ἀμφοτέροις βουλευτέον ὅπως τῶν μὲν νῦν παρόν-
των μηδεὶς ἀποστατήσει ἡμῖν συμμάχων, ἄλλους δὲ, ἐὰν
δυνώμεθα, προσληψόμεθα. τοῦ δὲ Μήδου ἤκουες ἀποκα-
λοῦντος τοὺς ἱππέας· εἰ δ' οὗτοι ἀπίασιν, ἡμεῖς μόνοι οἱ
25 πεζοὶ μενοῦμεν. οὕτως οὖν δεῖ ποιεῖν ἐμὲ καὶ σὲ ὅπως ὁ
ἀποκαλῶν οὗτος καὶ αὐτὸς μένειν παρ' ἡμῖν βουλήσεται.
σὺ μὲν οὖν εὑρὼν σκηνὴν δὸς αὐτῷ ὅπου κάλλιστα διάξει
πάντα τὰ δέοντα ἔχων· ἐγὼ δ' αὖ πειράσομαι αὐτῷ ἔργον
τι προστάξαι ὅ τι αὐτὸς ἥδιον πράξει ἢ ἄπεισι· καὶ δια-
λέγου δὲ αὐτῷ ὁπόσα ἐλπὶς γενέσθαι ἀγαθὰ πᾶσι τοῖς
φίλοις, ἢν ταῦτ' εὖ γένηται· ποιήσας μέντοι αὐτὰ ἧκε
πάλιν παρ' ἐμέ.

ἀχθομένων G. corr. s. v. r. αὐτὴ G. pr. 22. ἡμεῖς F. ὑμεῖς A.G. πλέον] πλέονα A. πλείονα G. 23. ἐπεὶ δὲ] ἐπειδὴ A.G. corr. s. v. r. Libri ξύνεσιν. Libri φαίνῃ, nisi quod B. ῃ atramento paullo nigriori quam pr. ὑμῖν A. ταῦτα A.G. corr. mg. r. 24. οὖν ἡμῖν] ἡμῖν οὖν A.G. pr. συμμαχῶν A. ἄλλοις G. pr., ut videtur. ἐὰν] ἂν A.G. ἀπιᾶσιν A.G., qui πῶς add. s. v. r. 25. δεῖ] ἀεὶ A.G. pr. διάξει πάντα τὰ δ. ἔχων] ἕξει πάντα τὰ δέοντα A.G. ἢ ἄπεισι om. A.G. καὶ διαλέγου δὲ om. A.G. mg. r. αὐτῷ] πάντα τὰ δέοντα αὐτῷ A.G. ἢν] ἂν A.G.

πεπανθήσεται] Hom. Il. A, 81: Εἴπερ χόλον καταπέψῃ. SCHN.

22. ὑπόμεινον προστάξας] Operire postquam imperaveris ἐξοπλίζεσθαι tantum, non τάττεσθαι.

23. σύνεσιν] De forma ξύνεσις aliena a Xenophonte, sed etiam alibi ei illata, dixi præf. ad Anab. p. viii, ix. Ubi addere licet ξυνιέναι ante δόξῃ illatum Aristoteli Eth. Nic. 7, 11, p. 1143, 13 ed. Bekk., qui ibidem sæpius expulit formam illic et alibi apud Aristotelem cum altera per librariorum incuriam alternantem.

24. οὖν ἡμῖν] ἡμῖν fortasse delendum.

25. ἐλπὶς γενέσθαι] V. ad 2, 4, 23.

26 Ὁ μὲν δὴ Ὑρκάνιος τὸν Μῆδον ᾤχετο ἄγων ἐπὶ [12
σκηνήν· ὁ δ᾿ εἰς Πέρσας ἰὼν παρῆν συνεσκευασμένος· ὁ
δὲ Κῦρος αὐτῷ ἐπέστελλε πρὸς μὲν Πέρσας λέγειν ἃ καὶ
πρόσθεν ἐν τῷ λόγῳ δεδήλωται, Κυαξάρῃ δὲ ἀποδοῦναι
τὰ γράμματα. ἀναγνῶναι δέ σοι καὶ τὰ ἐπιστελλόμενα,
ἔφη, βούλομαι, ἵνα εἰδὼς αὐτὰ ὁμολογῇς, ἐάν τί σε πρὸς
ταῦτα ἐρωτᾷ. ἐνῆν δὲ ἐν τῇ ἐπιστολῇ τάδε.
27 Κῦρος Κυαξάρῃ χαίρειν. ἡμεῖς σε οὔτε ἔρημον κατελί-
πομεν· οὐδεὶς γὰρ, ὅταν ἐχθρῶν κρατῇ, τότε φίλων ἔρημος
γίγνεται· οὐδὲ μὴν ἀποχωροῦντές γέ σε οἰόμεθα ἐν κινδύνῳ
καθιστάναι· ἀλλὰ ὅσῳ πλέον ἀπέχομεν, τοσούτῳ πλείονά
28 σοι τὴν ἀσφάλειαν ποιεῖν νομίζομεν· οὐ γὰρ οἱ ἐγγύτατα
τῶν φίλων καθήμενοι μάλιστα τοῖς φίλοις τὴν ἀσφάλειαν
παρέχουσιν, ἀλλ᾿ οἱ τοὺς ἐχθροὺς μήκιστον ἀπελαύνοντες
29 μᾶλλον τοὺς φίλους ἐν ἀκινδύνῳ καθιστᾶσι. σκέψαι δὲ
οἵῳ ὄντι μοι περὶ σὲ οἷος ὢν περὶ ἐμὲ ἔπειτά μοι μέμφει.
ἐγὼ μέν γέ σοι ἤγαγον συμμάχους, οὐχ ὅσους σὺ ἔπεισας,
ἀλλ᾿ ὁπόσους ἐγὼ πλείστους ἐδυνάμην· σὺ δέ μοι ἔδωκας
μὲν ἐν τῇ φιλίᾳ ὄντι ὅσους πεῖσαι δυνασθείην· νῦν δ᾿ ἐν
τῇ πολεμίᾳ ὄντος οὐ τὸν θέλοντα ἀλλὰ πάντας ἀποκαλεῖς.
30 καὶ γὰρ οὖν τότε μὲν ᾤμην ἀμφοτέροις ὑμῖν χάριν ὀφεί-
λειν· νῦν δὲ σύ μ᾿ ἀναγκάζεις σοῦ μὲν ἐπιλαθέσθαι, τοῖς

26. *σκηνὴν*] *σκηνῆς* A.G. pr., post quod *ἵν᾿* add. A., erasit G. *συνεσκευασμένα* A.G. pr. *ἐπέστελε* A. pr. *κυαξάρει* G. corr., pr. fortasse *-ῃ*. *εἰδῇς αὐτὰ ὁμολογήσει* A. et haud dubie G. pr. *ν* super *ει* B. *ἂν* A.G. 27. *κυαξάρῃ* E. *κυαξάρει* A.G. *σε* om. G. s. v. r. *κατελίπομεν* B. *καταλίπομεν* A. *καταλείπομεν* G. *ἐχθρῶν*] *τῶν* ante hoc G. s. v. r. *σε*] *σου* G. corr., addito mox *σε* ante *καθιστάναι* s. v. r. *οἰώμεθα* G. pr. *πλέον*] *σου* add. G. s. v. r. *πλείονα*] *πλέονα* A.G. 29. Libri *μέμφῃ*. *ὅσους*] *οὓς* A.G. corr. mg. r. *ἔπεισας*] *ἐποίησας* G. s. v. r. *ἠδυνάμην* A.G. *δυνηθείην* G. corr. r. 30. *ᾠόμην* A. *μ᾿*] *μὲν* A.G.

26. *ἰὼν*] Iturus, profecturus. SCHN. *πρόσθεν ἐν τῷ λόγῳ δεδήλωται*] s. 17. Eadem formula 8, 1, 7, et initio Anabasis librorum qui nunc sunt 2, 3, 4, 5, 7. Ubi non *libros* dici quales grammatici, ut dixi ad 1, 1, 1, fecerunt, sed *narrationem*, pluribus disputavit C. G. Lewis Musei Class. vol. 2, p. 15 s. Sic autem Xen. H. Gr. 6, 4, 37: Ἄχρι οὗ ὅδε ὁ λόγος ἐγράφετο. Herodotus 5, 36, 5: Τὰ δὲ χρήματα ἦν ταῦτα μεγάλα, ὡς δεδήλωταί μοι ἐν τῷ πρώτῳ τῶν λόγων· 7, 93: Οὗτοι δὲ οἵτινες πρότερον ἐκαλέοντο ἐν τοῖσι πρώτοισι τῶν λόγων εἴρηται. Aristot. Polit. 8, 5 init.: Περὶ δὲ μουσικῆς ἔνια μὲν διηπορήσαμεν τῷ λόγῳ καὶ πρότερον· et 1 fin.: Ἀφέντες ὡς τέλος ἔχοντας τοὺς νῦν λόγους ἄλλην ἀρχὴν ποιησάμενοι λέγωμεν· ne recentiores memorem, velut Pausaniam.

29. *μοι—μοι*] Sic *με—με* 6, 4, 7. V. ad Anab. 6, 6, 20.

δὲ ἀκολουθήσασι πειρᾶσθαι πᾶσαν τὴν χάριν ἀποδιδόναι.
31 οὐ μέντοι ἔγωγε σοὶ ὅμοιος δύναμαι γενέσθαι, ἀλλὰ καὶ
νῦν πέμπων ἐπὶ στράτευμα εἰς Πέρσας ἐπιστέλλω, ὁπόσοι
ἂν ἴωσιν ὡς ἐμέ, ἤν τι σὺ αὐτῶν δέῃ πρὶν ἡμᾶς ἐλθεῖν, σοὶ
ὑπάρχειν, οὐχ ὅπως ἂν ἐθέλωσιν, ἀλλ᾽ ὅπως ἂν σὺ βούλῃ
32 χρῆσθαι αὐτοῖς· συμβουλεύω δέ σοι καίπερ νεώτερος ὢν
μὴ ἀφαιρεῖσθαι ἃ ἂν δῷς, ἵνα μή σοι ἀντὶ χαρίτων ἔχθραι
ὀφείλωνται, μηδ᾽ ὅντινα βούλει πρὸς σὲ ταχὺ ἐλθεῖν, ἀπει-
λοῦντα μεταπέμπεσθαι, μηδὲ φάσκοντα ἔρημον εἶναι ἅμα
πολλοῖς ἀπειλεῖν, ἵνα μὴ διδάσκῃς αὐτοὺς σοῦ μὴ φροντί-
33 ζειν. ἡμεῖς δὲ πειρασόμεθα παρεῖναι, ὅταν τάχιστα δια-
πραξώμεθα ἃ σοί τ᾽ ἂν καὶ ἡμῖν νομίζομεν πραχθέντα
κοινὰ γενέσθαι ἀγαθά. ἔρρωσο.
34 Ταύτην αὐτῷ ἀπόδος καὶ ὅ τι ἄν σε τούτων ἐρωτᾷ, ᾗ
γέγραπται σύμφαθι. καὶ γὰρ ἐγὼ ἐπιστέλλω σοι περὶ
Περσῶν ᾗπερ γέγραπται. τούτῳ μὲν οὕτως εἶπε, καὶ δοὺς
τὴν ἐπιστολὴν ἀπέπεμπε, προσεντειλάμενος οὕτω σπεύδειν
ὥσπερ οἶδεν ὅτι συμφέρει ταχὺ παρεῖναι.
35 Ἐκ τούτου δὲ ἑώρα μὲν ἐξωπλισμένους ἤδη πάντας καὶ [13]
τούς Μήδους καὶ τοὺς Ὑρκανίους καὶ τοὺς ἀμφὶ Τι-
γράνην· καὶ οἱ Πέρσαι ἐξωπλισμένοι ἦσαν· ἤδη δέ τινες
36 πλησιόχωροι καὶ ἵππους ἀπῆγον καὶ ὅπλα ἀπέφερον. ὁ
δὲ τὰ μὲν παλτὰ ὅπουπερ τοὺς πρόσθεν καταβάλλειν
ἐκέλευσε, καὶ ἔκαον οἷς τοῦτο ἔργον ἦν ὁπόσων μὴ αὐτοὶ
ἐδέοντο· τοὺς δ᾽ ἵππους ἐκέλευε φυλάττειν μένοντας τοὺς

31. καὶ om. G. τι σὺ] τις A.G. pr. θέλ. et βούλει A.G. χρῆσθαι αὐτοῖς om. A. G. mg. r. 32. συμβουλεύσω A.G. ἀφαιρεῖσθαι] ει in ras. et lit. G. ἃ ἂν δῷς] ἢ ἂν δῶσιν A.G. pr. 34. προσεντ.] καὶ προσεντ. A.G. ξυμφέρει G., et η s. v. r. 35. δὲ] δὴ B. ἀπῆγον] ἀνήγαγον G. corr. ἀνέφερον G. corr. 36. ὅπουπερ] καὶ add. G. s. v. r. ἔκαον] ἔκαιον A. ἔκᾳον G., et καίειν s. v. r. οἷς] εἰς A. ἔργον] τὸ ἔργον A. ἐκελευσε Junt.

31. πρὶν ἡμᾶς ἐλθεῖν est *priusquam redeamus.* SCHN.

32. ὅντινα] Locus est egregius ad docendam prudentiam civilem. Haud scio an dedeceat personam Cyri, quamvis excusatione καίπερ νεώτερος ὢν usi erga Cyaxarem. SCHN. Conf. 5, 5, 11.

35. πλησιόχωροι] Thomas: Πρόσχωρος λέγε, οὐ πλησιόχωρος. Πρόσχωρος Anab. 5, 3, 9, et infra 5, 3, 25, Utrumque habet Pollux 6, 113, et libri Platonis Leg. 5, p. 737 C, D. Πλησιόχωρος Aristophanes et Thuc. V. Thes. Steph.

ἀπέφερον] Sic infra 5, 2, 36; 5, 3, 25; 7, 5, 34. SCHN.

36. τοὺς πρόσθεν] 4, 3, 3.

ἀγαγόντας ἕως ἂν τις σημήνῃ αὐτοῖς· τοὺς δ' ἄρχοντας τῶν ἱππέων καὶ Ὑρκανίων καλέσας τάδε ἔλεξεν.

37 *Ἄνδρες φίλοι τε καὶ σύμμαχοι, μὴ θαυμάζετε ὅτι πολ-* [14]
λάκις ὑμᾶς συγκαλῶ· καινὰ γὰρ ἡμῖν ὄντα τὰ παρόντα πολλὰ αὐτῶν ἐστιν ἀσύντακτα· ἃ δ' ἂν ἀσύντακτα ᾖ, ἀνάγκη ταῦτα ἀεὶ πράγματα παρέχειν, ἕως ἂν χώραν
38 *λάβῃ. καὶ νῦν ἔστι μὲν ἡμῖν πολλὰ τὰ αἰχμάλωτα χρήματα, καὶ ἄνδρες ἐπ' αὐτοῖς· διὰ δὲ τὸ μήτε ἡμᾶς εἰδέναι ποῖα τούτων ἑκάστου ἐστὶν ἡμῶν, μήτε τούτους εἰδέναι ὅστις ἑκάστῳ αὐτῶν δεσπότης, περαίνοντας μὲν δὴ τὰ δέοντα οὐ πάνυ ἔστιν ὁρᾶν αὐτῶν πολλούς, ἀποροῦντας δὲ*
39 *ὅ τι χρὴ ποιεῖν σχεδὸν πάντας. ὡς οὖν μὴ οὕτως ἔχῃ, διορίσατε αὐτά· καὶ ὅστις μὲν ἔλαβε σκηνὴν ἔχουσαν ἱκανὰ καὶ σῖτα καὶ ποτὰ καὶ τοὺς ὑπηρετήσοντας καὶ στρωμνὴν καὶ ἐσθῆτα καὶ τἆλλα οἷς οἰκεῖται σκηνὴ καλῶς στρατιωτική, ἐνταῦθα μὲν οὐδὲν ἄλλο δεῖ προσγενέσθαι ἢ τὸν λαβόντα εἰδέναι ὅτι τούτων ὡς οἰκείων ἐπιμέλεσθαι δεῖ· ὅστις δ' εἰς ἐνδεόμενά του κατεσκήνησε, τούτοις ὑμεῖς σκεψάμενοι*
40 *τὸ ἐλλεῖπον ἐκπλήσατε. πολλὰ δὲ καὶ τὰ περιττὰ οἶδ' ὅτι ἔσται· πλείω γὰρ ἅπαντα ἢ κατὰ τὸ ἡμέτερον πλῆθος εἶχον οἱ πολέμιοι. ἦλθον δὲ πρὸς ἐμὲ καὶ χρημάτων ταμίαι, οἵ τε τοῦ Ἀσσυρίων βασιλέως καὶ ἄλλων δυνα-*

τις σημήνῃ] *τις σημάνῃ* A. *τι σημάνῃ* G. pr. *τι σημανῇ* corr. 37. *ξύμμαχοι* G. *ἃ δ' ἂν ἀσύντακτα ᾖ*] *ἣν* A.G. pr., corr. mg. r. *ἀεὶ* G. corr. r. *εἰς τὰ* A.G. pr. 38. *αὐτῶν*] *ἑαυτῶν* A.G. 39. *οὖν* om. G. *ἔχῃ*] *ἔχει* A.G. corr. s. v. r. *ἔλαβε*] *ἐκέλευε* A. *καὶ τοὺς*] *καὶ* G. s. v. r. *στρομνὴν* G. corr. s. v. r. *τἆλλ'* Junt. *τὰ ἄλλα* A.G. *οἰκεῖον* G. pr. *ἐπιμελεῖσθαι* Junt. *δέοι* A.G. *του*] *που* G. s. v. r. *κατεσκήνωσε* G. *τούτοις* E.Q. *τούτους* A.G. 40. *ἀσσυρίου* A.G.

τῶν ἱππέων] Sunt Μῆδοι, ut ex s. 43 apparet. SCHN.

σημήνῃ] V. ad 4, 2, 13. Thuc. 7, 50: *Παρασκευάσασθαι ὅταν τις σημήνῃ.*

Ὑρκανίων] De quibus v. supra s. 23, infra 52; 6, 12; 5, 3, 2. ZEUN.

39. *οἰκεῖται*] Est *in usu administratur.* Proprie *οἰκεῖται οἶκος*; deinde *πόλις*, i. e. gubernatur, administratur, *οἰκονομεῖται.* Conf. 5, 4, 39. SCHN.

εἰς ἐνδεόμενά του] Tabernacula in quibus deest aliquid eorum quæ modo memoraverat. ZEUN.

κατεσκήνησε] Forma *κατεσκηνώκατε* etsi omnibus est in codicibus 6, 2, 2, Anab. 2, 2, 16, altera rursus in omnibus est Anab. 7, 4, 11, et Suida tantum alteram præbente 3, 4, 32, melioribusque H. Gr. 4, 2, 23, ut neque hic G. neque Hist. Gr. 4, 5, 2, uni B. pr. præbenti ω plus tribuendum sit quam infra 8, 3, 34, etsi formæ hujus in composito et simplici et voc. *σκήνωμα* tot sunt apud Xenophontem aliosque Atticos exempla ut libris invitis non videatur in alteram mutanda.

40. *οἵ τε τοῦ*] De particula hic ut 7, 1, 28, posita v. ad H. Gr. 1, 1, 25 et Thes. Steph. v. Τε, p. 1916 D.

στῶν, οἳ ἔλεγον ὅτι χρυσίον εἴη παρὰ σφίσιν ἐπίσημον,
41 δασμούς τινας λέγοντες. καὶ ταῦτα οὖν κηρύττετε πάντα
ἀποφέρειν πρὸς ὑμᾶς ὅπου ἂν καθέζησθε· καὶ φόβον ἐπι-
τίθεσθε τῷ μὴ ποιοῦντι τὰ παραγγελλόμενα· ὑμεῖς δὲ διά-
δοτε λαβόντες ἱππεῖ μὲν τὸ διπλοῦν, πεζῷ δὲ τὸ ἁπλοῦν,
42 ἵνα ἔχητε, ἤν τινος προσδέησθε, καὶ ὅτου ὠνήσεσθε. τὴν
δ' ἀγορὰν τὴν οὖσαν ἐν τῷ στρατοπέδῳ κηρυξάτω μὲν
ἤδη, ἔφη, μὴ ἀδικεῖν μηδένα, πωλεῖν δὲ τοὺς καπήλους ὅ
τι ἔχει ἕκαστος πράσιμον, καὶ ταῦτα διαθεμένους ἄλλα
43 ἄγειν, ὅπως οἰκῆται ἡμῖν τὸ στρατόπεδον. καὶ ταῦτα μὲν [15]
ἐκήρυττον εὐθύς. οἱ δὲ Μῆδοι καὶ Ὑρκάνιοι εἶπον ὧδε·
Καὶ πῶς ἄν, ἔφασαν, ἡμεῖς ἄνευ σοῦ καὶ τῶν σῶν διανέ-
44 μοιμεν ταῦτα; ὁ δ' αὖ Κῦρος πρὸς τοῦτον τὸν λόγον ὧδε
προσηνέχθη· Ἦ γὰρ οὕτως, ἔφη, ὦ ἄνδρες, γιγνώσκετε
ὡς ὅ τι ἂν δέῃ πραχθῆναι, ἐπὶ πᾶσι πάντας ἡμᾶς δεήσει
παρεῖναι, καὶ οὔτε ἐγὼ ἀρκέσω πράττων τι πρὸ ὑμῶν, ὅ τι
ἂν δέῃ, οὔτε ὑμεῖς πρὸ ἡμῶν; καὶ πῶς ἂν ἄλλως πλείω
μὲν πράγματα ἔχοιμεν, μείω δὲ διαπραττοίμεθα ἢ οὕτως;
45 ἀλλ' ὁρᾶτε, ἔφη, ὑμεῖς· ἡμεῖς μὲν γὰρ διεφυλάξαμέν τε
ὑμῖν τάδε, καὶ ὑμεῖς ἡμῖν πιστεύετε καλῶς διαπεφυλάχθαι·
ὑμεῖς δέ γ' αὖ διανείματε, καὶ ἡμεῖς πιστεύσομεν ὑμῖν
46 καλῶς διανενεμηκέναι. καὶ ἄλλο δέ τι αὖ ἡμεῖς πειρασό-
μεθα κοινὸν ἀγαθὸν πράττειν. ὁρᾶτε γὰρ δή, ἔφη, νυνὶ

σφῖσιν A. 41. ὑμᾶς] ἡμᾶς G. pr. ἐπιτίθησθε A. et corr. in η cum ras. super hoc G. ἱππεῖς A. 42. μηθένα A. καπήλους] καὶ ἐμπόρους add. G. r. πράσιμον] τὸ πράσιμον A.G. Citat Pollux 7, 8. ἄλλα ἄγειν] λέγειν A.G. corr. mg. r. 43. καὶ om. A.G. mg. r. 44. ἦ] εἰ s. v. r. G. ἔφη post γὰρ punctis notat r. G. ἀρκέσω] ὑμῖν s. v. r. add. G. ὑμεῖς] ἡμεῖς G. corr. s. v. r. ἂν om. G. μὲν om. A.G. mg. r. 45. διεφυλάξαμεν] ἐφυλάξαμεν A.G. ἐπιστεύσατε G. s. v. r. ὑμῖν] ἡμῖν G. pr. 46. ἄλλο] ἄλλοις A.G., qui s. v. r. ἄλλό τι.

41. ἐπιτίθεσθε] Medii usum notavit Steph. in Thes. v. Ἐπιτίθημι, vol. 3, p. 1845 D. Φόβον ἐντιθέναι Anab. 7, 4, 1.

42. τὴν ἀγορὰν τὴν οὖσαν ἐν τῷ στρατοπέδῳ] More Persico, ut Anab. 1, 5, 6, et hodie secundum Morier *A second Journey through Persia*, p. 239.

κηρυξάτω] Intell. ὁ κῆρυξ, ut in ἐκήρυξε Anab. 3, 4, 36.

καπήλους] Recte meliores omittunt καὶ ἐμπόρους. Nec ullus ἐμπόροις locus esse in castris videtur, sed solis καπήλοις, si memineris ex Platone aliisque scriptoribus Atticis, ἐμπόρους esse τοὺς πλανήτας ἐπὶ τὰς πόλεις, ἐὰν κατὰ θάλατταν ἡ ἐμπορία γίγνηται: contra καπήλους in foro prostare et merces ab ἐμπόροις allatas venales habere: sed v. 6, 2, 38, Ages. 1, 27. SCHN.

οἰκῆται] Dicitur οἰκεῖσθαι στρατόπεδον, ut supra s. 39, addito adverbio καλῶς. Ut sint tanquam incolæ in castris, ne sint inculta et deserta, Camerarius.

πρῶτον ἵπποι ὅσοι ἡμῖν πάρεισιν, οἱ δὲ προσάγονται· τούτους οὖν εἰ μὲν ἐάσομεν ἀναμβάτους, ὠφελήσουσι μὲν οὐδὲν ἡμᾶς, πράγματα δὲ παρέξουσιν ἐπιμέλεσθαι· ἢν δ᾽ ἱππέας ἐπ᾽ αὐτοὺς καταστήσωμεν, ἅμα πραγμάτων τε
47 *ἀπαλλαξόμεθα καὶ ἰσχὺν ἡμῖν αὐτοῖς προσθησόμεθα. εἰ μὲν οὖν ἄλλους ἔχετε οἷστισιν ἂν δοίητε αὐτοὺς, μεθ᾽ ὧν ἂν καὶ κινδυνεύοιτε ἥδιον, εἴ τι δέοι, ἢ μεθ᾽ ἡμῶν, ἐκείνοις δίδοτε· εἰ μέντοι ἡμᾶς ἂν βούλοισθε παραστάτας μάλιστα*
48 *ἔχειν, ἡμῖν αὐτοὺς δότε. καὶ γὰρ νῦν ὅτε ἄνευ ἡμῶν προσελάσαντες ἐκινδυνεύετε, πολὺν μὲν φόβον ἡμῖν παρείχετε μή τι πάθητε, μάλα δὲ αἰσχύνεσθαι ἡμᾶς ἐποιήσατε ὅτι οὐ παρῆμεν ὅπουπερ ὑμεῖς· ἢν δὲ λάβωμεν τοὺς ἵπ-*
49 *πους, ἑψόμεθα ὑμῖν. κἂν μὲν δοκῶμεν ὠφελεῖν πλέον ἐπ᾽ αὐτῶν συναγωνιζόμενοι, οὕτω προθυμίας οὐδὲν ἐλλείψομεν· ἢν δὲ πεζοὶ γενόμενοι δοκῶμεν καιριωτέρως ἂν παρεῖναι, τὸ καταβῆναι ἐν μέσῳ καὶ εὐθὺς πεζοὶ ὑμῖν παρεσόμεθα· τοὺς δ᾽ ἵππους μηχανησόμεθα οἷς ἂν παραδοίη-*
50 *μεν. ὁ μὲν οὕτως ἔλεξεν· οἱ δὲ ἀπεκρίναντο,* Ἀλλ᾽ *ἡμεῖς* [16]
μὲν, ὦ Κῦρε, *οὔτ᾽ ἄνδρας ἔχομεν οὓς ἀναβιβάσαιμεν ἂν ἐπὶ τούτους τοὺς ἵππους, οὔτ᾽ εἰ εἴχομεν, σοῦ ταῦτα βουλομένου ἄλλο ἂν ἀντὶ τούτων ᾑρούμεθα. καὶ νῦν, ἔφασαν,*
51 *τούτους λαβὼν ποίει ὅπως ἄριστόν σοι δοκεῖ εἶναι.* Ἀλλὰ

ἀναβάτους G. corr. s. v. r. *οἰθὲν* A. *ἀπαλλαγησόμεθα* Junt. 47. *τισιν ἂν*] *ἄν τισι* G. *ἄν τισιν* M. *δοίοιτε* G. *κινδυνεύητε* A.G. *μάλιστα*] *ἂν μάλιστα* A.G. 48. *παρέχετε* A. 49. *ἐλλείψομεν*] *ἂν λείψωμεν* A.G. *τὸ* A.G., sed in hoc ras. super *τό*, etsi nihil tribuendum accentui, qui sæpe sic ponitur etiam super *ἂν* et alibi in media oratione pro gravi. *τό τε* Junt. *εὐθὺ* A.G. corr. s. v. r. *μηχανευσόμεθα* A.G. corr. s. v. r. *παραδοίοιμεν* G. 50. *ἀναβιβάσαιμεν ἂν*] *ἀναβιβάσαιμεν* A.G. *εἴχομεν*] *ἔχομεν* fortasse G. pr.

46. *πράγματα παρέξουσιν ἐπιμέλεσθαι*] Aristoph. Vesp. 313: *Τί με δῆτ᾽, ὦ μελέα μῆτερ, ἔτικτες; —Ἵν᾽ ἐμοὶ πράγματα βόσκειν παρέχῃς.* Plat. Phædon. p. 115 A: *Μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λούειν.*

ἀπαλλαξόμεθα] Mœris p. 13: *Ἀπαλλάξονται Ἀττικοὶ, ἀπαλλαγήσονται Ἕλληνες.* Sed utriusque formæ exempla apud Xenophontem, Platonem, et Oratores, a Piersono annotata, falsum esse præceptum ostendunt, etsi librorum quoque in talibus fidem dissensus qui hic est elevat. V. ad 6, 1, 45.

48. *μή τι πάθητε*] Conf. 2, 1, 8: *Εἴ τι πείσονται Μῆδοι.*

49. *ἐν μέσῳ*] *In promptu est.* Similiter præter alios, de quibus dixi ad Steph. Thes. v. *Μέσος*, p. 822 C, Strabo 2, p. 80: *Τῶν δὲ πλαγίων πλευρῶν τὴν ἑσπερίαν λέγει, ἣν ὁποία τίς ἐστιν, εἴτε μία εἴτε δύο, ἐν μέσῳ πάρεστι σκοπεῖν.* Harpocrationi v. *Λευκάς* addita in libris annotatio lectoris: *Ἐν μέσῳ δὲ καὶ τὸ Μενάνδρου δρᾶμα ἡ Λευκαδία.*

51. *Ἀλλὰ δέχομαι*] *Accipio vero.* ut 5, 4, 32, et 5, 13, *ἀλλ᾽ ἀνάγκη.* SCHN.

*δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα
καὶ ὑμεῖς διέλοιτε τὰ κοινά. πρῶτον μὲν οὖν τοῖς θεοῖς,
ἔφη, ἐξαιρεῖτε ὅ τι ἂν οἱ μάγοι ἐξηγῶνται· ἔπειτα δὲ καὶ
Κυαξάρῃ ἐκλέξασθε ὁποῖ᾽ ἂν οἴησθε αὐτῷ μάλιστα χαρί-*
52 *ζεσθαι. καὶ οἱ γελάσαντες εἶπον ὅτι γυναῖκας ἐξαιρετέον* [17]
*εἴη. Γυναῖκάς τε τοίνυν ἐξαιρεῖτε, ἔφη, καὶ ὅ τι ἄλλο
ἂν δοκῇ ὑμῖν. ἐπειδὰν δ᾽ ἐκείνῳ ἐξέλητε, τοὺς ἐμοί, ὦ
Ὑρκάνιοι, ἐθελουσίους τούτους ἐπισπομένους ἀμέμπτους*
53 *πάντως ποιεῖτε εἰς δύναμιν. ὑμεῖς δ᾽ αὖ, ὦ Μῆδοι, τοὺς
πρώτους συμμάχους γενομένους τιμᾶτε τούτους, ὅπως εὖ
βεβουλεῦσθαι ἡγήσωνται ἡμῖν φίλοι γενόμενοι. νείματε δὲ
πάντων τὸ μέρος καὶ τῷ παρὰ Κυαξάρου ἥκοντι αὐτῷ τε
καὶ τοῖς μετ᾽ αὐτοῦ· καὶ συνδιαμένειν δὲ παρακαλεῖτε, ὡς
ἐμοὶ τούτου συνδοκοῦντος· ἵνα καὶ Κυαξάρῃ μᾶλλον*
54 *εἰδὼς περὶ ἑκάστου ἀπαγγείλῃ τὰ ὄντα. Πέρσαις δ᾽, ἔφη,
τοῖς μετ᾽ ἐμοῦ, ὅσα ἂν περιττὰ γένηται ὑμῶν καλῶς κατε-
σκευασμένων, ταῦτα ἀρκέσει· καὶ γάρ, ἔφη, μάλα πως
ἡμεῖς οὐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ χωριτικῶς, ὥστε
ἴσως ἂν ἡμῶν καταγελάσαιτε, εἴ τι σεμνὸν ἡμῖν περιτεθείη,
ὥσπερ, ἔφη, οἶδ᾽ ὅτι πολὺν ὑμῖν γέλωτα παρέξομεν καὶ
ἐπὶ τῶν ἵππων καθήμενοι, οἶμαι δ᾽, ἔφη, καὶ ἐπὶ τῆς γῆς
καταπίπτοντες.*
55 *Ἐκ τούτου οἱ μὲν ᾖσαν ἐπὶ τὴν διαίρεσιν, μάλα ἐπὶ τῷ* [18]
ἱππικῷ γελῶντες· ὁ δὲ τοὺς ταξιάρχους καλέσας ἐκέλευσε

51. *κυαξάρει* A.G. corr. *ὁποῖ᾽*] *ὅποι* A.G. *οἴεσθε* G. 52. *γυναῖκας*] *καλὰς* G. mg. r. et *ἂν* post *ἐξ.* s. v. r. *δ᾽* om. A.G., qui *ἐπεὶ δ᾽ ἄν.* *ὦ*] *οἱ* A.G. corr. s. v. r. *ὑρκάνιοι*] *ὑρκανοὶ* A.G. *ἐθελουσίους* G. corr. *ἐθέλουσιν οὓς* A.G. pr. *ἐπισπομένους*] *ἐπιεπομένους* A.G. *ἀμέμπους* G. corr. s. v. r. 53. *ξυμμάχους* G. *βουλεῦσθαι* A. Libri *κυαξάρους.* *ἥκοντι*] *ἀγγέλῳ* add. G. mg. r. *ἐμοὶ*] *καὶ* ante hoc G. s. v. r. Libri *κυαξάρει.* 54. *οὐκ—χωριτικῶς* Suidas v. Χλιδή. *χωρητικῶς* G. *ἴσως* G. s. v. r. erasa litt. una vel altera post *σ.* *περιτιθείητε* A.G. *περιθείητε* Zonaras p. 153 B, qui *εἰ ἄσεμνον.* 55. *ἐκ τούτου* G. mg. r. *κατὰ τοῦτο* A.G. Libri *ἤεσαν.*

οἱ μάγοι ἐξηγῶνται] Hesychius *Μάγον, τὸν θεοσεβῆ καὶ θεολόγον καὶ ἱερέα οἱ Πέρσαι οὕτως λέγουσι.* Suidas itidem, *φιλοσόφους καὶ φιλοθέους* sic apud Persas appellari tradit. Magi nempe circa deorum cultum potissimum erant occupati; regem populumque quo deus quisque ritu colendus esset quæque dona singulis essent tribuenda docebant. Nam *ἐξηγεῖσθαι* sec. schol. Soph. El. 427 *διασάφησιν θείων* indicat, ut Joann. 1, 18: *Θεὸν—ὁ μονογενὴς υἱὸς—ἐξηγήσατο.* HUTCH. Dicuntur autem magi Medorum, ut s. 14.

54. *χωριτικῶς ἐβίω* formulam ponit Pollux 9, 13.

ἐπὶ τῆς γῆς καταπίπτοντες] Sic 3, 3, 27: *Ἀναβάντας ἐφ᾽ ἵππων ἐλάσαι.*

τοὺς ἵππους λαμβάνειν καὶ τὰ τῶν ἵππων σκεύη καὶ τοὺς ἱπποκόμους ἀριθμήσαντας λαβεῖν, κληρωσαμένους εἰς
56 τάξιν ἴσους ἑκάστοις. αὖθις δὲ ὁ Κῦρος ἀνειπεῖν ἐκέλευσεν, εἴ τις εἴη ἐν τῷ Ἀσσυρίων ἢ Σύρων ἢ Ἀραβίων στρατεύματι ἀνὴρ δοῦλος ἢ Μήδων ἢ Περσῶν ἢ Βακτρίων ἢ Καρῶν ἢ Κιλίκων ἢ Ἑλλήνων ἢ ἄλλοθέν ποθεν βεβια-
57 σμένος, ἐκφαίνεσθαι. οἱ δὲ ἀκούσαντες τοῦ κήρυκος ἄσμενοι πολλοὶ προυφάνησαν· ὁ δ᾽ ἐκλεξάμενος αὐτῶν τοὺς [19]
τὰ εἴδη βελτίστους ἔλεγεν ὅτι ἐλευθέρους αὐτοὺς ὄντας δεήσει ὅπλα ὑποφέρειν ἃ ἂν αὐτοῖς διδῶσι· τὰ δ᾽ ἐπιτήδεια
58 ὅπως ἔχωσιν ἔφη αὐτῷ μελήσειν. καὶ εὐθὺς ἄγων πρὸς τοὺς ταξιάρχους συνέστησεν αὐτούς, καὶ ἐκέλευσε τά τε γέρρα καὶ τὰς ψιλὰς μαχαίρας τούτοις δοῦναι, ὅπως ἔχοντες τοῖς ἵπποις ἕπωνται, καὶ τἀπιτήδεια τούτοις ὥσπερ καὶ τοῖς μετ᾽ αὐτοῦ Πέρσαις λαμβάνειν, αὐτοὺς δὲ τοὺς θώρακας καὶ τὰ ξυστὰ ἔχοντας ἐπὶ τῶν ἵππων ὀχεῖσθαι, καὶ αὐτὸς οὕτω ποιῶν κατῆρχεν, ἐπὶ δὲ τοὺς πεζοὺς τῶν ὁμοτίμων ἀνθ᾽ αὑτοῦ ἕκαστον καθιστάναι ἄλλον ἄρχοντα τῶν ὁμοτίμων.

ΚΕΦ. Ζ.

Οἱ μὲν δὴ ἀμφὶ ταῦτα εἶχον. Γωβρύας δ᾽ ἐν τούτῳ παρῆν Ἀσσύριος πρεσβύτης ἀνὴρ ἐφ᾽ ἵππου σὺν ἱππικῇ θεραπείᾳ· εἶχον δὲ πάντες τὰ ἐφίππων ὅπλα. καὶ οἱ μὲν ἐπὶ τῷ τὰ ὅπλα παραλαμβάνειν τεταγμένοι ἐκέλευον παραδιδόναι τὰ ξυστά, ὅπως κατακάοιεν ὥσπερ τἆλλα. ὁ δὲ Γωβρύας εἶπεν ὅτι Κῦρον πρῶτον βούλοιτο ἰδεῖν· καὶ οἱ ὑπηρέται τοὺς μὲν ἄλλους ἱππέας αὐτοῦ κατέλιπον, τὸν δὲ
2 Γωβρύαν ἄγουσι πρὸς τὸν Κῦρον. ὁ δ᾽ ὡς εἶδε τὸν Κῦρον, ἔλεξεν, Ὦ δέσποτα, ἐγώ εἰμι τὸ μὲν γένος Ἀσσύριος· ἔχω [2]

56. αὖτις A. αὐτὸς G. mg. r. ἀρραβίων G. βεβιασμένος G. s. v. r. βεβιασμένων A.G. pr. 57. ἀκούσαντες] ες s. v. r. G. προὐφάνησαν F. H. προεφάνησαν A.G. ἃ ἂν αὐτοῖς G. mg. r. κἂν αὐτοὶ A. κἂν αὐτὰ G. 58. Libri τὰ ἐπιτήδεια. καὶ τὰ ξυστὰ λαμβάνειν καὶ ἐπὶ τῶν ἵππων ὀχ. D. Cam. αὑτοῦ] αὐτοῦ A. αὐτῶν G. s. v. r. ἑαυτῶν D. Cam. 1. γωβρίας G. hic et infra, ut illic A. pr. τὰ G. πάντα τὰ A. ἐφίππων Schneiderus. Libri ἐφ᾽ ἵππων. Libri κατακαίοιεν. γωβρύην A. γωβρίην G. pr. γωβρίαν G. corr. 2. ἔλεξεν] ἔλεξεν ὧδε Junt. μὲν post ἀσσύριος G. ἔχων—ὑπάρχων A.G. pr., corr. r.

58. τὰς ψιλὰς] Sine balteis. τῶν ὁμοτίμων] Unum ex optimatibus. SCHN.

δὲ καὶ τεῖχος ἰσχυρὸν καὶ χώρας ἐπάρχω πολλῆς· καὶ ἵππον ἔχω δισχιλίαν τριακοσίαν, ἣν τῷ τῶν Ἀσσυρίων βασιλεῖ παρειχόμην καὶ φίλος ἦν ἐκείνῳ ὡς μάλιστα· ἐπεὶ δὲ ἐκεῖνος μὲν τέθνηκεν ὑφ' ὑμῶν ἀνὴρ ἀγαθὸς ὤν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει ἔχθιστος ὢν ἐμοί, ἥκω πρὸς σὲ καὶ ἱκέτης προσπίπτω καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαι ἐμοὶ γενέσθαι· καὶ παῖδα οὕτως ὡς δυνατόν σε ποιοῦμαι· ἄπαις δ' εἰμὶ ἀρρέ-
3 νων παίδων. ὃς γὰρ ἦν μοι μόνος καὶ καλὸς κἀγαθός, ὦ δέσποτα, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν ὥσπερ ἂν εὐδαίμονα πατέρα παῖς τιμῶν τιθείη, τοῦτον ὁ νῦν βασιλεὺς οὗτος καλέσαντος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν, ὡς δώσοντος τὴν θυγατέρα τῷ ἐμῷ παιδί, ἐγὼ μὲν ἀπεπεμψάμην μέγα φρονῶν ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὀψοίμην τὸν ἐμὸν υἱὸν γαμέτην, ὁ δὲ νῦν βασιλεὺς εἰς θήραν αὐτὸν παρακαλέσας καὶ ἀνεὶς αὐτῷ θηρᾶν ἀνὰ κράτος, ὡς πολὺ κρείττων αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι, ὁ μὲν ὡς φίλῳ συνεθήρα, φανείσης δὲ ἄρκτου διώκοντες ἀμφότεροι, ὁ μὲν νῦν ἄρχων οὗτος ἀκοντίσας ἥμαρτεν, ὡς μήποτε ὤφελεν, ὁ δ' ἐμὸς παῖς βαλών, οὐδὲν δέον, καταβάλλει
4 τὴν ἄρκτον. καὶ τότε μὲν δὴ ἀνιαθεὶς ἄρ' οὗτος κατέσχεν ὑπὸ σκότου τὸν φθόνον· ὡς δὲ πάλιν λέοντος παρατυχόντος ὁ μὲν αὖ ἥμαρτεν, οὐδὲν θαυμαστὸν οἶμαι παθών, ὁ δ' αὖ ἐμὸς παῖς αὖθις τυχὼν κατειργάσατό τε τὸν λέοντα καὶ εἶπεν, Ἆρα βέβληκα δὶς ἐφεξῆς καὶ καταβέβληκα θῆρα ἑκατεράκις, ἐν τούτῳ δὴ οὐκέτι κατίσχει ὁ ἀνόσιος τὸν φθόνον, ἀλλ' αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς τὰ στέρνα τὸν μόνον μοι καὶ φίλον παῖδα

δισχιλίαν L., sed ω s. a al. m. δὲ εἰς χιλίαν A. δ' εἰς χιλίων G., sed corr. in ων. εἰς χιλίαν M. Zonaras p. 153 C. τριακοσίαν om. A. τριακοσίων G. ἐκείνου] ὁ ἐκείνου A. 3. αὐτῷ] αὐτὸν L. κρείσσω, sed ν s. v. r. G. φίλος G. corr. s. v. r. ὡς] ὥστε A.G. 4. οὐθὲν A. οἴομαι A.G. κ. τὸν λ.] Pollux 9, 153. Libri ἄρα. μιᾷ ante δὶς add. G. mg. r. θῆρα] s s. v. r. add. G. παίσας om. A.G. mg. r.

2. δοῦλον] Apud Persas omnes servi habebantur præter regem. V. ad Anab. 1, 9, 29. ZEUN.

3. εὐδαίμονα cum τιθείη copulandum. SCHN.

ὁ δὲ νῦν] Turbatus orationis ordo congruit animo dolore commoto. SCHN.

ἀνεὶς αὐτῷ θηρᾶν] Similem Artaxerxis in Megabyzum invidiam narrat Ctesias Photii Bibl. p. 41, 31.

5 ἀφείλετο τὴν ψυχήν. κἀγὼ μὲν ὁ τάλας νεκρὸν ἀντὶ νυμ-
φίου ἐκομισάμην καὶ ἔθαψα τηλικοῦτος ὢν ἄρτι γενειά-
σκοντα τὸν ἄριστον παῖδα τὸν ἀγαπητόν· ὁ δὲ κατακανὼν
ὥσπερ ἐχθρὸν ἀπολέσας οὔτε μεταμελόμενος πώποτε φα-
νερὸς ἐγένετο οὔτε ἀντὶ τοῦ κακοῦ ἔργου τιμῆς τινος ἠξίω-
σε τὸν κατὰ γῆς. ὅ γε μὴν πατὴρ αὐτοῦ καὶ συνῴκτισέ με
6 καὶ δῆλος ἦν συναχθόμενός μοι τῇ συμφορᾷ. ἐγὼ οὖν, εἰ
μὲν ἔζη ἐκεῖνος, οὐκ ἄν ποτε ἦλθον πρὸς σὲ ἐπὶ τῷ ἐκείνου
κακῷ· πολλὰ γὰρ φιλικὰ ἔπαθον ὑπ' ἐκείνου καὶ ὑπηρέ-
τησα ἐκείνῳ· ἐπεὶ δ' εἰς τὸν τοῦ ἐμοῦ παιδὸς φονέα ἡ ἀρχὴ
περιήκει, οὐκ ἄν ποτε τούτῳ ἐγὼ δυναίμην εὔνους γενέ-
σθαι, οὐδὲ οὗτος ἐμὲ εὖ οἶδ' ὅτι φίλον ἄν ποτε ἡγήσαιτο.
οἶδε γὰρ ὡς ἐγὼ πρὸς αὐτὸν ἔχω καὶ ὡς πρόσθεν φαιδρῶς
βιοτεύων νῦν διάκειμαι, ἔρημος ὢν καὶ διὰ πένθους τὸ
7 γῆρας διάγων. εἰ οὖν σύ με δέχει καὶ ἐλπίδα τινὰ λάβοιμι
τῷ φίλῳ παιδὶ τιμωρίας ἄν τινος μετὰ σοῦ τυχεῖν, καὶ
ἀνηβῆσαι ἂν πάλιν δοκῶ μοι καὶ οὔτε ζῶν ἂν ἔτι αἰσχυ-
8 νοίμην οὔτε ἀποθνήσκων ἀνιώμενος ἂν τελευτᾶν δοκῶ. ὁ [3]
μὲν οὕτως εἶπε· Κῦρος δ' ἀπεκρίνατο, Ἀλλ' ἤνπερ, ὦ
Γωβρύα, καὶ φρονῶν φαίνῃ ὅσαπερ λέγεις πρὸς ἡμᾶς,
δέχομαί τε ἱκέτην σε καὶ τιμωρήσειν σοι τοῦ παιδὸς σὺν

5. ὢν] δ' ὢν A.G. ἄριστον] ν s. v. r. G. κατακανὼν H.Q. κατακαίνων A.G. οὔτε μ.] οὐ μ. A.G. corr. s. v. r. τινὸς τιμῆς G. συνῴκισεν A. συνῴκισε G. corr. s. v. r. μοι] μου G. s. v. r. ξυμφορᾷ G. 6. οὖν] μὲν οὖν G. περιῄει G. corr. mg. r. τούτῳ inter finem et initium paginæ om. G. ἐμὲ] δέ με A.G. ἐμὲ post ποτε add. Junt., om. hic, ubi restitui. πρόσθε A.G. corr. s. v. r. φαιδρῶς G. mg. r. βιοτεύω A.G. 7. δέχει B. pr., ut videtur. δέχῃ A.G. ἔτι αἰσχυνοίμην G. corr. ἐπαισχυνοίμην A.G. pr. 8. σοι G. corr., pr. fortasse σε. Post quod τὸν φονέα add. mg. r., post παιδὸς K.M.

5. ἀγαπητὸν] I. q. μονογενῆ s. unicum.

8. ὦ Γωβρύα] Unde Cyrus divinaverit hunc senem Gobryam vocari, quærit Muretus V. L. 14, 16. Haud dubie milites, qui eum perduxerant, antea Cyro nomen senis indicaverant. SCHN. Rectius Muretus Opp. vol. 3, p. 598 addit talia multa reperiri apud scriptores, præsertim fabularum.

τιμωρήσειν σοι τοῦ παιδὸς — ὑπισχνοῦμαι] De varia verbi τιμωρεῖν constructione dixi ad Thes. Steph. vol. 7, p. 2207—8, deque hoc loco p. 2207 A. Et quanquam inter exempla illic citata nullum est activi cum dativo personæ et genitivo rei conjuncti, tamen, quum non solum activum cum dativo personæ, sed etiam medium cum genitivo construatur rei, quanquam accusativo personæ quam quis ulciscitur conjunctum, non est cur activum non possit et cum genitivo rei construi et cum dativo personæ cui quis opitulatur, qua significatione locum non habet medium, sed activum, ut dictum ibidem p. 2208 D. Accedit quod activum significatione puniendi vel alienum videtur a prosa Atticorum, et poetis relinquendum, ut Thomas perhibet.

θεοῖς ὑπισχνοῦμαι. λέξον δέ μοι, ἔφη, ἐάν σοι ταῦτα ποι-
ῶμεν καὶ τὰ τείχη σε ἔχειν ἐῶμεν καὶ τὴν χώραν καὶ τὰ
ὅπλα καὶ τὴν δύναμιν ἥνπερ πρόσθεν εἶχες, σὺ ἡμῖν τί
9 ἀντὶ τούτων ὑπηρετήσεις; ὁ δὲ εἶπε, Τὰ μὲν τείχη, ὅταν [4]
ἔλθῃς, οἶκόν σοι παρέξω· δασμὸν δὲ τῆς χώρας ὅνπερ
ἔφερον ἐκείνῳ σοὶ ἀποίσω· καὶ ὅποι ἂν στρατεύῃ, συστρα-
τεύσομαι τὴν ἐκ τῆς χώρας δύναμιν ἔχων. ἔστι δέ μοι,
ἔφη, καὶ θυγάτηρ παρθένος ἀγαπητὴ γάμου ἤδη ὡραία, ἣν
ἐγὼ πρόσθεν μὲν ᾤμην τῷ νῦν βασιλεύοντι γυναῖκα τρέ-
φειν· νῦν δὲ αὐτή τέ μοι ἡ θυγάτηρ πολλὰ γοωμένη
ἱκέτευσε μὴ δοῦναι αὐτὴν τῷ τοῦ ἀδελφοῦ φονεῖ, ἐγώ τε
ὡσαύτως γιγνώσκω. νῦν δέ σοι δίδωμι βουλεύσασθαι καὶ
περὶ ταύτης οὕτως ὥσπερ ἂν καὶ ἐγὼ βουλεύων περὶ σὲ [5]
10 φαίνωμαι. οὕτω δὴ ὁ Κῦρος εἶπεν, Ἐπὶ τούτοις, ἔφη, ἐγὼ
ἀληθευομένοις δίδωμί σοι τὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν
δεξιάν· θεοὶ δ' ἡμῖν μάρτυρες ἔστων. ἐπεὶ δὲ ταῦτα
ἐπράχθη, ἀπιέναι τε κελεύει τὸν Γωβρύαν ἔχοντα τὰ ὅπλα
καὶ ἐπήρετο πόση τις ὁδὸς ὡς αὐτὸν εἴη, ὡς ἥξων. ὁ δ'
ἔλεγεν, Ἢν αὔριον ἴῃς πρῴ, τῇ ἑτέρᾳ ἂν αὐλίζοιο παρ'
ἡμῖν.

11 Οὕτω δὴ οὗτος μὲν ᾤχετο ἡγεμόνα καταλιπών. οἱ δὲ [6]
Μῆδοι παρῆσαν, ἃ μὲν οἱ μάγοι ἔφασαν τοῖς θεοῖς ἐξελεῖν,

ἐάν] ἂν A. ποιῶμεν] ποιῶμαι A.G. καὶ τὰ ὅπλα om. G. 9. δ. δὲ] τε G. s. v. r. γοωμένη] Pollux 3, 100. ἀδελφῷ G. pr. δίδωμι βου in ras. et lit. G. σὲ] σοῦ G. s. v. r. φαίνομαι G. pr. 10. ἀληθευομένοις O. ἀληθευόμενος A.G. γωβρίαν G. Libri πρωί. 11. οὔτως A. et καταλιπόν. ἃ Stephanus. Libri τά. οἱ μάγοι C.O.D. Cam. V. σιγῇ A.G.

cujus de sententia dixi ibid. p. 2207 A; 2209 A. Nam quem H. Stephanus citavit locum Xen. Reip. Lac. 2, 2: Ἔδωκεν αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὅτε δέοι, referendus ad significationem opitulandi. Itaque ejeci verba ab optimis omissa τὸν φονέα, pro quibus τὸν φόνον Zonaras p. 153 D.

καὶ τὰ ὅπλα, quæ unius auctoritate G. delevit Schneiderus tanquam ineptissima, non animadvertit confirmari s. 10, ἀπιέναι κελεύει τὸν Γωβρύαν ἔχοντα τὰ ὅπλα.

9. μοι cum γοωμένη jungendum.

10. ἔστων] Formam ἔστωσαν Xenophonti, ut hic in nonnullis, in omnibus illatam Ven. 4, 6, Eq. 12, 4, et illic esse in ἔστων mutandam et apud Thuc. 8, 18, et Platonem locis ad Steph. v. Εἰμὶ citatis vol. 3, p. 261 C, ipse librorum hoc loco dissensus ita reddit probabile ut dixi ad Anab. p. xvi. Nec plus tribuendum Herodoti ibidem memorato exemplo 1, 147, aut Euripideo Ion. 1130: Παροῦσι δαῖτες ἔστωσαν φίλοις, prudenter jam ab Elmslejo rejecto. V. ad 7, 2, 14; 8, 6, 11.

τῇ ἑτέρᾳ] Die tertio, ut τῇ ἄλλῃ 2, 3, 24, quum alibi dicatur de secundo, ut dictum ad Anab. 2, 1, 3. Frequens autem in Cyrop. et Anabasi formula

ἀποδόντες τοῖς μάγοις, Κύρῳ δ' ἐξῃρηκότες τὴν καλλίστην σκηνὴν καὶ τὴν Σουσίδα γυναῖκα, ἣ καλλίστη δὴ λέγεται ἐν τῇ Ἀσίᾳ γυνὴ γενέσθαι, καὶ μουσουργοὺς δὲ δύο τὰς κρατίστας, δεύτερον δὲ Κυαξάρῃ τὰ δεύτερα· τοιαῦτα δὲ ἄλλα ὧν ἐδέοντο ἑαυτοῖς ἐκπληρώσαντες, ὡς μηδενὸς δεό-
12 *μενοι στρατεύωνται· πάντα γὰρ ἦν πολλά. προσέλαβον δὲ καὶ Ὑρκάνιοι ὧν ἐδέοντο· ἰσόμοιρον δὲ ἐποίησαν καὶ τὸν παρὰ Κυαξάρου ἄγγελον· τὰς δὲ περιττὰς σκηνὰς ὅσαι ἦσαν Κύρῳ παρέδοσαν, ὡς τοῖς Πέρσαις γένοιντο. τὸ δὲ νόμισμα ἔφασαν, ἐπειδὰν ἅπαν συλλεχθῇ, διαδώσειν· καὶ διέδωκαν.*

λέγεται] *τῶν* s. v. r. add. G. *τοὺς κρατίστας* A. *τοὺς κρατίστους* B. *κυαξάρει* A. *κυαξάρῃ* B. 12. *ὑρκάνιοι*] *ιοι* et accentus in ras. G. *κυαξάρους* G. *καὶ τὸν*] *τὸν* A.G. *ἅπαντα* G. pr. *συλλεχθῇ*] *συναχθῇ* G.

αὔριον πρῴ restituenda est in illa 2, 2, 1: *Ἀλλ' εἰ βούλεσθε συναπιέναι, ἥκειν ἤδη κελεύει τῆς νυκτός· εἰ δὲ μή, αὐτὸς πρῴ ἀπιέναι φησίν.* Ubi C. pr. pro *αὐτὸς* haud dubie habuit *αὔριον*.

11. *μουσουργοὺς*] Locos Athen. 13, p. 607 F: *Παλλακίδας εὗρον τοῦ βασιλέως (Δαρείου) τριακοσίας εἰκοσιεννέα.* Macrobii in Somn. Scip. 2, 3, et Suidæ in hoc vocabulo citavit Hutchinsonus; durat mos hodieque in Asia. SCHN. De psaltriis regis Persarum v. Heraclides Cum. apud Athen. 12, p. 514 B.

12. *διαδώσειν καὶ διέδωκαν*] Anab. 4, 5, 15: *Τὴν χιόνα εἴκαζον τετηκέναι· καὶ ἐτετήκει κ. τ. λ.*

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦ. Α.

Οἱ μὲν δὴ ταῦτ' ἔπραξάν τε καὶ ἔλεξαν· ὁ δὲ Κῦρος τὰ μὲν Κυαξάρου ἐκέλευσε διαλαβόντας φυλάττειν οὓς ᾔδει οἰκειοτάτους αὐτῷ ὄντας· καὶ ὅσα ἐμοὶ δίδοτε, ἡδέως, ἔφη, δέχομαι· χρήσεται δ' αὐτοῖς ὑμῶν ὁ ἀεὶ μάλιστα δεόμενος. φιλόμουσος δέ τις τῶν Μήδων εἶπε, Καὶ μὴν ἐγὼ ὦ Κῦρε, τῶν μουσουργῶν ἀκούσας ἑσπέρας ὧν σὺ νῦν ἔχεις, ἡδέως ἤκουσά τε κἄν μοι δῷς αὐτῶν μίαν, στρατεύεσθαι ἄν μοι δοκῶ ἥδιον ἢ οἴκοι μένειν. ὁ δὲ Κῦρος εἶπεν, Ἀλλ' ἐγὼ, ἔφη, καὶ δίδωμί σοι καὶ χάριν οἶμαί σοι πλείω ἔχειν ὅτι ἐμὲ ᾔτησας ἢ σὺ ἐμοὶ ὅτι λαμβάνεις· οὕτως ἐγὼ ὑμῖν διψῶ χαρίζεσθαι. ταύτην μὲν οὖν ἔλαβεν ὁ αἰτήσας.

2 Καλέσας δὲ ὁ Κῦρος Ἀράσπαν Μῆδον, ὃς ἦν αὐτῷ ἐκ [1]

1. *οἱ μὲν—αἰτήσας* om. G. pr. et mg. r. addit libro 4, ut Junt. *δὴ* om. G. *τε καὶ ἔλεξαν* om. A. *κυαξάρους* G. *ἐκέλευε* A. *ἐκέλευσε* B. et post *κῦρος* ponens G. *φυλάττειν ἐκέλευσε* Zonaras p. 153 A. *ὅσα*] *ὅσα δὲ* G. *ἔφη*] *ἔφη ἐγὼ* G. *δέξομαι* G. *ὅσα ἐμοὶ δίδοτε, ἡδέως, ἔφη, δέχομαι* etiam Zonaras. *ἀεὶ* om. A. *εἶπε καὶ μὴν ἐγὼ*] *εἶπεν ἐγὼ νῦν* A. *ἤκουσά τε ἡδέως καὶ ἣν* G. *μίαν* om. A. *ἔγωγε* G. Libri *οἴομαι*. *ἐμὲ*] *με* G. 2. *ἀράσπην* libri et Aristid. vol. 2, p. 512 citans *κ. δὲ ἀράσπην, ὃς ἦν ἐκ π. αὐτῷ φίλος, ᾧ τὴν στολὴν ἔδωκε,* Zonaras. *ἐκ παιδὸς αὐτῷ* G. *αὐτῷ ἐκ παίδων* Zonaras.

1. *διαλαβόντας*] Pluribus igitur servandam partem Cyaxaris de præda dispertivit Cyrus. Ita fere 5, 1, 29: *Τοὺς δὲ Πέρσας διαλαβεῖν τὰς σκηνὰς, τοῖς μὲν ἱππεῦσι τὰς τούτοις πρεπούσας, τοῖς δὲ πεζοῖς τὰς τούτοις ἀρκούσας.* SCHN.

διψῶ χαρίζεσθαι] Conf. de hoc verbo Athen. 10, p. 433 F, ubi ex *τρίτῳ Παιδείας* citat *ἐγὼ ὑμῖν διψῶ χαρίσασθαι.* Unde Eustath. Od. p. 1701, 30.

2. *Ἀράσπην* libri etiam infra. Ἀ-

παιδὸς ἑταῖρος, ᾧ καὶ τὴν στολὴν ἐκδὺς ἔδωκε τὴν Μηδικὴν, ὅτε παρὰ Ἀστυάγους εἰς Πέρσας ἀπῄει, τοῦτον ἐκέλευσε διαφυλάξαι αὐτῷ τήν τε γυναῖκα καὶ τὴν σκηνήν.
3 ἦν δὲ αὕτη ἡ γυνὴ τοῦ Ἀβραδάτου τοῦ Σουσίου· ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς οὐκ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὢν, ἀλλὰ πρὸς τὸν τῶν Βακτρίων βασιλέα πρεσβεύων ᾤχετο· ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ συμμαχίας· ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτρίων βασιλεῖ. ταύτην οὖν ἐκέλευσεν ὁ Κῦρος
4 διαφυλάττειν τὸν Ἀράσπαν, ἕως ἂν αὐτὸς λάβῃ. κελευό- [2]
μενος δὲ ὁ Ἀράσπας ἐπήρετο, Ἑόρακας δ', ἔφη, ὦ Κῦρε, τὴν γυναῖκα, ἥν με κελεύεις φυλάττειν; Μὰ Δί', ἔφη ὁ Κῦρος, οὐκ ἔγωγε. Ἀλλ' ἐγὼ, ἔφη, ἡνίκα ἐξῃροῦμέν σοι αὐτήν· καὶ δῆτα, ὅτε μὲν εἰσήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς, τὸ πρῶτον οὐ διέγνωμεν αὐτήν· χαμαί τε γὰρ ἐκάθητο καὶ αἱ θεράπαιναι πᾶσαι περὶ αὐτήν· καὶ τοίνυν ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα· ἐπεὶ δὲ γνῶναι βουλόμενοι ποία εἴη ἡ δέσποινα πάσας περιεβλέψαμεν, ταχὺ καὶ πασῶν ἐφαίνετο διαφέρουσα τῶν ἄλλων, καίπερ καθη-
5 μένη κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. ὡς δὲ ἀναστῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ ἅπασαι αἱ ἀμφ' αὐτὴν, διήνεγκε δ' ἐνταῦθα πρῶτον μὲν τῷ μεγέθει,

3. τοῦ ἀβραδάτου τοῦ σουσίου] ἀβραδάτα (–ου Zonaras) τοῦ σούσων βασιλέως Ald. Zonaras. βακτρίων bis E.F.H., ut Zonaras. βακτριανῶν bis A.G. ξυμμαχίας G. 4. Libri ἑώρακας. τὴν γ. ὦ κῦρε G. ἐγὼ] ἔγωγε H.O. ἐξῃροῦμεν C.O. ἐξῃρούμην A.G.

ράσπας 6, 1, 31; 3, 18; 4, 8. Isidor. Pel. Epist. 5, p. 606 C, Tzetzes Hist. 2, 99. V. dicta de Ὑστάσπης ad 2, 2, 2.

τήν τε γυν. καὶ τὴν σκηνὴν] 4, 6, 11.

ἔδωκε] 1, 4, 26.

3. Βακτριανῶν] Bactriani hic intelligi nequeunt incolæ terræ Bactrianæ ultra Parthiam et mare Caspium sitæ; populum quendam sic dictum, a Susianis Assyriisque haud ita longe remotum, hujus postulat historiæ ratio. HUTCH. Est ipsius Xenophontis commentum, situm populorum quos memorat in Cyropædia, ut Hyrcaniorum 4, 2, 1, non magis quam alia quæ fingit contra historiam rei naturæ accommodantis. Formam Βακτριανῶν notavi ad 1, 1, 4.

ἐτύγχανε] Abradatas.

4. ὁμοίαν ταῖς δούλαις] V. ad 6, 1, 50.

καίπερ καθημένη κεκαλυμμένη] Haud aliam Judææ captæ figuram numi Vespasiani Titique exhibent. V. Spanhem. Diss. 4. HUTCH. Conjungenda autem καθημένη κεκαλυμμένη. Ad χαμαὶ καθημένη, ut 7, 3, 5, referendum quod Dio dicit de λυπουμένοις Or. 16, vol. 1, p. 458: Προσμηχανᾶσθαι μέλαιναν ἐσθῆτα καὶ ταπεινὰς καθέδρας.

5. τῷ μεγέθει] Quippe hominibus barbaris, Curtii verba sunt 6, 5, in corporum majestate veneratio est. Itaque Sisygambis ib. 3, 12 Hephæstionem pro rege habuit, quod habitu

ἔπειτα δὲ καὶ τῇ ἀρετῇ καὶ τῇ εὐσχημοσύνῃ, καίπερ ἐν ταπεινῷ σχήματι ἑστηκυῖα. δῆλα δ' ἦν αὐτῇ καὶ τὰ δάκρυα στάζοντα, τὰ μὲν κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τοὺς
6 πόδας. ὡς δ' ἡμῶν ὁ γεραίτερος εἶπε Θάρρει, ὦ γύναι· καλὸν μὲν γὰρ κἀγαθὸν ἀκούομεν καὶ τὸν σὸν ἄνδρα εἶναι· νῦν μέντοι ἐξαιροῦμεν ἀνδρί σε εὖ ἴσθι ὅτι οὔτε τὸ εἶδος ἐκείνου χείρονι οὔτε τὴν γνώμην οὔτε δύναμιν ἧττω ἔχοντι, ἀλλ' ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνήρ, καὶ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι, οὗ σὺ ἔσει ἀπὸ τοῦδε· ὡς [3]
οὖν τοῦτο ἤκουσεν ἡ γυνή, περικατερρήξατό τε τὸν ἄνωθεν
7 πέπλον καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ καὶ αἱ δμωαί. ἐν τούτῳ δὲ ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τοῦ προσώπου, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες· καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἰδοῦσι μήπω φῦναι μηδὲ γενέσθαι γυνὴ ἀπὸ θνητῶν τοιαύτη ἐν τῇ
8 Ἀσίᾳ· ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θέασαι αὐτήν. καὶ ὁ [4]
Κῦρος ἔφη, Ναὶ μὰ Δία, πολύ γε ἧττον, εἰ τοιαύτη ἐστὶν

5. τῇ εὐσχ.] εὐσχ. G.M. ἐσχηκυῖα G. corr. s. v. r. καὶ ἐπὶ] κατὰ A.G. 6. γεραίτατος D. Cam. εἴ in ras. G. Libri ἔσῃ. τοῦτο] τούτου A.G. corr. s. v. r. ἄνωθεν π.] π. ἄνωθεν G.M. 7. ἔφη om. G. ἐμοί τε] ἔμοιγε A.G. φῦναι] φανῆναι B. γυνὴ om. G. τοιαύτη] ν s. η r. G. θέασαι] η s. αι r. G. 8. περὶ ἔρωτος ἐξαίρετα mg. r. G.

corporis Alexandrum præstaret. Conf. Herodot. 7, 187, de Xerxe κάλλεός τε εἵνεκα καὶ μεγάθεος ἀξιονικοτάτῳ, et 3, 20, de Æthiopibus regem eligentibus τὸν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν τε εἶναι καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχύν. HUTCH.

ἀρετῇ] Corporis forma, ut Hom. Od. Σ, 250, ubi Penelope queritur: Ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε ὤλεσαν ἀθάνατοι. Pantheam talem fere Xenophon exhibet qualem pictam voluit Philostr. Imag. 2, 9. HUTCH.

ἐν ταπεινῷ σχήματι] Refertur ad ὁμοίαν ταῖς δούλαις ἐσθῆτα s. 4. Conf. Steph. Thes. v. Ταπεινὸς p. 1826 A.

αὐτῇ τὰ δ. καταστ.] Conf. 6, 4, 3.

6. γεραίτερος] Non improbabilis D. scriptura γεραίτατος, etsi hic superlativus non est apud Xenophontem, sed est apud alios, item confusus cum comparativo. V. Thes. Steph. v. Γεραιός.

τὸν ἄνωθεν πέπλον] Apparet peplum muliebre caput simul faciemque totam cum pectore et manibus obvelasse. Superiore enim ejus parte discissa demum Panthea faciem, collum et manus nudas conspiciendas præbebat. SCHN. Conf. Pollux 7, 50, qui citat π. τὸν ἄνωθεν πέπλον. Dictum autem hoc ut Demosth. p. 671, 20: Τῷ μὲν ὑπῆρχεν ἐπισιτισμὸς ἐκ τῆς ἄνωθεν Φρυγίας.

7. ἔδοξε φῦναι γυνὴ τοιαύτη] Accusativum pro nominativo post δοκεῖν illatum sustuli etiam Anab. 3, 1, 11.

φῦναι—γενέσθαι] Paullo aliter hæc verba conjunguntur infra 7, 2, 24: Πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι. Hic distinguitur pulcherrima inter eas quæ natæ in Asia sint ab iis quæ aliunde venerint. Similis est locus Dionis Or. 29, vol. 1, p. 537: Αὐτὸς δὲ ἔφυ κάλλιστος ἀνθρώπων οὐ τῶν νῦν μόνον, ἀλλ' ὡς ἔνεστιν εἰκάζειν ἐκ τῆς ὑπερβολῆς καὶ ἁπάντων ἁπλῶς τῶν ἐξ ἅπαντος τοῦ χρόνου ὠνομασμένων ἐπὶ κάλλει ὅσοι θνητοὶ ἐγένοντο.

8. πολύ γε ἧττον] Intell. θεάσομαι. Repetit hæc Plutarchus Mor. p. 521 F.

οἵαν σὺ λέγεις. Τί δαί; ἔφη ὁ νεανίσκος. Ὅτι, ἔφη, εἰ
νυνὶ σοῦ ἀκούσας ὅτι καλή ἐστι πεισθήσομαι ἐλθεῖν θεα-
σόμενος, οὐδὲ πάνυ μοι σχολῆς οὔσης, δέδοικα μὴ πολὺ
θᾶττον ἐκείνη αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν θεασό-
μενον· ἐκ δὲ τούτου ἴσως ἂν ἀμελήσας ὧν με δεῖ πράττειν
καθῄμην ἐκείνην θεώμενος.
9 Καὶ ὁ νεανίσκος ἀναγελάσας εἶπεν, Οἴει γὰρ, ἔφη, ὦ [5]
Κῦρε, ἱκανὸν εἶναι κάλλος ἀνθρώπου ἀναγκάζειν τὸν μὴ
βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον; εἰ μέντοι, ἔφη,
10 τοῦτο οὕτως ἐπεφύκει, πάντας ἂν ἠνάγκαζεν ὁμοίως. ὁρᾷς,
ἔφη, τὸ πῦρ, ὡς πάντας ὁμοίως κάει; πέφυκε γὰρ τοιοῦτον·
τῶν δὲ καλῶν τῶν μὲν ἐρῶσι τῶν δ' οὔ, καὶ ἄλλος γε
ἄλλου. ἐθελούσιον γὰρ, ἔφη, ἐστὶ, καὶ ἐρᾷ ἕκαστος ὧν ἂν
βούληται. αὐτίκ', ἔφη, οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς, ἄλλος
δὲ ταύτης, οὐδὲ πατὴρ θυγατρὸς, ἄλλος δὲ ταύτης· καὶ γὰρ
11 φόβος καὶ νόμος ἱκανὸς ἔρωτα κωλύειν. εἰ δέ γ', ἔφη,
νόμος τεθείη μὴ ἐσθίοντας μὴ πεινῆν καὶ μὴ πίνοντας μὴ
διψῆν μηδὲ ῥιγῶν τοῦ χειμῶνος μηδὲ θάλπεσθαι τοῦ
θέρους, οὐδεὶς ἂν νόμος δυνηθείη διαπράξασθαι ταῦτα πεί-
θεσθαι ἀνθρώπους· πεφύκασι γὰρ ὑπὸ τούτων κρατεῖσθαι.
τὸ δ' ἐρᾶν ἐθελούσιόν ἐστιν· ἕκαστος γοῦν τῶν καθ' ἑαυ-
12 τὸν ἐρᾷ, ὥσπερ ἱματίων καὶ ὑποδημάτων. Πῶς οὖν, ἔφη [6]
ὁ Κῦρος, εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύ-
σασθαι ἔστιν ὅταν τις βούληται; ἀλλ' ἐγὼ, ἔφη, ἑόρακα
καὶ κλάοντας ὑπὸ λύπης δι' ἔρωτα, καὶ δουλεύοντάς γε

δαί] δή A. δ' G. ἐλθεῖν πεισθ. G. καθήμην K. καθοίμην A.G. 9. οἴη G. pr., ut videtur. ἀναγκάζειν G. mg. r. βουλόμενον ποιεῖν A.G. 10. Libri καίει. τοιοῦτο A.G. ν s. ο r. G. τῶν δὲ] δὲ om. A.G. s. v. r. ἐθελούσιον G. s. v. r. ἐθέλουσι A.G. αὐτίκ'] Super κ erasum quid G. ἐρᾷ om. A.G. mg. r. 11. Libri ῥιγοῦν. οὐθεὶς A. διαπρά-ξεσθαι A.G. γοῦν] γὰρ et οὖν G. s. v. r. 12. ὁ κῦρος—ἑώρακα om. A.G. mg. r. ἑώρακα G. mg. r. ὁρᾷς A. et G. pr., in quo nunc elutum vocabulum totidem litterarum. Scripsi ἑόρακα. κλάοντας G. pr., nisi etiam λ a corr. additum, ut ί. κλαίοντας A.

ZEUN. Respicit Isidor. Pel. Epist. 5, p. 606 C.

πολὺ θᾶττον] Conf. 5, 5, 41: Ἀμε-λεῖσθαι δὲ δοκοῦντες στρατιῶται οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίγνονται.

10. πέφυκε] Natura ita comparatum est, ut s. 11. Alienum a Xenophonte τοιοῦτο tollendum Com. 1, 1, 15; Œc. 9, 9; Conv. 9, 3.

οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς] Contrarium apud Persas et Ægyptios in moribus receptum fuisse contra Xenophontem monuit Brodæus. SCHN.

11. ῥιγῶν] Formam non Atticam ῥιγοῦν Xenophonti quoque sæpe illatam notavimus ad Thes. Steph.

τοῖς ἐρωμένοις καὶ μάλα κακὸν νομίζοντας πρὶν ἐρᾶν τὸ
δουλεύειν, καὶ διδόντας γε πολλὰ ὧν οὐ βέλτιον αὐτοῖς
στέρεσθαι, καὶ εὐχομένους ὥσπερ καὶ ἄλλης τινὸς νόσου
ἀπαλλαγῆναι, καὶ οὐ δυναμένους μέντοι ἀπαλλάττεσθαι,
ἀλλὰ δεδεμένους ἰσχυροτέρᾳ ἀνάγκῃ ἢ εἰ ἐν σιδήρῳ ἐδέ-
δεντο. παρέχουσι γοῦν ἑαυτοὺς τοῖς ἐρωμένοις πολλὰ καὶ
εἰκῇ ὑπηρετοῦντας· καὶ μέντοι οὐδ' ἀποδιδράσκειν ἐπιχει-
ροῦσι, τοιαῦτα κακὰ ἔχοντες, ἀλλὰ καὶ φυλάττουσι τοὺς
ἐρωμένους μή ποι ἀποδρῶσι.
13 Καὶ ὁ νεανίσκος εἶπε πρὸς ταῦτα, Ποιοῦσι γάρ, ἔφη, [7]
ταῦτα· εἰσὶ μέντοι, ἔφη, οἱ τοιοῦτοι μοχθηροί· διόπερ,
οἶμαι, καὶ εὔχονται μὲν ἀεὶ ὡς ἄθλιοι ὄντες ἀποθανεῖν,
μυρίων δ' οὐσῶν μηχανῶν ἀπαλλαγῆς τοῦ βίου οὐκ ἀπαλ-
λάττονται. οἱ αὐτοὶ δέ γε οὗτοι καὶ κλέπτειν ἐπιχειροῦσι
καὶ οὐκ ἀπέχονται τῶν ἀλλοτρίων, ἀλλ' ἐπειδάν τι ἁρπά-
σωσιν ἢ κλέψωσιν, ὁρᾷς ὅτι σὺ πρῶτος, ὅτι οὐκ ἀναγ-
καῖον τὸ κλέπτειν, αἰτιᾷ τὸν κλέπτοντα καὶ ἁρπάζοντα,
14 καὶ οὐ συγγιγνώσκεις, ἀλλὰ κολάζεις. οὕτω μέντοι, ἔφη,
καὶ οἱ καλοὶ οὐκ ἀναγκάζουσιν ἐρᾶν ἑαυτῶν οὐδ' ἐφίεσθαι
ἀνθρώπους ὧν μὴ δεῖ, ἀλλὰ τὰ μοχθηρὰ ἀνθρώπια πασῶν,
οἶμαι, τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστι, κἄπειτα ἔρωτα αἰτιῶν-
ται· οἱ δέ γε καλοὶ κἀγαθοὶ ἐπιθυμοῦντες καὶ χρυσίου καὶ
ἵππων ἀγαθῶν καὶ γυναικῶν καλῶν, ὅμως πάντων
τούτων δύνανται ἀπέχεσθαι ὥστε μὴ ἅπτεσθαι αὐτῶν
15 παρὰ τὸ δίκαιον. ἐγὼ γοῦν, ἔφη, ταύτην ἑορακὼς, καὶ
πάνυ καλῆς δοξάσης μοι εἶναι, ὅμως καὶ παρὰ σοί εἰμι καὶ
16 ἱππεύω καὶ τἄλλα τὰ ἐμοὶ προσήκοντα ἀποτελῶ. Ναὶ μὰ [8]
Δί', ἔφη ὁ Κῦρος· ἴσως θᾶττον ἀπῆλθες ἢ ἐν ὅσῳ
χρόνῳ ἔρως πέφυκε συσκευάζεσθαι ἄνθρωπον· καὶ πυρὸς

γε ὧν πολλῶν οὐ βέλτιον A.G. γε πολλὰ οὗ βέλτιον G. mg. r. δεμένους G. corr. s. v. r. εἰ] ἡ A. 13. μέντοι] μέντι G. pr. οἱ] οὐ G. pr. αἰεὶ A.G. ἁρπάσωσιν] ἁρπάσωσί τι A.G. pr., qui corr. ἁρπάσωσι. 14. οὐκ] καὶ οὐκ A.G. ἔρωτας G., sed corr., ut videtur. τούτων] ῥᾳδίως add. G. mg. r. ἅπτεσθαι G. corr. ἐπέχεσθαι A.G. pr. 15. Libri ἔγωγ' οὖν. Libri ἑωρακώς. ἐμοὶ E.F.P. μοι G. s.v. r. 'μοὶ Junt., quasi τἀμοί. παρὰ σοὶ A.G. 16. συσκ. G. corr. s. v. r. σκ. A.G. pr.

13. πρῶτος] V. ad 1, 3, 18.
ὅτι—ὅτι] Conferas ὅτι ὅτε 6, 1, 9. Deteriores ὡς οὐκ, de quo sine ὂν posito Schneid. citat Heindorf. ad Platonis Protag. §. 37. p. 514.
ἀναγκαῖον quod vim cogendi a natura insitam habet. SCHN.
16. ἔρως] Male libri nonnulli ὁ ἔρως, ut ὁ φόβος 3, 1, 25.
συσκευάζεσθαι] Corripere et au-

γάρ τοι ἔστι θιγόντα μὴ εὐθὺς κάεσθαι καὶ τὰ ξύλα οὐκ εὐθὺς ἀναλάμπει· ὅμως δ᾽ ἔγωγε οὔτε πυρὸς ἑκὼν εἶναι ἅπτομαι οὔτε τοὺς καλοὺς εἰσορῶ. οὐδέ γε σοὶ συμβουλεύω, ἔφη, ὦ Ἀράσπα, ἐν τοῖς καλοῖς ἐᾶν τὴν ὄψιν διατρίβειν· ὡς τὸ μὲν πῦρ τοὺς ἁπτομένους κάει, οἱ δὲ καλοὶ καὶ τοὺς ἄπωθεν θεωμένους ὑφάπτουσιν, ὥστε αἴθεσθαι τῷ
17 ἔρωτι. Θάρρει, ἔφη, ὦ Κῦρε· οὐδ᾽ ἐὰν μηδέποτε παύσωμαι θεώμενος, οὐ μὴ κρατηθῶ ὥστε ποιεῖν τι ὧν μὴ χρὴ ποιεῖν. Κάλλιστα, ἔφη, λέγεις· φύλαττε τοίνυν, ἔφη, ὥσπερ σε κελεύω καὶ ἐπιμέλου αὐτῆς· ἴσως γὰρ ἂν πάνυ
18 ἡμῖν ἐν καιρῷ γένοιτο αὕτη ἡ γυνή. τότε μὲν δὴ ταῦτ᾽ [9] εἰπόντες διελύθησαν.

Ὁ δὲ νεανίσκος ἅμα μὲν ὁρῶν καλὴν τὴν γυναῖκα, ἅμα δὲ αἰσθανόμενος τὴν καλοκἀγαθίαν αὐτῆς, ἅμα δὲ θεραπεύων αὐτὴν καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ, ἅμα δὲ αἰσθανόμενος οὐκ ἀχάριστον οὖσαν, ἀλλ᾽ ἐπιμελομένην διὰ τῶν αὑτῆς οἰκετῶν ὡς καὶ εἰσιόντι εἴη τὰ δέοντα, καὶ εἴ ποτε ἀσθενήσειεν, ὡς μηδενὸς ἂν δέοιτο, ἐκ πάντων τούτων ἡλίσκετο ἔρωτι, καὶ ἴσως οὐδὲν θαυμαστὸν ἔπασχε. καὶ ταῦτα μὲν δὴ οὕτως ἐπράττετο.

19 Βουλόμενος δὲ ὁ Κῦρος ἐθελοντὰς μένειν μεθ᾽ ἑαυτοῦ τούς τε Μήδους καὶ τοὺς συμμάχους, συνεκάλεσε πάντας
20 τοὺς ἐπικαιρίους· ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε. Ἄνδρες [10]

Libri θίγοντα. κάεσθαι F. καίεσθαι A.G. οὔτε π. G. s. v. r. οὐ π. A.G. pr. ἀράσπη A.G. κάει F. καίει A.G. ἄπωθεν F. ἄποθεν A.G. ὑφάπτουσιν ὥστε] ὑφάπτουσί γε A.G. corr. mg. r. αἴσεσθαι A. αἴσθεσθαι G. pr. 17. Libri ἐπιμελοῦ. 18. καλὴν A.G. τὴν add. G. mg. r. ὑπερκαλλῆ τὴν Junt. ἐπιμελουμένην G. et ἀντὶ s. ἐπι r. ἀντεπιμελουμένην Junt. Libri αὐτῆς. εἰσιόντι] εἰ οἷόν τε αὐτῷ G. mg. r. ἂν om. Junt. τούτων G. mg. r. 19. ἐθελοντὰς Stephanus. Libri ἐθέλοντας. μεθ᾽] με in lit. et ras. G.

ferre interpretatur Camerarius, Laqueis quasi capere Steph. in Thes., ubi Plut. Cat. min. c. 43: Οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι χάρισι καὶ δωροδοκίαις, et alia contulimus.

ἁπτομένους] Plutarch. apud Stob. Fl. 66, 5: Μᾶλλον δὲ, ὥς φησιν ὁ Ξενοφῶν, τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον, οἱ δὲ καλοὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν. Idem hujus l. meminit Q. Symp. 5, 7, p. 681 C, monente Ruhnkenio ad Comment. 1, 3, 13. SCHN. Quo loco et ἁψάμενα est et οὐδ᾽ ἁπτόμενον.

ἄπωθεν] De forma vitiosa ἄποθεν v. Thes. Steph.

17. ἐν καιρῷ γένοιτο] V. ad 6, 1, 38. SCHN.

19. ἐπικαιρίους] Interpretatur Steph. homines rebus agendis et conficiendis negotiis idoneos, Latine opportunos: et Camerarius vertit *quos opportunum esset convenire convocatos.* SCHN. V. Ind.

Μῆδοι καὶ πάντες οἱ παρόντες, ἐγὼ ὑμᾶς οἶδα σαφῶς ὅτι
οὔτε χρημάτων δεόμενοι σὺν ἐμοὶ ἐξήλθετε οὔτε Κυαξάρῃ
νομίζοντες τοῦτο ὑπηρετεῖν, ἀλλ' ἐμοὶ βουλόμενοι τοῦτο
χαρίζεσθαι καὶ ἐμὲ τιμῶντες νυκτοπορεῖν καὶ κινδυνεύειν
21 σὺν ἐμοὶ ἠθελήσατε. καὶ χάριν τούτων ἐγὼ ὑμῖν ἔχω μὲν,
εἰ μὴ ἀδικῶ· ἀποδιδόναι δὲ οὔπω ἀξίαν δύναμιν ἔχειν μοι
δοκῶ. καὶ τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων· τὸ δ' Ἐὰν
μένητε παρ' ἐμοὶ, ἀποδώσω, εὖ ἴστε, ἔφη, αἰσχυνοίμην ἂν
εἰπεῖν· νομίζω γὰρ ἐμαυτὸν ἐοικέναι λέγοντι ταῦτα ἕνεκα
τοῦ ὑμᾶς μᾶλλον ἐθέλειν παρ' ἐμοὶ καταμένειν. ἀντὶ δὲ
τούτου τάδε λέγω· ἐγὼ γὰρ ὑμῖν, κἂν ἤδη ἀπίητε Κυα-
ξάρῃ πειθόμενοι, ὅμως, ἂν ἀγαθόν τι πράξω, πειράσομαι
22 οὕτω ποιεῖν ὥστε καὶ ἐμὲ ὑμᾶς ἐπαινεῖν. οὐ γὰρ δὴ αὐτός
γε ἄπειμι, ἀλλὰ καὶ Ὑρκανίοις τοὺς ὅρκους καὶ τὰς δεξιὰς
ἃς ἔδωκα ἐμπεδώσω καὶ οὔποτε τούτους προδιδοὺς ἁλώσο-
μαι, καὶ τῷ νῦν διδόντι Γωβρύᾳ καὶ τείχη ἡμῖν καὶ χώραν
καὶ δύναμιν πειράσομαι ποιεῖν μὴ μεταμελῆσαι τῆς πρὸς
23 ἐμὲ ὁδοῦ· καὶ τὸ μέγιστον δὴ, θεῶν οὕτω διδόντων περι-
φανῶς ἀγαθὰ καὶ φοβοίμην ἂν αὐτοὺς καὶ αἰσχυνοίμην
ἀπολιπὼν ταῦτα εἰκῇ ἀπελθεῖν. ἐγὼ μὲν οὖν οὕτως, ἔφη,
ποιήσω· ὑμεῖς δὲ ὅπως γιγνώσκετε, οὕτω καὶ ποιεῖτε, καὶ
24 ἐμοὶ εἴπατε ὅ τι ἂν ὑμῖν δοκῇ. ὁ μὲν οὕτως εἶπε. [11]
Πρῶτος δ' ὁ φήσας ποτὲ συγγενὴς τοῦ Κύρου εἶναι
εἶπεν, Ἀλλ' ἐγὼ μὲν, ἔφη, ὦ βασιλεῦ· βασιλεὺς γὰρ

20. κυαξάρῃ B. pr., ut videtur. κυαξάρει A.G. 21. μένητε] μενῆτε A.G. pr. μένειτε B. ἔφη om. G. νομίζοιμι G. s. v. r. ἐμαυτὸν G. s. v. r. ἑαυτὸν A.G. λέγοντι] ὅτι add. A. punctis notat. r. G. τούτου post ταῦτα add. G. mg. r. Libri κυαξάρει. ὅπως A.G. corr. s. v. r. ἂν] ἢν Junt. et, ut videtur, M. ὥστε ὑμᾶς ἐμὲ Junt. 22. ὑρκανίους, ut videtur, A. et fortasse G. pr. 23. εἰκῇ] κἀκεῖ A.G. corr. mg. r. οὖν om. G. οὕτως A. 24. γὰρ] ἀεὶ add. G. s. v. r.

21. ἐμαυτὸν] ἑαυτὸν, quod pro altero sic inferunt meliores etiam Anab. 6, 6, 15, etsi est ubi primæ loco personæ ponatur (v. Steph. Thes. v. Ἑαυτοῦ, p. 13 A.), tamen sæpe sic infertur ab librariis, ut in glossa Hesychii, de qua dixi ib. p. 12 B. et olim dixeram ad hunc locum, vel cum altero conjunctum est. Deteriores autem quod pro νομίζω ex antecedenti optativo repetitum supponunt νομίζοιμι, quasi ἂν ex prægresso possit suppleri, jam ad Anab. 4, 6, 13, dixi exempla duo vel tria omissæ sic particulæ nullius esse fidei.

ἐγὼ γὰρ] Copulat orationem, et causam continet, cur Cyrus id dicere voluerit. SCHN.

22. μὴ μεταμελῆσαι] Anab. 7, 1, 5: Ἔφη αὐτῷ ταῦτα συμπροθυμηθέντι ὅτι οὐ μεταμελήσει.

24. ποτε] 1, 4, 27.

ἐγὼ μὲν] Continuat s. 26, ἐγὼ δέ.

ἔμοιγε δοκεῖς φύσει πεφυκέναι οὐδὲν ἧττον ἢ ὁ ἐν τῷ
σμήνει φυόμενος τῶν μελιττῶν ἡγεμών· ἐκείνῳ τε γὰρ αἱ
μέλιτται ἑκοῦσαι μὲν πείθονται, ὅπου δ' ἂν μένῃ, οὐδεμία
ἐντεῦθεν ἀπέρχεται· ἐὰν δέ που ἐξίῃ, οὐδεμία αὐτοῦ ἀπο-
λείπεται· οὕτω δεινός τις ἔρως αὐταῖς τοῦ ἄρχεσθαι ὑπ'
25 ἐκείνου ἐγγίγνεται· καὶ πρὸς σὲ δέ μοι δοκοῦσι παραπλη-
σίως πως οἱ ἄνθρωποι οὗτοι διακεῖσθαι. καὶ γὰρ εἰς Πέρ-
σας ὅτε παρ' ἡμῶν ἀπῄεις, τίς Μήδων ἢ νέος ἢ γέρων σοῦ
ἀπελείφθη τὸ μή σοι ἀκολουθεῖν ἔστε Ἀστυάγης ἡμᾶς
ἀπέστρεψεν; ἐπειδὴ δ' ἐκ Περσῶν βοηθὸς ἡμῖν ὡρμήθης,
σχεδὸν αὖ ἑωρῶμεν τοὺς φίλους σου πάντας ἐθελουσίους
συνεπομένους. ὅτε δ' αὖ τῆς δεῦρο στρατείας ἐπεθύμησας,
26 πάντες σοι Μῆδοι ἑκόντες ἠκολούθησαν. νῦν δ' αὖ οὕτως
ἔχομεν ὡς σὺν μὲν σοὶ ὅμως καὶ ἐν τῇ πολεμίᾳ ὄντες θαρ-
ροῦμεν, ἄνευ δὲ σοῦ καὶ οἴκαδε ἀπιέναι φοβούμεθα. οἱ μὲν
οὖν ἄλλοι ὅπως ποιήσουσιν αὐτοὶ ἐροῦσιν· ἐγὼ δὲ, ὦ
Κῦρε, καὶ ὧν ἐγὼ κρατῶ καὶ μενοῦμεν παρὰ σοὶ καὶ
ὁρῶντες σὲ ἀνεξόμεθα καὶ καρτερήσομεν ὑπὸ σοῦ εὐεργε-
τούμενοι.
27 Ἐπὶ τούτῳ ἔλεξεν ὁ Τιγράνης ὧδε· Σὺ, ἔφη, ὦ Κῦρε, [12]
μήποτε θαυμάσῃς, ἂν ἐγὼ σιωπῶ· ἡ γὰρ ψυχὴ, ἔφη, οὐχ
ὡς βουλεύσουσα παρεσκεύασται ἀλλ' ὡς ποιήσουσα ὅ τι
28 ἂν παραγγέλλῃς. ὁ δὲ Ὑρκάνιος εἶπεν, Ἀλλ' ἐγὼ μὲν, ὦ
Μῆδοι, εἰ νῦν ἀπέλθοιτε, δαίμονος ἂν φαίην τὴν ἐπιβου-
λὴν εἶναι τὸ μὴ ἐᾶσαι ὑμᾶς μέγα εὐδαίμονας γενέσθαι·

ἂν] ἐὰν A.G. οὐδὲ μία A.G., qui hic mg. ἡ τῶν μελιττῶν φύσις. ἐκεί-νου ἐγγίγνεται] ἐκείνους συγγεγένηται D. Cam., omisso αὐταῖς. 25. οὗτοι] οὕτω A.G. ἀπῄεις G. s. v. r. ἀπίῃς A.G. ἀπελείφθη] φ in ras. et lit. G. ἔστε F.H.Q. εἰς ὅτε A.G., qui ἕως s. v. r. περσῶν] ποδῶν A.G. pr. βο-ηθὸς] θ in ras. et lit. G. ἑωρῶμεν posuit in lemmate annot. et interpretatus est Camerarius, sed non tanquam ex D. ὁρῶμεν A.G. στρατίας G. pr. σοι] οἱ A.G., ut s. 29. 26. δ' G. s. v. r. γ' A.G. pr. ὅμως G. s. v. r. ὁμοίως A.G. pr. ποιήσουσιν] ποιήσωσιν A.G. ἀνεξόμεθα] ἀνθεξόμεθα A.G. 27. γὰρ] μοι add. G. s. v. r. 28. ἀπέλθητε G.

25. τίς Μήδων] V. 1, 4, 25. Forma ἀπῄεις autem non melior quam ἔφης, de quo ad 4, 1, 23.

26. ὅμως] Anab. 3, 1, 10: Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ—συνηκολούθησαν. SCHN.

σὺν μὲν σοὶ—ἄνευ δὲ σοῦ] Conf. Anab. 2, 5, 9.

ἀνεξόμεθα] Per ironiam, ut Comment. 2, 6, 4, εὖ πάσχων ἀνέχεται. Respicitur autem Artabazi factum, qui Cyri aspectu satiari non poterat, 1, 4, 27.

27. ἡ ψυχὴ] Eleganter Tigranes animum totum Cyro devotum pendere ab ejus imperio ait, nec ulla consultatione indigere. SCHN.

ἀνθρωπίνῃ δὲ γνώμῃ τίς ἂν ἢ φευγόντων τῶν πολεμίων ἀποτρέποιτο ἢ ὅπλα παραδιδόντων οὐκ ἂν λαμβάνοι ἢ ἑαυτοὺς διδόντων καὶ τὰ ἑαυτῶν οὐκ ἂν δέχοιτο, ἄλλως τε καὶ τοῦ ἡγεμόνος ἡμῖν ὄντος τοιούτου ὃς ἐμοὶ δοκεῖ, ὄμνυμι ὑμῖν πάντας τοὺς θεούς, εὖ ποιῶν ἡμᾶς μᾶλλον ἥδεσθαι ἢ
29 ἑαυτὸν πλουτίζων. ἐπὶ τούτῳ πάντες οἱ Μῆδοι τοιάδ' ἔλεγον· Σύ, ὦ Κῦρε, καὶ ἐξήγαγες ἡμᾶς καὶ οἴκαδε ὅταν ἀπιέναι καιρὸς δοκῇ, σὺν σοὶ ἡμᾶς ἄγε. ὁ δὲ Κῦρος ταῦτα ἀκούσας ἐπηύξατο, Ἀλλ' ὦ Ζεῦ μέγιστε, αἰτοῦμαί σε, δὸς
30 τοὺς ἐμὲ τιμῶντας νικῆσαί με εὖ ποιοῦντα. ἐκ τούτου ἐκέ- [13]
λευσε τοὺς μὲν ἄλλους φυλακὰς καταστήσαντας ἀμφ' αὑτοὺς ἤδη ἔχειν, τοὺς δὲ Πέρσας διαλαβεῖν τὰς σκηνάς, τοῖς μὲν ἱππεῦσι τὰς τούτοις πρεπούσας, τοῖς δὲ πεζοῖς τὰς τούτοις ἀρκούσας· καὶ οὕτω καταστήσασθαι ὅπως ποιοῦντες οἱ ἐν ταῖς σκηναῖς πάντα τὰ δέοντα φέρωσιν εἰς τὰς τάξεις τοῖς Πέρσαις καὶ τοὺς ἵππους τεθερα-

ἀνθρωπίνη δὲ γνώμη τίς ἂν ἦν ἢ φευγόντων D. Cam. *ἡμῖν*] *ὑμῖν* A.G. *ὄμνυμι*] Libri *ὡς ὄμνυμι*. 29. *ἀκούσας ταῦτα* G. *ἐπηύξατο* F.Q. *ἐπεύξατο* A.G. 30. *φυλακὰς* Stephanus. Libri *φύλακας*. *οὕτως* A. *καταστήσεσθαι* A.G. *πάντα* F.H.Q. *πάντες* A.G.

28. *ἀνθρωπίνῃ γνώμῃ*] Male Schneiderus *ἀνθρωπίνη γνώμη* 3, 2, 4: *Τὰ μὲν οὖν ἱερὰ καλὰ ἡμῖν· ἀνθρωπίνη δὲ προθυμίᾳ εἰς τὸ πραχθῆναι ταῦτα οὐδὲν οὕτω μέγα σύμμαχον ἂν γένοιτο ὡς τάχος.* 8, 6, 12: *Οὐ γὰρ ἂν δυναίμην ἐγὼ εἷς ὢν ἀνθρωπίνῃ ἀρετῇ τὰ πάντων ὑμῶν ἀγαθὰ διασῴζειν.*

ὡς ὄμνυμι] Similis oratio Pheraulæ 2, 3, 12: *Ἀλλὰ σὺν θεῶν ὅρκῳ λέγω, ἦ μὴν ἐμοὶ δοκεῖν Κῦρον—ὅ τι ἂν ἔχῃ, ἥδιον διδόντα μᾶλλον ἢ αὐτὸν ἔχοντα.* Sed in hoc loco displicet mihi ante juramentum posita particula *ὡς*, quæ in simillimo loco infra 5, 4, 31, abest. Quare seclusi. SCHN. Delevi.

30. *φυλακὰς καταστήσαντας*] Usum Xenophonteum si spectaveris, occurret *καθίστασθαι ἐργάτας* et *δασμοφόρους* infra 7, 6, 79. Supra 4, 5, 46, est *ἱππέας καταστῆσαι ἐπὶ τοὺς ἵππους* pro *ἀναβιβάζειν* s. 50, sic 4, 5, 58, *ἄρχοντα καθιστάναι*, et 4, 3, 8, *ἱππικὸν καθιστάναι.* In Anabasi 3, 2, 2, sine varietate est *προφύλακας καταστήσαντες*, sed 6, 3, 21, *φυλακὰς ποιησάμενοι ἐκάθευδον.* In Œcon. 12, 14, est *ἐπιμελητὰς καθιστάναι.* In Hipparchico 1, 9, *ἱππέας καθιστάναι*; sed 9, 3, est *εἰ ἱππέας ξένους καταστήσαιντο.* De reditibus 5, 1, est *εἰρηνοφύλακας καθιστάναι*; denique in republica Atheniensium 3, 4, est *τριήραρχοι καθίστανται* et *φύλακας δεσμωτῶν καταστῆσαι.* Quamvis vero Reip. Laced. 2, 2, et alibi sit *αἱ ἀρχαὶ καθίστανται* pro *ἄρχοντες*, sæpius tamen et rectius mihi *καθιστάναι φύλακας* dictum videtur pro *facere, constituere, creare*, usu formæ activæ et mediæ promiscuo: contra *καθιστάναι* de re dictum significat plerumque ordinare, corrigere vel restituere. Itaque *φύλακας* ubique scripsi. H. Gr. 3, 2, 14, est tamen *ἱκανὰς φυλακὰς καταστήσαντες.* SCHN. Quo ipso hic confirmatur *φυλακάς*, ut *προφυλακὰς* in loco Anabasis.

πάντα τὰ δέοντα] Supra 2, 1, 22: *Προσέταξε τοῖς ὑπηρέταις ἑκάστοις τῶν στρατιωτῶν ἱκανῶς ὧν ἐδέοντο πάντα πεποιημένα παρασχεῖν.* Unde mihi verba hujus loci ita construenda ordine nativo videbantur: *Ὅπως οἱ ποιοῦντες ἐν ταῖς σκηναῖς τὰ δέοντα πάντα φέρωσιν εἰς—Πέρσας.* SCHN.

πευμένους παρέχωσι, Πέρσαις δὲ μηδὲν ἄλλο ἢ ἔργον ἢ τὰ πρὸς τὸν πόλεμον ἐκπονεῖν. ταύτην μὲν οὖν οὕτω διῆγον τὴν ἡμέραν.

ΚΕΦ. Β.

Πρῷ δ' ἀναστάντες ἐπορεύοντο πρὸς Γωβρύαν, Κῦρος
μὲν ἐφ' ἵππου καὶ οἱ Περσῶν ἱππεῖς γεγενημένοι εἰς δισχι-
λίους· οἱ δὲ τὰ τούτων γέρρα καὶ τὰς κοπίδας ἔχοντες ἐπὶ
τούτοις εἵποντο, ἴσοι ὄντες τὸν ἀριθμόν· καὶ ἡ ἄλλη δὲ
στρατιὰ τεταγμένη ἐπορεύετο. ἕκαστον δ' ἐκέλευσε τοῖς
καινοῖς ἑαυτῶν θεράπουσιν εἰπεῖν ὅτι ὅστις ἂν αὐτῶν ἢ τῶν
ὀπισθοφυλάκων φαίνηται ὄπισθεν ἢ τοῦ μετώπου πρόσθεν
ἴῃ ἢ κατὰ πλάγια ἔξω τῶν ἐν τῇ τάξει ὄντων ἁλίσκηται,
2 κολασθήσεται. δευτεραῖοι δὲ ἀμφὶ δείλην γίγνονται πρὸς
τῷ Γωβρύου χωρίῳ, καὶ ὁρῶσιν ὑπερίσχυρόν τε τὸ ἔρυμα
καὶ ἐπὶ τῶν τειχῶν πάντα παρεσκευασμένα ὡς ἂν κρά-
τιστα ἀπομάχοιτο· καὶ βοῦς δὲ πολλοὺς καὶ πάμπολλα
3 πρόβατα ὑπὸ τὰ ἐρυμνὰ προσηγμένα ἑώρων. πέμψας δ' ὁ [2]
Γωβρύας πρὸς τὸν Κῦρον ἐκέλευσε περιελάσαντα ἰδεῖν ᾗ ἡ
πρόσοδος εὐπετεστάτη, εἴσω δὲ πέμψαι πρὸς ἑαυτὸν τῶν
πιστῶν τινας, οἵτινες αὐτῷ τὰ ἔνδον ἰδόντες ἀπαγγελοῦ-
4 σιν. οὕτω δὴ ὁ Κῦρος αὐτὸς μὲν τῷ ὄντι βουλόμενος ἰδεῖν
εἴ που εἴη αἱρέσιμον τὸ τεῖχος, εἰ ψευδὴς φαίνοιτο ὁ Γω-
βρύας, περιήλαυνε πάντοθεν, ἑώρα τε ἰσχυρότερα πάντα ἢ
προσελθεῖν· οὓς δ' ἔπεμψε πρὸς Γωβρύαν, ἀπήγγελλον
τῷ Κύρῳ ὅτι τοσαῦτα εἴη ἔνδον ἀγαθὰ ὅσα ἐπ' ἀνθρώπων
γενεὰν, ὡς σφίσι δοκεῖν, μὴ ἂν ἐπιλιπεῖν τοὺς ἔνδον
5 ὄντας. ὁ μὲν δὴ Κῦρος ἐν φροντίδι ἦν ὅ τι ποτ' εἴη
ταῦτα, ὁ δὲ Γωβρύας αὐτός τε ἐξῄει πρὸς αὐτὸν καὶ τοὺς

ᾗ erasit G. 1. Libri πρωί. κεινοῖς et θεραπεύουσιν G. corr. s.v.r. ἴῃ F.H.Q. εἴη A.G. 2. προηγμένα A.G. 3. γωβρίας G. ᾗ Camerarius, sed non diserte ex codice εἰ A.G. εἰ L. αὐτῷ Stephanus. Libri αὐτῶν. 4. εἴη om. A. εἰ Weiskius. Libri ᾖ. ἢ προσελθεῖν] ἢ προσῆλθεν A. et qui corr. ᾗ G. ὥς σφισι Ald. ὡς φισιν A. ὡς σφῖσιν G. ἐπιλιπεῖν E.F.H. ἐκλιπεῖν A.G.

μηδὲν ἄλλο] ἄλλο sic addunt deteriores 2, 3, 10. Conf. 7, 5, 41.
ἐκπονεῖν] Infra 8, 1, 23: Τὰ περὶ τοὺς θεοὺς ἐκπονεῖν. et supra 2, 1, 21: Ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον. SCHN.
1. οἱ δὲ] V. 4, 5, 58.
3. εὐπετεστάτη] Ironice dictum. WEISK.
γενεὰν] Conf. 7, 5, 13.

ἔνδοθεν πάντας ἐξῆγε φέροντας οἶνον, ἄλφιτα, ἄλευρα,
ἄλλους δὲ ἐλαύνοντας βοῦς, αἶγας, οἶς, σῦς, καὶ εἴ τι
βρωτὸν, πάντα ἱκανὰ προσῆγον ὡς δειπνῆσαι πᾶσαν τὴν
6 σὺν Κύρῳ στρατιάν. οἱ μὲν δὴ ἐπὶ τούτῳ ταχθέντες διῄ-
ρουν τε ταῦτα καὶ ἐδειπνοποίουν. ὁ δὲ Γωβρύας, ἐπεὶ [3]
πάντες αὐτῷ οἱ ἄνδρες ἔξω ἦσαν, εἰσιέναι τὸν Κῦρον ἐκέ-
λευσεν ὅπως νομίζοι ἀσφαλέστατον. προεισπέμψας οὖν
ὁ Κῦρος προσκόπους καὶ δύναμιν αὐτὸς οὕτως εἰσῄει.
ἐπεὶ δ' εἰσῆλθεν, ἀναπεπταμένας τὰς πύλας ἔχων παρεκά-
λει τοὺς φίλους πάντας καὶ ἄρχοντας τῶν μεθ' ἑαυτοῦ.
7 ἐπειδὴ δὲ ἔνδον ἦσαν, ἐκφέρων ὁ Γωβρύας φιάλας
χρυσᾶς καὶ πρόχους καὶ κάλπιδας καὶ κόσμον παντοῖον
καὶ δαρεικοὺς ἀμέτρους τινὰς καὶ πάντα καλὰ πολλὰ,
τέλος τὴν θυγατέρα, δεινόν τι κάλλος καὶ μέγεθος, πενθι-
κῶς δ' ἔχουσαν τοῦ ἀδελφοῦ τεθνηκότος, ἐξάγων ὧδε εἶπεν·
Ἐγώ σοι, ὦ Κῦρε, τὰ μὲν χρήματα ταῦτα δωροῦμαι, τὴν
δὲ θυγατέρα ταύτην ἐπιτρέπω διαθέσθαι ὅπως ἂν σὺ βούλῃ·
ἱκετεύομεν δὲ, ἐγὼ μὲν καὶ πρόσθεν τοῦ υἱοῦ, αὕτη δὲ νῦν
τοῦ ἀδελφοῦ τιμωρὸν γενέσθαι σε.
8 Ὁ δὲ Κῦρος πρὸς ταῦτα εἶπεν, Ἀλλ' ἐγὼ σοὶ μὲν καὶ [4]
τότε ὑπεσχόμην ἀψευδοῦντός σου τιμωρήσειν εἰς δύναμιν·
νῦν δὲ ὅτε σε ἀληθεύοντα ὁρῶ, ἤδη ὀφείλω τὴν ὑπόσχε-
σιν· καὶ ταύτῃ ὑπισχνοῦμαι τὰ αὐτὰ ταῦτα σὺν θεοῖς
ποιήσειν. καὶ τὰ μὲν χρήματα ταῦτα, ἔφη, ἐγὼ μὲν δέχομαι,

5. *ἄλφιτα* add. G. mg. r. om. A.G. pr. *οἶς*] *ὄις* A.G. pr., qui corr. *ὄεις*. *βρωτὸν*] *ἄρρητον* A.G. pr. *δειπνῆσαι*] *καλῶς* add. G. mg. r. 6. *τοῦτο* A. et fortasse G. pr. *διῄρουν* Fischerus. Libri *διῃροῦντο*. *ἐδειπνοποίουν* E.F.H.Q. *ἐδειπνοποιοῦντο* A.G. *αὐτῷ* F. *αὐτῶν* A.G., qui *αὐτοῦ* s. v. r. *καλπίδας* A. *δαρεικοὶς* potius quam *δαρεικοὺς* A. *δαρεικὰς*, ut videtur, G. pr. *ἀμέτρους*] Pollux 4, 167. *ἔχουσα* G. pr. *αὕτη*] *αὐτὴ* A.G. *σε*] *σοι* G. pr., ut videtur. 8. *νῦν δέ σοι ἐρῶ ὀφείλων* A.G. corr. mg. r. *ταῦτα* ante *σὺν* om. A.

5. *φέροντας—ἄλλους δὲ*] Similiter infra 6, 3, 9: *Ὅτι ἀπὸ τοῦ στρατοπέδου εἶεν προεληλυθότες ἐπὶ χιλὸν, οἱ δ' ἐπὶ ξύλα*. SCHN. Sæpe sic Pausanias.

οἶς] Mœris p. 274: *Οἶς μονοσυλλάβως Ἀττικοὶ, πρόβατα Ἕλληνες*. Conf. schol. Aristoph. Pac. 929. ZEUN.

6. *δύναμιν*] Partem copiarum.

7. *δαρεικοὺς*] Anachronismum daricorum ante Darium memoratorum notat Muretus. Sed vocabulum non ab nomine *Δαρεῖος*, sed a Persico *Dara* regem significante quemvis duci contendit præter alios Richardson *Dissertat*. p. 60.

πάντα καλὰ πολλά] 4, 6, 11: *Πάντα γὰρ ἦν πολλά*. Hic deteriores *καλὰ καὶ*, *καλὰ πολλὰ καὶ* M.

8. *καὶ τότε*] 4, 6, 8.

καὶ ταύτῃ] Huic filiæ tuæ. SCHN.

τὰ αὐτὰ ταῦτα] V. ad Anab. 5, 6, 21. Rectius autem *ταὐτὰ*, ut 1, 6, 8.

δίδωμι δ' αὐτὰ τῇ παιδὶ ταύτῃ κἀκείνῳ ὃς ἂν γήμῃ αὐτήν. ἓν
δὲ δῶρον ἄπειμι ἔχων παρὰ σοῦ ἀνθ' οὗ οὐδ' ἂν τὰ ἐν Βαβυ-
λῶνι, [εἰ καὶ πλεῖστά ἐστιν,] οὐδὲ τὰ πανταχοῦ [ἀντὶ τούτου
οὗ σύ μοι δεδώρησαι] ἥδιον ἂν ἔχων ἀπέλθοιμι. καὶ ὁ Γω-
9 βρύας θαυμάσας τε τί τοῦτ' εἴη καὶ ὑποπτεύσας μὴ τὴν θυ-
γατέρα λέγοι, οὕτως ἤρετο, Καὶ τί τοῦτ' ἔστιν, ἔφη, ὦ Κῦρε;
καὶ ὁ Κῦρος ἀπεκρίνατο, Ὅτι, ἔφη, ἐγώ, ὦ Γωβρύα,
πολλοὺς μὲν οἶμαι εἶναι ἀνθρώπους οἳ οὔτε ἀσεβεῖν ἂν ἐθέ-
λοιεν οὔτε ἀδικεῖν οὔτε ἂν ψεύδοιντο ἑκόντες εἶναι· διὰ δὲ
τὸ μηδένα αὐτοῖς ἠθεληκέναι προέσθαι μήτε χρήματα
πολλὰ μήτε τυραννίδα μήτε τείχη ἐρυμνὰ μήτε τέκνα ἀξι-
έραστα, ἀποθνήσκουσι πρότερον πρὶν δῆλοι γίγνεσθαι οἷοι
10 ἦσαν· ἐμοὶ δὲ σὺ νυνὶ καὶ τείχη ἐρυμνὰ καὶ πλοῦτον παν-
τοδαπὸν καὶ δύναμιν τὴν σὴν καὶ θυγατέρα ἀξιόκτητον
ἐγχειρίσας πεποίηκάς με δῆλον γενέσθαι πᾶσιν ἀνθρώποις
ὅτι οὔτ' ἂν ἀσεβεῖν περὶ ξένους ἐθέλοιμι οὔτ' ἂν ἀδικεῖν
χρημάτων ἕνεκα οὔτε συνθήκας ἂν ψευδοίμην ἑκὼν εἶναι.
11 τούτων ἐγώ, εὖ ἴσθι, ἕως ἂν ἀνὴρ δίκαιος ὦ καὶ δοκῶν
εἶναι τοιοῦτος ἐπαινῶμαι ὑπ' ἀνθρώπων, οὔποτ' ἐπιλήσο-
μαι, ἀλλὰ πειράσομαί σε ἀντιτιμῆσαι πᾶσι τοῖς καλοῖς.
12 καὶ ἀνδρὸς δ', ἔφη, τῇ θυγατρὶ μὴ φοβοῦ ὡς ἀπορήσεις
ἀξίου ταύτης· πολλοὶ γὰρ κἀγαθοὶ φίλοι εἰσὶν ἐμοί, ὧν
τις γαμεῖ ταύτην· εἰ μέντοι χρήμαθ' ἕξει τοσαῦτα ὅσα
δίδως ἢ καὶ ἄλλα πολλαπλάσια τούτων, οὐκ ἂν ἔχοιμι εἰ-
πεῖν· σὺ μέντοι εὖ ἴσθι ὅτι εἰσί τινες αὐτῶν οἳ ὧν μὲν σὺ

εἰ καὶ Poppo. εἰ ἐκεῖ A.M.V. ἐκεῖ G. ἐν ᾗ G. mg. r. 9. εἶναι om. A.G. ἐθέλοιεν F.H.Q. θέλοιεν A.G. μηθένα A. ἐγχειρήσας G. ἐθέλοιμι] θέλοιμι A.G. 11. τούτων] τοῦτ' οὖν G. corr. 12. κἀγαθοὶ] καὶ ἀγαθοὶ A. ἐμοὶ G. mg. r. ἢ καὶ ἄλλα—δίδως om. A.G. mg. r.

ἀντὶ τούτου—δεδώρησαι] In priore editione secluseram hæc verba, quæ mihi non solum verborum structuram et compositionem mirifice impedire, sed etiam repetere inepte antea breviter dicta videntur. Defendere conatur Heindorfius comparans exempla mutatæ constructionis, quæ ipse apposuit ad Platonis Hippiam p. 145. SCHN. V. ad 8, 3, 34. Hic ego non solum verba ἀντὶ τούτου οὗ σύ μοι δεδώρησαι, sed etiam εἰ καὶ πλεῖστά ἐστιν perinde ex margine illata puto, ut Hirschig. Philologi vol. 5, p. 293.

12. μὴ φοβοῦ ὡς ἀπορήσεις] Infra 6, 2, 30: Μὴ δείσητε ὡς οὐχ ἡδέως καθευδήσετε. ubi vide annot. SCHN.

μέντοι—μέντοι] Triplex μέντοι infra 5, 5, 11. Conf. Comment. 2, 1, 12, Heindorf. ad Plat. Parmen. p. 284. SCHN.

οὐ μέντοι] Ita Cyrus eleganter et humane significat Gobryæ apud se suosque virtutis gloriæque pretium multo esse majus quam omnium omnino divitiarum. SCHN.

δίδως χρημάτων οὐδὲ μικρὸν τούτων ἕνεκά σε μᾶλλον θαυ-
μάζουσιν· ἐμὲ δὲ ζηλοῦσι νυνὶ καὶ εὔχονται πᾶσι θεοῖς
γενέσθαι ποτὲ ἐπιδείξασθαι ὡς πιστοὶ μέν εἰσιν οὐδὲν
ἧττον ἐμοῦ τοῖς φίλοις, τοῖς δὲ πολεμίοις ὡς οὔποτ' ἂν
ὑφεῖντο ζῶντες, εἰ μή τις θεὸς βλάπτοι· ἀντὶ δ' ἀρετῆς
καὶ δόξης ἀγαθῆς ὅτι οὐδ' ἂν τὰ Σύρων πρὸς τοῖς σοῖς καὶ
Ἀσσυρίων πάντα προέλοιντο· τοιούτους ἄνδρας εὖ ἴσθι
13 ἐνταῦθα καθημένους. καὶ ὁ Γωβρύας εἶπε γελάσας, Πρὸς [6]
τῶν θεῶν, ἔφη, ὦ Κῦρε, δεῖξον δή μοι ποῦ οὗτοί εἰσιν, ἵνα
σε τούτων τινὰ αἰτήσωμαι παῖδά μοι γενέσθαι. καὶ ὁ
Κῦρος εἶπεν, Οὐδὲν ἐμοῦ σε δεήσει πυνθάνεσθαι, ἀλλ'
ἂν σὺν ἡμῖν ἕπῃ, αὐτὸς σὺ ἕξεις καὶ ἄλλῳ δεικνύναι
αὐτῶν ἕκαστον.

14 Τοσαῦτ' εἰπὼν δεξιάν τε λαβὼν τοῦ Γωβρύου καὶ
ἀναστὰς ἐξῄει, καὶ τοὺς μεθ' αὑτοῦ ἐξῆγεν ἅπαντας· καὶ
πολλὰ δεομένου τοῦ Γωβρύου ἔνδον δειπνεῖν οὐκ ἠθέλησεν,
ἀλλ' ἐν τῷ στρατοπέδῳ ἐδείπνει καὶ τὸν Γωβρύαν σύν-
15 δειπνον παρέλαβεν. ἐπὶ στιβάδος δὲ κατακλινεὶς ἤρετο [7]
αὐτὸν ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, πότερον οἴει σοὶ
εἶναι πλείω ἢ ἑκάστῳ ἡμῶν στρώματα; καὶ ὃς εἶπεν,
Ὑμῖν νὴ Δί' εὖ οἶδ' ὅτι, ἔφη, καὶ στρώματα πλείω ἐστὶ
καὶ κλῖναι, καὶ οἰκία γε πολὺ μείζων ἡ ὑμετέρα τῆς ἐμῆς,
οἵ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐρανῷ, κλῖναι δ' ὑμῖν
εἰσιν ὁπόσαι εὐναὶ γένοιντ' ἂν ἐπὶ γῆς· στρώματα δὲ νο-
μίζετε οὐχ ὅσα πρόβατα φύει ἔρια, ἀλλ' ὅσα φρύγανα ὄρη

πᾶσι θεοῖς post γενέσθαι A.G., sed γ α β ponens s. v. r. καὶ ἑαυτοὺς ante ἐπιδείξασθαι add. G. mg. r. 13. εἶπε] ἐπι G. s. v. r. ὦ om. G. σε δεήσει] δεήσῃ A. δεήσοι G. σὺν] σὺ A.G. 14. γωβρύου] Libri γωβρύα bis. ἐξείη G. παρέλαβεν] μέγιστον δ' αὐτῷ—παρατίθεσθαι ex s. 19 addit G. mg. r., sed diversa a ceteris corr. manu. 15. χρῆσθαι A.G. pr. νομίζεται A. pr. G. pr. φρύγανα om. A.G. pr.

13. γελάσας] Quod Gobryas subridet nec admiratione virtutis abreptus stupet aut in lacrimas effunditur, Weiskius causam ejus rei commentus refert ad paternum Gobryæ amorem, qui Cyrum pudore suspicetur impediri quominus se statim virginis maritum futurum profiteatur. SCHN.

14. δεξιὰν λαβὼν] Sic 5, 3, 20. Λαβόμενος τῆς δεξιᾶς 5, 5, 7; 6, 1, 48.

Γωβρύου] Ita 5, 2, 2, ubi Zonaras et al. per α. Sic infra Γαδάτα illatum pro Γαδάτου.

15. στιβάδας] Ut de Lacedæmoniis narrat Plut. Lycurg. c. 16, Cic. pro Murena c. 35. Est autem στιβὰς sec. Hesychium ἀπὸ ῥάβδων καὶ χλωρῶν χόρτων στρῶσις καὶ φύλλων ἢ χαμαικοίτη. ZEUN.

κατακλινεὶς] V. ad 8, 7, 4.

16 τε καὶ πεδία ἀνίησι. τὸ μὲν δὴ πρῶτον συνδειπνῶν αὐτοῖς [8]
ὁ Γωβρύας καὶ ὁρῶν τὴν φαυλότητα τῶν παρατιθεμένων
βρωμάτων πολὺ σφᾶς ἐνόμιζεν ἐλευθεριωτέρους εἶναι αὐτῶν·
17 ἐπεὶ δὲ κατενόησε τὴν μετριότητα τῶν συσσίτων· ἐπ' οὐ-
δενὶ γὰρ βρώματι οὐδὲ πώματι Πέρσης ἀνὴρ τῶν πεπαι-
δευμένων οὔτ' ἂν ὄμμασιν ἐκπεπληγμένος καταφανὴς γέ-
νοιτο οὔτε ἁρπαγῇ οὔτε τῷ νῷ μὴ οὐχὶ προσκοπεῖν ἅπερ
ἂν καὶ μὴ ἐπὶ σίτῳ ὤν· ἀλλ' ὥσπερ οἱ ἱππικοὶ διὰ τὸ μὴ
ταράττεσθαι ἐπὶ τῶν ἵππων δύνανται ἅμα ἱππεύοντες καὶ
ὁρᾶν καὶ ἀκούειν καὶ λέγειν τὸ δέον, οὕτω κἀκεῖνοι ἐν τῷ
σίτῳ οἴονται δεῖν φρόνιμοι καὶ μέτριοι φαίνεσθαι· τὸ δὲ
κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως πάνυ
18 αὐτοῖς ὑικὸν καὶ θηριῶδες δοκεῖ εἶναι· ἐνενόησε δὲ αὐτῶν [9]
καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα οἷα ἐρωτηθῆναι
ἥδιον ἢ μὴ καὶ ἔσκωπτον οἷα σκωφθῆναι ἥδιον ἢ μή·
ἅ τε ἔπαιζον ὡς πολὺ μὲν ὕβρεως ἀπῆν, πολὺ δὲ τοῦ
αἰσχρόν τι ποιεῖν, πολὺ δὲ τοῦ χαλεπαίνεσθαι πρὸς ἀλ-
19 λήλους. μέγιστον δ' αὐτῷ ἔδοξεν εἶναι τὸ ἐν στρατείᾳ

16. ἐλευθερωτέρου A. ἐλευθερωτέρους G. corr. s. v. r. 17. συσσίτων Muretus. Libri σίτων. σιτίων F.K.M. Libri πόματι. ἐμπεπλ. G. καὶ καταφ. A.G. pr. προσκοπεῖν] προνοεῖν G. mg. r. καὶ μὴ] καὶ A.G. corr. s. v. r. ὑϊκὸν G. s. v. r. M. συϊκὸν A.G. pr. κυνικὸν G. corr. r., qui mg. r. ἀκούετε ὦ γαστρώμαργοι (sic). δοκεῖ] ἐδόκει A.G. 18. ἐνενόησε] ἐνόησε A.G. καὶ ὡς—ἢ ἢ μὴ om. A.G. mg. r. Habent etiam L.M., quibuscum omisi ὡς et ἦν. ποιεῖν] εἰπεῖν K. 19. αὐτῷ] ὧν s. v. r. G. τὸ] τῷ A.G. pr. στρατείᾳ mg. G. supra s. 14, ubi v. var. scr., στρατιᾷ A.G.

17. ἐπεὶ] Absolvitur s. 20.

συσσίτων] Postulat causa quam statim edit. Xenophon. SCHN.

πώματι] Alienam ab Atticis formam πόμα sustuli Anab. 4, 5, 27, tollendam etiam Comment. 4, 7, 9.

Πέρσης] Eandem fere laudem Persis tribuit Ammianus 23 extr. ZEUN. Si καταφανὴς γίνεται ὄμμασι καὶ ἁρπαγῇ est oculis et raptu, seu cum aliis præripit cibos, prodere nimiam edendi cupiditatem, τῷ νῷ ἐκπεπλ. est is, et fit tum manifestus, καταφανής, cum consilii fit inops ejus, quod homo sobrius et jejunus capere potuisset. SCHN.

ἐπὶ σίτῳ ὢν] Conf. ad 6, 2, 27. SCHN.

ἐν τῷ σίτῳ φρόνιμοι καὶ μέτριοι] Eadem jungit Plato Tim. p. 59 D: Μέτριον ἂν ἐν τῷ βίῳ παιδιὰν καὶ φρόνιμον ποιοῖτο. Constructione eadem Theocr. Epigr. 12, 3: Μέτριος ἦν ἐν πᾶσι. Schneiderus hic quoque ἐπὶ contra libros, ut paullo ante deteriores ἐν.

18. ἐνενόησε] Infra 8, 1, 40: Καταμαθεῖν δὲ τοῦ Κύρου δοκοῦμεν, ὡς οὐ τούτῳ μόνον ἐνόμιζε χρῆναι διαφέρειν. SCHN. Conf. autem Plut. Mor. p. 629 E, F, ubi bis ἥδιον ἦν, ut in Junt., et καὶ ὡς. Macrob. Sat. 7, 2 addit Zeun.

πολὺ δὲ—ποιεῖν] Nam verbum παίζειν et dicta et facta continet. SCHN. Simillima autem de Lacedæmoniorum conviviis Reip. Lac. 5, 6; Plut. l. c. et Lycurg. c. 12. ZEUN.

19. τὸ ἐν στρατείᾳ ὄντας—παρατίθεσθαι] Loquitur de iis quibuscum in Cyri tentorio cœnabat Gobryas: qui iisdem cibis atque reliqui milites ute-

ὄντας τῶν εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαινόντων μηδενὸς
οἴεσθαι δεῖν πλείω παρατίθεσθαι, ἀλλὰ τοῦτο νομίζειν
ἡδίστην εὐωχίαν εἶναι τοὺς συμμάχεσθαι μέλλοντας ὅτι
20 βελτίστους παρασκευάζειν. ἡνίκα δὲ Γωβρύας ὡς εἰς οἶκον [10]
ἀπιὼν ἀνίστατο, εἰπεῖν λέγεται, Οὐκέτι θαυμάζω, ὦ Κῦρε,
εἰ ἐκπώματα μὲν καὶ ἱμάτια καὶ χρυσίον ἡμεῖς ὑμῶν
πλείονα κεκτήμεθα, αὐτοὶ δὲ ἐλάττονος ὑμῶν ἄξιοί ἐσμεν.
ἡμεῖς μὲν γὰρ ἐπιμελόμεθα ὅπως ἡμῖν ταῦτα ὡς πλεῖστα
ἔσται, ὑμεῖς δέ μοι δοκεῖτε ἐπιμέλεσθαι ὅπως αὐτοὶ ὡς
21 βέλτιστοι ἔσεσθε. ὁ μὲν ταῦτ' εἶπεν· ὁ δὲ Κῦρος, Ἄγ',
ἔφη, ὦ Γωβρύα, ὅπως πρῷ παρέσει ἔχων τοὺς ἱππέας
ἐξωπλισμένους, ἵνα τὴν δύναμίν σου ἴδωμεν, καὶ ἅμα διὰ
τῆς σῆς χώρας ἄξεις ἡμᾶς, ὅπως ἂν εἰδῶμεν ἅ τε δεῖ
φίλια καὶ πολέμια νομίζειν.
22 Τότε μὲν δὴ ταῦτ' εἰπόντες ἀπῆλθον ἑκάτεροι ἐπὶ τὰ
προσήκοντα.

Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, παρῆν ὁ Γωβρύας ἔχων τοὺς [11]
ἱππέας, καὶ ἡγεῖτο. ὁ δὲ Κῦρος, ὡς προσήκει ἀνδρὶ
ἄρχοντι, οὐ μόνον τῷ πορεύεσθαι τὴν ὁδὸν προσεῖχε τὸν
νοῦν, ἀλλ' ἅμα προϊὼν ἐπεσκοπεῖτο εἰ δυνατὸν εἴη τοὺς
πολεμίους ἀσθενεστέρους ποιεῖν ἢ αὐτοὺς ἰσχυροτέρους.
23 καλέσας οὖν τὸν Ὑρκάνιον καὶ τὸν Γωβρύαν, τούτους γὰρ
ἐνόμιζεν εἰδέναι μάλιστα ὧν αὐτὸς ᾤετο δεῖσθαι μαθεῖν,
Ἐγώ τοι, ἔφη, ὦ ἄνδρες φίλοι, οἶμαι σὺν ὑμῖν ἂν ὡς
πιστοῖς βουλευόμενος περὶ τοῦ πολέμου τοῦδε οὐκ ἂν ἐξα-
μαρτάνειν· ὁρῶ γὰρ ὅτι μᾶλλον ὑμῖν ἢ ἐμοὶ σκεπτέον
ὅπως ὁ Ἀσσύριος ἡμῶν μὴ ἐπικρατήσῃ. ἐμοὶ μὲν γάρ,
ἔφη, τῶνδε ἀποσφαλέντι ἔστιν ἴσως καὶ ἄλλη ἀποστροφή·

συμμάχεσθαι G. s. v. r. M. μάχεσθαι A.G. pr. 20. ἐκπόματα A.G. πλέονα A.G. Libri ἐπιμελούμεθα. ἐπιμελεῖσθαι G. s. v. r. ὡς om. A.G. 21. Libri πρωὶ παρέσῃ. ἵνα] ἵνα καὶ A. 22. δὴ om. A.G. ἑκάτερος Junt. τοὺς om. A.G. τῷ om. A.G. s. v. r. προσιὼν G. s. v. r. αὐτοὺς A.G., qui δὲ add. s. v. r. 23. ὑρκάνον et ι s. v. r. G. εἰδέναι] εἶναι A.G. corr. s. v. r. μάλλιστα G. βουλευομένοις G. pr., ut videtur. ὅτι] ἔτι G. s. v. r. M.

bantur ex instituto Cyri 2, 1, 30. Conf. 4, 2, 38. Media autem signif. dicitur παρατίθεσθαι.

21. ἅ τε δεῖ φίλια καὶ πολέμια νομίζειν] De omisso ante πολέμια relativo, ut Œc. 7, 16: Ἅ τε οἱ θεοὶ ἔφυσάν σε δύνασθαι καὶ ὁ νόμος συνεπαινεῖ, v. ad Thes. Steph. v. Τε, p. 1917 A.

23. ὧν ᾤετο δεῖσθαι μαθεῖν] V. ad Anab. 5, 4, 9: Τί ἡμῶν δεήσεσθε χρήσασθαι;

ὑμῖν δ', εἰ οὗτος ἐπικρατήσει, ὁρῶ ἅμα πάντα τὰ ὄντα ἀλ-
24 λότρια γιγνόμενα. καὶ γὰρ ἐμοὶ μὲν πολέμιός ἐστιν, οὐκ
ἐμὲ μισῶν, ἀλλ' οἰόμενος ἀσύμφορον ἑαυτῷ μεγάλους
εἶναι ἡμᾶς, καὶ στρατεύει διὰ τοῦτο ἐφ' ἡμᾶς· ὑμᾶς δὲ καὶ
μισεῖ, ἀδικεῖσθαι νομίζων ὑφ' ὑμῶν. πρὸς ταῦτα ἀπεκρί-
ναντο ἀμφότεροι κατὰ ταὐτὰ περαίνειν ὅ τι μέλλει, ὡς
ταῦτ' εἰδόσι σφίσι καὶ μέλον αὐτοῖς ἰσχυρῶς ὅπῃ τὸ
μέλλον ἀποβήσοιτο.
25 Ἐνταῦθα δὴ ἤρξατο ὧδε· Λέξατε δή μοι, ἔφη, ὑμᾶς [12]
νομίζει μόνους πολεμικῶς ἔχειν ὁ Ἀσσύριος πρὸς ἑαυτὸν,
ἢ ἐπίστασθε καὶ ἄλλον τινὰ αὐτῷ πολέμιον; Ναὶ μὰ Δί',
ἔφη ὁ Ὑρκάνιος, πολεμιώτατοι μέν εἰσιν αὐτῷ Καδούσιοι,
ἔθνος πολύ τε καὶ ἄλκιμον· Σάκαι γε μὴν ὅμοροι ἡμῖν, οἳ
κακὰ πολλὰ πεπόνθασιν ὑπὸ τοῦ Ἀσσυρίου· ἐπειρᾶτο γὰρ
26 κἀκείνους ὥσπερ καὶ ἡμᾶς καταστρέψασθαι. Οὐκοῦν,
ἔφη, οἴεσθ' ἂν νῦν αὐτοὺς ἀμφοτέρους ἡδέως ἂν ἐπιβῆναι
μεθ' ἡμῶν τῷ Ἀσσυρίῳ; ἔφασαν καὶ σφόδρ' ἄν, εἴ πῃ
γε δύναιντο συμμίξαι. Τί δ', ἔφη, ἐν μέσῳ ἐστὶ τοῦ
συμμίξαι; Ἀσσύριοι, ἔφασαν, τὸ αὐτὸ ἔθνος δι' οὗπερ
27 νυνὶ πορεύει. ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ Κῦρος, Τί γάρ, [13]
ἔφη, ὦ Γωβρύα, οὐ σὺ τοῦ νεανίσκου τούτου, ὃς νῦν εἰς τὴν
βασιλείαν καθέστηκεν, ὑπερηφανίαν πολλήν τινα τοῦ τρόπου
κατηγόρεις; Τοιαῦτα γάρ, οἶμαι, ἔφη ὁ Γωβρύας, ἔπαθον

24. στρατεύει] ἐστράτευσε G. s. v. r. κατὰ ταὐτὰ] κατὰ τὰ αὐτὰ G. mg. r. καὶ τὰ αὐτὰ A.G. παραίνειν A. μέλλει E. et Cam. μέλει A.G. σφῖσι A. αὐτῆς A. τὸ μέλλον] τὰ νῦν παρόντα G. mg. r. ἀποβήσεται G. s. v. r. 25. ἐνόμιζε G. s. v. r. 26. Libri πορεύῃ. 27. κατηγόρεις Schneiderus. Libri κατηγορεῖς. ἔπαθον] rursus incipit D. post lacunam 4, 2, 20 notatam.

25. ὅμοροι] Intelligendum εἰσίν. Male οἳ delebat Heindorfius.

Καδούσιοι] Artaxerxis expeditionem in Cadusios susceptam describit Plutarchus c. 24. SCHN.

27. Τί γάρ,—Γωβρύα] Post nomen Gobryæ signum interrogandi posui. Ita enim est 5, 5, 18, et 19. Conf. etiam 1, 6, 12, et Comment. 3, 10, 3. Longe diversa sit sententia, si verba continuaveris τί γὰρ οὐ σὺ κατηγορεῖς. Fortasse etiam κατηγόρεις scribendum fuerit. SCHN. V. 4, 6, 5.

εἰς τὴν βασιλείαν καθέστηκεν] Imperium vel regnum ingressus est. Simile est εἰς ἀπορίαν καταστῆναι Œcon. 2, 7, καταστήσαντες ἐπὶ θέαν ἁλιεῖς cap. 16, 7, vel potius καταστάντες, est consistere ad spectandum. Hist. Gr. 2, 3, 31, ἐν νηὶ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν, dum rectam iterum viam ingressi fuerint cum vento secundo. De republ. Athen. 1, 20, οἱ δ' ἐντεῦθεν ἐπὶ τριήρη κατέστησαν, i. e. inde translati triremem conscendebant. Κῦρος εἰς τὴν μάχην καθίστατο Anab. 1, 8, 6, est Cyrus pugnam ingrediebatur. SCHN.

ὑπ' αὐτοῦ. Πότερα δῆτα, ἔφη ὁ Κῦρος, εἰς σὲ μόνον
28 τοιοῦτος ἐγένετο ἢ καὶ εἰς ἄλλους τινάς; Νὴ Δί', ἔφη ὁ
Γωβρύας, καὶ εἰς ἄλλους γε· ἀλλὰ τοὺς μὲν ἀσθενοῦντας
οἷα ὑβρίζει τί δεῖ λέγειν; ἑνὸς δὲ ἀνδρὸς πολὺ δυνατωτέ-
ρου ἢ ἐγὼ υἱόν, καὶ ἐκείνου ἑταῖρον ὄντα ὥσπερ τὸν ἐμόν,
συμπίνοντα παρ' ἑαυτῷ συλλαβὼν ἐξέτεμεν, ὡς μέν τινες
ἔφασαν, ὅτι ἡ παλλακὴ αὐτοῦ ἐπῄνεσεν αὐτὸν ὡς καλὸς
εἴη καὶ ἐμακάρισε τὴν μέλλουσαν αὐτῷ γυναῖκα ἔσεσθαι·
ὡς δὲ αὐτὸς νῦν λέγει, ὅτι ἐπείρασεν αὐτοῦ τὴν παλλα-
κίδα. καὶ νῦν οὗτος εὐνοῦχος μέν ἐστι, τὴν δ' ἀρχὴν ἔχει,
29 ἐπεὶ ὁ πατὴρ αὐτοῦ ἐτελεύτησεν. Οὐκοῦν, ἔφη, οἴει ἂν [14]
καὶ τοῦτον ἡδέως ἡμᾶς ἰδεῖν, εἰ οἴοιτο ἑαυτῷ βοηθοὺς
ἂν γενέσθαι; Εὖ μὲν οὖν, ἔφη, οἶδα, ὁ Γωβρύας· ἀλλ'
ἰδεῖν τοι αὐτὸν χαλεπόν ἐστιν, ὦ Κῦρε. Πῶς; ἔφη ὁ
Κῦρος. Ὅτι εἰ μέλλει τις ἐκείνῳ συμμίξειν, παρ' αὐτὴν
30 τὴν Βαβυλῶνα δεῖ παριέναι. Τί οὖν, ἔφη, τοῦτο χαλε-
πόν; Ὅτι νὴ Δί', ἔφη ὁ Γωβρύας, οἶδα ἐξελθοῦσαν ἂν
δύναμιν ἐξ αὐτῆς πολλαπλασίαν ἧς σὺ ἔχεις νῦν· εὖ δ'
ἴσθι, ἔφη, καὶ δι' αὐτὸ τοῦτο ἧττόν σοι νῦν ἢ τὸ πρότερον
Ἀσσύριοι καὶ τὰ ὅπλα ἀποφέρουσι καὶ τοὺς ἵππους ἀπά-
γουσιν, ὅτι τοῖς ἰδοῦσιν αὐτῶν ὀλίγη ἔδοξεν εἶναι ἡ σὴ
δύναμις· καὶ ὁ λόγος οὗτος πολὺς ἤδη ἔσπαρται· δοκεῖ δέ
μοι, ἔφη, βέλτιον εἶναι φυλαττομένους πορεύεσθαι.
31 Καὶ ὁ Κῦρος ἀκούσας τοῦ Γωβρύου τοιαῦτα τοιάδε [15]

δῆτα] δ' D. ἔφη om. A.G. mg. r. ἄλλους τινάς] ἄλλον τινα D. 28. γε] γε πολλούς D. ἕτερον G. pr. ὄντα om. D. ὕβριζε D. συμπίνων A. et qui τα s. v. B.G. et qui συμπίνοντα mg. m. recentissima L. ἑαυτῷ] ε puncto notatum videtur in D. παλλακὶς D. ἐπῄνεσεν] ῄνε in lit. D. τὴν γυναῖκα τὴν μ. αὐτοῦ ἔσεσθαι D. αὐτὸς νῦν] οὗτος νῦν D. νῦν οὗτος G., qui μέλλουσαν—ἐπείρασεν mg. r. 29. ἔφη om. D. ἡμᾶς ἰδεῖν ἡδέως D. ἑαυτοῦ A. αὐτῷ D. εὖ] σὺ D. pr. οἶδα ἔφη D. συμμῖξαι D. αὐτὴν δεῖ βαβ. παρεῖναι D. 30. ὁ om. D. ἂν addidit Schæfer. ad Plut. vol. 2, p. 52. ἐξ αὐτῆς] αὐτόθεν D. ἢ σὺ νῦν ἔχεις D. ἔφη om. D. καὶ] ὅτι D. διὰ ταῦτα ἧττον D. ἧττον] καὶ ἧττον A. et qui καὶ punctis notat corr. G. σοι] σου D. pr. τὸ πρότερον] πρῶτον οἱ D. αὐτῶν] αὐτὴν G. s. v. r. σὴ s. v. al. m. D. οὗτος ὁ λόγος D. δέ] δή A. φυλαττομένω A.G. corr. s. v. r.

28. ἐκείνου] V. 4, 2, 12; 4, 5, 20; et 5, 2, 32, cum annotatione Heindorfii ad Platonis Phædon. §. 138. SCHN.

31. τοιαῦτα seclusit Schneiderus, τοιάδε omisit F. Infra 5, 5, 25: Ὁ δὲ Κυαξάρης ἔλεξε πρὸς ταῦτα τάδε. Thuc. 1, 36: Τοιαῦτα μὲν οἱ Κορκυραῖοι εἶπον, οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

πρὸς αὐτὸν ἔλεξε. Καλῶς μοι δοκεῖς λέγειν, ὦ Γωβρύα,
κελεύων ὡς ἀσφαλέστατα τὰς πορείας ποιεῖσθαι. ἐγὼ οὖν
σκοπῶν οὐ δύναμαι ἐννοῆσαι ἀσφαλεστέραν οὐδεμίαν πο-
ρείαν ἡμῖν τοῦ πρὸς αὐτὴν Βαβυλῶνα ἰέναι, εἰ ἐκεῖ τῶν
πολεμίων ἐστὶ τὸ κράτιστον. πολλοὶ μὲν γάρ εἰσιν, ὡς σὺ
φῄς· εἰ δὲ θαρροῦσι, καὶ δῆλοι ἡμῖν, ὡς ἐγώ φημι, ἔσον-
32 ται. μὴ ὁρῶντες μὲν οὖν ἡμᾶς, ἀλλ' οἰόμενοι ἀφανεῖς εἶναι
διὰ τὸ φοβεῖσθαι ἐκείνους, σάφ' ἴσθι, ἔφη, ὅτι τοῦ μὲν
φόβου ἀπαλλάξονται ὃς αὐτοῖς ἐνεγένετο, θάρρος δ' ἐμ-
φύσεται ἀντὶ τούτου τοσούτῳ μεῖζον ὅσῳ ἂν πλείονα
χρόνον ἡμᾶς μὴ ὁρῶσιν· ἂν δὲ ἤδη ἴωμεν ἐπ' αὐτούς,
πολλοὺς μὲν αὐτῶν εὑρήσομεν ἔτι κλάοντας τοὺς ἀποθα-
νόντας ὑφ' ἡμῶν, πολλοὺς δ' ἔτι τραύματα ἐπιδεδεμένους ἃ
ὑπὸ τῶν ἡμετέρων ἔλαβον, πάντας δ' ἔτι μεμνημένους τῆς
μὲν τοῦδε τοῦ στρατεύματος τόλμης, τῆς δ' αὐτῶν φυγῆς
33 τε καὶ συμφορᾶς. εὖ δ' ἴσθι, ἔφη, ὦ Γωβρύα, ἵνα καὶ
τοῦτ' εἰδῇς, οἱ πολλοὶ ἄνθρωποι, ὅταν μὲν θαρρῶσιν, ἀνυ-
πόστατον τὸ φρόνημα παρέχονται· ὅταν δὲ δείσωσιν, ὅσῳ
ἂν πλείους ὦσι, τοσούτῳ μείζω καὶ ἐκπεπληγμένον μᾶλλον
34 τὸν φόβον κέκτηνται. ἐκ πολλῶν μὲν γὰρ καὶ κακῶν
λόγων ηὐξημένος αὐτοῖς πάρεστιν, ἐκ πολλῶν δὲ καὶ πο-
νηρῶν χρωμάτων, ἐκ πολλῶν δὲ καὶ δυσθύμων τε καὶ
ἐξεστηκότων προσώπων ἤθροισται· ὥσθ' ὑπὸ τοῦ μεγέθους
οὐ ῥᾴδιον αὐτόν ἐστιν οὔτε λόγοις κατασβέσαι οὔτε προσά-

31. ὦ γ. λέγειν D. ἔγωγ' D. οὐδεμίαν om. M. πορείαν ante οὐδεμίαν B. τοῦ Weckherlinus. Libri τῆς. πορείας post βαβυλῶνα add. A.G. κράτος G. πολὺ corr. s. v. r. D. θαρρήσουσι D. δῆλοι] δεινοὶ D. ἔσεσθαι D. 32. μὴ οὖν ὁ. μὲν ἡμᾶς G. et qui οὖν punctis notat L. ἐγένετο D. θάρρσος sic D. τόσῳ D. ἣν D. δὲ] δὲ δὴ A. εὑρήσωμεν D. pr. κλάοντας G. κλαίοντας A.D. ἐλάμβανον G. τῆς τοῦδε μὲν τοῦ D. δὲ αὐτῶν A.D.G. Probabilius δ' ἑαυτῶν. ξυμφορᾶς G. 33. ἵνα—εἰδῇς] εἶναι καὶ τοῦτο ἤδη ὡς D.G. mg. r. θαρρήσωσιν D. τόσῳ μεῖζον D. ἐκπεπληγμ.] γ pr. om. G. 34. ηὐξημένος] εὑρησόμενος A.G. corr. mg. r. χρωμάτων] χρημάτων D.G. corr. s. v. r. ὥστε D.

ἀσφαλεστέραν οὐδεμίαν πορείαν τοῦ ἰέναι] Anab. 6, 2, 13: Νομίζων οὕτως ἀσφαλέστερον εἶναι ἢ ἰδίᾳ ἕκαστον στέλλεσθαι.

32. εὖ δ' ἴσθι, ἵνα καὶ τοῦτ' εἰδῇς] Mihi vulgata nec Græca nec ullo modo tolerabilis videbatur, sed orta ex varietate olim in margine adscripta: Ἵνα δὲ καὶ τοῦτ' εἰδῇς, ὦ Γωβρύα, οἱ πολλοὶ etc. SCHN.

33. οἱ πολλοὶ ἄνθρωποι dicuntur pro πολὺ πλῆθος ἀνθρώπων. WEISK.

34. ηὐξημένος] ηὑρημενος, inserto post χρημάτων (σχημάτων Toup. ad Longin. p. 480, ut 6, 4, 20) ηὔξηται Schneiderus, probabiliter, etsi non placet ηὑρημένος.

γοντα πολεμίοις μένος ἐμβαλεῖν οὔτε ἀπαγαγόντα ἀναθρέψαι
τὸ φρόνημα, ἀλλ᾽ ὅσῳ ἂν μᾶλλον αὐτοῖς θαρρεῖν παρακελεύῃ,
35 τοσούτῳ ἐν δεινοτέροις ἡγοῦνται εἶναι. ἐκεῖνο μέντοι νὴ Δί᾽,
ἔφη, σκεψώμεθα ἀκριβῶς ὅπως ἔχει. εἰ μὲν γὰρ τὸ ἀπὸ τοῦδε
αἱ νῖκαι ἔσονται ἐν τοῖς πολεμικοῖς ἔργοις ὁπότεροι ἂν
πλείονα ὄχλον ἀπαριθμήσωσιν, ὀρθῶς καὶ σὺ φοβεῖ περὶ
ἡμῶν καὶ ἡμεῖς τῷ ὄντι ἐν δεινοῖς ἐσμεν· εἰ μέντοι ὥσπερ
πρόσθεν διὰ τοὺς εὖ μαχομένους ἔτι καὶ νῦν αἱ μάχαι κρί-
νονται, θαρρῶν οὐδὲν ἂν σφαλείης· πολὺ γὰρ σὺν τοῖς
θεοῖς πλείονας εὑρήσεις παρ᾽ ἡμῖν τοὺς θέλοντας μάχεσθαι
36 ἢ παρ᾽ ἐκείνοις. ὡς δ᾽ ἔτι μᾶλλον θαρρῇς, καὶ τόδε κατα-
νόησον· οἱ μὲν γὰρ πολέμιοι πολὺ μὲν ἐλάττονές εἰσι νῦν
ἢ πρὶν ἡττηθῆναι ὑφ᾽ ἡμῶν, πολὺ δ᾽ ἐλάττονες ἢ ὅτε ἀπέ-
δρασαν ἡμᾶς· ἡμεῖς δὲ καὶ μείζονες νῦν ἢ πρίν, ἐπεὶ νενι-
κήκαμεν, καὶ ἰσχυρότεροι, ἐπεὶ ηὐτυχήκαμεν· καὶ πλείονες
δέ, ἐπεὶ ὑμεῖς ἡμῖν προσεγένεσθε· μὴ γὰρ ἔτι ἀτίμαζε
μηδὲ τοὺς σούς, ἐπεὶ σὺν ἡμῖν εἰσι· σὺν γὰρ τοῖς νικῶσι,
σάφ᾽ ἴσθι, ὦ Γωβρύα, θαρροῦντες καὶ οἱ ἀκόλουθοι ἕπον-
37 ται. μὴ λανθανέτω δέ σε μηδὲ τοῦτο, ἔφη, ὅτι ἔξεστι μὲν
τοῖς πολεμίοις καὶ νῦν ἰδεῖν ἡμᾶς· γοργότεροι δέ, σάφ᾽
ἴσθι, οὐδαμῶς ἂν αὐτοῖς φανείημεν μένοντες ἢ ἰόντες ἐπ᾽
ἐκείνους. ὡς οὖν ἐμοῦ ταῦτα γιγνώσκοντος ἄγε ἡμᾶς εὐθὺ
τὴν ἐπὶ Βαβυλῶνος.

ἀπάγοντα D. αὐτὸς θαρσεῖν D. τοσοῦτο A. τόσῳ D. 35. Libri φοβῇ. δεινῷ D. σφάλοιο D. πολὺ μὲν γὰρ D. σὺν θεοῖς παρ᾽ ἡμῖν πλείονας εὑρ. D. ʼπαρ᾽ ἡμῖν τοὺς θέλοντας] παρὰ τοὺς θέλοντας ἡμῶν G. pr., ut videtur qui ἡμῖν τοὺς in ras. et ἡμῖν post θέλοντας addens, ut L., punctis notat. 36. θαρρήσεις A.G. εἰσὶ νῦν] εἰσιν D. πολὺ δ᾽] πολὺ δὲ μᾶλλον D. ἢ ὅτε] ἢ om. A.G. add. L. mg. manu recentissima. καὶ μείζονες G. mg. r. post νῦν. unde νῦν καὶ μείζονες L. ἢ πρὶν om. D. ἐνι-κήσαμεν D. ἰσχυροὶ A.G. pr., corr. s. v. r. ἐπεὶ—δὲ om. D. ηὐτυχ. V. εὐτυχ. A.D.G. ἔτι om. D. 37. μὴ om. D. μένοντες om. D. ἢ ἰόντες om. A.G. mg. r. ἐπ᾽] ἔτι A.G. pr. ταῦτα] ὄντως D. pr. οὕτως corr.

35. νῖκαι ἔσονται] Intellige τούτων. Quia victoria non solum in bellicis rebus, sed in pacis operibus etiam locum habet, ideo additum est ἐν τοῖς πολεμικοῖς ἔργοις. SCHN.

ὁπότεροι] Anab. 3, 1, 21: Ἐν μέσῳ κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα ὁπότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν.

διὰ τοὺς εὖ μαχομένους] Si διὰ τῶν μαχομένων dixisset, hoc diceret fortes prœlia discernere: nunc in fortibus ut discernantur prœlia situm esse dicit. Infra 8, 1, 22: Αἰσθάνεσθαι μὲν γὰρ ἐδόκει καὶ διὰ τοὺς γραφομένους νόμους βελτίους γιγνομένους ανθρώπους. Quod contra dicitur 3, 3, 52: Νόμους ὑπάρξαι δεῖ τοιούτους δι᾽ ὧν τοῖς μὲν ἀγαθοῖς ἔντιμος ὁ βίος παρασκευασθήσεται.

36. ἀπέδρασαν] 4, 1, 10.

μείζονες] 4, 4, 3: Ἀλλὰ καὶ δῆλοί τοι ἐστὲ, ὡς ἄνδρες ἀγαθοὶ ἐγένεσθε. καὶ γὰρ μείζους φαίνεσθε καὶ καλλίους καὶ γοργότεροι ἢ πρόσθεν ἰδεῖν. SCHN.

ΚΕΦ. Γ.

Οὕτω μὲν δὴ πορευόμενοι τεταρταῖοι πρὸς τοῖς ὁρίοις
τῆς Γωβρύου χώρας ἐγένοντο. ὡς δὲ ἐν τῇ πολεμίᾳ ἦν,
κατέστησε λαβὼν ἐν τάξει μεθ' ἑαυτοῦ τούς τε πεζοὺς καὶ
τῶν ἱππέων ὅσους ἐδόκει καλῶς αὐτῷ ἔχειν· τοὺς δ' ἄλ-
λους ἱππέας ἀφῆκε καταθεῖν, καὶ ἐκέλευσε τοὺς μὲν ὅπλα
ἔχοντας κατακαίνειν, τοὺς δ' ἄλλους καὶ πρόβατα ὅσα ἂν
λάβωσι πρὸς αὐτὸν ἄγειν. ἐκέλευσε δὲ καὶ τοὺς Πέρσας
συγκαταθεῖν· καὶ ἧκον πολλοὶ μὲν αὐτῶν κατακεκυλισμέ-
νοι ἀπὸ τῶν ἵππων, πολλοὶ δὲ καὶ λείαν πλείστην ἄγοντες.
2 ὡς δὲ παρῆν ἡ λεία, συγκαλέσας τούς τε τῶν Μήδων [2]
ἄρχοντας καὶ τῶν Ὑρκανίων καὶ τοὺς ὁμοτίμους ἔλεξεν
ὧδε. Ἄνδρες φίλοι, ἐξένισεν ἡμᾶς ἅπαντας πολλοῖς
ἀγαθοῖς Γωβρύας. εἰ οὖν, ἔφη, τοῖς θεοῖς ἐξελόντες τὰ νο-
μιζόμενα καὶ τῇ στρατιᾷ τὰ ἱκανὰ τὴν ἄλλην τούτῳ δοίη-
μεν λείαν, ἆρ' ἂν, ἔφη, καλὸν ποιήσαιμεν τῷ εὐθὺς φανε-
ροὶ εἶναι ὅτι καὶ τοὺς εὖ ποιοῦντας πειρώμεθα νικᾶν εὖ
3 ποιοῦντες; ὡς δὲ τοῦτ' ἤκουσαν, πάντες μὲν ἐπῄνουν,
πάντες δ' ἐνεκωμίαζον· εἷς δὲ καὶ ἔλεξεν ὧδε. Πάνυ, ἔφη, [3]
ὦ Κῦρε, τοῦτο ποιήσομεν· καὶ γάρ μοι δοκεῖ, ἔφη, ὁ Γω-
βρύας πτωχούς τινας ἡμᾶς νομίζειν, ὅτι οὐ δαρεικῶν
μεστοὶ ἥκομεν οὐδὲ ἐκ χρυσῶν πίνομεν φιαλῶν· εἰ δὲ
τοῦτο ποιήσομεν, γνοίη ἂν, ἔφη, ὅτι ἔστιν ἐλευθερίους
4 εἶναι καὶ ἄνευ χρυσοῦ. Ἄγε δὴ, ἔφη, τὰ τῶν θεῶν ἀπο-
δόντες τοῖς μάγοις καὶ ὅσα τῇ στρατιᾷ ἱκανὰ ἐξελόντες

1. οὕτως A. πρὸς] ἐπὶ D. τεταρταῖοι] τ super τετ G. r. γωβρύας D. ὁπόσους D. αὐτῷ καλῶς D. ἱππεῖς A.G. Zonaras. καταμαθεῖν D. pr. G. κατακλίνειν A. καὶ D. s. v. r. ἄγειν πρὸς ἑαυτόν D. 2. καὶ τοὺς] καὶ om. A.G. s. v. r. ὧδε] ὦ A.G. ὁ γωβρύας D. ἐξελόντες Ald. et *alii codices* Brodæi. ἀφελόντες A.D.G. ἱκανὰ] ἱκανὰ δοίημεν A.G. ἆρα L. mg. m. recentissima. ἄρα A.G. τῷ] τοῦ D.G. s. v. r. φανεροὺς A.G. 3. ἤκουσαν] αν s. v. ead. m. et ras. post σ G., qui pr. fortasse ἤκουον. μὲν om. A. ἐνεκωμίαζον] ἐνεγκωμίαζον A. γ super εκ r. G. δὲ καὶ] δὲ G. ποιήσωμεν A.G. ἔμοιγε D. ἔφη δοκεῖ G. φιαλῶν ἐπίνομεν D. ποιήσωμεν A. ποιήσαιμεν D.G. s. v. r. ἐστίν post χρυσίου (sic) D. ἐλεύθερος A.G. pr., ι s. v. r. ante ος superscriptum addito, sed accentu non correcto. ἐλευθέρους et ι s. v. B. 4. ἄγε] ἴτε D. ἐξελ. ἱκανὰ A.G.

2. τούς τε respondet sequenti τοὺς ὁμοτίμους potius quam καὶ τῶν.
ἐξελόντες] Medio de magis ipsis partem diis suis eximentibus 4, 5, 14. SCHN.
καλὸν] V. ad H. Gr. 6, 2, 39.
3. ἐπαινεῖν est assentiri alicui, probare ejus sententiam; ἐγκωμιάζειν, laudare. SCHN.

τἄλλα καλέσαντες τὸν Γωβρύαν δότε αὐτῷ· οὕτω δὴ λα-
βόντες ἐκεῖνοι ὅσα ἔδει τἄλλα ἔδοσαν τῷ Γωβρύᾳ.

5 Ἐκ τούτου δὴ ᾔει πρὸς Βαβυλῶνα παραταξάμενος [4]
ὥσπερ ὅτε ἡ μάχη ἦν. ὡς δ' οὐκ ἀντεξῆσαν οἱ Ἀσσύριοι,
ἐκέλευσεν ὁ Κῦρος τὸν Γωβρύαν προσελάσαντα εἰπεῖν ὅτι
εἰ βούλεται ὁ βασιλεὺς ἐξιὼν ὑπὲρ τῆς χώρας μάχεσθαι,
κἂν αὐτὸς σὺν ἐκείνῳ μάχοιτο· εἰ δὲ μὴ ἀμυνεῖ τῇ χώρᾳ,
6 ὅτι ἀνάγκη τοῖς κρατοῦσι πείθεσθαι. ὁ μὲν δὴ Γωβρύας
προσήλασεν ἔνθα ἀσφαλὲς ἦν ταῦτα εἰπεῖν, ὁ δ' αὐτῷ ἐξέ-
πεμψεν ἀποκρινούμενον τοιάδε· Δεσπότης ὁ σὸς λέγει, ὦ
Γωβρύα, Οὐχ ὅτι ἀπέκτεινά σου τὸν υἱὸν μεταμέλει μοι,
ἀλλ' ὅτι οὐ καὶ σὲ προσαπέκτεινα. μάχεσθαι δὲ ἐὰν βού-
λησθε, ἥκετε εἰς τριακοστὴν ἡμέραν· νῦν δ' οὔπω ἡμῖν
7 σχολή· ἔτι γὰρ παρασκευαζόμεθα. ὁ δὲ Γωβρύας εἶπεν,
Ἀλλὰ μήποτέ σοι λήξειεν αὕτη ἡ μεταμέλεια· δῆλον γὰρ
ὅτι ἀνιῶ σέ τι, ἐξ οὗ αὕτη σε ἡ μεταμέλεια ἔχει.

8 Ὁ μὲν δὴ Γωβρύας ἀπήγγειλε τὰ τοῦ Ἀσσυρίου· ὁ δὲ [5]
Κῦρος ἀκούσας ταῦτα ἀπήγαγε τὸ στράτευμα· καὶ κα-
λέσας τὸν Γωβρύαν, Εἰπέ μοι, ἔφη, οὐκ ἔλεγες μέντοι σὺ
ὅτι τὸν ἐκτμηθέντα ὑπὸ τοῦ Ἀσσυρίου οἴει ἂν σὺν ἡμῖν
γενέσθαι; Εὖ μὲν οὖν, ἔφη, δοκῶ εἰδέναι· πολλὰ γὰρ δὴ
9 ἔγωγε κἀκεῖνος ἐπαρρησιασάμεθα πρὸς ἀλλήλους. Ὁπότε
τοίνυν σοι δοκεῖ καλῶς ἔχειν, πρὸς αὐτὸν πρόσιθι· καὶ
πρῶτον μὲν οὕτω ποίει ὅπως ἂν αὐτὸς λέγῃ εἰδῆτε· ἐπειδὰν

τὰ ἄλλα D. ἐκεῖνα G. οι s. v. r. τὰ ἄλλα D. ἔδωσαν D. pr. G. 5. ᾔει] ἄγει D.G. corr. r. πρὸς] πρὸς αὐτὴν D. Libri ἀντεξήεσαν. ἐκέλευσεν ὁ κῦρος] καὶ ὁ κῦρος ἐκέλευσε A.G., sed G. έλευσε alia m. in ras. ἐξιὼν ὁ β. D. ἀμύνῃ D. 6. προσελάσας—εἶπεν D. pr., corr. r. εἰπεῖν. ἔπεμπεν A.G. ὁ δ. ὁ Zon. μεταμελεῖ A. ἂν βούλοισθε D. ἡμῖν οὔπω D. 7. ὁ δὲ] ὁ μὲν δὴ A.G. λήξει D. σέ τι] σε ἐγὼ D. σ' ἔτι G. 8. ἀπήγγελε D. pr. ἀπήγγελλε corr. ἐκτμ.] τ s. v. ead. m. D. δοκῶ εἶναι ἔφη D. ἤδη D. καὶ ἐκεῖνος D. 9. ὁπότ' οὖν καλῶς σοι δοκεῖ ἔχειν, πρόσιθι πρὸς (hoc punctis notat corr.) πρὸς αὐτὸν D. προΐθι A.G. ὅπως ἂν αὐτὸς λέγῃ εἰδῆτε] ὅπως ἂν αὐτὸς λέγῃ ἤδη γε

5. τοῖς κρατοῦσι πείθεσθαι] Hæc de Gobrya dicta bene habent: ad Assyrium inepte referuntur ab iis, qui verba κἂν αὐτὸς—μάχοιτο ad Cyrum referunt. SCHN. Dicitur enim Gobryas cum Assyrio, ut socius.

8. οὐκ ἔλεγες μέντοι] Plato Protag. p. 309 A: Οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ; Ubi v. Heindorf. SCHN.

μὲν οὖν] Infra s. 27: Εὖ μὲν οὖν, ἔφη, οἶδα· σπεύσει γάρ. SCHN.

ἔγωγε] Scribendum potius ἐγώ τε. Quæ confusa 5, 4, 37. Et Œcon. 7, 11: Βουλευόμενος δ' ἔγωγε ὑπὲρ ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ, item ἐγώ τε, ut sequitur ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σοὶ γονεῖς ἐμέ.

9. ἂν] Crasis oblitterata, quam restitui hic ut 5, 5, 35, fecit ut in libris deterioribus ulterius hæc corrumperentur.

δὲ συγγένῃ αὐτῷ, ἐὰν γνῷς αὐτὸν φίλον βουλόμενον
εἶναι, τοῦτο δεῖ μηχανᾶσθαι ὅπως λάθῃ φίλος ὢν ἡμῖν·
οὔτε γὰρ ἂν φίλους τις ποιήσειεν ἄλλως πως πλείω
ἀγαθὰ ἐν πολέμῳ ἢ πολέμιος δοκῶν εἶναι οὔτ' ἂν ἐχθροὺς
πλείω τις βλάψειεν ἄλλως πως ἢ φίλος δοκῶν εἶναι.
10 Καὶ μήν, ἔφη ὁ Γωβρύας, οἶδ' ὅτι κἂν πρίαιτο Γαδάτας τὸ [6]
μέγα τι ποιῆσαι κακὸν τὸν νῦν βασιλέα Ἀσσυρίων· ἀλλ'
11 ὅ τι ἂν δύναιτο, τοῦτο δεῖ καὶ ἡμᾶς σκοπεῖν. Λέγε δή μοι,
ἔφη ὁ Κῦρος, εἰς τὸ φρούριον τὸ πρὸ τῆς χώρας, ὅ φατε
Ὑρκανίοις τε καὶ Σάκαις ἐπιτετειχίσθαι τῇδε τῇ χώρᾳ
πρόβολον εἶναι τοῦ πολέμου, ἆρ' ἄν, ἔφη, οἴει ὑπὸ τοῦ
φρουράρχου παρεθῆναι τὸν εὐνοῦχον ἐλθόντα σὺν δυνάμει;
Σαφῶς γ', ἔφη ὁ Γωβρύας, εἴπερ ἀνύποπτος ὤν, ὥσπερ
12 νῦν ἐστιν, ἀφίκοιτο πρὸς αὐτόν. Οὐκοῦν, ἔφη, ἀνύ- [7]
ποπτος ἂν εἴη, εἰ προσβάλοιμι μὲν ἐγὼ πρὸς τὰ χωρία
αὐτοῦ ὡς λαβεῖν βουλόμενος, ἀπομάχοιτο δὲ ἐκεῖνος ἀνὰ
κράτος, καὶ λάβοιμι δέ αὐτοῦ τι ἐγώ, ἀντιλάβοι δὲ κἀκεῖ-

A.G. pr. solus, ὅπως ἂν αὐτοὶ ὅτι ἂν λέγῃ εἰδῆτε G. corr. ἂν—αὐτῷ D. mg. r., corr. etiam in ὅπως, ubi pr. ι pro σ. ἐὰν μὲν γνῷς αὐτὸν φίλον ἡμῶν β. D. ἡμῶν add. etiam G. s. v. r. τοῦτο δὴ A.G. pr. τοῦτ' ἤδη D. ποιήσειεν] ει in lit. et ras. D., pr. fortasse η et alia littera. πλείω ἀγαθὰ] πλεῖστα D. πλείονα ἀγαθὰ Stob. Fl. 54, 66, citans οὔτε—εἶναι. πλείω om. A.G. et Stobæi B., add. G. mg. r. ἄλλως πως post οὔτ' G. 10. καὶ ἡμᾶς δὴ (quod punctis notatum et mg. r. corr. δοκεῖ) τοῦτο σκοπεῖν D. δεῖ] δοκεῖ G. 11. εἰς] εἰς τοῦτο D. πρὸ D. s. v. r. ἂν om. D. οἴει ἔφη D. 12. ἀνυπτότατος et πο s. v. r. D. προβάλοιμι D.G. μὲν om. D. ἀνὰ κράτος] ἀνκράτος K. δὲ] μὲν D. ἀντιλάβῃ A.G.

οὔτε γὰρ—φίλος δοκῶν εἶναι] Sic Araspas 6, 1, 31; 3, 14, Zopyrus apud Herodot. 3, 153, aliique multi apud Livium et alios. ZEUN.

10. *πρίαιτο*] Solennius *πολλοῦ* additur, ut supra 3, 1, 36, *πόσου ἂν πρίαιο, ὥστε ἀπολαβεῖν*. SCHN.

11. *ὅ φατε*] De hoc nihil supra traditum legitur. SCHN. Neque opus fuit. *Ἐπιτετειχίσθαι* autem de Assyriis dictum. De Sacis v. 5, 2, 25.

πρόβολον τοῦ πολέμου] *τοῦ* delet Hirschig. Annot. crit. p. 95, ut est s. 23. Habet etiam Zonaras p. 154 D.

12. *ἀνὰ κράτος*] Uno hoc loco vestigium est in libris Xenophontis formæ quam ex Eq. 8, 10, ubi omnes *ἵππον ἀνὰ κράτος ἐλαύνοντα* citare videntur Suidas p. 54 A, ubi libri nonnulli vel contra ordinem litterarum *ἀνὰ κράτος*, ut omnes p. 376 C, post *ἀνθυπουργῆσαι*, et gram. Bekk. Anecd. p. 329, 15, ubi *ἀκρατῶς* item contra seriem, et p. 337, 27: *Ἀγκράτος ἐλαύνω, εἶπε Ξενοφῶν κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνὰ κράτος. σὺ δ' ἄμεινον ποιήσεις μὴ χρώμενος τῇ λέξει.* Qui quum *ἀμβολὰς* et *ἀμβάτης* dixerit, quod interdum reliquerunt, interdum in *ἀναβάτης* mutarunt librarii, etiam *ἀγκράτος* dicere potuisse videtur.

καὶ λάβοιμι δὲ] Refertur ad *προσβάλοιμι μέν*. Quod non intelligens corrector in *μὲν* mutavit, ut mox intulit *τι*, ubi *καὶ* potius delendum videtur, et *ἄλλοι τινὲς* dicuntur qui s. 17 memorantur *αἰχμάλωτοι*.

νος ἡμῶν ἢ ἄλλους τινὰς ἢ καὶ ἀγγέλους πεμπομένους
ὑπ' ἐμοῦ πρὸς τούτους οὓς φατε πολεμίους τῷ Ἀσσυρίῳ
εἶναι· καὶ οἱ μὲν ληφθέντες λέγοιεν ὅτι ἐπὶ στράτευμα
ἀπέρχονται καὶ κλίμακας, ὡς ἐπὶ τὸ φρούριον ἄξοντες, ὁ δ'
εὐνοῦχος ἀκούσας προσποιήσαιτο προαγγεῖλαι βουλόμενος
13 ταῦτα παρεῖναι. καὶ ὁ Γωβρύας εἶπεν ὅτι οὕτω μὲν γιγνο-
μένων σαφῶς παρείη ἂν αὐτὸν, καὶ δέοιτό γ' ἂν αὐτοῦ
μένειν ἕως ἀπέλθοις. Οὐκοῦν, ἔφη ὁ Κῦρος, εἴ γε ἅπαξ [8]
εἰσέλθοι, δύναιτ' ἂν ἡμῖν ὑποχείριον ποιῆσαι τὸ χωρίον;
14 Εἰκὸς γοῦν, ἔφη ὁ Γωβρύας, τὰ μὲν ἔνδον ἐκείνου συμπα-
ρασκευάζοντος, τὰ δ' ἔξωθεν σοῦ ἰσχυρότερα προσάγοντος.
Ἴθι οὖν, ἔφη, καὶ πειρῶ ταῦτα διδάξας καὶ διαπραξάμενος
παρεῖναι· πιστὰ δὲ αὐτῷ οὐκ ἂν μείζω οὔτ' εἴποις οὔτε
δείξαις ὧν αὐτὸς σὺ τυγχάνεις παρ' ἡμῶν εἰληφώς.
15 Ἐκ τούτου ᾤχετο μὲν ὁ Γωβρύας· ἄσμενος δὲ ἰδὼν [9]
αὐτὸν ὁ εὐνοῦχος συνωμολόγει τε πάντα καὶ συνέθετο ἃ
ἔδει. ἐπεὶ δὲ ἀπήγγειλεν ὁ Γωβρύας ὅτι πάντα δοκοίη
ἰσχυρῶς τῷ εὐνούχῳ τὰ ἐπισταλέντα, ἐκ τούτου τῇ ὑστε-
ραίᾳ προσέβαλε μὲν ὁ Κῦρος, ἀπεμάχετο δὲ ὁ Γαδάτας.
16 τῶν δὲ ἀγγέλων οὓς ἔπεμψεν ὁ Κῦρος προειπὼν ᾗ πορεύ-
σοιντο, τοὺς μὲν εἴασεν ὁ Γαδάτας διαφεύγειν, ὅπως

ἢ Ald. ἢ καὶ A.G. τι D. ἐπὶ στρατεύματος ἔρχεται D. ὡς ἐπὶ] ὡς A. ὥσπερ ὥσπερ D. in fine et initio paginæ. ὡσπερεὶ ad ὡς G. mg. r. ἄξοντες] ἕξοντες G. corr., qui ἕ s. v. r. προσαγγεῖλαι D. ταῦτα om. D. 13. ὅτι om. D. σαφῶς] οἶδα add. D.G. mg. r. παρείη ἂν] παριέναι A.G. ὅτι παρειέναι D. corr. ὅτι παρείη ἂν pr. δέοιντο A.G. pr. ἕως] ἔστε σὺ D. ἀπέλθῃς A.G. οὐκοῦν] οὐκοῦν ἂν D. 14. προσαγαγόντος D. ἴσθι A.G. pr. οὖν] νῦν D. εἴποις] εἴποις ἂν D. ὧν] in A. ita scriptum ut αἷμ legi possit. 15. εὐνούχῳ] ἔχειν add. D.G. mg. r. προσέβαλλεν D. προσέβαλλε G. 16. ἣν δὲ καὶ ὃ ἔλαβε χωρίον ὁ κῦρος ὁποῖον ἔφη ὁ γαδάτας post γαδάτας add. D.G. mg. r. ἔπεμψεν] ἔφησεν D. ᾗ] οἷ D. corr., G. corr. πορεύσονται D. pr.

ἐπὶ στράτευμα] Ad exercitum adducendum. SCHN. Conf. s. 16. Aptius autem ita scribetur etiam ὡς ἐπὶ τὸ φρούριον, quo alludit etiam ὥσπερ, quam quod Schneiderus scripserat ὡς εἰς. Ὥσπερ εἰς τὸ φ. *alii codices* Brodæi.

φατε] 5, 2, 25.

13. σαφῶς] Dictum ut s. 11 non intellexisse videtur corrector.

ἕως] Frequens in libris Xen. permutatio part. ἕως et ἔστε, quod fortasse præstat.

15. πάντα δοκοίη ἰσχυρῶς] Gadatæ omnia ipsius consilia vehementissime probari, vertit Gabrielius, ut s. 34, est ἰσχυρῶς συνεπῄνουν.

16. Verba ἣν δὲ—Γαδάτας omisit etiam Gabrielius et Valckenarii V. rejecitque Muretus, tanquam redundantia, nec dubitavit ejicere, quamvis Zeunio necessaria visa ob s. 12, καὶ λάβοιμι αὐτοῦ τι ἐγὼ, etsi facillime etiam negligi potuisse apparet.

ἄγοιεν τὰ στρατεύματα καὶ τὰς κλίμακας κομίζοιεν· οὓς δ'
ἔλαβε, βασανίζων ἐναντίον πολλῶν, ὡς ἤκουσεν ἐφ' ἃ
ἔφασαν πορεύεσθαι, εὐθέως συσκευασάμενος ὡς ἐξαγγελῶν
17 τῆς νυκτὸς ἐπορεύετο. τέλος δὲ πιστευθεὶς ὡς βοηθὸς εἰσ-
έρχεται εἰς τὸ φρούριον· καὶ τέως μὲν συμπαρεσκεύαζεν ὅ
τι δύναιτο τῷ φρουράρχῳ· ἐπεὶ δὲ ὁ Κῦρος ἦλθε, κατα-
λαμβάνει τὸ χωρίον συνεργοὺς ποιησάμενος καὶ τοὺς παρὰ
18 τοῦ Κύρου αἰχμαλώτους. ἐπεὶ δὲ τοῦτο ἐγένετο, εὐθὺς ὁ [10]
εὐνοῦχος τὰ ἔνδον καταστήσας ἐξῆλθε πρὸς τὸν Κῦρον,
19 καὶ τῷ νόμῳ προσκυνήσας εἶπε, Χαῖρε, Κῦρε. Ἀλλὰ
ποιῶ ταῦτ', ἔφη· σὺ γάρ με σὺν τοῖς θεοῖς οὐ κελεύεις
μόνον ἀλλὰ καὶ ἀναγκάζεις χαίρειν. εὖ γὰρ ἴσθι, ἔφη, ὅτι
ἐγὼ μέγα ποιοῦμαι φίλιον τοῦτο τὸ χωρίον τοῖς ἐνθάδε
συμμάχοις καταλείπων· σοῦ δ', ἔφη, ὦ Γαδάτα, ὁ Ἀσσύ-
ριος παῖδας μέν, ὡς ἔοικε, τὸ ποιεῖσθαι ἀφείλετο, οὐ μέντοι
τό γε φίλους δύνασθαι κτᾶσθαι ἀπεστέρησεν· ἀλλ' εὖ ἴσθι
ὅτι ἡμᾶς τῷ ἔργῳ τούτῳ φίλους πεποίησαι, οἵ σοι, ἐὰν
δυνώμεθα, πειρασόμεθα μὴ χείρονες βοηθοὶ παραστῆναι ἢ
20 εἰ παῖδας ἐκγόνους ἐκέκτησο. ὁ μὲν ταῦτ' ἔλεγεν. ἐν δὲ [11]
τούτῳ ὁ Ὑρκάνιος ἄρτι ᾐσθημένος τὸ γεγενημένον προσθεῖ

κομίζοιεν] οι in ras., ut videtur, G. κομιζόμενοι A. ὡς] ὡς δ' D. ὡς δὲ G. s.v.r. συνεσκευασμένος D. ἐξαγγέλλων A. ἐξαγγέλων D. pr. G. pr. 17. συμπαρεσκευάζετο A.G. ἐδύνατο D. φρουριάρχῳ A. παρὰ κύρῳ D. 18. ἐγένετο G. mg. r., post εὐθὺς M. γαδάτας post εὐθὺς add. A.G. ὁ γαδάτας D. Delevit Zeunius. τῷ κύρῳ D. pr. χαίροις ὦ κῦρε D. 19. χαίρειν] ει in lit. G. φίλιον] φίλων G. s.v.r. φίλον A.D.G. καταλείπων H. καταλιπών A.G. καταλιπεῖν D.G. corr. ποιεῖν D. κτᾶσθαί σε δύνασθαι D. σε post δύνασθαι G. s.v.r. ἦν D. πειρασώμεθα A.G. χείρους D. ἢ s. v. ead. m. D. ἐκγόνους A.G. ἐγγόνους D. ἢ ἐκγόνους M. ἐκτήσω D. 20. ταῦτ' ἔλεγεν] τοιαῦτα ἔλεξεν D. τοῦ γεγενημένου D. προσθεῖ] προσθεὶς G. corr. r. προσελθὼν D.

τὰ στρατεύματα] Conf. s. 12, ubi quum singularis sit, hic suspectus pluralis.

17. αἰχμαλώτους] In προσβολῇ s. 15, captos.

18. ἐγένετο nisi esset in A., scribendum conjicerem ἐπὶ δὲ τούτῳ. Suspectum enim illud facit etiam M.

προσκυνήσας] V. ad 4, 4, 13.

19. φίλον τοῦτο] G. a corr. φίλων. Voluit φίλιον, ut est s. 23. ZEUN.

ὡς ἔοικε] Uti facile intelligo, uti rei naturæ convenit, vertit Weiskius, qui urbanitatem Græcorum etiam hoc in exemplo manifestam cum nostra comparat. SCHN.

19. παῖδας ἢ ἐκγόνους] Deleto ἢ vertendum fore, ex te procreatos, non adoptatos, animadvertit Zeunius. Alterum abesse malebat Schneiderus. Aptius fortiusque esse παῖδας ἐκγόνους quam alterutrum aut utrumque inter se distinctum ita est manifestum ut ejiciendum fuerit ἤ, etsi παῖδες ἔκγονοι qui sic dixerit non exstat præter Xenophontem.

τῷ Κύρῳ καὶ λαβὼν τὴν δεξιὰν αὐτοῦ εἶπεν, Ὦ μέγα ἀγαθὸν σὺ τοῖς φίλοις Κῦρε, ὡς πολλήν με τοῖς θεοῖς
21 ποιεῖς χάριν ὀφείλειν ὅτι σοί με συνήγαγον. Ἴθι νυν, ἔφη ὁ Κῦρος, καὶ λαβὼν τὸ χωρίον, οὗπερ ἕνεκά με ἀσπάζει, διατίθει αὐτὸ οὕτως ὡς ἂν τῷ ὑμετέρῳ φύλῳ πλείστου ἄξιον ᾖ καὶ τοῖς ἄλλοις συμμάχοις, μάλιστα δ', ἔφη, Γαδάτᾳ τούτῳ, ὃς ἡμῖν αὐτὸ λαβὼν παραδίδωσι.
22 Τί οὖν; ἔφη ὁ Ὑρκάνιος, ἐπειδὰν Καδούσιοι ἔλθωσι [12]
καὶ Σάκαι καὶ οἱ ἐμοὶ πολῖται, καλέσωμεν καὶ τοῦτον, ἵνα κοινῇ βουλευσώμεθα πάντες ὅσοις προσήκει πῶς ἂν συμ-
23 φορώτατα χρῴμεθα τῷ φρουρίῳ; ταῦτα μὲν οὕτω συνήνεσεν ὁ Κῦρος· ἐπεὶ δὲ συνῆλθον οἷς ἔμελε περὶ τοῦ φρουρίου, ἐβουλεύσαντο κοινῇ φυλάττειν οἷσπερ ἀγαθὸν ἦν φίλιον ὄν, ὅπως αὐτοῖς μὲν πρόβολος εἴη πολέμου, τοῖς δ'
24 Ἀσσυρίοις ἐπιτετειχισμένον εἴη. τούτων γενομένων πολὺ [13]
δὴ προθυμότερον καὶ πλείους καὶ Καδούσιοι συνεστρατεύοντο καὶ Σάκαι καὶ Ὑρκάνιοι· καὶ συνελέγη ἐντεῦθεν στράτευμα Καδουσίων μὲν πελτασταὶ εἰς δισμυρίους καὶ ἱππεῖς εἰς τετρακισχιλίους, Σακῶν δὲ τοξόται εἰς μυρίους καὶ ἱπποτοξόται εἰς χιλίους· καὶ Ὑρκάνιοι πεζούς τε ὁπόσους ἐδύναντο προσεξέπεμψαν καὶ ἱππέας ἐξεπλήρωσαν εἰς δισχιλίους· τὸ γὰρ πρόσθεν καταλελειμμένοι ἦσαν πλείους οἴκοι αὐτοῖς ἱππεῖς, ὅτε καὶ οἱ Καδούσιοι καὶ

με] μὲν A.G. corr. s. v. r. σοί] σύ D. pr. 21. ἴθι Ald. ἴσθι A.D.G. νυν] Libri νῦν. ἀσπάζει D. ἀσπάζῃ A.D. s. v. r., G. αὐτῷ A.D. pr. τῷ] τῷ τε D. φύλῳ D. pr. φίλῳ A.D. corr., G. ἦν G. γαδάτῃ D. ἡμῖν λαβὼν παρέδωκεν D. 22. ἐπειδὰν] εἰ ἐπειδὰν A. et eraso εἰ G. καλέσωμεν] καλέσαι μὲν D. pr. συμβουλευσώμεθα A.G. 23. οὕτως A.D. συνήνεσεν καὶ ὁ κῦρος D. ἔμελε B. ἔμελλε A.D.G. φίλον G. ὂν om. D. ἑαυτοῖς D. μὲν G. s. v. r. εἴη] ἦοι A. ᾖ G. εἴη om. D. 24. τούτων γενομένων] ἐπεὶ δὲ τοῦτο ἐγένετο D. πλείους καὶ] πλείους D. punctis καὶ notat G. καδουσίων D.G. s. v. r. ἐστρατεύοντο D. ἐνταῦθα D. ἱππῆις D. pr. χιλίους] δισμυρίους D. δισχιλίους G. s. v. r. ὑρκάνιοι] ὑρκάνιοι δὲ D. ὅσους D. προσέπεμψαν A.G. ἱππεῖς A.G. προσεπλήρωσαν D. χιλίους A. γὰρ] δὲ L. αὐτῶν D. ἱππῆς D. pr. ὅτι D.G. s. v. r. καὶ om. D.

21. νυν] V. ad H. Gr. 5, 1, 32. τὸ χωρίον] Conf. s. 11.
22. ἵνα κοινῇ βουλευσώμεθα] Sic 8, 3, 20: Ἵνα κοινῇ βουλευόμενοι διαπράττωμεν αὐτοῖς, et alii. Συμβουλεύεσθαι hic per proximum συμφορώτατα pro altero illatum supra 2, 1, 7, sustuli, quamvis non immemor συμβουλεύεσθαι sic dicentis Aristoph. Nub. 475. Ita apud Isocr. aliquoties συμβουλεύεσθαι, apud Plut. συμβούλευμα, pro β. et συντεταγμένην pro τεταγμένην illatum 5, 3, 40.

25 Σάκαι τοῖς Ἀσσυρίοις πολέμιοι ἦσαν. ὅσον δὲ χρόνον
ἐκαθέζετο ὁ Κῦρος ἀμφὶ τὴν περὶ τὸ φρούριον οἰκονομίαν,
τῶν Ἀσσυρίων τῶν κατὰ ταῦτα τὰ χωρία πολλοὶ μὲν
ἀπῆγον ἵππους, πολλοὶ δὲ ἀπέφερον ὅπλα, φοβούμενοι
ἤδη πάντας τοὺς προσχώρους.
26 Ἐκ δὲ τούτου προσέρχεται τῷ Κύρῳ ὁ Γαδάτας καὶ [14]
λέγει ὅτι ἥκουσιν αὐτῷ ἄγγελοι ὡς ὁ Ἀσσύριος, ἐπεὶ πύ-
θοιτο τὰ περὶ τοῦ φρουρίου, χαλεπῶς τε ἐνέγκοι καὶ
συσκευάζοιτο ὡς ἐμβαλῶν εἰς τὴν ἑαυτοῦ χώραν. ἐὰν οὖν
ἀφῇς με, ὦ Κῦρε, τὰ τείχη ἂν πειραθείην διασῶσαι, τῶν
27 δ' ἄλλων μείων λόγος. καὶ ὁ Κῦρος εἶπεν, Ἐὰν οὖν ἴῃς
νῦν, πότε ἔσει οἴκοι; καὶ ὁ Γαδάτας εἶπεν, Εἰς τρίτην
δειπνήσω ἐν τῇ ἡμετέρᾳ. Ἦ καὶ τὸν Ἀσσύριον, ἔφη, οἴει
ἐκεῖ ἤδη καταλήψεσθαι; Εὖ μὲν οὖν, ἔφη, οἶδα· σπεύσει
28 γὰρ ἕως ἔτι πρόσω δοκεῖς ἀπεῖναι. Ἐγὼ δ', ἔφη ὁ Κῦρος,
ποσταῖος ἂν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην; πρὸς
τοῦτο δὴ ὁ Γαδάτας λέγει, Πολὺ ἤδη, ὦ δέσποτα, ἔχεις
τὸ στράτευμα καὶ οὐκ ἂν δύναιο μεῖον ἢ ἐν ἓξ ἢ ἑπτὰ ἡμέ-
ραις ἐλθεῖν πρὸς τὴν ἐμὴν οἴκησιν. Σὺ μὲν τοίνυν, ἔφη ὁ
Κῦρος, ἄπιθι ὡς τάχιστα· ἐγὼ δ' ὡς ἂν δυνατὸν ᾖ πορεύ-
29 σομαι. ὁ μὲν δὴ Γαδάτας ᾤχετο· ὁ δὲ Κῦρος συνεκάλεσε [15]
πάντας τοὺς ἄρχοντας τῶν συμμάχων· καὶ ἤδη πολλοί τε
ἐδόκουν καὶ καλοὶ κἀγαθοὶ παρεῖναι· ἐν οἷς δὴ λέγει ὁ
Κῦρος ταῦτα.

σάκαι] οἱ σάκαι D. οἰκοδομίαν] οἰκονομίαν D.G. s. v. r. τῶν κατ' αὐτὰ χωρίων A.G. τῶν ἀσσυρίων τῶν κατὰ ταῦτα τὰ χωρία D. τῶν ἀσσυρίων τῶν κατ' αὐτὰ χωρίων L. ἀσσυρίων inter τῶν et χωρίων s. v. r. G., qui in χωρίων alterum ω in lit., pr. fortasse α. πολὺ bis D. pr. πολοὶ corr. ἀπῆγον] ο in ras. et pr. fortasse ε G. 26. παρασκευάζοιτο D. ἐμβαλὼν A.D. αὐτοῦ D. ἦν D. πειρασθείην A. πειρῴμην D. 27. ἦν οὖν D. νῦν om. A.G. Zonaras. ἔσει D. pr. ἔσῃ A.D. corr. G. σπεύσῃ G. pr., corr. s. v. r. ἕως—ἀπεῖναι] ὅσῳ σὺ δοκεῖς εἶναι πρόσω D. ὅσῳ σὺ et ἰέναι s. v. r. G. 28. ἂν] σὺν D. σὺν post ἂν mg. r. G. τὸ ante στράτευμα om. A.G. ἂν] ἐὰν A.G. pr. 29. ἐν οἷς δὴ καὶ ὁ κῦρος λέγει τάδε D.

25. *τῶν κατὰ ταῦτα τὰ χωρία*] Meliorum scriptura alteram fraudis facit suspectam, ut aliud quid latere videatur, et in *χωρίων* quidem *ἐγχωρίων*.

προσχώρους] Hæc spectant Cadusiorum et Sacarum aliorumque ab Assyriis defectionem.

εἰς τρίτην] Intellige *ἡμέραν*, quod tamen ab Atticis semper additum fuisse tradit Mœris p. 152. Additum legitur in simili formula infra 6, 3, 11. SCHN.

28. *οἴκησιν*] H. Gr. 3, 2, 1: *Ὁ Φαρνάβαζος νομίσας τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ.*

30 Ἄνδρες σύμμαχοι, Γαδάτας διέπραξεν ἃ δοκεῖ πᾶσιν ἡμῖν πολλοῦ ἄξια εἶναι, καὶ ταῦτα πρὶν καὶ ὁτιοῦν ὑφ' ἡμῶν ἀγαθὸν παθεῖν. νῦν δὲ ὁ Ἀσσύριος εἰς τὴν χώραν αὐτοῦ ἐμβαλεῖν ἀγγέλλεται, δῆλον ὅτι ἅμα μὲν τιμωρεῖσθαι αὐτὸν βουλόμενος, ὅτι δοκεῖ ἀπ' αὐτοῦ μεγάλα βεβλάφθαι· ἅμα δὲ ἴσως κἀκεῖνο ἐννοεῖται ὡς εἰ οἱ μὲν πρὸς ἡμᾶς ἀφιστάμενοι μηδὲν ὑπ' ἐκείνου κακὸν πείσονται, οἱ δὲ σὺν ἐκείνῳ ὄντες ὑφ' ἡμῶν ἀπολοῦνται, ὅτι τάχα οὐδένα
31 εἰκὸς σὺν αὐτῷ βουλήσεσθαι εἶναι. νῦν οὖν, ὦ ἄνδρες, καλόν τι ἄν μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαιμεν, ἀνδρὶ εὐεργέτῃ· καὶ ἅμα δίκαια ποιοῖμεν ἂν χάριν ἀποδιδόντες· ἀλλὰ μὴν καὶ σύμφορά γ' ἄν, ὡς
32 ἐμοὶ δοκεῖ, πράξαιμεν ἡμῖν αὐτοῖς. εἰ γὰρ πᾶσι φαινοίμεθα τοὺς μὲν κακῶς ποιοῦντας νικᾶν πειρώμενοι κακῶς ποιοῦντες, τοὺς δ' εὐεργετοῦντας ἀγαθοῖς ὑπερβαλλόμενοι, εἰκὸς ἐκ τῶν τοιούτων φίλους μὲν πολλοὺς ἡμῖν βούλεσθαι γί-
33 γνεσθαι, ἐχθρὸν δὲ μηδένα ἐπιθυμεῖν εἶναι· εἰ δὲ ἀμελῆσαι δόξαιμεν Γαδάτου, πρὸς τῶν θεῶν ποίοις λόγοις ἂν ἄλλον πείθοιμεν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν τολμῷμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντιβλέψαι τις ἡμῶν δύναιτο Γαδάτᾳ, εἰ ἡττῴμεθ' αὐτοῦ εὖ ποιοῦντος τοσοῦτοι ὄντες
34 ἑνὸς ἀνδρὸς καὶ τούτου οὕτω διακειμένου; ὁ μὲν οὕτως [16]
εἶπεν· οἱ δὲ πάντες ἰσχυρῶς συνεπῄνουν ταῦτα ποιεῖν.

Ἄγετε τοίνυν, ἔφη, ἐπεὶ καὶ ὑμῖν συνδοκεῖ ταῦτα, ἐπὶ

30. γαδάτης D. ἐδόκει A.G. pr. πολλὰ G. pr. ἀγαθὸν ὑφ' ἡμῶν D. ἐμβαλλεῖν D. ἀγγέλεται A. μέγα βεβλάφθαι ὑπ' αὐτοῦ D. καὶ ἐκεῖνο D. κἀκεῖνος A.G. corr. s. v. r. οἱ μὲν] οἵ τε D. πήσονται A.G. pr. τάχιστα D. βούλεσθαι D. 31. δοκῶμεν G. s.v. r. γαδάτῃ D. ποιοῦμεν A.G. ξύμφορα G. ἐμοὶ δοκεῖ] ἐμοὶ δοκῶ A. ἐγὼ δοκῶ D. πράττοιμεν D. 32. εὐεργέτας D. ὑπερβαλόμενοι A. ἡμῖν πολλοὺς D. 33. λόγοις ἄλλους πείθωμεν ἂν χαρίζεσθαί τι ἂν ἡμῖν D. τολμῷμεν] πολλῶν μεν D. pr. δ' ἂν] δ' A.G. γαδάτῃ D. τοσοίδε D. ἑνὸς] ὑφ' ἑνὸς A.G. 34. μὲν] μὲν οὖν D. σ. ἰσχυρῶς D. ἄγε D. ἐπεὶ] ἐπείπερ D.

30. *πείσονται*] De forma *πήσονται*, etiam 5, 4, 24 illata in A. sæpe vitioso in vocalibus, v. ad Thes. Steph. Ad *ὡς—ὅτι* conf. infra 6, 4, 5; ad Anab. 7, 4, 5.

31. *ὡς ἐμοὶ δοκῶ* inferenti A. nihil tribuet qui idem pro eodem suppositum videat 5, 4, 37. Nec videntur *ἐμοὶ δοκῶ* antiquiores dixisse sic ut verbum adjunctum ad alium referatur.

33. *ἀνδρὸς*] Cyrus pronunciato vocabulo *ἀνδρὸς* subito rediisse in recordationem mali videtur, quod erat Gadatas perpessus, cum castraretur. SCHN. *Ποιοῦντος* autem aptius hic quam, ut infra 5, 4, 32, Anab. 2, 3, 23. *ποιοῦντες*, propter *ἀμελῆσαι*.

μὲν τοῖς ὑποζυγίοις καὶ ὀχήμασι καταλίπωμεν ἕκαστοι τοὺς
35 μετ᾽ αὐτῶν ἐπιτηδειοτάτους πορεύεσθαι. Γωβρύας δ᾽ ἡμῖν
ἀρχέτω αὐτῶν καὶ ἡγείσθω αὐτοῖς· καὶ γὰρ ὁδῶν ἔμπειρος
καὶ τἆλλα ἱκανός· ἡμεῖς δ᾽, ἔφη, καὶ ἵπποις τοῖς δυνατω-
τάτοις καὶ ἀνδράσι πορευώμεθα, τἀπιτήδεια τριῶν ἡμερῶν
λαβόντες· ὅσῳ δ᾽ ἂν κουφότερον συσκευασώμεθα καὶ εὐ-
τελέστερον, τοσούτῳ ἥδιον τὰς ἐπιούσας ἡμέρας ἀριστήσο-
36 μέν τε καὶ δειπνήσομεν καὶ καθευδήσομεν. νῦν δ᾽, ἔφη,
πορευώμεθα ὧδε· πρῶτον μὲν ἄγε σὺ, Χρυσάντα, τοὺς
θωρακοφόρους, ἐπεὶ ὁμαλή τε καὶ πλατεῖα ἡ ὁδός ἐστι,
τοὺς ταξιάρχους ἔχων ἐν μετώπῳ πάντας· ἡ δὲ τάξις
ἑκάστη ἐφ᾽ ἑνὸς ἴτω· ἁθρόοι γὰρ ὄντες καὶ τάχιστα καὶ
37 ἀσφαλέστατα πορευοίμεθ᾽ ἄν. τούτου δ᾽ ἕνεκα, ἔφη, κε-
λεύω τοὺς θωρακοφόρους ἡγεῖσθαι ὅτι τοῦτο βαρύτατόν
ἐστι τοῦ στρατεύματος· τοῦ δὲ βαρυτάτου ἡγουμένου
ἀνάγκη ῥᾳδίως ἕπεσθαι πάντα τὰ θᾶττον ἰόντα· ὅταν δὲ
τὸ τάχιστον ἡγῆται ἐν νυκτὶ, οὐδέν ἐστι θαυμαστὸν καὶ
διασπᾶσθαι τὰ στρατεύματα· τὸ γὰρ προταχθὲν ἀποδι-
38 δράσκει. ἐπὶ δὲ τούτοις, ἔφη, Ἀρτάβαζος τοὺς Περσῶν
πελταστὰς καὶ τοξότας ἀγέτω· ἐπὶ δὲ τούτοις Ἀνδαμύας ὁ

ὀχήμασι] χρήμασι A.G. pr. καταλείπωμεν D. μετὰ τούτων ἐπιτηδειοτέρους D. 35. τᾶλλα A. pr. τἄλλα corr. ἵπποις] σὺν ἵπποις G. s. v. r. Libri τὰ ἐπιτήδεια. συσκευαζώμεθα D. δ᾽ ἂν] γὰρ A. τόσῳ D. ἥδιον post ἡμέρας D. 36. δ᾽ om. A. δὲ s. v. r. G. πορευόμεθα A. et fortasse D. pr., qui ω in lit., ut G. ἄγε σὺ] ἄγε A., addito σὺ s. v. ead. m., σὺ ἄγε D. ὦ χρυσάντα D. ἐπεὶ] ἄγε δὴ ἐπεὶ D. ἡ om. D. ἑκάστη] ἑκάστη σοι D. ἰέτω D. ἁθρόοι D. καὶ τάχιστα] τάχιστα D. ἂν πορευοίμεθα D. 37. κελεύω ante ἡγεῖσθαι D. τὰ θᾶττον ἰόντα] τὰ ἐλάσσονα D.G. mg. r. ἡγῆται] ἦται in lit. G. διεσπᾶσθαι A.G. τὸ γὰρ προταχθὲν] τοιγὰρ ἀποσπασθέντα D. τὰ γὰρ ἀποσπασθέντα G. mg. r. 38. τούτοις] τούτῳ D., sed ω in lit., ut pr. τοῦτο vel τούτου fuisse videatur. In G. post τούτοις et ἀρτάβαζος erasa videntur commata, quale post ἔφη inseruit corr. ἀρταβάτας D. Περσῶν] βασιλεῖς addit D. ἀνδραμύας D.

35. ἵπποις] Sic infra c. 4, 20, est: Ὡς οὐ δεῖ ποτε ἐλάττονι τινὶ μορίῳ ἰέναι, ὅπου ἂν δέῃ. SCHN.

εὐτελέστερον] Herodian. 2, 11, 1: Ὁ Σεβῆρος μηδένα διδοὺς καιρὸν ἀναβολῆς συσκευάσασθαι αὐτοὺς ὡς ἔνι μάλιστα εὐτελέστατα ἐκέλευσε.

36. ἁθρόοι, ut D., præcipiunt grammatici, nec dubium, si Plato et Demosthenes, quorum libri sic sæpe, ἁθρόος scripserunt cum spiritu aspero, eundem ubique restituendum esse Xenophonti.

37. βαρύτατον] βραδύτατον Anab. 7, 3, 37.

38. πελταστὰς] Persarum hi peltastæ et sagittarii interim cum supplemento exercitus arcessiti advenerant. V. 5, 5, 3. Ceteri enim jam antea ὁμοτίμων arma acceperant, recte monente Weiskio. SCHN.

Ἀνδαμύας] Formæ huic similes sunt Ἐξαμύας, Λατταμύας, de quibus dixi ad Thes. Steph.

Μῆδος τὸ Μήδων πεζόν· ἐπὶ δὲ τούτοις Ἔμβας τὸ Ἀρ-
μενίων πεζόν· ἐπὶ δὲ τούτοις Ἀρτούχας Ὑρκανίους· ἐπὶ δὲ
τούτοις Θαμβράδας τὸ Σακῶν πεζόν· ἐπὶ δὲ τούτοις Δα-
39 τάμας Καδουσίους. ἀγόντων δὲ καὶ οὗτοι πάντες ἐν μετώπῳ
μὲν τοὺς ταξιάρχους ἔχοντες, δεξιοὺς δὲ τοὺς πελταστάς,
ἀριστεροὺς δὲ τοὺς τοξότας τοῦ ἑαυτῶν πλαισίου· οὕτω
40 γὰρ πορευόμενοι καὶ εὐχρηστότεροι γίγνονται. ἐπὶ δὲ τού-
τοις οἱ σκευοφόροι, ἔφη, πάντων ἑπέσθων· οἱ δὲ ἄρχοντες
αὐτῶν ἐπιμελέσθων ὅπως συνεσκευασμένοι τε ὦσι πάντα
πρὶν καθεύδειν καὶ πρῴ σὺν τοῖς σκεύεσι παρῶσιν εἰς τὴν
41 τεταγμένην χώραν καὶ ὅπως κοσμίως ἕπωνται. ἐπὶ δὲ τοῖς
σκευοφόροις, ἔφη, τοὺς Πέρσας ἱππέας Μαδάτας ὁ Πέρσης
ἀγέτω, ἔχων καὶ οὗτος τοὺς ἑκατοντάρχους τῶν ἱππέων ἐν
μετώπῳ· ὁ δ' ἑκατόνταρχος τὴν τάξιν ἀγέτω εἰς ἕνα,
42 ὥσπερ οἱ πέζαρχοι. ἐπὶ τούτοις Ῥαμβάκας ὁ Μῆδος
ὡσαύτως τοὺς ἑαυτοῦ ἱππέας· ἐπὶ τούτοις σύ, ὦ Τιγράνη,
τὸ σεαυτοῦ ἱππικόν· καὶ οἱ ἄλλοι δὲ ἵππαρχοι μεθ' ὧν
ἕκαστοι ἀφίκοντο πρὸς ἡμᾶς. ἐπὶ τούτοις Σάκαι ἄγετε·

πεζὸν] Libri ter πεζικόν. Sed ἐπὶ δὲ τούτοις ἔμβας τὸ ἀρμενίων πεζικὸν om. D. ὑρκανίους] ἀγέτω add. D. θαμβράδας] θαμβάτας D. δατάμας Juntina. Libri δαμάτας. 39. μετώπῳ] τῷ μετώπῳ D. τοῦ ἑαυτῶν πλαισίου] τοὺς ἑαυτῶν πλαγίους A.G. corr. mg. r. πλεσίου D. corr. mg. 40. ἐπὶ δὲ τού (in fine versus) τούτοις ἔφη οἱ σκευοφόροι πάντων D. ἑπέσθωσαν et ἐπιμελείσθων A.G. ἐπιμελείσθωσαν πάντων ὅπως ἂν D. πάντα om. G. καθευδεῖν A. Libri πρωί. εἰς] πρὸς D. συντεταγμένην A.G. κοσμίως G. mg. r. 41. μαιδάτας D. ἵππων A.G. 42. ἐπὶ] ἐπὶ δὲ D. τούτοις ὁ ῥαμβάκας D. τοῦτο ἱερσομβάτας A. τούτω ἱερσομβάτας G. τούτῳ ἱεροσαμβάτας L. ὁ om. Ald. ἑαυτῶν A.G. ἐπὶ] ἐπὶ δὲ D. σαυτοῦ D. ἕκαστος ἀφίκετο D. ὧν] οὓς A.G. pr., pro οὗ, ut videtur. σάκαι] καὶ compendio scriptum D. et mg. r. σάκαι.

πεζὸν] Formam πεζικὸς sæpe pro altera illatam, ut in locis ad Thes. Steph. citatis, recte rejicit Thomas p. 697–9. Quæ Xenophonti, cujus haud raro alteram servant libri omnes, exempta 2, 4, 18, relinquenda tantum ubi non de hominibus dicitur, ut 1, 3, 15, τοὺς ἀγαθοὺς τὰ πεζικά, et 4, 3, 14, οὐδὲν τῶν πεζικῶν.

Ἀρτούχας] Anabasis 4, 3, 4. Ἀρτούχου mentionem facit, sed provinciam ejus non nominat. Brodæi libri Ἀρτόμας dabant. Lydiæ satrapam Ἀρτίμαν habet Anab. 7, 8, 25. SCHN.

39. Δατάμας] Similiter in hoc nomine peccatum 8, 3, 17.

ἐν μετώπῳ] Singulæ gentes in hac agminis forma πλαίσιον constituebant, ut in exercitu Artaxerxis Anabas. 1, 8, 9. SCHN.

εὐχρηστότεροι] Usum demonstrat in Anab. 3, 2, 24, et 3, 4, 11. SCHN.

40. τεταγμένην] Al. συντεταγμένην. Sed συντεταγμένη χώρα dicitur de loco, qui inter duos convenit; hic vero locus a duce assignatur. SCHN.

ὅπως κοσμίως ἕπωνται] Cyneg. 10, 8: Ἐγκελεύειν ταῖς κυσὶν ἕνα τὸν ἐμπειρότατον, τοὺς δ' ἄλλους ἕπεσθαι κοσμίως ἀπολείποντας ἀπ' ἀλλήλων πολύ.

42. Ῥαμβάκας] Simile nomen Ῥαμβακία vici Indiæ apud Arrianum Anab. 6, 21, 12, nihil confert ad vindicandum hoc nomen, quod in Ἱερσομβάτας ascitis ex τούτοις litteris ιε nihilo probabilius mutant alii libri.

ἔσχατοι δὲ, ὥσπερ ἦλθον, Καδούσιοι ἰόντων· Ἀλκεύνα, σὺ δὲ ὁ ἄγων αὐτοὺς ἐπιμέλου τὸ νῦν εἶναι πάντων τῶν ὄπισθεν καὶ μηδένα ἔα ὕστερον τῶν σῶν ἱππέων γίγνεσθαι.
43 ἐπιμέλεσθε δὲ τοῦ σιωπῇ πορεύεσθαι οἵ τε ἄρχοντες καὶ πάντες δὲ οἱ σωφρονοῦντες· διὰ γὰρ τῶν ὤτων ἐν τῇ νυκτὶ ἀνάγκη μᾶλλον ἢ διὰ τῶν ὀφθαλμῶν ἕκαστα καὶ αἰσθάνεσθαι καὶ πράττεσθαι· καὶ τὸ ταραχθῆναι δὲ ἐν τῇ νυκτὶ πολὺ μεῖζόν ἐστι πρᾶγμα ἢ ἐν τῇ ἡμέρᾳ καὶ δυσκαταστατώτερον· οὗ ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα καὶ ἡ τάξις
44 φυλακτέα. τὰς δὲ νυκτερινὰς φυλακὰς, ὅταν μέλλητε νυκτὸς ἀναστήσεσθαι, χρὴ ὡς βραχυτάτας καὶ πλείστας ποιεῖσθαι, ὡς μηδένα ἡ ἐν τῇ φυλακῇ ἀγρυπνία πολλὴ οὖσα λυμαίνηται ἐν τῇ πορείᾳ· ἡνίκα δ' ἂν ὥρα ᾖ πορεύ-
45 εσθαι, σημανεῖ τῷ κέρατι. ὑμεῖς δ' ἔχοντες ἃ δεῖ ἕκαστοι πάρεστε εἰς τὴν ἐπὶ Βαβυλῶνα ὁδόν· ὁ δ' ὁρμώμενος ἀεὶ τῷ κατ' οὐρὰν παρεγγυάτω ἕπεσθαι.
46 Ἐκ τούτου δὴ ᾤχοντο ἐπὶ τὰς σκηνὰς καὶ ἅμα ἀπιόντες [17]

ἰόντων· ἀλκεύνα] ἀγόντων στράτευμα A.G., hic mg. r. addens ἀλκεύνα, posito super hoc ὦ. ἀγόντων στράτευμα ἀλκεύνα L. ὁ om. D. ἐπιμελλοῦ A. ἐπιμελοῦ D.G. τῶν om. A.G. ἔα om. D. 43. ἐπιμελεῖσθε A.G. ἐπιμελεῖσθαι D. δὲ om. G. οἵ τε om. G. καὶ αἰσθάνεσθαι] αἰσθάνεσθαι D. προΐστασθαι A.G. πράσέσθαι (sic) D. πράσσεσθαι M. πραχθῆναι A.G. corr. mg. r. τῇ bis om. D. οὗ ἕνεκα] οὕνεκα A.G. οὗ s. v. r. G. οὗ εἵνεκα D. διαφυλακτέα D. 44. φυλακὰς] ἔφη φυλακὰς D. ἐξαναστήσεσθαι D. χρὴ] αἰεὶ χρὴ D. ἀεὶ ante χρὴ add. G. mg. r. πλείστας] ὡς πλείστας (pr. πλήστας) D. ἡ] καὶ ἡ D. λυμανεῖται G. s. v. r. σημαίνειν D. 45. βαβυλῶνος D. παρεγγυάτω ἕπεσθαι] ἐγγυτάτω ἑπέσθω D.G. s. v. r. 46. δὴ] οὖν D. ἀπόντες A.G. pr.

Ἀλκεύνα] Nomen in στράτευμα corruptum fecisse videtur ut ἰόντων mutaretur in ἀγόντων, cui τὸ additum in uno Q., nullius auctoritatis libro, quo nihilo aptius fit illud ἀγόντων, sequente mox ὁ ἄγων αὐτούς. Recte hæc animadvertit Zeunius, additque ducis Cadusiorum nomen solum omitti vel propter s. 46, 47 non posse. De pron. σὺ δὲ post vocativum nota Porsoni disputatio ad Eur. Or. 614.

43. σιωπῇ] Hoc nomine laudatur acies Græcorum. Conf. Arriani Tact. p. 72. ZEUN.

πράττεσθαι] Suspecto tanquam correctoris commento πράσσεσθαι (potius πράττεσθαι) fuerunt qui προεπίστασθαι substituerent.

44. σημανεῖ] Sic s. 52, ἐσήμηνε τῷ κέρατι. Intellige ὁ σαλπικτής. SCHN.

45. τὴν ἐπὶ Βαβυλῶνα ὁδόν] Anab. 6, 4, 24: Κατὰ τὴν ἐπὶ Κάλπην ὁδόν. Hic quoque deteriores Κάλπης. Sed quanquam omisso ὁδὸν genitivum ponit Xen., ut supra 5, 2, 37, ἄγε ἡμᾶς εὐθὺ τὴν ἐπὶ Βαβυλῶνος, ubi nullius fidei est Βαβυλῶνα, et Hist. Gr. 7, 1, 28: Ἀπῄει τὴν ἐπὶ Σπάρτης, addito tamen accusativum habet 2, 4, 18: Τὴν ἐπὶ τὰ φρούρια ὁδόν· 7, 2, 1: Τῆς ἐπ' οἶκον ὁδοῦ.

παρεγγυάτω] Silentium imperatur, ne milites colloquiis indulgeant per noctem atque ita forte distrahantur a se; quod tali cavetur παρεγγυήματι. SCHN.

διελέγοντο πρὸς ἀλλήλους ὡς μνημονικῶς ὁ Κῦρος ὁπό-
47 σοις συνέταττε πᾶσιν ὀνομάζων ἐνετέλλετο. ὁ δὲ Κῦρος
ἐπιμελείᾳ τοῦτο ἐποίει· πάνυ γὰρ αὐτῷ ἐδόκει θαυμαστὸν
εἶναι εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς ἑαυτοῦ τέχνης ἕκαστος
τῶν ἐργαλείων τὰ ὀνόματα, καὶ ὁ ἰατρὸς δὲ οἶδε καὶ τῶν
ὀργάνων καὶ τῶν φαρμάκων οἷς χρῆται πάντων τὰ ὀνό-
ματα, ὁ δὲ στρατηγὸς οὕτως ἠλίθιος ἔσοιτο ὥστε οὐκ
εἴσοιτο τῶν ὑφ᾽ ἑαυτῷ ἡγεμόνων τὰ ὀνόματα, οἷς ἀνάγκη
ἐστὶν αὐτῷ ὀργάνοις χρῆσθαι καὶ ὅταν καταλαβεῖν τι βού-
ληται καὶ ὅταν φυλάξαι καὶ ὅταν θαρρῦναι καὶ ὅταν φο-
βῆσαι· καὶ τιμῆσαι δὲ ὁπότε τινὰ βούλοιτο, πρέπον αὐτῷ
48 ἐδόκει εἶναι ὀνομαστὶ προσαγορεύειν. ἐδόκουν δ᾽ αὐτῷ οἱ [18]
γιγνώσκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος καὶ τοῦ καλόν
τι ποιοῦντες ὁρᾶσθαι μᾶλλον ὀρέγεσθαι καὶ τοῦ αἰσχρόν τι
49 ποιεῖν μᾶλλον προθυμεῖσθαι ἀπέχεσθαι. ἠλίθιον δὲ καὶ
τοῦτ᾽ ἐδόκει εἶναι αὐτῷ τὸ ὁπότε τι βούλοιτο πραχθῆναι,

μνημονικὸς D. ὁπόσοις—47. κῦρος om. A.G. mg. r. πᾶσιν Heindorfius. Libri πῶς. 47. γὰρ] δὲ D. θαυμαστὸν ἐδόκει D. αὐτοῦ D. ἑαυτῶν G. s. v. r. τῶν] τῶν ἑαυτοῦ A. et punctis notans ἑαυτοῦ G. εἴσεται H. αὐτῷ D. ἑαυτὸν G. s. v. r. αὐτῷ] αὐτοῖς A.G. προκαταλαβεῖν D.G. s. v. r. φυλάξειν A.G. θρασῦναι D. καὶ πρὸς τὸ τιμῆσαι δὲ ὁπότε D.G. corr. r. καὶ ὅταν τιμῆσαι δέ ποτε A.G. pr. Correxit Schneiderus. πρέπον] τὸ πρέπον A.G. ἐῢδοκεῖ D. pr., circumflexum super υ delevit corr., et lenem super ε relinquens alterum posuit super υ. ὀνόματι A.G. pr. 48. ποιοῦντος D. μᾶλλον ὀρέγεσθαι om. D. ποιεῖν] ποιοῦντος D. 49. τοῦτο αὐτῷ ἐδόκει εἶναι D. τι βούλοιτο M. ὅτι βούλοιτο A.G. βούλοιτό τι D. πραχθῆναι αὐτῷ, προστάττειν D.

46. ὁπόσοις συνέταττε Leuncl. et Camerarius vertunt *si quid cum aliquibus esset constituendum.* Sane et sequens ἐνετέλλετο cognatum vel ejusdem sensus verbum in priore membro desiderat. Hesychius: Συνέταξεν, ἐνετείλατο, παρήγγειλεν. Idem: Συντάξει, παραγγελεῖ. Pro *ordinare, præcipere, instituere* est in hac Cyri disciplina duobus aliis in locis junctum particulæ ὅπως vel infinitivo sequente. Locus in Anabasi 7, 1, 35: Συντίθεται αὐτοῖς εἰς τὴν ὑστεραίαν παρέσεσθαι, ubi alii codd. συντάττεται, huc non pertinet. Diversa est enim verbi notio, quam sequior demum ætas frequentavit. Superest vitium in iis, quæ vulgo sequuntur, πῶς ὀνομάζων ἐνετέλλετο, ubi πῶς turbat sententiam et verborum structuram. Quare lubens adscivi conjecturam Heindorfii πᾶσιν. SCHN.

47. ἐπιμελείᾳ] Latine *studio* sic dicitur. SCHN.

ἑαυτῷ] Supra 2, 1, 22: Τῶν ὑφ᾽ αὐτῷ ἀρχόντων. Conf. supra 1, 5, 3, infra 6, 2, 11. SCHN. De accus. conf. Wyttenb. ad Eunap. p. 185.

ἡγεμόνων] Hinc intelligitur errasse qui ex hoc loco retulerunt Cyrum tenuisse omnium suorum militum nomina, Plinius N. H. 7, 24, Solinus c. 7, Quinctilianus Inst. 11, 2 extr., et Valerius Max. 8, 7. Conf. Mureti V. L. 3, 1. ZEUN.

καταλαβεῖν] V. annot. ad Anab. 3, 4, 39.

ὀνομαστὶ] Sententiam ex Hom. Il. M, 68, et Ciceronis Orat. pro Muræna c. 36. illustrant viri docti. SCHN. De frequenti in libris vitio ὀνόματι pro ὀνομαστὶ v. ad Steph. v. Ὀνομαστί. Conf. autem Synes. p. 13 D.

οὕτω προστάττειν ὥσπερ ἐν οἴκῳ ἔνιοι δεσπόται προστάτ-
50 *τουσιν, Ἴτω τις ἐφ' ὕδωρ, Ξύλα τις σχισάτω· οὕτω γὰρ*
ταττομένων εἰς ἀλλήλους τε ὁρᾶν πάντες ἐδόκουν αὐτῷ καὶ
οὐδεὶς περαίνειν τὸ προσταχθὲν καὶ πάντες ἐν αἰτίᾳ εἶναι
καὶ οὐδεὶς τῇ αἰτίᾳ οὔτε αἰσχύνεσθαι οὔτε φοβεῖσθαι
ὁμοίως διὰ τὸ σὺν πολλοῖς αἰτίαν ἔχειν· διὰ ταῦτα δὴ
πάντας ὠνόμαζεν αὐτὸς ὅτῳ τι προστάττοι.
51 *Καὶ Κῦρος μὲν δὴ περὶ τούτων οὕτως ἐγίγνωσκεν. οἱ δὲ* [19]
στρατιῶται τότε μὲν δειπνήσαντες καὶ φυλακὰς καταστη-
σάμενοι καὶ συσκευασάμενοι πάντα ἃ ἔδει ἐκοιμήθησαν.
52 *ἡνίκα δ' ἦν ἐν μέσῳ νυκτῶν, ἐσήμηνε τῷ κέρατι. Κῦρος*
δ' εἰπὼν τῷ Χρυσάντᾳ ὅτι ἐπὶ τῇ ὁδῷ ὑπομενοῖ ἐν τῷ
πρόσθεν τοῦ στρατεύματος ἐξῄει λαβὼν τοὺς ἀμφ' αὑτὸν
ὑπηρέτας· βραχεῖ δὲ χρόνῳ ὕστερον Χρυσάντας παρῆν
53 *ἄγων τοὺς θωρακοφόρους. τούτῳ μὲν ὁ Κῦρος δοὺς ἡγε-*
μόνας τῆς ὁδοῦ πορεύεσθαι ἐκέλευεν ἡσύχως· οὐ γάρ πω
ἐν ὁδῷ πάντες ἦσαν· αὐτὸς δὲ ἑστηκὼς ἐν τῇ ὁδῷ τὸν μὲν
προσιόντα προυπέμπετο ἐν τάξει, ἐπὶ δὲ τὸν ὑστερίζοντα

ὥσπερ] *ὥσπερ καὶ* D. *πρ. δεσπόται* D. Hic (*σημείωσ* resectum videtur) *αι οἰκονομικόν τι* G. mg. 50. *προσταττομένων* D.G. corr. *τε* om. D. *ἅπαντες* D. *ἐδόκουν*] *τε ἐδόκουν* A.G. *αὐτὸς πάντος ὤν.* D. *ὅτῳ τι*] *ὁπότε* A.G. *πράττοι* D. 51. *οὕτω περὶ τούτων* D. *μέσων* D. *ἐσήμαινε* D. *ἐσήμεινε* fortasse G. pr., qui *η* in lit. 52. *εἰπὼν—ἐξῄει*] *εἶπε—ἐξῄει δὲ* A.G. *ἐξείη* D. pr. *αὐτὸν* A.D. *ὁδῷ*] *ἕῳ* A.G. corr. mg. r. *ὑπομενοῖ*] *ἑπόμενοι* A. (qui *ἐπ.*) G. pr. *ἐπιμένοι* D.G. corr. *ὑπομένοι* Schneiderus. *ἐν*] *δὴ ἐν* D. *πρόσθε* A. *βραχὺ* A.G. corr. s. v. r. *παρῆν χρ.* D. *ἔχων* D. 53. *μὲν*] *μὲν οὖν* D. *δοὺς*] *δοὺς τοὺς* D. *ἐκέλευσεν ἥσυχον* D., qui addit *ἕως ἄγγελος ἔλθοι*, ut G. mg. r. L. *ἕως ἄγγελος ἔλθῃ.* *οὐ—ἦσαν*] *ὅτι πάντες ἐν ὁδῷ* D. *τῇ ὁδῷ*] *τῷ αὐτῷ* D.

50. *ταττομένων*] V. ad 4, 2, 17.

ὁμοίως] Non quantum si sic ut Cyrus faciebat ageretur, sive, ut Heindorfius, non perinde. Qui frequens est formulæ *οὐχ ὁμοίως* vel *οὐκέθ' ὁμοίως, οὐκέθ' ὁμῶς*, usus apud omnes.

πάντας—ὅτῳ] V. ad Anab. 6, 3, 15, H. Gr. 2, 2, 16. Infra 7, 4, 14; 8, 2, 25.

51. *μέσῳ*] Formam dicendi refert Zeunius ad vigilias nocturnas, in quas nox dividi soleret, unde *πρώτη νὺξ* sæpe dicatur. SCHN.

52. *ἐπὶ τῇ ὁδῷ*] *ἐπὶ τῇ ἕῳ*, quod est in melioribus, *εἰς τὴν ἕω* scribendum putavit Schneiderus, quo lenius foret *ἐπὶ τὴν ἕω*, ut apud Thucyd. 2, 84.

ὑπομένοι] In codd. scriptura *ἑπομένοι* agnosces verbum *ὑπομένοι*, quod solum huic loco conveniet, non vulgatum *ἐπιμένοι*, ut in Anab. 4, 3, 15, et supra 2, 4, 29. SCHN. Sed futuro opus, quod est apud Demosth. p. 1220, 15. Nisi futuri quoque forma præstat forma *ὑπομενοίη*, ut *ἐροίη* est 3, 1, 14, et de præsenti dixi ad 1, 6, 2. Quo additum in nonnullis *δὴ* referebat Hirschig. Annot. crit. p. 99.

53. *ἡσύχως*] *Lento gradu*, ut demonstrat quod sequitur s. 54, *θᾶττον ἄγε*. SCHN. Conf. s. 55.

προυπέμπετο dimittebat et progredi jubebat. *προπέμπειν* est deducere. Sic est Anab. 7, 2, 14. SCHN.

54 ἔπεμπε καλῶν. ἐπεὶ δὲ πάντες ἐν ὁδῷ ἦσαν, πρὸς μὲν [20]
Χρυσάνταν ἱππέας ἔπεμψεν ἐροῦντας ὅτι ἐν ὁδῷ ἤδη πάν-
55 τες· ἄγε οὖν ἤδη θᾶττον. αὐτὸς δὲ παρελαύνων τὸν ἵππον
εἰς τὸ πρόσθεν ἥσυχος κατεθεᾶτο τὰς τάξεις· καὶ οὓς μὲν
ἴδοι εὐτάκτως καὶ σιωπῇ ἰόντας, προσελαύνων αὐτοῖς τίνες
τε εἶεν ἠρώτα καὶ ἐπεὶ πύθοιτο ἐπῄνει· εἰ δέ τινας θορυ-
βουμένους αἴσθοιτο, τὸ αἴτιον τούτου σκοπῶν κατασβεννύ-
ναι τὴν ταραχὴν ἐπειρᾶτο.

56 Ἓν μόνον παραλέλειπται τῆς ἐν νυκτὶ ἐπιμελείας αὐτοῦ, [21]
ὅτι πρὸ παντὸς τοῦ στρατεύματος πεζοὺς εὐζώνους οὐ
πολλοὺς προὔπεμπεν, ἐφορωμένους ὑπὸ Χρυσάντα καὶ
ἐφορῶντας αὐτόν, ὡς ὠτακουστοῦντες καὶ εἴ πως ἄλλως
δύναιντο αἰσθάνεσθαι σημαίνοιεν τῷ Χρυσάντᾳ ὅ τι καιρὸς
δοκοίη εἶναι· ἄρχων δὲ καὶ ἐπὶ τούτοις ἦν ὃς καὶ τούτους
ἐκόσμει, καὶ τὸ μὲν ἄξιον λόγου ἐσήμαινε, τὸ δὲ μὴ οὐκ
57 ἠνώχλει λέγων. τὴν μὲν δὴ νύκτα οὕτως ἐπορεύοντο·
ἐπεὶ δὲ ἡμέρα ἐγένετο, τοὺς μὲν Καδουσίων ἱππέας, ὅτι [22]
αὐτῶν καὶ οἱ πεζοὶ ἐπορεύοντο ἔσχατοι, παρὰ τούτοις
κατέλιπεν, ὡς μηδ' οὗτοι ψιλοὶ ἱππέων ἴοιεν· τοὺς δ' ἄλ-
λους εἰς τὸ πρόσθεν παρελαύνειν ἐκέλευσεν, ὅτι καὶ οἱ πο-
λέμιοι ἐν τῷ πρόσθεν ἦσαν, ὅπως εἴ τί που ἐναντιοῖτο

54. ἤδη] ἦσαν D. ἤδη om. D. 55. ὄντας D. pr. αὐτοῖς] αὐτοὺς B.D. corr. οἵ τινες εἶεν D. ἠρώτα] ἤρετο A.G. αἰσθάνοιτο D., qui pr. ἐσθ. τὸν D.L. ταραχὴν] ἀρχὴν D. 56. μόνον] οὐ add. s. v. r. G. παραλείπεται A.D. corr. G. στρατοπέδου D. προέπεμπεν D. ἐφορωμένους καὶ ἐφορῶντας Pollux 2, 55. ἐφορῶντες A.G. corr. s. v. r. ὑπακουστοῦντες A.G., qui α s. v. r., et ὠτακουστοῦντες mg. r., sed α s. v. δύνανται D. αἰσθάνεσθαί τι D. ὅ τι] ε s. ι al. m. et ὅτε m. al. mg. L. τούτοις] τούτων εἷς D. τὸ ἄξιον μὲν D. ἐνώχλει A. 57. ἐπορεύετο D. τοὺς μὲν] τὸ μὲν A. τῶν μὲν G. τοὺς μὲν τῶν D. ἔσχατοι ἐπορεύοντο D. κατέλειπεν D. εἶεν D. ἐκέλευεν G. εἴ τε A.G. ἐναντιοῖτο] ἐναντίον D.

ἄγε] Ad rectam orationem subito transit ab obliqua Xenophon, ut faciat narrationem gratiorem. SCHN.

56. *παραλέλειπται*] Prætermissum sive non expositum. SCHN.

ἐφορῶντας] Reddit Camerarius: *quos spectaret Chrysantas, quique hunc vicissim.* In nocte, etiam a luna plena illustrata, non adeo longe poterant ab agmine procedere speculatores, si spectare usque et respicere debebant Chrysantam; adeoque magnus eorum in exploranda via usus esse non poterat. Τὰ *πρόσω ἐφορᾶν* dicuntur speculatores 6, 3, 5, sed 6, 3, 27, jubentur milites *ἐφορᾶν τοὺς καθ' αὐτούς*, id est observare, atque impedire quominus ordines deserant aut peccent. Quam significationem etiam hic tenendam censeo. Verbum *ὠτακ.* infra 8, 2, 10, *ὠτακουστεῖν καὶ διοπτεύειν.* SCHN.

57. *εἴ τι*] Præstat fortasse *εἴ τέ τι*, ut infra, ubi eadem varietas.

αὐτῷ, ἀπαντῴη ἔχων τὴν ἰσχὺν ἐν τάξει καὶ μάχοιτο, εἴ τέ
58 τί που φεῦγον ὀφθείη, ὡς ἐξ ἑτοιμοτάτου διώκοι. ἦσαν δὲ
αὐτῷ ἀεὶ τεταγμένοι οὕς τε διώκειν δέοι καὶ οὓς παρ' αὐτῷ
59 μένειν· πᾶσαν δὲ τὴν τάξιν λυθῆναι οὐδέποτε εἴα. Κῦρος
μὲν δὴ οὕτως ἦγε τὸ στράτευμα· οὐ μέντοι αὐτός γε μιᾷ
χώρᾳ ἐχρῆτο, ἀλλ' ἄλλοτε ἀλλαχῆ περιελαύνων ἐφεώρα τε
καὶ ἐπεμέλετο, εἴ του δέοιντο. οἱ μὲν δὴ ἀμφὶ Κῦρον
οὕτως ἐπορεύοντο.

ΚΕΦ. Δ.

Ἐκ δὲ τοῦ Γαδάτου ἱππικοῦ τῶν δυνατῶν τις ἀνδρῶν
ἐπεὶ ἑώρα αὐτὸν ἀφεστηκότα ἀπὸ τοῦ Ἀσσυρίου, ἐνόμισεν,
εἴ τι οὗτος πάθοι, αὐτὸς ἂν λαβεῖν παρὰ τοῦ Ἀσσυρίου
πάντα τὰ Γαδάτου· οὕτω δὴ πέμπει τινὰ τῶν ἑαυτοῦ
πιστῶν πρὸς τὸν Ἀσσύριον καὶ κελεύει τὸν ἰόντα, εἰ κα-
ταλάβοι ἤδη ἐν τῇ Γαδάτου χώρᾳ τὸ Ἀσσύριον στρά-
τευμα, λέγειν τῷ Ἀσσυρίῳ ὅτι εἰ βούλοιτο ἐνεδρεῦσαι,
2 λάβοι ἂν Γαδάταν καὶ τοὺς σὺν αὐτῷ. δηλοῦν δὲ ἐνετέλ-
λετο ὅσην τε εἶχεν ὁ Γαδάτας δύναμιν καὶ ὅτι Κῦρος οὐ
συνείπετο αὐτῷ· καὶ τὴν ὁδὸν ἐδήλωσεν ᾗ προσιέναι
μέλλοι. προσεπέστειλε δὲ τοῖς αὑτοῦ οἰκέταις, ὡς πιστεύ-
οιτο μᾶλλον, καὶ τὸ τεῖχος ὃ ἐτύγχανεν αὐτὸς ἔχων ἐν τῇ
Γαδάτου χώρᾳ παραδοῦναι τῷ Ἀσσυρίῳ καὶ τὰ ἐνόντα·
ἥξειν δὲ καὶ αὐτὸς ἔφασκεν, εἰ μὲν δύναιτο, ἀποκτείνας

ὑφ' αὐτῷ ἔχων ἐν τάξει τὴν ἰσχὺν μάχοιτο D. τι om. A.G. pr. ὡς] ὅπως G. διώκοιεν D. 58. δὲ om. A. αἰεὶ A.D. τεταγμένοι] εἰ δέοι διωγμοῦ add. D. ἑαυτῷ D. αὑτῷ G. λυθῆναι] χ s. v. r. G. 59. ἄλλοτε] ἄλλο τὰ A. ἀλλαχῆ] ἄλλῃ μάχῃ D. ἀφεώρα G. Libri ἐπεμελεῖτο. δέοιτο A. 1. γαδάτου E. γαδάτα A.D.G. δυναστῶν G. ἐνόμισεν—ἀσσυρίου G. mg. r. εἴ τι] ὅτι εἴ τι D.G. ἂν om. D. τὰ γαδάτου D. τἀγαθὰ A. τὰ ἀγαθὰ G., sed γαδάτα s. v. r. καταλάβῃ G. γαδάτου E. γαδάτα A.D.G. λάβοι ἂν] λαβεῖν A.G. pr. λαβεῖν ἂν G. corr. r. γαδάτην καὶ τοὺς ἄλλους τοὺς σὺν αὐτῷ D. 2. δύναμιν ὁ γαδάτης D. συνέποιτο D.G. s. v. r. ᾗ μέλλοι προσιέναι ἐδ. D. προαπέστειλεν δὲ καὶ τοῖς D. αὑτοῦ] αὐτοῦ A.G. ἑαυτοῦ D. γαδάτα D. δοῦναι D. ἔφη D.

59. ἄλλῃ potius quam ἀλλαχῆ Xenophontem dicere pluribus dicam ad 7, 4, 7. Hic D. λαχῆ super λῃ monstrat.

1. Γαδάτου] Hanc genitivi formam in libris melioribus, ut antea in Γωβρύας, modo servatam modo non, constanter Xenophonti esse restituendam persuadet quod sequitur πάντα τὰ Γαδάτα, ubi sexies α, si quis forte quod est 5, 3, 9, τὸ ἀπὸ Γαδάτου ἀποστὰν in iisdem libris qui modo exhibuerant τὸ Γαδάτα χωρίον, euphoniæ gratia prætulisse putet Xenophontem. Omnes in ου consentiunt 5, 3, 33.

Γαδάταν, εἰ δὲ μή, ὡς σὺν τῷ Ἀσσυρίῳ τὸ λοιπὸν ἐσό-
3 μενος. ἐπεὶ δὲ ὁ ἐπὶ ταῦτα ταχθεὶς ἐλαύνων ὡς δυνατὸν ἦν [2]
τάχιστα ἀφικνεῖται πρὸς τὸν Ἀσσύριον καὶ ἐδήλωσεν ἐφ᾽
ἃ ἥκοι, ἀκούσας ἐκεῖνος τό τε χωρίον εὐθὺς παρέλαβε καὶ
πολλὴν ἵππον ἔχων καὶ ἅρματα ἐνήδρευεν ἐν κώμαις
4 ἀθρόαις. ὁ δὲ Γαδάτας ὡς ἐγγὺς ἦν τούτων τῶν κωμῶν,
πέμπει τινὰς προδιερευνησομένους. ὁ δὲ Ἀσσύριος ὡς
ἔγνω προσιόντας τοὺς διερευνητάς, φεύγειν κελεύει ἅρματα
ἐξαναστάντα δύο ἢ τρία καὶ ἵππους ὀλίγους ἤδη, ὡς δὴ
φοβηθέντας καὶ ὀλίγους ὄντας. οἱ δὲ προδιερευνηταὶ ὡς
εἶδον ταῦτα, αὐτοί τε ἐδίωκον καὶ τῷ Γαδάτᾳ κατέσειον·
καὶ ὃς ἐξαπατηθεὶς διώκει ἀνὰ κράτος. οἱ δὲ Ἀσσύριοι, ὡς
ἐδόκει ἁλώσιμος εἶναι ὁ Γαδάτας, ἀνίστανται ἐκ τῆς ἐνέ-
5 δρας. καὶ οἱ μὲν ἀμφὶ Γαδάταν ἰδόντες ὥσπερ εἰκὸς ἔφευ- [3]
γον, οἱ δ᾽ αὖ ὥσπερ εἰκὸς ἐδίωκον. καὶ ἐν τούτῳ ὁ ἐπιβου-
λεύων τῷ Γαδάτᾳ παίει αὐτόν, καὶ καιρίας μὲν πληγῆς
ἁμαρτάνει, τύπτει δὲ αὐτὸν εἰς τὸν ὦμον καὶ τιτρώσκει.
ποιήσας δὲ τοῦτο ἐξίσταται, ἕως σὺν τοῖς διώκουσιν ἐγέ-
νετο· ἐπεὶ δ᾽ ἐγνώσθη ὃς ἦν, ὁμοῦ δὴ σὺν τοῖς Ἀσσυρίοις
προθύμως ἐκτείνων τὸν ἵππον σὺν τῷ βασιλεῖ ἐδίωκεν.
6 ἐνταῦθα δὴ ἡλίσκοντο μὲν δῆλον ὅτι οἱ βραδυτάτους ἔχον-
τες τοὺς ἵππους ὑπὸ τῶν ταχίστων· ἤδη δὲ μάλα πάντες
πιεζόμενοι διὰ τὸ κατατετρῦσθαι ὑπὸ τῆς πορείας οἱ τοῦ

γαδάτην D. σὺν] ἐν D. 3. παραλαμβάνοι D. πολὺν G. pr. ἐνήδρυεν D. pr. ἁθρόαις D. 4. γαδάτης D. προερευν. D. ὡς δὲ ἔγνω ὁ ἀ. προσιόντας D., qui pr. ἰόντας et post πρ aliam litteram quam ο. διερευνήσοντας D. ὡς δὴ] ἡδέως δὴ A. ἡδέως δὲ G., punctis notans ἡδέ et η s. v. r. Unde addidi ἤδη post ὀλίγους. προδιελευνηταὶ A. προερευνηταὶ D. ν s. v. r. G. γαδάτῃ D. ἀνακράτος D.G. γαδάτης D., cui add. εὐθέως, quod om. A.G. mg. r. 5. γαδάτην D. ἔφευγον, οἱ δ᾽ αὖ ὡς (sic M. quoque) εἰκὸς om. A.G. mg. r. γαδάτῃ D. πληγῆς] ῆς in lit. et ras. G. ἕως—διώκουσιν ἐγένετο] ὡς—διώκουσι γένοιτο D. ὃς] ὡς A.G. pr., corr. s. v. r. σὺν τοῖς ἀσσυρίοις] ὁ ἀσσύριος D. 6. μὲν om. D. ἵππους ἔχοντες D. ἤδη] ἦσαν D.G. mg. r. πιεζούμενοι A. κατατάττεσθαι A.G. pr. κατατετρύσθαι G. s. v. r. 1.M. κατατετρῶσθαι D. οἱ om. D.

3. ἀθρόαις] V. ad 5, 3, 36; 8, 6, 17. Eust. ad Od. A, 27.

5. ὁμοῦ δὴ] Anab. 1, 10, 8: Ὁμοῦ δὴ πάλιν συνταξάμενοι ἐπορεύοντο. 5, 4, 25.

6. κατατετρῦσθαι] In scriptura κατατάττεσθαι latere videtur κατατετάσθαι. SCHN. Id quum propius sit scripturæ optimorum, verum videtur, ut correctorum conjecturæ sint κατατετρῦσθαι vel, ut C. P. Q., κατατετρύχθαι. Verbi sic positi exemplis ad Thes. Stephani citatis addere licet Dion. Chrys. Or. 17, vol. 1, p. 471: Κατατεινόμεθα ὥσπερ στρατοπέδῳ τὰ ἐπιτήδεια συνάγοντες. 30, vol. 1, p. 551: Κατατείνεσθαι καὶ στρεβλοῦσθαι.

Γαδάτου ἱππεῖς καθορῶσι τὸν Κῦρον προσιόντα σὺν τῷ
στρατεύματι· δοκεῖν δὲ χρὴ ἀσμένους καὶ ὥσπερ εἰς λιμένα
7 ἐκ χειμῶνος προσφέρεσθαι αὐτούς. ὁ δὲ Κῦρος τὸ μὲν [4]
πρῶτον ἐθαύμασεν· ὡς δ' ἔγνω τὸ πρᾶγμα, ἕως πάν-
τες ἐναντίοι ἤλαυνον, ἐναντίος καὶ αὐτὸς ἐν τάξει ἦγε τὴν
στρατιάν· ὡς δὲ γνόντες οἱ πολέμιοι τὸ ὂν ἐτράπησαν εἰς
φυγὴν, ἐνταῦθα ὁ Κῦρος διώκειν ἐκέλευσε τοὺς πρὸς τοῦτο
τεταγμένους, αὐτὸς δὲ σὺν τοῖς ἄλλοις εἵπετο ὡς ᾤετο
8 συμφέρειν. ἐνταῦθα δὴ καὶ ἅρματα ἡλίσκετο, ἔνια μὲν καὶ
ἐκπιπτόντων τῶν ἡνιόχων, τῶν μὲν ἐν τῇ ἀναστροφῇ, τῶν
δὲ καὶ ἄλλως, ἔνια δὲ καὶ περιτεμνόμενα ὑπὸ τῶν ἱππέων
ἡλίσκετο. καὶ ἀποκτείνουσι δὲ ἄλλους τε πολλοὺς καὶ τὸν
9 παίσαντα Γαδάταν. τῶν μέντοι πεζῶν Ἀσσυρίων, οἳ
ἔτυχον τὸ Γαδάτου χωρίον πολιορκοῦντες, οἱ μὲν εἰς
τὸ τεῖχος κατέφυγον τὸ ἀπὸ Γαδάτου ἀποστὰν, οἱ δὲ
φθάσαντες εἰς πόλιν τινὰ τοῦ Ἀσσυρίου μεγάλην, ἔνθα
καὶ αὐτὸς σὺν τοῖς ἵπποις καὶ τοῖς ἅρμασι κατέφυγεν
ὁ Ἀσσύριος.

10 Κῦρος μὲν δὴ διαπραξάμενος ταῦτα ἐπαναχωρεῖ εἰς τὴν [5]
Γαδάτου χώραν· καὶ προστάξας οἷς ἔδει ἀμφὶ τὰ αἰχμά-

γαδάτου E. *γαδάτα* A.D.G. *ἱππῆς* D. pr. *τὸν*] *δὲ τὸν* D.G. s. v. r. *δὲ*] *δὴ* D. *χρὴ ἀσμένους καὶ* D. *χρησαμένους καὶ ἡδέως* A.G. pr. *χρὴ ἀσμένους καὶ ἡδέως* G. corr. r. *ἐς* A.G. *λιμένας* D. *ἐκ* om. A.G. 7. *ἕως* N. *ὡς* A.G. *ἔστε* G. s. v. r. *ἔστε μὲν* D. *ἀντίοι* et *ἀντίος καὶ αὐτὸς ἦγεν ἐν τάξει* D. *ἐτράπησαν*] *στράποντο, ἐ* s. v. r. D. *ὁ*] *δὴ ὁ* D. om. G. *ἐκέλευσε διώκειν* D. *εἵπετο σὺν τοῖς ἄλλοις* D. 8. *ἔνθα* D. *ἡλίσκοντο* A.G. *καὶ ἐν π.—τῶν μὲν* om. A.G. mg. r. *τῶν ἡν.*] *τῶν* om. D. *ἀποκτείνουσι δὲ*] *ἀποκτείνουσιν* D. *γαδάτην* D. 9. *γαδάτου* E. *γαδάτα* A.D.G. *οἱ μὲν*] *οἱ πλεῖστοι αὐτῶν οἱ μὲν* D. *κατέφυγον* D. Zonaras. *κατέφευγον* A.G. *γαδάτα* D. *τοῦ* om. A. *τῶν* D. *ἅρμασι καὶ τοῖς ἵπποις* D. *κατέφυγεν* D. *κατέφευγεν* A.G. 10. *ἐπανεχώρει* D. *ε* ex altero *a* fecisse videtur corr. G., accentu non mutato. *γαδάτα* D. *οἷς ἔδει* om. D.

ἀσμένους] Hoc recepto pro *ἀσμένως*, quod est in nonnullis et librarii fere pro adjectivo supposuerunt, delendum duxi *ἡδέως*, quo *ἀσμένως* interpretantur grammatici, ut Hesychius. *Καὶ* autem, quod et ipsum abjiciendum foret, si deesset D., servandum visum.

7. *ἕως*] Conf. s. 38; 5, 3, 13. De *ἀντίος* ad 6, 3, 13.

ἐτράποντο] Egregiam lectionem pro *ἐτράπησαν* debes Altorfino. Nulla pugna cum Cyri exercitu præcessit, nec victi cesserunt, sed sponte sua fugam ceperunt. Ita est simplex *ἐτράποντο* Anabas. 5, 4, 24, et *φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο* 4, 8, 19. SCHN. *Τραπῆναι εἰς φυγὴν* sic Lycophr. 463, et Herodian. 1, 12, 17.

8. *ἡλίσκετο*] Pluralem cum neutro conjunctum librariorum, ut hic certe sequens arguit singularis, culpa illatum notavi præf. ad Anabasin p. xiii.

9. *φθάσαντες*] Intellige *κατέφυγον*. SCHN.

λωτα ἔχειν, εὐθὺς ἐπορεύετο, ὡς ἐπισκέψαιτο τὸν Γαδάταν
πῶς ἔχοι ἐκ τοῦ τραύματος. πορευομένῳ δὲ αὐτῷ ὁ Γαδά-
τας ἐπιδεδεμένος ἤδη τὸ τραῦμα ἀπαντᾷ. ἰδὼν δὲ αὐτὸν ὁ
Κῦρος ἥσθη τε καὶ εἶπεν, Ἐγὼ δὲ πρὸς σὲ ᾖα ἐπισκεψόμε-
11 νος ὅπως ἔχεις. Ἐγὼ δέ γ', ἔφη ὁ Γαδάτας, ναὶ μὰ τοὺς [6]
θεοὺς σὲ ἐπαναθεασόμενος ᾖα ὁποῖός τίς ποτε φαίνει ἰδεῖν
ὁ τοιαύτην ψυχὴν ἔχων· ὅστις οὔτ' οἶδα ἔγωγε ὅ τι νῦν
ἐμοῦ δεόμενος οὔτε μὴν ὑποσχόμενός γέ μοι ταῦτα πράξειν
οὔτ' εὖ πεπονθὼς ὑπ' ἐμοῦ εἴς γε τὸ ἴδιον οὐδ' ὁτιοῦν, ἀλλ'
ὅτι τοὺς φίλους ἔδοξά σοί τι ὀνῆσαι, οὕτω μοι προθύμως
ἐβοήθησας ὡς νῦν τὸ μὲν ἐπ' ἐμοὶ οἴχομαι, τὸ δ' ἐπὶ σοὶ
12 σέσωσμαι. οὐ μὰ τοὺς θεούς, εἰ ἦν οἷος ἔφυν ἐξ ἀρχῆς καὶ
ἐπαιδοποιησάμην, οὐκ οἶδ' ἂν εἰ ἐκτησάμην παῖδα τοιοῦτον
περὶ ἐμέ· ἐπεὶ ἄλλους τε οἶδα παῖδας καὶ τοῦτον τὸν νῦν
Ἀσσυρίων βασιλέα πολὺ πλείω ἤδη τὸν ἑαυτοῦ πατέρα
13 ἀνιάσαντα ἢ σὲ δύναται ἀνιᾶν. καὶ ὁ Κῦρος πρὸς ταῦτα [7]
εἶπεν ὧδε· Ὦ Γαδάτα, ἦ πολὺ μεῖζον παρεὶς θαῦμα ἐμὲ
νῦν θαυμάζεις. Καὶ τί δὴ τοῦτ' ἔστιν; ἔφη ὁ Γαδάτας.
Ὅτι τοσοῦτοι μέν, ἔφη, Περσῶν ἐσπούδασαν περὶ σέ,
τοσοῦτοι δὲ Μήδων, τοσοῦτοι δὲ Ὑρκανίων, πάντες δὲ οἱ
14 παρόντες Ἀρμενίων καὶ Σακῶν καὶ Καδουσίων. καὶ ὁ
Γαδάτας ἐπηύξατο, Ἀλλ', ὦ Ζεῦ, ἔφη, καὶ τούτοις πόλλ'
ἀγαθὰ δοῖεν οἱ θεοί, καὶ πλεῖστα τῷ αἰτίῳ τοῦ καὶ τούτους

ἐπισκέψοιτο A.G. γαδάτην D. ὅπως ἔχει D. ἔχει pr. etiam G., ut videtur, qui οι in ras. et lit. τραύματος] στρατεύματος D. pr. ἤδη ὁ γαδάτης ἐπ. τὸ τρ. ἀπήντα D. ὁ κῦρος αὐτὸν D. πρὸς σὲ (ἔφη add. mg. ead. m.) ἐπισκ. πῶς ἔχοις ἐπορευόμην D. ᾖα] ἤϊα A.G. 11. ἐγὼ δὲ εἶπεν ὁ γαδάτης D. ᾖα] ἤϊα A.D.G. ὁποῖός τις ποτε] ὅστις A.G. Libri φαίνῃ. ἔγωγε ὅ τι νῦν] ἐγὼ ὅτι D. οὔτ' εὖ] οὔτε μὴν εὖ D. σοι ἔδοξά τι D. ὀνῆσαι] ὠνῆσαι A.G. pr., ut videtur. οὕτως A.D. τὸ μὲν—σέσωσμαι citat Priscian. vol. 2, p. 263, emendandus ex cod. Monac. ap. Spengel. ad Varron. p. 632. ἐπ' ἐμοὶ] ἐν ἐμοὶ D. 12. θεοὺς] ὦ κῦρε add. D. οἷος] οἷς D. οὐκ οἶδα εἰ ἐκτησάμην παῖδα ποτ' ἂν D. τε om. D. τὸν νῦν] νῦν τὸν A.G. ἀσσύριον G. corr. s. v. r. ἤδη] δὴ D. αὐτοῦ D. δύναται] νῦν add. D. δύνανται G. puncto notans ν. δύναμιν, s. v. ead. m. ται, L. 13. περσῶν ἔφη D. ἀρμενίων in lit. D. 14. γαδάτης D. ἐπηύξατο P. ἐπεύξατο A.D.G.

12. οὐκ οἶδ' ἂν εἰ ἐκτησάμην] De particula ἂν posita ante εἰ, quum verbo, quod regit εἰ, esset postponenda, v. Elmslei. ad Eur. Med. 911. Legitimo ordine supra 1, 6, 41: Οὐκ οἶδα εἴ τινας λίποις ἂν τῶν πολεμίων, et alibi. Ulterius transposita particula Plato Tim. p. 26 B: Ἐγὼ γὰρ ἃ μὲν χθὲς ἤκουσα οὐκ ἂν οἶδα εἰ δυναίμην ἅπαντα ἐν μνήμῃ πάλιν λαβεῖν.

14. ἐπηύξατο] Sic est 4, 2, 12. V. præf. ad Anab. p. xi.

τοιούτους εἶναι. ὅπως μέντοι οὓς ἐπαινεῖς τούτους, ὦ Κῦρε,
ξενίσωμεν καλῶς, δέχου τάδε ξένια οἷα ἐγὼ δύναμαι. ἅμα
δὲ προσῆγε πάμπολλα, ὥστε καὶ θύειν τὸν βουλόμενον
καὶ ξενίζεσθαι πᾶν τὸ στράτευμα ἀξίως τῶν καλῶς πεποι-
ημένων καὶ καλῶς συμβάντων.

Ὁ δὲ Καδούσιος ὠπισθοφυλάκει καὶ οὐ μετέσχε τῆς [8]
διώξεως· βουλόμενος δὲ καὶ αὐτὸς λαμπρόν τι ποιῆσαι,
15 οὔτε ἀνακοινωσάμενος οὔτε εἰπὼν οὐδὲν Κύρῳ καταθεῖ τὴν
πρὸς Βαβυλῶνα χώραν. διεσπαρμένοις δὲ τοῖς ἵπποις αὐ-
τοῦ ἀπιὼν ὁ Ἀσσύριος ἐκ τῆς ἑαυτοῦ πόλεως, οἷ κατέφυγε,
συντυγχάνει μάλα συντεταγμένον ἔχων τὸ ἑαυτοῦ στρά-
τευμα. ὡς δ' ἔγνω μόνους ὄντας τοὺς Καδουσίους, ἐπιτί-
θεται, καὶ τόν τε ἄρχοντα τῶν Καδουσίων ἀποκτείνει καὶ
16 ἄλλους πολλοὺς, καὶ ἵππους τινὰς λαμβάνει τῶν Καδου-
σίων καὶ ἣν ἄγοντες λείαν ἐτύγχανον ἀφαιρεῖται. καὶ ὁ
μὲν Ἀσσύριος διώξας ἄχρι οὗ ἀσφαλὲς ᾤετο εἶναι ἀπε-
τράπετο· οἱ δὲ Καδούσιοι ἐσώζοντο πρὸς τὸ στρατόπεδον
ἀμφὶ δείλην οἱ πρῶτοι. Κῦρος δὲ ὡς ᾔσθετο τὸ γεγονὸς,
ἀπήντα τε τοῖς Καδουσίοις καὶ ὅντινα ἴδοι τετρωμένον ἀνα- [9]
17 λαμβάνων τοῦτον μὲν ὡς Γαδάταν ἔπεμπεν, ὅπως θερα-
πεύοιτο, τοὺς δ' ἄλλους συγκατεσκήνου καὶ ὅπως τἀπιτή-

ὅπως] καὶ ὅπως D. ξενίσωμεν] καὶ ξενίσωμεν G. καλῶς] καὶ ἄλλως A.G. τάδε] τὰ D. πάμπολλα] πάντα πολλὰ A.G. pr. παμπολλὰ G. corr. πάντα παμπολλὰ D. καλῶς π.] καλῶν π. A.G. corr. s. v. r. 15. οὐδὲν εἰπὼν G. τῷ κύρῳ D. κατέθει D. pr. διεσπαρμένος A.G. pr., οις s. v. r. διεσπασμένους D. pr., -οις corr. οἷ] Libri et Zonaras οὗ. Cui δὴ add. D. μάλα] μάλα δὴ D. αὐτοῦ D. 16. τινὰς] δὲ πολλοὺς D. δέ τινας M. ἄχρι H. ἄχρις A.G. μέχρι D. 17. ἀπήντα τε] ὑπήντα D. γαδάτην D. ἀπέπεμπεν D. θεραπεύσοιτο A.G. Libri τὰ ἐπιτήδεια.

πάμπολλα] Intellige aut ξένια aut πρόβατα vel varii generis animalia. Verum deinde θύειν distinguitur a ξενίζεσθαι: itaque non sola pecora intelligenda videntur: nisi ξενίζεσθαι cœnam sine sacrificio significat. Supra 5, 3, 2: Ἐξένισεν ἡμᾶς πολλοῖς ἀγαθοῖς ὁ Γωβρύας: ut commode hic intelligere πάμπολλα ἀγαθὰ liceat. SCHN.

15. οἷ] De illato sæpe οὗ pro οἷ dixi ad Thes. Steph. v. Οὗ, vol. 5, p. 2359 A. Nec defendit οὗ Hist. Gr. 4, 5, 5: Οἱ ἐν τῷ Ἡραίῳ καταπεφευγότες, Thuc. 4, 14, aut ἔνθα s. 9. V. Heindorf. ad Plat. Soph. p. 428.

17. συγκατεσκήνου] Si συγκατασκηνοῦν est omnes simul recipere in tabernacula vel tentoria, tum vereor ne male consultum fuerit curæ infirmorum: quodsi voluit dicere Xen. assignatum et distributum tabernaculis Persarum certum Cadusiorum ex fuga redeuntium numerum fuisse, tum dativus addi debuisse videtur. Sed in usu præp. σὺν nimis liberalis fuit hic librarius. Ita enim συνεπεμελεῖτο est pro ἐπεμελεῖτο, cum sequatur συνεπιμελητάς. Deinde συνεπιπονεῖν Suidas in ἐπιπονεῖν mutat. SCHN. Utrumque σὺν est *una cum aliis*.

δεια ἕξουσι συνεπεμέλετο, παραλαμβάνων Περσῶν τῶν
ὁμοτίμων συνεπιμελητάς· ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ
18 ἐπιπονεῖν ἐθέλουσι. καὶ ἀνιώμενος μέντοι ἰσχυρῶς δῆλος
ἦν, ὡς καὶ τῶν ἄλλων δειπνούντων, ἡνίκα ὥρα ἦν, Κῦρος
ἔτι σὺν τοῖς ὑπηρέταις καὶ τοῖς ἰατροῖς οὐδένα ἑκὼν ἀτη-
μέλητον παρέλειπεν, ἀλλ' ἢ αὐτόπτης ἐφεώρα ἢ εἰ μὴ
αὐτὸς ἐξανύτοι, πέμπων φανερὸς ἦν τοὺς θεραπεύσοντας.
19 Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. ἅμα δὲ τῇ ἡμέρᾳ
κηρύξας συνιέναι τῶν μὲν ἄλλων τοὺς ἄρχοντας, τοὺς δὲ
Καδουσίους ἅπαντας, ἔλεξε τοιάδε.

Ἄνδρες σύμμαχοι, ἀνθρώπινον τὸ γεγενημένον· τὸ γὰρ
ἁμαρτάνειν ἀνθρώπους ὄντας οὐδὲν, οἶμαι, θαυμαστόν. ἄξιοί
γε μέντοι ἐσμὲν τοῦ γεγενημένου πράγματος τούτου ἀπο-
λαῦσαί τι ἀγαθὸν, τὸ μαθεῖν μήποτε διασπᾶν ἀπὸ τοῦ
ὅλου δύναμιν ἀσθενεστέραν τῆς τῶν πολεμίων δυνάμεως.
20 καὶ οὐ τοῦτο, ἔφη, λέγω ὡς οὐ δεῖ ποτε καὶ ἐλάττονι ἔτι
μορίῳ ἰέναι, ὅπου ἂν δέῃ, ᾗ νῦν ὁ Καδούσιος ᾤχετο· ἀλλ'
ἐάν τις κοινούμενος ὁρμᾶται τῷ ἱκανῷ βοηθῆσαι, ἔστι μὲν
ἀπατηθῆναι, ἔστι δὲ τῷ ὑπομένοντι ἐξαπατήσαντι τοὺς
πολεμίους ἄλλοσε τρέψαι ἀπὸ τῶν ἐξεληλυθότων, ἔστι δὲ

ἕξουσι] ἔχοιεν D. Libri συνεπεμελεῖτο. τοῖς τοιούτοις] τοσούτοις D. συνεπιπονεῖν D.G. s. v. r. ἐθέλουσι] καὶ ἀνεῖν ἐθέλουσι add. A.G. Suidas: Ἀνεῖν· Ξενοφῶν· Ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσι καὶ ἀνεῖν. 18. μέντοι] αὐτὸς add. D. ὡς] ὃς A.G. ἡνίκα] ἡνίκα ἤδη D. κατέλειπεν A.G. ἀφεώρα D. ἐξανύσοι G. θεραπεύσοντας Juntina. θεραπεύοντας A.D.G. 19. πάντας D. ξύμμαχοι G. ἀνθρώπινον] μὲν add. D. τὸ γ.] πάθος add. D.G. mg. r. οἴομαι A.G. ἄξιον μέντοι γε ἡμῖν D. τούτου πρ. D. 20. οὐ] οὐχὶ M. δεῖ ποτε] δήποτε D. δεῖ] η s. v. r. G. εἴτι ἐλλάσσονι (sic) D. ὅπου ἂν M.P. που ἂν A.G. ὁπότ' ἂν D. ἐάν] ἢν D. κινούμενος D.

ἐπιπονεῖν] Sic est in Rep. Laced. 2, 5, ἀσιτήσαντας ἐπιπονῆσαι. Est labori justo adjicere ultro, quod postulare nemo possit. Iterum Hist. Gr. 6, 1, 4: Ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πράξωσιν οἱ στρατιῶται. Verba καὶ ἀνεῖν, quæ inserunt nonnulli, Abreschius Obs. Misc. vol. 5, p. 96, in καὶ ἄνειν mutari voluit, sed de significatione verbi nihil extricavit. Mihi videntur ex sequentibus orta, quæ nullo modo hic tolerari posse pronunciavit etiam Valckenar. ad Herodotum 7, 20. SCHN.

διασπᾶν] Conf. Anab. 6, 4, 10 s. ZEUN.

20. ἐλάττονι μορίῳ] Infra 6, 1, 23: Εἴποτε καὶ πρόσω τῇ ἰσχύι ἀποστρατοπεδεύσαιντο. SCHN.

ὅπου ἂν δέῃ] V. ad 7, 5, 68.

ἔστι μὲν ἀπατηθῆναι] Potest interdum aberrare et excidere ausis, qui hosti imprudenti insidiari cogitabat. At vero, si ita acciderit, potest tamen auxilium exercitus, qui remansit, sperare. Hoc est: ἔστι δὲ τῷ ὑπομένοντι ἐξαπατήσαντι — παρέχειν. SCHN. Quomodo hostes numero superiores possint lacessi exponit Hipparch. c. 8. ZEUN.

ἄλλα παρέχοντα πράγματα τοῖς πολεμίοις τοῖς φίλοις
ἀσφάλειαν παρέχειν· καὶ οὕτω μὲν οὐδ' ὁ χωρὶς ὢν ἀπέ-
σται, ἀλλ' ἐξαρτήσεται τῆς ἰσχύος· ὁ δὲ ἀπεληλυθὼς μὴ
ἀνακοινωσάμενος οὐδὲν διάφορον πάσχει ἢ εἰ μόνος ἐστρα-
21 τεύετο. ἀλλ' ἀντὶ μὲν τούτου, ἔφη, ἐὰν θεὸς θέλῃ, ἀμυ-
νούμεθα τοὺς πολεμίους οὐκ εἰς μακράν. ἀλλ' ἐπειδὰν
τάχιστα ἀριστήσητε, ἄξω ὑμᾶς ἔνθα τὸ πρᾶγμα ἐγένετο·
καὶ ἅμα μὲν θάψομεν τοὺς τελευτήσαντας, ἅμα δὲ δείξο-
μεν τοῖς πολεμίοις ἔνθα κρατῆσαι νομίζουσιν ἐνταῦθα
ἄλλους αὐτῶν κρείττους, ἢν θεὸς θέλῃ· καὶ ὅπως γε μηδὲ
τὸ χωρίον ἡδέως ὁρῶσιν ἔνθα κατέκανον ἡμῶν τοὺς συμ-
μάχους· ἐὰν δὲ μὴ ἀντεπεξίωσι, καύσομεν αὐτῶν τὰς
κώμας καὶ δῃώσομεν τὴν χώραν, ἵνα μὴ ἃ ἡμᾶς ἐποίησαν
ὁρῶντες εὐφραίνωνται, ἀλλὰ τὰ ἑαυτῶν κακὰ θεώμενοι
22 ἀνιῶνται. οἱ μὲν οὖν ἄλλοι, ἔφη, ἀριστᾶτε ἰόντες· ὑμεῖς
δὲ, ὦ Καδούσιοι, πρῶτον μὲν ἀπελθόντες ἄρχοντα ὑμῶν
αὐτῶν ἕλεσθε ᾗπερ ὑμῖν νόμος, ὅστις ὑμῶν ἐπιμελήσεται
σὺν τοῖς θεοῖς καὶ σὺν ἡμῖν, ἤν τι προσδέησθε· ἐπειδὰν δὲ
ἕλησθε καὶ ἀριστήσητε, πέμψατε πρός με τὸν αἱρεθέντα.
23 οἱ μὲν δὴ ταῦτ' ἔπραξαν· ὁ δὲ Κῦρος ἐπεὶ ἐξήγαγε τὸ [11]
στράτευμα, κατέστησεν εἰς τάξιν τὸν ᾑρημένον ὑπὸ τῶν
Καδουσίων καὶ ἐκέλευσε πλησίον αὐτοῦ ἄγειν τὴν τάξιν,
ὅπως, ἔφη, ἂν δυνώμεθα, ἀναθαρρύνωμεν τοὺς ἄνδρας.
οὕτω δὴ ἐπορεύοντο· καὶ ἐλθόντες ἔθαπτον μὲν τοὺς Κα-

οὐδ' ὁ] οὐδὲ A.G. ἀπελθὼν D. ἀνακοινωσάμενος] ὅπου ἂν ᾖ add. D. ὅπου ἂν εἴη G. mg. r. οὐδὲν διάφορον] οὐδέν τι διάφορόν τι D. 21. ἣν D. τάχιστα om. D. ἄξω] ἔξω G. corr. s. v. r. ὑμᾶς] ὑμᾶς ἐγὼ D. τοὺς πολεμίους D. νομίσουσιν A.G. pr. κατέκανον] κατέκαινον D. ἀπέκτειναν A.G. ἣν D. καύσομεν C. καύσωμεν A.D.G. δῃώσωμεν A.G. 22. ἤν] ἄν A.G. προσδεη (in fine versus et novi initio) ησθε D. προσδεήσεσθε G. et L. pr. προσδεήσησθε L. corr. ἐπειδὰν—ἀριστήσητε] καὶ ἀριστήσαντες D. ἀριστήσετε A.G. ἐμὲ D. 23. ἐπειδὴ D. κατέστησεν] καὶ κατέστησεν D. ἑαυτοῦ D. ἀναθαρύνωμεν D. μὲν om. A.G.

21. ὅπως—ὁρῶσιν dicta sunt quasi præmisso ποιήσομεν. Non multo aliter Anabas. 7, 7, 30: Ποτέρως οὖν οἴει μᾶλλον ἂν φοβεῖσθαί τε αὐτοὺς καὶ σωφρονεῖν τὰ πρὸς σὲ, εἰ ὁρῷέν σοι τοὺς στρατιώτας οὕτω διακειμένους ὡς νῦν τε μένοντας ἂν, εἰ σὺ κελεύοις, αὖθίς τ' ἂν ταχὺ ἐλθόντας, εἰ δέοι, ἄλλους τε τούτων περὶ σοῦ ἀκούοντας πολλὰ ἀγαθὰ ταχὺ ἄν σοι παραγενέσθαι—: ubi aut παραγενομένους sequi post ὁρῷεν aut δοκοῖεν ante παραγενέσθαι poni oportuerat.

22. προσδέησθε] Intell. ἡμῶν.

23. Verba τὰ ἐπιτήδεια — ἔχοντες demonstrant curam, quæ agrum Gadatæ omnem et ditionem integram atque illæsam servare studuit Cyrus. SCHN.

δουσίους, ἐδῄουν δὲ τὴν χώραν. ποιήσαντες δὲ ταῦτα ἀπῆλθον τἀπιτήδεια ἐκ τῆς πολεμίας ἔχοντες πάλιν εἰς τὴν Γαδάτου.

24 Ἐννοήσας δὲ ὅτι οἱ πρὸς αὐτὸν ἀφεστηκότες ὄντες [12] πλησίον Βαβυλῶνος κακῶς πείσονται, ἢν μὴ αὐτὸς ἀεὶ παρῇ, οὕτως ὅσους τε τῶν πολεμίων ἀφίει, τούτους ἐκέλευε λέγειν τῷ Ἀσσυρίῳ, καὶ αὐτὸς κήρυκα ἔπεμψε πρὸς αὐτὸν ταὐτὰ λέγοντα, ὅτι ἕτοιμος εἴη τοὺς ἐργαζομένους τὴν γῆν ἐᾶν καὶ μὴ ἀδικεῖν, εἰ κἀκεῖνος βούλοιτο ἐᾶν ἐργάζεσθαι τοὺς τῶν πρὸς ἑαυτὸν ἀφεστηκότων ἐργάτας.
25 καίτοι, ἔφη, σὺ μὲν ἢν καὶ δύνῃ κωλύειν, ὀλίγους τινὰς κωλύσεις· ὀλίγη γάρ ἐστι χώρα ἡ τῶν πρὸς ἐμὲ ἀφεστηκότων· ἐγὼ δὲ πολλὴν ἄν σοι χώραν ἐῴην ἐνεργὸν εἶναι. εἰς δὲ τὴν τοῦ καρποῦ κομιδήν, ἐὰν μὲν πόλεμος ᾖ, ὁ ἐπικρατῶν, οἶμαι, καρπώσεται· ἐὰν δὲ εἰρήνη, δῆλον, ἔφη, ὅτι σύ. ἐὰν μέντοι τις ἢ τῶν ἐμῶν ὅπλα ἀνταίρηται σοὶ ἢ τῶν σῶν ἐμοί, τούτους, ἔφη, ὡς ἂν δυνώμεθα ἑκάτεροι
26 ἀμυνούμεθα. ταῦτα ἐπιστείλας τῷ κήρυκι ἔπεμψεν αὐτόν. [13]
οἱ δὲ Ἀσσύριοι ὡς ἤκουσαν ταῦτα, πάντα ἐποίουν πείθοντες τὸν βασιλέα συγχωρῆσαι ταῦτα καὶ ὅτι μικρότατον τοῦ

ἔχοντες post ἐπιτήδεια B. Libri τὰ ἐπιτήδεια. γαδάτου E. γαδάτα A.D. 24. καλῶς A.G. pr. πήσονται A. ἂν A.G. αἰεὶ A.G. om. D. οὕτως —ἀφίει om. A. ἀφίει] ἀφίῃ D.G. τούτους] καὶ τούτους D.G. mg. r. ἐκέλευσε A.G. ἔπεμψα G. pr. ταὐτὰ] ταῦτα A.D.G. om. B. λέγων G. ἐᾶν post ἕτοιμος εἴη D. κἀκεῖνος] καὶ ἐκεῖνος A.G. ἐκεῖνος D. αὐτὸν D. 25. ἢν] ἂν A.G. κωλύεις A.G. χώρα] γῆ D. ἂν om. A.G. χώραν] γῆν D. ἐὰν] ἢν D. κρατῶν D. ἢν δὲ εἰρήνη γένηται D. δῆλον ὅτι σὺ ἔφη D. ἢν D. ὅπλα] ὁπλιτῶν A.G. pr. 26. ἔπεμψεν αὐτόν] ἀπέπεμπεν D. ὡς] ἐπεὶ D. πάντες D. ἐποίουν πείθοντες] ἐπέπειθόν τε A.G. σμικρότατον et εἰ s. v. r. D. εἰς σμικρότατον A. εἰς μικρότατον G.

24. ταὐτὰ] V. ad 6, 1, 25.
τοὺς ἐργ.—ἐᾶν] Pactum egregium de parcendo agricolis inter arma verbis saltem translatum fuit in fœdus ictum inter Americanos colonos et regem Borussiæ maximum Fridericum II, nisi fallor. Morem Indorum eundem commemoravit Diodorus 2, 36. SCHN. Ubi v. Wesseling. Tum κἀκεῖνος postulabat constans usus Xenophontis. V. ad Anab. 7, 6, 32.
25. εἰς δὲ τὴν] Camerarius vertit: *quo tempore autem fruges percipi solent.* Est: *quantum autem ad messem attinet.* Sic infra 8, 8, 6: Εἴς γε μὴν χρήματα τῇδε ἀδικώτεροι. Anab. 1, 9, 16: Εἴς γε μὴν δικαιοσύνην, εἴ τις αὐτῷ φανερὸς γένοιτο ἐπιδείκνυσθαι βουλόμενος. SCHN. Recte Camerarius.
26. μικρότατον] Formæ σμικρὸς adeo exigua fides est 2, 2, 3; 6, 2, 4; 8, 6, 14, H. Gr. 7, 5, 5, Comment. 3, 11, 12, ut hic quoque tollendam duxerim neque Xenophonti tribuendam. Œcon. 8, 11, Guelf. ἐν μικροτάτῳ addito ead. manu σ.

27 πολέμου λιπεῖν. καὶ ὁ Ἀσσύριος μέντοι εἴτε καὶ ὑπὸ τῶν
ὁμοφύλων πεισθεὶς εἴτε καὶ αὐτὸς οὕτω βουληθεὶς συνήνε-
σε ταῦτα· καὶ ἐγένοντο συνθῆκαι τοῖς μὲν ἐργαζομένοις
28 εἰρήνην εἶναι, τοῖς δὲ ὁπλοφόροις πόλεμον. ταῦτα μὲν δὴ
διεπέπρακτο περὶ τῶν ἐργατῶν ὁ Κῦρος· τὰς μέντοι νομὰς
τῶν κτηνῶν τοὺς μὲν ἑαυτοῦ φίλους ἐκέλευσε καταθέσθαι,
εἰ βούλοιντο, ἐν τῇ ἑαυτῶν ἐπικρατείᾳ· τὴν μέντοι τῶν
πολεμίων λείαν ἦγον ὁπόθεν δύναιντο, ὅπως εἴη ἡ στρα-
τεία ἡδίων τοῖς συμμάχοις. οἱ μὲν γὰρ κίνδυνοι οἱ αὐτοὶ
καὶ ἄνευ τοῦ λαμβάνειν τἀπιτήδεια, ἡ δ' ἐκ τῶν πολεμίων
τροφὴ κουφοτέραν τὴν στρατείαν ἐδόκει παρέχειν.
29 Ἐπεὶ δὲ παρεσκευάζετο ἤδη ὁ Κῦρος ὡς ἀπιών, παρῆν [14]
ὁ Γαδάτας ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ
ἄγων ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγε πολλοὺς
ἀφελόμενος τῶν ἑαυτοῦ ἱππέων οἷς ἠπιστήκει διὰ τὴν ἐπι-
30 βουλήν. ὡς δ' ἐπλησίασεν, ἔλεξε τοιάδε. Ὦ Κῦρε, νῦν
μέν σοι ἐγὼ ταῦτα δίδωμι ἐν τῷ παρόντι, καὶ χρῶ αὐτοῖς,
ἐὰν δέῃ τι· νόμιζε δ', ἔφη, καὶ τἄλλα πάντα τἀμὰ σὰ
εἶναι. οὔτε γὰρ ἔστιν οὔτ' ἔσται ποτὲ ὅτῳ ἐγὼ ἀπ' ἐμοῦ
φύντι καταλείψω τὸν ἐμὸν οἶκον· ἀλλ' ἀνάγκη, ἔφη, σὺν
ἐμοὶ τελευτῶντι πᾶν ἀποσβῆναι τὸ ἡμέτερον γένος καὶ
31 ὄνομα. καὶ ταῦτα, ἔφη, ὦ Κῦρε, ὄμνυμί σοι θεούς, οἳ καὶ

27. εἴτε καὶ ὑπὸ] εἴτε ὑπὸ D. μὲν om. A.G. pr. 28. διεπ. post ἐργατῶν D. μέντοι] δὲ D.G. s. v. r. μὲν ἑαυτοῦ] υ in ras. G. ἦγεν D. pr. δύναιντο] ν s. v. r. D. εἴη] ἢ A.G. στρατιὰ D.G. Libri τὰ ἐπιτήδεια. στρατιὰν D. 29. ὁ κῦρος ἤδη D. γαδάτης D. τε] γε A.G. δὲ ἦγε] γε et δὲ ἢ s. v. r. D. ἠπιστήκει] ἐφειστήκει A.D. corr., G. 30. ἔλεξε τοιάδε] ἔλεξεν ὧδε D. ἐγὼ ταῦτα H. ἔγωγ' αὐτὰ A.G. ἐγὼ ἄγω ταῦτα D., omisso δίδωμι, et mox ἵνα ἐν τῷ π. χρῶ, sed pr. χρῇ. ἄν τι δέῃ D. τἀμὰ] τὰ ἐμὰ D. ὅτῳ] ὅτε G. pr. ἀποσβεννῦναι G.M. 31. τοὺς θεοὺς D.

28. *νομὰς κτηνῶν* dicit greges pecorum armentorumque pascentium. SCHN. Anab. 3, 5, 2: *Νομαὶ πολλαὶ βοσκημάτων.* Hesychio *βοσκήματα.*

εἰ βούλοιντο] Ducibus sociorum permisit armenta et pecora sua congregare in regionem Cyri armis occupatam ibique quasi in loco tuto deponere, *καταθέσθαι*, cum interea hostium armenta undique compellerentur et prædæ loco haberentur. Weiskius sententiam loci hanc esse putabat: ut sociorum in sua quisque ditione pasceret, neque ea res communis haberetur; contra ex hostico promiscue, unde quisque posset, pecudes abigeret. SCHN. Recte Schneiderus. *Ἑαυτῶν* comprehendit Persas eorumque socios.

λεία sunt armenta in hostium agris pascuis palantia. SCHN. Cum genit. etiam Thuc. 6, 95: *Ἐσβαλόντες ἐς τὴν Θυρεᾶτιν λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον.* HUTCH.

29. *τὴν ἐπιβουλὴν*] 5, 4, 5.

31. *ταῦτα—ἔπαθον*] 5, 2, 28.

ὁρῶσι πάντα καὶ ἀκούουσι πάντα, οὔτε ἄδικον οὔτ' αἰ-
σχρὸν οὐδὲν οὔτ' εἰπὼν οὔτε ποιήσας ἔπαθον. καὶ ἅμα
ταῦτα λέγων κατεδάκρυσε τὴν ἑαυτοῦ τύχην καὶ οὐκέτι
ἐδυνήθη πλείω εἰπεῖν.
32 Καὶ ὁ Κῦρος ἀκούσας τοῦ μὲν πάθους ᾤκτειρεν αὐτὸν, [15]
ἔλεξε δὲ ὧδε. Ἀλλὰ τοὺς μὲν ἵππους δέχομαι, ἔφη· σέ
τε γὰρ ὠφελήσω εὐνουστέροις δοὺς αὐτοὺς ἢ νῦν σοι εἶχον,
ὡς ἔοικεν, ἐγώ τε οὗ δὴ πάλαι ἐπιθυμῶ, τὸ Περσῶν ἱππι-
κὸν θᾶττον ἐκπληρώσω εἰς τοὺς μυρίους ἱππέας· τὰ δ'
ἄλλα χρήματα σὺ ἀπαγαγὼν φύλαττε, ἔστ' ἂν ἐμὲ ἴδῃς
ἔχοντα ὥστε σοῦ μὴ ἡττᾶσθαι ἀντιδωρούμενον· εἰ δὲ
πλείω μοι διδοὺς ἀπίοις ἢ λαμβάνοις παρ' ἐμοῦ, μὰ τοὺς
33 θεοὺς οὐκ οἶδ' ὅπως ἂν δυναίμην μὴ αἰσχύνεσθαι. πρὸς [16]
ταῦτα ὁ Γαδάτας εἶπεν, Ἀλλὰ ταῦτα μὲν, ἔφη, πιστεύω
σοι· ὁρῶ γάρ σου τὸν τρόπον· φυλάττειν μέντοι ὅρα εἰ
34 ἐπιτήδειός εἰμι. ἕως μὲν γὰρ φίλοι ἦμεν τῷ Ἀσσυρίῳ,
καλλίστη ἐδόκει εἶναι ἡ τοῦ ἐμοῦ πατρὸς κτῆσις· τῆς γὰρ
μεγίστης πόλεως Βαβυλῶνος ἐγγὺς οὖσα ὅσα μὲν ὠφε-
λεῖσθαι ἔστιν ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπελαύομεν,
ὅσα δὲ ἐνοχλεῖσθαι, οἴκαδε δεῦρ' ἀπιόντες τούτων ἐκποδὼν
ἦμεν· νῦν δ' ἐπεὶ ἐχθροί ἐσμεν, δῆλον ὅτι ἐπειδὰν σὺ
ἀπέλθῃς, καὶ αὐτοὶ ἐπιβουλευσόμεθα καὶ ὁ οἶκος ὅλος, καὶ,
οἶμαι, λυπηρῶς βιωσόμεθα ὅλως τοὺς ἐχθροὺς καὶ πλησίον
35 ἔχοντες καὶ κρείττους ἡμῶν αὐτῶν ὁρῶντες. τάχ' οὖν εἴποι

ἀκούουσι πάντα] ἀκούουσιν D. οὔτε αἰσχρὸν] οὐδὲ αἰσχρὸν A. οὐδ' αἰσχρὸν G. εἰπὼν] ω in lit. D., qui pr. etiam οὔτ' ἐποίησας. τὴν αὐτὸς αὐτοῦ D., αὐτὸς punctis notans infra positis. ἠδυνήθη A.G. ἐδυνάσθη D. 32. οἰκτρῶς mg. G. εὐνουστέροις] τοῖς εὐνουστέροις G. ἢ] οἳ add. D.G. s. v. r. οἱ I.M. οὗ] ὃ A.G. pr. οὖν D. ἐπιθυμῶν D. ἐπεθύμουν G. s. v. r. τοῦ—ἱππικοῦ D. περσῶν] τῶν περσῶν G. ἐκπλήσω D. ἱππεῖς A.G. corr. ἵπποις G. pr. σὺ ἀπαγαγὼν] συναπαγαγὼν A.G. corr. συναπαγὼν G. pr. φύλαττε] ἔφη add. D. ἐμὲ] με D. ἕστ' G. εἰδῇς A.D. pr. G. δοὺς D. οἶδ' ὅπως] οἶδα πῶς A.G. 33. γαδάτης D. ἔφη om. D. ὅρα εἰ] ἔφη ἄρα D. corr. ἆρα pr. ἄρα s. v. r. G. 34. καλλίστη δὴ D. ἐκποδῶν A.D.G. ὅλως om. D. 35. τις εἴποι D.

31. πάντα—πάντα] Conf. Comment. 1, 4, 18. ZEUN.

ἐδυνήθη] In formis ἐδυνήθην et ἐδυνάσθην ita ludunt libri Xenophontis, ut etiam ubi in ἐδυνάσθην conveniunt (v. Schneider. ad H. Gr. 2, 3, 33) fallere videantur, ut libri Tragicorum, de quibus Elmslei. ad Soph. Œd. T. 1216.

32. Ἀλλὰ δέχομαι] V. 4, 5, 51.

εὐνουστέρους ἢ νῦν σοι εἶχον] Conf. 5, 4, 20. Demosth. p. 325, 18: Τὸν τειχισμὸν, ὃν σύ μου διέσυρες.

34. οὖσα] Conf. ἐφεπομένη 6, 3, 2.

ὅλως] Nisi ex ὅλος natum, cum λυπηρῶς conjungendum.

τις ἄν· τί δῆτα οὐχ οὕτως ἐνενοοῦ πρὶν ἀποστῆναι; ὅτι, ὦ Κῦρε, ἡ ψυχή μου διὰ τὸ ὑβρίσθαι καὶ ὀργίζεσθαι οὐ τὸ ἀσφαλέστατον σκοποῦσα διῆγεν, ἀλλ' ἀεὶ τοῦτο κυοῦσα, ἆρά ποτε ἔσται ἀποτίσασθαι τὸν καὶ θεοῖς ἐχθρὸν καὶ ἀνθρώποις, ὃς διατελεῖ μισῶν, οὐκ ἤν τίς τι αὐτὸν ἀδικῇ,
36 ἀλλ' ἐάν τινα ὑποπτεύσῃ βελτίονα ἑαυτοῦ εἶναι. τοιγαροῦν, οἶμαι, αὐτὸς πονηρὸς ὢν πᾶσι πονηροτέροις ἑαυτοῦ συμμάχοις χρήσεται. ἐὰν δέ τις ἄρα καὶ βελτίων αὐτοῦ φανῇ, θάρρει, ἔφη, ὦ Κῦρε, οὐδέν σε δεήσει τῷ ἀγαθῷ ἀνδρὶ μάχεσθαι, ἀλλ' ἐκεῖνος τούτῳ ἀρκέσει μηχανώμενος, ἕως ἂν ἕλῃ τὸν ἑαυτοῦ βελτίονα. τοῦ μέντοι ἐμὲ ἀνιᾶν καὶ σὺν πονηροῖς ῥᾳδίως, οἶμαι, κρείττων ἔσται.

37 Ἀκούσαντι ταῦτα τῷ Κύρῳ ἔδοξεν ἄξια ἐπιμελείας [17] λέγειν· καὶ εὐθὺς εἶπε, Τί οὖν, ἔφη, ὦ Γαδάτα, οὐχὶ τὰ μὲν τείχη φυλακῇ ἐχυρὰ ἐποιήσαμεν, ὅπως ἄν σοι σᾶ ᾖ χρῆσθαι ἀσφαλῶς, ὁπόταν εἰς αὐτὰ ἴῃς· αὐτὸς δὲ σὺν ἡμῖν στρατεύει, ἵνα ἢν οἱ θεοὶ ὥσπερ νῦν σὺν ἡμῖν ὦσιν, οὗτος σὲ φοβῆται, ἀλλὰ μὴ σὺ τοῦτον; ὅ τι δὲ ἡδύ σοι ὁρᾶν τῶν σῶν ἢ ὅτῳ συνὼν χαίρεις, ἔχων σὺν ἑαυτῷ πορεύου. καὶ σύ τ' ἂν ἐμοὶ, ὥς γ' ἐμοὶ δοκεῖ, πάνυ χρήσιμος

τί] καὶ τί D. οὐχ οὕτως] ταῦτα οὐκ D. αἰεὶ A.G. κύουσ' A.G. κύουσα D. ἀποτίσεσθαι A.G. ισ in lit. D. διατελεῖ] ιατελ in lit. D. ἀδικήσῃ D. ἥν D. αὐτοῦ D. 36. αὐτοῦ D. ξυμμάχοις G. ἣν D. ἀρκέσει τοῦτο D. ἕως ἂν ἕλῃ E.P. ἕως ἀνέλῃ A.G. ὡς ἀπολέσει D. συμπονηροῖς A. σὺν τοῖς πονηροῖς D. 37. τῷ κύρῳ ταῦτα D. ἄξια mg. r. D. ἰσχυρὰ D. ἐποίησας D.G. corr. σᾶ] σῶα A.G. om. D. ᾖ] εἴη D. αὐτὸν D. εἴης D. pr. Libri στρατεύῃ. φοβεῖται D. ἢ] ᾖ A.G. ἑαυτῷ] ἐμοὶ D. ὥς γ' ἐμοὶ δοκεῖ] ὥς γέ μοι δοκῶ A.G. ὡς ἐγὼ δοκῶ D. πάνυ] πάνυ ἂν D.

35. τί δῆτα] Conf. 7, 5, 46, 80.
οὕτως] Vulgatum ταῦτα ἐννοεῖσθαι est considerare hæc, ut in Anab. 3, 1, 3: Ταῦτα ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες. Idem plane est ἐνθυμοῦμαι ταῦτα 2, 4, 5, ibidem. SCHN.
κυοῦσα] Etsi libri Xenophontis hic et alibi consentiunt in accentu barytono, circumflexum jam ab Schneidero positum præferendum esse apud antiquiores docent quæ post Buttmannum dicta sunt in Thes. Steph.
36. Vulgarem distinctionem correxi, sublato commate post ἀρκέσει. Ita enim supra 4, 5, 44: Οὔτε ἐγὼ ἀρκέσω ὑμῖν πράττων πρὸ ὑμῶν. Œcon. 12, 4: Ὅστις μέλλει ἀρκέσειν, ὅταν ἐγὼ ἀπῶ, ἀντὶ ἐμοῦ ἐπιμελούμενος. SCHN.
τοῦ ἀνιᾶν] Genitivi cum infinito juncti sic ut articulus per ὥστε reddi possit, exempla alia huic loco comparavit Matthiæ Gr. §. 540, 2. Hic tamen τοῦ ἐμὲ ἀνιᾶν κρείττων nihil aliud quam δυνατὸς ἐμὲ ἀνιᾶν.
σῶα] σᾶ scribendum videri dixi præf. ad Anab. p. ix. Vocabulum fortasse non intellectum omittit D., ut alii boni libri post σώματα H. Gr. 1, 1, 24.
ὥς γ' ἐμοὶ δοκεῖ] Hoc verum esse persuadent loci 5, 3, 31, et, ubi σῶφρόν

38 εἴης, ἐγώ τε σοὶ ὅσα ἂν δύνωμαι πειράσομαι. ἀκούσας ταῦ-
τα ὁ Γαδάτας ἀνέπνευσέ τε καὶ εἶπεν, Ἆρ᾽ οὖν, ἔφη, δυναί-
μην ἂν συσκευασάμενος φθάσαι πρίν σε ἐξιέναι; βούλομαι
γάρ τοι, ἔφη, καὶ τὴν μητέρα ἄγειν μετ᾽ ἐμαυτοῦ. Ναὶ
μὰ Δί᾽, ἔφη, φθάσεις μέντοι· ἐγὼ γὰρ ἐπισχήσω ἔως ἂν
39 φῇς καλῶς ἔχειν. οὕτω δὴ ὁ Γαδάτας ἀπελθὼν φύλαξι [18]
μὲν τὰ τείχη σὺν Κύρῳ ὠχυρώσατο, συνεσκευάσατο δὲ
πάντα ὁπόσοις ἂν οἶκος μέγας καλῶς οἰκοῖτο. ἤγετο δὲ καὶ τῶν
ἑαυτοῦ τῶν τε πιστῶν οἷς ἥδετο καὶ ὧν ἠπίστει πολλούς,
ἀναγκάσας τοὺς μὲν καὶ γυναῖκας ἄγειν, τοὺς δὲ καὶ ἀδελ-
40 φάς, ὡς δεδεμένους τούτοις κατέχοι αὐτούς. καὶ τὸν μὲν
Γαδάταν εὐθὺς ὁ Κῦρος ἐν τοῖς περὶ αὐτὸν ᾔει ἔχων καὶ
ὁδῶν φραστῆρα καὶ ὑδάτων καὶ χιλοῦ καὶ σίτου, ὡς εἴη ἐν
τοῖς ἀφθονωτάτοις στρατοπεδεύεσθαι.
41 Ἐπεὶ δὲ πορευόμενος καθεώρα τὴν τῶν Βαβυλωνίων [19]
πόλιν καὶ ἔδοξεν αὐτῷ ἡ ὁδὸς ἣν ᾔει παρ᾽ αὐτὸ τὸ τεῖχος
φέρειν, καλέσας τὸν Γωβρύαν καὶ τὸν Γαδάταν ἠρώτα εἰ
42 εἴη ἄλλη ὁδὸς, ὥστε μὴ πάνυ ἐγγὺς τοῦ τείχους ἄγειν. καὶ
ὁ Γωβρύας εἶπεν, Εἰσὶ μὲν, ὦ δέσποτα, καὶ πολλαὶ ὁδοί·
ἀλλ᾽ ἔγωγ᾽, ἔφη, ᾤμην καὶ βούλεσθαι ἄν σε νῦν ὅτι ἐγγυ-
τάτω τῆς πόλεως ἄγειν, ἵνα καὶ ἐπιδείξαις αὐτῷ ὅτι τὸ

ἐγώ τέ] ἔγωγέ A.G. ὅσα ἂν] ὡς ἐὰν D. 38. γαδάτης D. δυναίμην] νῦν δυναίμην D. μετ᾽ ἐμαυτοῦ ἀγαγεῖν D. μετ᾽ ἐμαυτοῦ] μετ᾽ αὐτοῦ G., ᾿ἐμ s. v. r. μετ᾽ ἐμοῦ L. ἔστ᾽ ἂν καλῶς σὺ φῆς ἔχειν D., sed corr. in accentu super ἕ et η, ubi circumfl. mutat in gravem. 39. γαδάτης D. ἐφύλαξε—κύρῳ ἃ ὠχυρώσατο D. ἂν om. D. καλῶς om. D. οἷς ἠπίστει πολλοὺς αὐτῶν D. ἀδελφοὺς A.G. pr., ὰς s. v. r. 40. γαδάτην D. εὐθὺς om. D. ἐν] σὺν D.G. s. v. r. αυτὸν A. αὐτὸν D.G. ᾔει ἔχων] ἔχων εἴη D. ᾔει in lit. G., qui pr. fortasse εἴη. εἴη] ἀνεὶ D. i. e. αἰεὶ, ut ἀεὶ est in Juntina. καὶ σίτου om. A.G. στρατεύοιτο D. 41. καθώρα D. παρὰ τὸ D. γαδάτην D. ἄλλη ὁδὸς εἴη D. πάνυ πλησίον ἄγειν τοῦ τείχους D. 42. ᾠόμην A.G. ὅτι ἐγγύτατα ἄγειν τῆς πόλεως D. ἵνα ἐπιδείξῃς D. ἐπιδείξαις L. corr. αὐτοῖς D. αὐτὸ G. pr., αὐτοῖς s. v. r. ὅτι—πολὺ] καὶ τὸ στράτευμα ὅτι ἤδη σοι πολύ D.

μοι δοκεῖ διαπράξασθαι in δοκῶ corrumpunt nonnulli, Hist. Gr. 6, 2, 39, similiterque infra 7, 5, 25, vel δοκεῖ ἡ πόλις in δοκῶ. Gravius etiam Vect. 5, 2, in ὡς ἐμῇ δόξῃ.

πειράσομαι] Intellige χρήσιμος εἶναι. SCHN.

38. μέντοι] Est affirmantis, *vero*. SCHN.

39. φύλαξι ὀχυροῦσθαι idem quod antea φυλακῇ ἐχυρὰ ποιεῖν. SCHN.

καλῶς οἰκοῖτο] Supra 4, 5, 39, similiter οἷς οἰκεῖται σκηνὴ καλῶς, ubi Philelphus καλῶς [omissum in H. et aliis] non reddidit. SCHN. Sed ita sæpius Xen. εὖ, καλῶς οἰκεῖν.

τούτοις] Neutro genere dicitur.

40. εὐθὺς] Fortasse hic quoque, ut 4, 1, 23; 2, 9, additum ab librario, pariterque 1, 6, 9.

φραστῆρα] Suidas in v. εἶχε δὲ τούτους ὁ κ. ὁδῶν φραστῆρας—χιλοῦ.

42. αὐτῷ] Assyrio.

στράτευμά σου ἤδη πολύ τέ ἐστι καὶ καλόν· ἐπειδὴ καὶ ὅτε ἔλαττον εἶχες προσῆλθές τε πρὸς αὐτὸ τὸ τεῖχος καὶ ἐθεᾶτο ἡμᾶς οὐ πολλοὺς ὄντας· νῦν δὲ εἰ καὶ παρεσκευασμένος τί ἐστιν, ὥσπερ πρὸς σὲ εἶπεν ὅτι παρασκευάζοιτο ὡς μαχούμενός σοι, οἶδ᾽ ὅτι ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν πάλιν ἀπαρασκευότατα τὰ ἑαυτοῦ φανεῖται.

43 Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε, Δοκεῖς μοι, ὦ Γωβρύα, [20]
θαυμάζειν ὅτι ἐν ᾧ χρόνῳ πολὺ μείονα ἔχων στρατιὰν ἦλθον, πρὸς αὐτὸ τὸ τεῖχος προσῆγον· νῦν δ᾽ ἐπεὶ πλείονα
44 δύναμιν ἔχω, οὐκ ἐθέλω ὑπ᾽ αὐτὰ τὰ τείχη ἄγειν. ἀλλὰ μὴ θαύμαζε· οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν καὶ παράγειν. προσάγουσι μὲν γὰρ πάντες οὕτω ταξάμενοι ὡς ἂν ἄριστοι εἶεν μάχεσθαι· καὶ ἀπάγουσι δὲ οἱ σώφρονες ᾗ ἂν ἀσφα-
45 λέστατα, οὐχ ᾗ ἂν τάχιστα ἀπέλθοιεν. παριέναι δὲ ἀνάγκη ἐστὶν ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπὶ πολύ· ταῦτα δὲ πάντα δεῖ προκεκαλύφθαι τοῖς ὁπλοφόροις καὶ μηδαμῇ τοῖς πολεμίοις
46 γυμνὰ ὅπλων τὰ σκευοφόρα φαίνεσθαι. ἀνάγκη οὖν οὕτω

ἐπεὶ D. προσήλθετε πρὸς D. προῆλθες A.G. pr. ἐθεῶντο D.G. s. v. r. εἰ καὶ] καὶ εἰ D. τι] τις D. πρὸς σὲ εἶπεν G. corr. πρὸς σὲ εἰπεῖν A.G. pr. προεῖπεν D. παρασκευάσαιτο D. σοι om. D. ὅτι] ὅτι ὡς A.G. ἀπαρασκευαστότατα ἑαυτοῦ A.G. pr., addito s. v. τὰ r. ἀπαρασκεύαστα τὰ αὐτοῦ D. 43. ᾧ] ᾧ μὲν D. προσήγαγον D. νῦν δὲ πλείω δύναμιν ἔχων D. 44. ἀλλὰ γὰρ μὴ θαύμαζ᾽ ἔφη D. καὶ] τε καὶ D. προσάγουσι—ἐπὶ πολὺ Suidas v. Προσάγειν. ἅπαντες D. οὕτω ταξάμενοι ὡς] οἱ παραταξάμενοι ᾗ Suidas. ἄριστοι εἶεν] οἴωνται ἄριστα D. ἄριστα etiam Suidæ A. καὶ ἀπάγουσι δὲ] ἀπάγουσι μέντοι D. παράγουσι δὲ Suidas. 45. δὲ ἀνάγκη] ἀνάγκη δὲ A.G. pr., et qui post παριέναι colon ponit Suidas. Idem om. ἐστιν. δοκεῖ super δέ ἐστιν B. ἐκτεταγμέναις D. ἁμάξαις G. ἀνειργομένοις A.G.M. Suidas. ἀνειργμένοις D. ο super γμ r. ἀνειργμένοις Suidæ V. δὲ δεῖ πάντα D. δὴ post δὲ s. v. al. m. L.

ὅτε ἔλαττον εἶχες—ὥσπερ πρὸς σὲ εἶπεν] 5, 3, 5 et 6.

ἀπαρασκευότατα] V. ad 2, 4, 15.

44. τὸ αὐτὸ] ταὐτὸν hic ut 1, 3, 4; 5, 2, 26, et semper ante vocalem scripsisse videtur Xenophon, ut Comment. 3, 7, 4, Anab. 1, 5, 2. Ceterum respondent inter se προσάγουσι μὲν—παριέναι δέ.

45. ἀνειργμένοις ἐπὶ πολύ] Propter angustias viarum in longum sed tenue agmen compulsos dicere videtur. Sed id quum vix ita dici potuerit, conjeci ἀνειρμένοις, ut συνεῖρον est 7, 5, 6. Quomodo εἰρμένος in fr. Callimachi apud schol. Nicandri Alex. 433: Ἀμφί τε κέβλην εἰργμένος ἀγλίθων οὖλον ἔχει στέφανον, Bentlejus n. 140, scriptum memorat, quod εἰρμένον scribendum, et Hom. Il. E, 89, schol. Vict. varietatem ἐερμέναι pro ἐεργμέναι. Muretus quod conjecit ἀνειμένοις non convenit, neque ἀνοιγομένοις, quod præbent Q. et *alii codices* Brodæi. Conf. autem de hoc loco annot. ad Scriptt. rei milit. ed. Turic. vol. 2, p. 288.

πορευομένων ἐπὶ λεπτὸν καὶ ἀσθενὲς τὸ μάχιμον τετάχθαι· εἰ οὖν βούλοιντο ἀθρόοι ἐκ τοῦ τείχους προσπεσεῖν πῃ, ὅπῃ προσμίξειαν, πολὺ ἂν ἐρρωμενέστερον συμμιγνύοιεν
47 τῶν παριόντων· καὶ τοῖς μὲν ἐπὶ μακρὸν πορευομένοις μακραὶ καὶ αἱ ἐπιβοήθειαι, τοῖς δ' ἐκ τοῦ τείχους βραχὺ
48 πρὸς τὸ ἐγγὺς καὶ προσδραμεῖν καὶ πάλιν ἀπελθεῖν. ἢν δὲ μὴ μεῖον ἀπέχοντες παρίωμεν ἢ ἐφ' ὅσον καὶ νῦν ἐκτεταμένοι πορευόμεθα, τὸ μὲν πλῆθος κατόψονται ἡμῶν, ὑπὸ δὲ τῶν παρυφασμένων ὅπλων πᾶς ὄχλος
49 δεινὸς φαίνεται. ἢν δ' οὖν τῷ ὄντι ἐπεξίωσί πῃ, ἐκ πολλοῦ προορῶντες αὐτοὺς οὐκ ἂν ἀπαράσκευοι λαμβανοίμεθα. μᾶλλον δὲ, ὦ ἄνδρες, ἔφη, οὐδ' ἐπιχειρήσουσιν, ὁπόταν πρόσω δέῃ ἀπὸ τοῦ τείχους ἀπιέναι, ἢν μὴ τῷ ὅλῳ ὑπολάβωσι τοῦ παντὸς κρείττους εἶναι· φοβερὰ γὰρ ἡ
50 ἀποχώρησις. ἐπεὶ δὲ ταῦτ' εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς [21]
παροῦσι λέγειν καὶ ἦγεν ὁ Γωβρύας ὥσπερ ἐκέλευσε. παραμειβομένου δὲ τὴν πόλιν τοῦ στρατεύματος ἀεὶ τὸ ὑπολειπόμενον ἰσχυρότερον ποιούμενος ἀπεχώρει.

51 Ἐπεὶ δὲ πορευόμενος οὕτως ἐν ταῖς γιγνομέναις ἡμέραις ἀφικνεῖται εἰς τὰ μεθόρια τῶν Σύρων καὶ Μήδων, ἔνθενπερ ὥρμητο, ἐνταῦθα δὴ τρία ὄντα τῶν Σύρων φρούρια, ἓν μὲν

46. οὕτως A. μαχικὸν D. μ corr. G. βούλονται A.G. pr. βούλοιντο ἐκ τοῦ τείχους ἀθρόοι πῃ προσπεσεῖν D. ποῖ A.G. om. E. προσμίξειε A.G. corr. s. v. r. πρόσμίξαιεν D. corr., qui pr. fortasse προσμίξειε. πολλῷ D. ἂν om. D. ἐρρωμενεστέρων A.G. pr., ἐρρωμενεστέρως corr. μιγνύειν A.G. 47. μακρῷ D. αἱ om. B.D.G. αἱ πιβοήθειαι A. τοῖς] τοὺς D. τὸ] τοὺς D. ἀνελθεῖν G. corr. L. ἐπελθεῖν pr. 48. ὁπόσον D. κατόψονται ἡμᾶς post ὅσον add. A.G. καὶ νῦν—ἡμῶν om. A.G. mg. r. παρυφασμάτων B. μένων in lit. L. 49. ἂν δ' οὖν A.G. οὖν in lit. G. ἢν δ' ἄρα καὶ D.G. mg. r. τῷ ὄντι] οὕτως ἰόντων D.G. mg. r. πῃ] σιωπῇ G. mg. r. ἔφη ὦ ἄνδρες D. ἐπιχειροῦσιν D. ὅταν D. ἂν A.G. ὑπολάβωσι τοῦ παντὸς] πίστεώς που πάντως D. φοβερὸν D.G. s. v. r. 50. καὶ ὁ γ. ὥσπερ ἐκέλευσεν ἡγεῖτο D. τοῦ π. δὲ στρ. τὸ ὑ. αἰεὶ ἰσχυρότερον A. et qui τὴν πόλιν mg. r. G. 51. εἰς] πρὸς D. σύρων] ἀσσυρίων D.G. mg. r. ὅθενπερ D. ὥρμητο Hertleinius. Libri ὡρμᾶτο.

46. ἐπὶ λεπτὸν] Recte Camerarius: necesse est ordines militum extenuari debilitari. SCHN.

48. ἀπέχοντες] A Babylone.

πᾶς ὄχλος δεινὸς φαίνεται] A re præsenti in communem sententiam deflectens, ut 2, 3, 2, non dixit φανεῖται, ut animadvertit Camerarius. Conf. Hipparch. 6, 6.

49. φοβερὰ] Cum φοβερὸν Zeunius confert H. Gr. 5, 3, 7, Eq. 6, 13, ἀπρονόητον ἡ ὀργή. Hier. 6, 9, ὁ πόλεμος φοβερόν.

51. Σύρων] Etiam supra 3, 3, 22, Assyrios nominavit Xenophon, quem locum nunc respicit. Infra vero c. 5, 22, Syri iterum pro Assyriis nominantur. SCHN.

ὡρμᾶτο] V. ad Anab. 1, 10, 1. Ubi inter utrumque, ut apud Thuc. 8, 76, variatur in libris. Sed ὥρμηντο omnes H. Gr. 6, 4, 14. Et vitiose 6, 5, 20. ἔνθαπερ—ἐξωρμήσατο pro ἔνθενπερ—ἐξώρμητο.

αὐτὸς τὸ ἀσθενέστατον βίᾳ προσβαλὼν ἔλαβε, τὼ δὲ δύο φρουρίω φοβῶν μὲν Κῦρος, πείθων δὲ Γαδάτας ἔπεισε παραδοῦναι τοὺς φυλάττοντας.

ΚΕΦ. Ε.

Ἐπεὶ δὲ ταῦτα διεπέπρακτο, πέμπει πρὸς Κυαξάρην καὶ ἐπέστελλεν αὐτῷ ἥκειν ἐπὶ τὸ στρατόπεδον, ὅπως περὶ τῶν φρουρίων ὧν εἰλήφεσαν βουλεύσαιντο ὅ τι χρήσαιντο, καὶ θεασάμενος τὸ στράτευμα καὶ περὶ τῶν ἄλλων σύμβουλος γίγνοιτο ὅ τι δοκοίη ἐκ τούτου πράττειν· ἐὰν δὲ κελεύῃ, εἰπέ, ἔφη, ὅτι ἐγὼ ἂν ὡς ἐκεῖνον ἴοιμι στρατοπε-
2 δευσόμενος. ὁ μὲν ἄγγελος ᾤχετο ταῦτ' ἀπαγγελῶν. ὁ δὲ Κῦρος ἐν τούτῳ ἐκέλευσε τὴν τοῦ Ἀσσυρίου σκηνήν, ἣν Κυαξάρῃ οἱ Μῆδοι ἐξεῖλον, ταύτην κατασκευάσαι ὡς βέλτιστα τῇ τε ἄλλῃ κατασκευῇ ἣν εἶχον καὶ τὼ γυναῖκε εἰσαγαγεῖν εἰς τὸν γυναικῶνα τῆς σκηνῆς καὶ σὺν αὐταῖς τὰς μουσουργούς, αἵπερ ἐξῃρημέναι ἦσαν Κυαξάρῃ. οἱ μὲν

αὐτὸς] αὐτῶν D. προσβαλὼν βίᾳ D. προσλαβὼν G. pr. corr. s. v. r. δύω A.G. γαδάτης D. 1. διεπράξατο D. ἐπέστελε ἥκειν αὐτὸν D. στράτευμα D. περί τε τῶν D. χρήσονται D. καὶ] καὶ ὅπως D.G. s. v. r. γίγνοιτο] γένηται A.G. δοκοίη] ἂν δοκοίη A.G. τούτων D. ἐὰν] ἢν D. κελεύῃ] ῃς s. v. r. G. ἐγὼ ἂν ὡς] ἔγνωσαν A. ἔγνω ὡς ἂν D. corr. G. et ν super ω r. ἔγνων ὡς ἂν L. ἴοιμι] ἰὼν A.D. corr. G. στρατοπεδευσάμενος G. 2. μὲν] μὲν δὴ D. ἀπαγγελῶν] ἀπαγγέλλων A.G. ἀπαγγέλων D.E. ἐπαγγελὼν P. ὁ δὲ κῦρος ἐκέλευσεν (ἐν s. v. r.) τούτῳ τὸν γαδάτην τὴν τοῦ ἀσ. D. ἣν κυαξ. D. κυαξ. ἣν A.G. ἣν οἱ Μῆδοι τῷ κυαξάρῃ ἐξ. Zonaras. Codices κυαξάρει. βέλτιστα] κάλλιστα D. παρασκευῇ A.G. Zonaras. εἶχε D. τὼ D. corr. r. τὸ pr. τῷ A.G. Zonaras. γυναῖκα A.D. corr. G. Zonaras. αὐταῖς D. pr. αὐτῇ corr. ταύτῃ A.G. Zonaras. κυαξάρει A.G.

φρουρίω] Supervacuum. Conf. 7, 1, 24: Καὶ οὕτω δὴ προσῆσαν τρεῖς φάλαγγες ἐπὶ τὸ Κύρου στράτευμα, ἡ μὲν μία κατὰ πρόσωπον, τὼ δὲ δύο, ἡ μὲν κατὰ τὸ δεξιόν, ἡ δὲ κατὰ τὸ εὐώνυμον. Et omisit Zonaras p. 156 B: Τὸ μὲν ἓν αὐτὸς προσβαλὼν καὶ βιασάμενος, τὰ δὲ δύο φοβῶν κ. τ. λ.

πείθων ἔπεισε] 6, 4, 18: Εἰ δὲ τῷ ὠθοῦντες ἐξώσειν πιστεύουσιν. 8, 4, 9: Ἀλλ' ὑπακούων σχολῇ ὑπήκουσα. Conf. etiam 5, 5, 22.

2. ἀπαγγελῶν] V. ad H. Gr. 2, 1, 29. Anab. 7, 1, 32: Οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες.

ἐκέλευσε] Gadatæ in curando Cyaxaris tabernaculo nullæ fuisse partes videntur; sequitur enim s. 3, οἱ μὲν δὴ ταῦτ' ἔπραττον: nec infra 5, 5, 38, mentio fit Gadatæ, ubi Cyaxares inducitur in tabernaculum. SCHN.

ἣν Κυαξάρῃ] Pronominis ut hic in A.G. post nomen positi exempla poetarum, Platonis, Pausaniæ, attuli ad Thes. Steph. v. Ὅς, vol. 5, p. 2270 A, quibus alia licet addere aliorum. Apud Xenophontem quum unum hoc sit, ubi ἣν fortasse omissum et superscriptum deinde transpositum est, non multum ei tribuam.

κατασκευὴ semper Xenophonti est instrumentum et ornamentum, παρασκευὴ apparatus, imprimis bellicus. SCHN.

τὼ γυναῖκε] Cyaxari plures de præda mulierculas fuisse exemtas testatur supra 4, 5, 52. WEISK.

3 δὴ ταῦτ' ἔπραττον. ὁ δὲ πεμφθεὶς πρὸς τὸν Κυαξάρην [2]
ἐπεὶ ἔλεξε τὰ ἐντεταλμένα, ἀκούσας αὐτοῦ ὁ Κυαξάρης
ἔγνω βέλτιον εἶναι τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις.
καὶ γὰρ οἱ Πέρσαι οὓς μετεπέμψατο ὁ Κῦρος ἧκον· ἦσαν
4 δὲ μυριάδες τέτταρες τοξοτῶν καὶ πελταστῶν. ὁρῶν οὖν
καὶ τούτους σινομένους πολλὰ τὴν Μηδικὴν, τούτων ἂν
ἐδόκει ἥδιον ἀπαλλαγῆναι ἢ ἄλλον ὄχλον εἰσδέξασθαι. ὁ
μὲν δὴ ἐκ Περσῶν ἄγων τὸν στρατὸν ἐρόμενος τὸν Κυα-
ξάρην κατὰ τὴν Κύρου ἐπιστολὴν εἴ τι δέοιτο τοῦ στρα-
τοῦ, ἐπεὶ οὐκ ἔφη δεῖσθαι, αὐθημερὸν, ἐπεὶ ἤκουσε παρόντα
Κῦρον, ᾤχετο πρὸς αὐτὸν ἄγων τὸ στράτευμα.
5 Ὁ δὲ Κυαξάρης ἐπορεύετο τῇ ὑστεραίᾳ σὺν τοῖς παρα-
μείνασιν ἱππεῦσι Μήδων· ὡς δ' ᾔσθετο ὁ Κῦρος προσι-
όντα αὐτὸν, λαβὼν τούς τε τῶν Περσῶν ἱππέας, πολλοὺς
ἤδη ὄντας, καὶ τοὺς Μήδους πάντας καὶ τοὺς Ἀρμενίους
καὶ τοὺς Ὑρκανίους καὶ τῶν ἄλλων συμμάχων τοὺς εὐιπ-
ποτάτους τε καὶ εὐοπλοτάτους ἀπήντα, ἐπιδεικνὺς τῷ Κυα-
6 ξάρῃ τὴν δύναμιν. ὁ δὲ Κυαξάρης ἐπεὶ εἶδε σὺν μὲν τῷ [3]
Κύρῳ πολλούς τε καὶ καλοὺς κἀγαθοὺς ἑπομένους, σὺν
ἑαυτῷ δὲ ὀλίγην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τι
αὐτῷ ἔδοξεν εἶναι καὶ ἄχος αὐτὸν ἔλαβεν. ἐπεὶ δὲ καταβὰς
ἀπὸ τοῦ ἵππου ὁ Κῦρος προσῆλθεν ὡς φιλήσων αὐτὸν
κατὰ νόμον, ὁ Κυαξάρης κατέβη μὲν ἀπὸ τοῦ ἵππου, ἀπε-
στράφη δέ· καὶ ἐφίλησε μὲν οὔ, δακρύων δὲ φανερὸς ἦν.
7 ἐκ τούτου δὴ ὁ Κῦρος τοὺς μὲν ἄλλους πάντας ἀποστάν-
τας ἐκέλευσεν ἀναπαύεσθαι· αὐτὸς δὲ λαβόμενος τῆς δε-

3. κυαξάρη G. ὁ κ. αὐτοῦ D. ἐν τοῖς] αὐτοῖς G. et ἐν s. v. r., ἐν αὐτοῖς L. τέταταρες D. 4. τούτους] τοὺς A.G. corr. s. v. r. ἀπαλλαγῆναι] μᾶλλον add. D. στρατεύματος D. 5. τῇ ὑ. ἐπορεύετο D. μήδων ἱππεῦσιν D. τῶν περσῶν] πέρσας D. πάντας] παρόντας A.G. καὶ τοὺς ὑρκανίους om. A.G. mg. r. ξυμμάχων G. τε καὶ εὐοπλοτάτους om. A. καὶ εὐοπλοτάτους G. mg. r. ἀπήντα] λαβὼν add. D. ἐπιδεικνὺς] καὶ ἐπιδείκνυσι D. κυαξάρει A.G. 6. κἀγαθοὺς] καὶ ἀγαθοὺς codices. συνεπομένους D. σὺν ἑαυτῷ] καὶ αὐτῷ D. ἔδοξεν αὐτῷ D. ὁ κῦρος ἀπὸ τοῦ ἵππου D. ἦλθεν D. φιλήσων] η in lit. D. ἐφίλησεν οὔ A. φανερῶς D. pr., ut videtur. 7. δὴ] δὲ D. ἅπαντας D. ἀναστάντας A.G. corr. s. v. r. ἀναπαύσασθαι D.

3. Πέρσαι] 4, 5, 31.
4. ἥδιον—μᾶλλον] Conf. ad 2, 4, 10. SCHN. Sed exigua hic alterius fides ab libris. Ἥδιον solum s. 9.
ἐπιστολὴν] Mandatum, ut Æsch. Prom. 3 et alibi. HUTCH.
5. εὐοπλοτάτους] Infra 6, 2, 4: Ὅπως αὐτοὶ ἕκαστοι φανοῦνται καὶ εὐοπλότατοι καὶ ἱππικώτατοι.
6. κατὰ νόμον] V. ad 1, 4, 28.

ξιᾶς τοῦ Κυαξάρου καὶ ἀπαγαγὼν αὐτὸν τῆς ὁδοῦ ἔξω ὑπὸ φοίνικάς τινας, τῶν τε Μηδικῶν πίλων ὑποβαλεῖν ἐκέλευσεν αὐτῷ καὶ καθίσας αὐτὸν καὶ παρακαθισάμενος εἶπεν ὧδε.

8 Εἰπέ μοι, ἔφη, πρὸς τῶν θεῶν, ὦ θεῖε, τί μοι ὀργίζει καὶ [4] τί χαλεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις; ἐνταῦθα δὴ ὁ Κυαξάρης ἀπεκρίνατο, Ὅτι, ὦ Κῦρε, δοκῶν γε δὴ ἐφ' ὅσον ἀνθρώπων μνήμη ἐφικνεῖται καὶ τῶν πάλαι προγόνων καὶ πατρὸς βασιλέως πεφυκέναι καὶ αὐτὸς βασιλεὺς νομιζόμενος εἶναι, ἐμαυτὸν μὲν ὁρῶ οὕτω ταπεινῶς καὶ ἀναξίως ἐλαύνοντα, σὲ δὲ τῇ ἐμῇ θεραπείᾳ καὶ τῇ ἄλλῃ δυνάμει
9 μέγαν τε καὶ μεγαλοπρεπῆ παρόντα. καὶ ταῦτα χαλεπὸν μὲν οἶμαι καὶ ὑπὸ πολεμίων παθεῖν, πολὺ δ', ὦ Ζεῦ, χαλεπώτερον ὑφ' ὧν ἥκιστα ἐχρῆν ταῦτα πεπονθέναι. ἐγὼ μὲν γὰρ δοκῶ δεκάκις ἂν κατὰ τῆς γῆς καταδῦναι ἥδιον ἢ ὀφθῆναι οὕτω ταπεινὸς καὶ ἰδεῖν τοὺς ἐμοὺς ἐμοῦ ἀμελήσαντας καὶ ἐπεγγελῶντας ἐμοί. οὐ γὰρ ἀγνοῶ τοῦτο, ἔφη, ὅτι οὐ σύ μου μόνον μείζων εἶ, ἀλλὰ καὶ οἱ ἐμοὶ δοῦλοι ἰσχυρότεροι ἐμοῦ ὑπαντιάζουσί μοι καὶ κατεσκευασμένοι εἰσὶν ὥστε δύνασθαι ποιῆσαι μᾶλλον ἐμὲ κακῶς ἢ παθεῖν
10 ὑπ' ἐμοῦ. καὶ ἅμα ταῦτα λέγων πολὺ ἔτι μᾶλλον ἐκρατεῖτο [5] ὑπὸ τῶν δακρύων, ὥστε καὶ τὸν Κῦρον ἐπεσπάσατο ἐμπλησθῆναι δακρύων τὰ ὄμματα. ἐπισχὼν δὲ μικρὸν ἔλεξε τοιάδε ὁ Κῦρος.

Ἀλλὰ ταῦτα μέν, ὦ Κυαξάρη, οὔτε λέγεις ἀληθῆ οὔτε ὀρθῶς γιγνώσκεις, εἰ οἴει τῇ ἐμῇ παρουσίᾳ Μήδους κατε-

τοῦ] τῆς D. κυαξάρους D.G. corr. s. v. r., qui hic mg. τί διαφέρει ἀνὴρ ἀνδρός. καὶ om. D. πίλων] ἀπ (sequitur littera erasa) ιλῶν D. pr., sed punctum positum sub α et r. accentus super ι, erasus super ω. ὑποβάλλειν D. παρακαθιζόμενος D. εἶπεν] ἤρετο D. 8. Libri ὀργίζῃ. οὕτως A. ὁ om. D. ἀπεκρίνατο] αὐτῷ λέγει τοιάδε D. ὅτι] ὅτι ἔφη D. ὅσων A. et G. pr., ut videtur. ἀφικνεῖται A.G. πεφυκὼς D.G. s. v. r. ὁρῶν A.G. οὕτως A. hic et 9. 9. χαλεπώτατον D. δοκῶ] δοκῶ ἔφη D. ἥδιον δῦναι D. ἐμοὺς om. D. καὶ om. D. ἐπιγελῶντας D. μεῖζον G. corr. s. v. r. εἶ] η D. pr. ἰσχυρώτεροι D. pr. ὑπαντιάζουσι] ἀπαντῶσι A.G. pr., sed ὑ s. v. r. καὶ κατεσκευασμένοι εἰσὶν] ἑκατεσκευασμένοι D., inserto inter ε et κ r. γ. 10. ὁ om. G. ὦ κυαξάρη] ἔφη ὦ θεῖε D. ἀληθῶς D.

7. τῶν Μηδικῶν πίλων] Hist. Gr. 4, 1, 30: Ὑποτιθέντων αὐτῷ τῶν θεραπόντων ῥαπτὰ, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλακῶς.

9. κατὰ τῆς γῆς καταδῦναι] V. ad Anab. 7, 1, 30.

ὑπαντιάζουσι] Hesychius: Ὑπαντιάζει, ὑπαντᾷ. Conf. 4, 2, 18.

11 σκευάσθαι ὥστε ἱκανοὺς εἶναι σὲ κακῶς ποιεῖν. τὸ μέντοι
σε θυμοῦσθαι οὐ θαυμάζω· εἰ μέντοι γε ἀδίκως ἢ δικαίως
αὐτοῖς χαλεπαίνεις, παρήσω τοῦτο· οἶδα γὰρ ὅτι βαρέως
ἂν φέροις ἀκούων ἐμοῦ ἀπολογουμένου ὑπὲρ αὐτῶν· τὸ
μέντοι ἄνδρα ἄρχοντα πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχο-
μένοις, τοῦτο ἐμοὶ δοκεῖ μέγα ἁμάρτημα εἶναι. ἀνάγκη γὰρ
διὰ τὸ πολλοὺς μὲν φοβεῖν πολλοὺς ἐχθροὺς ποιεῖσθαι,
διὰ δὲ τὸ πᾶσιν ἅμα χαλεπαίνειν πᾶσιν αὐτοῖς ὁμόνοιαν
12 ἐμβάλλειν. ὧν ἕνεκα, εὖ ἴσθι, ἐγὼ οὐκ ἀπέπεμπον ἄνευ
ἐμαυτοῦ τούτους, φοβούμενος μή τι γένοιτο διὰ τὴν σὴν
ὀργὴν ὅ τι πάντας ἡμᾶς λυπήσοι. ταῦτα μὲν οὖν σὺν τοῖς
θεοῖς ἐμοῦ παρόντος ἀσφαλῶς ἔχει σοι· τὸ μέντοι σε νο-
μίζειν ὑπ' ἐμοῦ ἀδικεῖσθαι, τοῦτο ἐγὼ πάνυ χαλεπῶς φέρω,
εἰ ἀσκῶν ὅσον δύναμαι τοὺς φίλους ὡς πλεῖστα ἀγαθὰ
13 ποιεῖν ἔπειτα τἀναντία τούτου δοκῶ ἐξεργάζεσθαι. ἀλλὰ
γάρ, ἔφη, μὴ οὕτως εἰκῇ ἡμᾶς αὐτοὺς αἰτιώμεθα· ἀλλ', εἰ
δυνατόν, σαφέστατα κατίδωμεν ποῖόν ἐστι τὸ παρ' ἐμοῦ
ἀδίκημα. καὶ τὴν ἐν φίλοις δικαιοτάτην ὑπόθεσιν ἔχω ὑπο-
τιθέναι· ἐὰν γάρ τί σε φανῶ κακὸν πεποιηκώς, ὁμολογῶ
ἀδικεῖν· ἐὰν μέντοι μηδὲν φαίνωμαι κακὸν πεποιηκὼς μηδὲ
βουληθείς, οὐ καὶ σὺ αὖ ὁμολογήσεις μηδὲν ὑπ' ἐμοῦ ἀδι-
14 κεῖσθαι; Ἀλλ' ἀνάγκη, ἔφη. Ἐὰν δὲ δὴ καὶ ἀγαθά σοι
πεπραχὼς δῆλος ὦ καὶ προθυμούμενος πρᾶξαι ὡς ἐγὼ
πλεῖστα ἐδυνάμην, οὐκ ἂν καὶ ἐπαίνου σοι ἄξιος εἴην μαλ-

ὥστε ἱκανοὺς εἶναι σὲ] σοι ἱκανοὺς εἶναι A.G., sed ε super οι r. 11. θυμοῦσθαι] καὶ φοβεῖσθαι add. D. μέντοι γε] μέντοι D. δικαίως ἢ ἀδίκως D. ἐχαλέπαινες D. ἂν om. A. φέρης G. ἔμοιγε D. τὸ πολλοὺς μὲν φοβεῖν] μὲν τοῦτο A.G. pr. ἅμα πᾶσιν D. 12. ἕνεκα] οὕνεκα A.G. ἕκα D. corr. s. v. r. οὐχὶ D. γένοι D. pr. corr. s. v. r. σὴν om. G. ἕξει D. χαλεπῶς πάνυ D. ἐναντία D. τούτω G. 13. μὴ om. A.G. s. v. r. ὁποῖον D. ἐγὼ ὑποτίθεμαι D. ἣν D. σε] σ' ἐγὼ D. ὁμολογῶ—πεποιηκὼς om. D. ὁμολογήσης D. pr. ἀλλ' om. D. 14. ἣν D. ἀγαθὰ πεπραγώς σοι D. ὡς ἐγὼ] ὁπόσα D. ἠδυνάμην G. s. v. r. L. erasit aliquid ante ε. καὶ om. D. σοι om. A.G.

11. *μέντοι γε*] V. ad 1, 6, 8.

12. *ὧν ἕνεκα*] Librorum varietates fortasse ortæ ex *οὗ ἕνεκα*, quod est Conv. 4, 26. Conf. 1, 2, 7; 5, 3, 43.

ὀργήν] V. 4, 5, 9.

πάνυ χαλεπῶς] Nisi hic quoque scribendum *παγχαλέπως*, ut ex libris optimis Anab. 7, 5, 16 restitui et 3, 3, 13 restituendum conjeci. V. præf. p. xii. Librariorum licentiam hic arguit D. Sed *πάνυ χαλεπῶς* omnes Plat. Conv. p. 176 A.

13. *δικαιοτάτην*] Camerarius hæc interpretatur: *Atque ego eam, quæ est inter amicos æquissima, conditionem fero.* SCHN.

14. *σοι*] Frequens apud Xen. quoque dat. cum *ἄξιος*, quamvis hic exiguæ fidei.

15 λον ἢ μέμψεως; Δίκαιον γοῦν, ἔφη. Ἄγε τοίνυν, ἔφη ὁ [6
Κῦρος, σκοπῶμεν τὰ ἐμοὶ πεπραγμένα πάντα καθ' ἓν ἕκα-
στον· οὕτω γὰρ μάλιστα δῆλον ἔσται ὅ τι τε αὐτῶν ἀγα-
16 θόν ἐστι καὶ ὅ τι κακόν. ἀρξώμεθα δ', ἔφη, ἐκ τῆσδε τῆς
ἀρχῆς, εἰ καὶ σοὶ ἀρκούντως δοκεῖ ἔχειν. σὺ γὰρ δήπου
ἐπεὶ ᾔσθου πολλοὺς πολεμίους ἠθροισμένους, καὶ τούτους
ἐπὶ σὲ καὶ τὴν σὴν χώραν ὁρμωμένους, εὐθὺς ἔπεμπες πρός
τε τὸ Περσῶν κοινὸν συμμάχους αἰτούμενος καὶ πρὸς ἐμὲ
ἰδίᾳ δεόμενος πειρᾶσθαι αὐτὸν ἐμὲ ἐλθεῖν ἡγούμενον, εἴ
τινες Περσῶν ἴοιεν. οὔκουν ἐγὼ ἐπείσθην τε ταῦτα ὑπὸ
σοῦ καὶ παρεγενόμην ἄνδρας ἄγων σοι ὡς ἦν δυνατὸν
17 πλείστους τε καὶ ἀρίστους; Ἦλθες γὰρ οὖν, ἔφη. Ἐν [7
τούτῳ τοίνυν, ἔφη, πρῶτόν μοι εἰπὲ πότερον ἀδικίαν τινά
μου πρὸς σὲ κατέγνως ἢ μᾶλλον εὐεργεσίαν; Δῆλον,
18 ἔφη ὁ Κυαξάρης, ὅτι ἔκ γε τούτων εὐεργεσίαν. Τί γάρ,
ἔφη, ἐπεὶ οἱ πολέμιοι ἦλθον καὶ διαγωνίζεσθαι ἔδει πρὸς
αὐτούς, ἐν τούτῳ κατενόησάς πού με ἢ πόνου ἀποστάντα
ἤ τινος κινδύνου φεισάμενον; Οὐ μὰ τὸν Δί', ἔφη, οὐ
19 μὲν δή. Τί γάρ, ἐπεὶ νίκης γενομένης σὺν τοῖς θεοῖς ἡμε-
τέρας καὶ ἀναχωρησάντων τῶν πολεμίων παρεκάλουν ἐγώ
σε ὅπως κοινῇ μὲν αὐτοὺς διώκοιμεν, κοινῇ δὲ τιμωροίμεθα,
κοινῇ δὲ εἴ τι καλὸν κἀγαθὸν συμβαίνοι, τοῦτο καρποί-
μεθα, ἐν τούτοις ἔχεις τινά μου πλεονεξίαν κατηγορῆσαι;

γ' οὖν D. 15. γὰρ] γὰρ δὴ D. κατάδηλα D. ὅτι αὐτῶν ἀγαθόν ἐστιν ὅτι κακόν G. τε om. M. 16. ἐκ om. A.G. ἀρχῆς om. A. δοκεῖ ἀρκούντως D. σὺ] οὐ G. corr. mg. r. καὶ om. G. s. v. al. m. L. ὡρμημένους D. κοινὸν Περσῶν G. αὐτόν με D. εἴ] οἵ G. s. v. r. ἴοιμεν G. οὐκοῦν codices. ἄγων] φέρων D. corr. mg. ἦν δυνατὸν] ἐδυνάμην D. 17. τοίνυν ἔφη om. D. μοι πρῶτον D. τινά μου] ἐμοῦ D. ἔγνως D. ὅτι om. D. ἔν γε τούτῳ D. 18. ἐπεὶ Schneiderus. εἰπὲ A.G. ἐπειδὴ G. mg. r. εἰπὲ ἐπειδὴ L.M. που om. D. πόνου] πόνου τινὸς D. φεισάμενον] ν in ras., qui ον s. v. G. τινος om. D. 19. γεμένης D. νο s. v. r. σε ἐγὼ D. διώκοιμεν] διοικοῖμεν A.G. pr. τιμωρώμεθα D. τι ἀγαθὸν ἢ καλὸν D. καλὸν] κακὸν s. v. r. G.M. κἀγαθὸν] ἢ s. v. r. G.M. ἐμβαίνοι A.G. ἔχοις G., sed ο in litura. ἐμοῦ D.

16. ἀρχῆς] Quam ex Cyaxaris voto susceperat 1, 5, 4.

19. Conf. 3, 3, 56; 4, 1, 11.

καλὸν κἀγαθὸν] V. ad 7, 2, 13. SCHN.

20. ἀφῆκα] Si verbum μετέχειν in antiqua scriptura locum suum tueri velis, tum negationem addere oportebat, μὴ μετέχειν. Plato Philebi p. 50 D: Ῥᾴδιον—ἀφεῖναί με μηκέτι ἐπ' ἐκεῖνα ἰόντα δεῖν μηκύνειν τοὺς λόγους. Locum debeo Heindorfio. SCHN. Ita E., correctoribus quasi certantibus inter se inutilibus additamentis.

20 ὁ μὲν δὴ Κυαξάρης πρὸς τοῦτο ἐσίγα· ὁ δὲ Κῦρος πάλιν [8]
ἔλεγεν ὧδε· Ἀλλ' εἰ πρὸς τοῦτο σιωπᾶν ἥδιόν σοι ἢ ἀποκρίνασθαι, τόδε γ', ἔφη, εἰπὲ εἴ τι ἀδικεῖσθαι ἐνόμισας ὅτι ἐπεί σοι οὐκ ἀσφαλὲς ἐδόκει εἶναι διώκειν, σὲ μὲν αὐτὸν ἀφῆκα τοῦ κινδύνου, ἱππέας δὲ τῶν σῶν συμπέμψαι μοι ἐδεόμην σου· εἰ γὰρ καὶ τοῦτο αἰτῶν ἠδίκουν, ἄλλως τε καὶ προπαρεσχηκὼς ἐμαυτόν σοι σύμμαχον, τοῦτ' αὖ παρὰ
21 σοῦ, ἔφη, ἐπιδεικνύσθω. ἐπεὶ δ' αὖ καὶ πρὸς τοῦτο ἐσίγα ὁ [9]
Κυαξάρης, Ἀλλ' εἰ μηδὲ τοῦτο, ἔφη, βούλει ἀποκρίνασθαι, σὺ δὲ τοὐντεῦθεν λέγε εἴ τι αὖ ἠδίκουν ὅτι σοῦ ἀποκριναμένου ἐμοὶ ὡς οὐκ ἂν βούλοιο, εὐθυμουμένους ὁρῶν Μήδους, τούτου παύσας αὐτοὺς ἀναγκάζειν κινδυνεύσοντας ἰέναι, εἴ τι αὖ σοι δοκῶ τοῦτο χαλεπὸν ποιῆσαι ὅτι ἀμελήσας τοῦ ὀργίζεσθαί σοι ἐπὶ τούτοις πάλιν ᾔτουν σε οὗ ᾔδειν ὅτι οὔτε σοὶ μεῖον δοῦναι οὐδὲν οὔτε ῥᾷον Μήδοις ἐπιταχθῆναι· τὸν γὰρ βουλόμενον δήπου ἕπεσθαι ᾔτησά σε
22 δοῦναί μοι. οὐκοῦν τούτου τυχὼν παρὰ σοῦ οὐδὲν ἤνυτον, εἰ μὴ τούτους πείσαιμι. ἐλθὼν οὖν ἔπειθον αὐτοὺς καὶ οὓς ἔπεισα τούτους ἔχων ἐπορευόμην σοῦ ἐπιτρέψαντος. εἰ δὲ τοῦτο αἰτίας ἄξιον νομίζεις, οὐδ' ὅ τι ἂν διδῷς, ὡς ἔοικε,
23 παρὰ σοῦ δέχεσθαι ἀναίτιόν ἐστιν. οὐκοῦν ἐξωρμήσαμεν

20. δὴ om. D. ταῦτα D. εἰ] ἐπεὶ D. τόδε] τό A.G. ὅτι] ὅτι οὐκ A. et οὐκ punctis notato G. ἐδόκει οὐκ ἀσφαλὲς D. διώκειν] τὸ διώκειν D. ἀφῆκα] οὐκ ἀφῆκα D. τοῦ] τούτου τοῦ D. κινδύνου] μετέχειν add. D. post ἀφῆκα G. mg. al. m. ἱππεῖς D. πέμψαι A.G. μοι om. G. ἔφη παρὰ σοῦ D. 21. ταῦτα D. βούλει add. G. mg. ead. m. qua 20. μετέχειν. σὺ δὲ] σὺ D. εὐθυμούμενος G. pr. τούτου Stephanus. Libri τούτους. ἀναγκάσειν A.G. τι] τε G. corr. s. v. r. δοκῶ σοι D. οὗ O. ὃ D. οὓς A.G. pr., eraso deinde υς. ᾔδειν] ἡγῇ A., ut G. pr., qui in ras. ᾔδειν. Post quod ὅτι om. D. erasit G. delet L. μεῖον] ἄμεινον A.G. pr. μεῖον corr. μεῖον ὂν D. δοῦναί μοι D.G. s. v. r. οὔτε] οὐδὲ A.G. ῥᾴδιον D. ἐπιταχθῆναι] οὐδέν add. D. σε] σοι D. pr. 22. ἤνυτον] ἤνυον G. corr., qui etiam sequens εἰ in ras. ἦν A.D. πείσαιμι—τούτους A.G. mg. r. ἔχων] λαβὼν D. εἰ δὲ τοῦτο] εἰ δὴ τοῦτό γε D. ἄξιον νομίζεις] ἀξιοῖς νομίζειν A.G. corr. s. v. r. δίδως D. ὡς] ἴσω A. ἰσῶς B., spiritu certe, ut videtur, a corr. addito, M. ἴσως H.L. pr. δέχεσθαι παρὰ σοῦ D. 23. ἐξώρμησα μὲν G. ὡρμήθημεν D.

καὶ τοῦτο] Silentium Cyaxaris interim pro criminatione assumens Cyrus ita pergit; huc refertur etiam sequens τοῦτ' αὖ. SCHN.

21. Conf. 4, 1, 13 seq.

εἴ τι αὖ] Post interposita verba plura repetitur, quod supra diversis verbis fuerat inchoatum, εἴ τι αὖ ἠδίκουν. SCHN.

22. ἤνυτον recte Fischerus, quum alterius formæ exempla Xenophontea, velut Vect. 4, 37, non minus sint vitiosa quam hoc, ubi exigua syllabarum νον fides.

οὕτως· ἐπειδὴ δ' ἐξήλθομεν, τί ἡμῖν πεπραγμένον οὐ φα-
νερόν ἐστιν; οὐ τὸ στρατόπεδον ἥλωκε τῶν πολεμίων;
οὐ τεθνᾶσι πολλοὶ τῶν ἐπὶ σὲ ἐλθόντων; ἀλλὰ μὴν τῶν
γε ζώντων ἐχθρῶν πολλοὶ μὲν ὅπλων ἐστέρηνται, πολλοὶ
δὲ ἵππων· χρήματά γε μὴν τὰ τῶν φερόντων καὶ ἀγόντων
τὰ σὰ πρόσθεν νῦν ὁρᾷς τοὺς σοὺς φίλους καὶ ἔχοντας καὶ
24 ἄγοντας, τὰ μὲν σοί, τὰ δ' αὖ τοῖς ὑπὸ τὴν σὴν ἀρχήν. τὸ
δὲ πάντων μέγιστον καὶ κάλλιστον, τὴν μὲν σὴν χώραν
αὐξανομένην ὁρᾷς, τὴν δὲ τῶν πολεμίων μειουμένην, καὶ
τὰ μὲν τῶν πολεμίων φρούρια ἐχόμενα, τὰ δὲ σὰ τὰ πρό-
τερον εἰς τὴν Σύρων ἐπικράτειαν συγκατασπασθέντα νῦν
τἀναντία σοὶ προσκεχωρηκότα· τούτων δὲ εἴ τι κακόν σοι
ἢ εἴ τι μὴ ἀγαθόν σοι μαθεῖν μὲν ἔγωγε βούλεσθαι οὐκ οἶδ'
25 ὅπως ἂν εἴποιμι· ἀκοῦσαι μέντοι γε οὐδὲν κωλύει. ἀλλὰ
λέγε ὅ τι γιγνώσκεις περὶ αὐτῶν. ὁ μὲν δὴ Κῦρος οὕτως [1
εἰπὼν ἐπαύσατο· ὁ δὲ Κυαξάρης ἔλεξε πρὸς ταῦτα τάδε.

Ἀλλ', ὦ Κῦρε, ὡς μὲν ταῦτα ἃ σὺ πεποίηκας κακά
ἐστιν οὐκ οἶδ' ὅπως χρὴ λέγειν· εὖ γε μέντοι, ἔφη, ἴσθι
ὅτι ταῦτα τἀγαθὰ τοιαῦτά ἐστιν οἷα ὅσῳ πλείονα φαίνεται,
26 τοσούτῳ μᾶλλον ἐμὲ βαρύνει. τήν τε γὰρ χώραν, ἔφη,
ἐγὼ ἂν τὴν σὴν ἐβουλόμην τῇ ἐμῇ δυνάμει μείζω ποιεῖν
μᾶλλον ἢ τὴν ἐμὴν ὑπὸ σοῦ ὁρᾶν οὕτως αὐξανομένην· σοὶ
μὲν γὰρ ταῦτα ποιοῦντι καλά, ἐμοὶ δέ γέ ἐστί πῃ ταῦτα

ἐπεὶ D. ἥλωκε τῶν Schneiderus. ἡλωκότων A.G.I. ἥλω τὸ τῶν D. ἐπι-σελθόντων D. pr., ι in ει mutato corr. τῶν γε ζώντων] τῶν πεζῶν τῶν A.G. corr. s. v. r. πολλοὶ—ἵππων] οὐ πολλοὶ—ἵππων; D. στέρονται D. γε μὴν] μέν γε δὴ A. (sed qui nunc μήν) G. πρόσθεν] πρότερον D. ἄγοντας καὶ ἔχοντας A.G. αὖ τοῖς D. corr. r., pr. αὐτοῖς, ut A.G. 24. καὶ κάλλιστον om. A. μὲν σὴν] σὴν μὲν G.M. τὰ—σύρων] εἰς τὴν σὴν πρότερόν σοι ὁρᾷς A.G. pr., ut videtur, qui in ras. nunc σοι tantum, ut L., pro σοι ὁρᾷς. συγκ.] συγκυροῦντα D. συγκατασπασθέντα νῦν τἀναντία σοι G. mg. r. προσκεχωρ. σ fere evanido D. μὴ punctis notat G. om. L. ἀγαθόν σοι] ἀγαθὸν D. μὲν om. G. μέντοι γε] μέντοι γε ἔφη D. μέντοι ἔφη Juntina, tacente de M. Valckenario. ὅ] εἴ G. corr. s. v. r. 25. ὡς] εἰ D. καλὰ G. corr. r., M. ταῦτα τἀγαθὰ] ταῦτα τὰ ἀγαθὰ Juntina tacente de M. Valckenario. ταῦτα ἀγαθὰ A.D. ἀγαθὰ ταῦτα G. ὅσῳ] ὅσῳ μᾶλλον A. (pr., nunc ὅσα) G. πλείω D. φαίνηται A.G. τοσοῦτο A. τόσῳ D. ἐμὲ βαρύνει—26. μᾶλλον om. A.G. mg. r. μᾶλλον ἐμὲ] ἐπ' ἐμὲ μᾶλλον D. 26. ἐβολόμην D. pr. ὁρᾶν ὑπὸ σοῦ G. δέ γε] γε δ' D. πῃ] που G. et D. corr. ita ut tamen pr. fuisse videatur η.

23. τῶν ζώντων] Conf. 4, 2, 32; 5, 3, 25.

24. φρούρια] Conf. 5, 4, 51. μέντοι γε] V. ad 1, 6, 8.

27 ἀτιμίαν φέροντα. καὶ χρήματα οὕτως ἄν μοι δοκῶ ἥδιόν
σοι δωρεῖσθαι ἢ παρὰ σοῦ οὕτω λαμβάνειν ὡς σὺ ἐμοὶ
δίδως· τούτοις γὰρ πλουτιζόμενος ὑπὸ σοῦ καὶ μᾶλλον
αἰσθάνομαι οἷς πενέστερος γίγνομαι. καὶ τούς γ' ἐμοὺς
ὑπηκόους ἰδὼν μικρά γε ἀδικουμένους ὑπὸ σοῦ ἧττον ἂν
δοκῶ λυπεῖσθαι ἢ νῦν ὁρῶν ὅτι μεγάλα ἀγαθὰ πεπόνθασιν
28 ὑπὸ σοῦ. εἰ δέ σοι, ἔφη, ταῦτα δοκῶ ἀγνωμόνως ἐνθυ-
μεῖσθαι, μὴ ἐν ἐμοὶ αὐτὰ ἀλλ' εἰς σὲ τρέψας πάντα κατα-
θέασαι οἷά σοι φαίνεται. τί γὰρ ἄν, εἴ τις κύνας, οὓς σὺ
τρέφεις φυλακῆς ἕνεκα σαυτοῦ τε καὶ τῶν σῶν, τούτους
θεραπεύων γνωριμωτέρους ἑαυτῷ ἢ σοὶ ποιήσειεν, ἆρ' ἂν
29 σε εὐφράναι τούτῳ τῷ θεραπεύματι; εἰ δὲ τοῦτό σοι δοκεῖ
μικρὸν εἶναι, ἐκεῖνο κατανόησον· εἴ τις τοὺς σὲ θεραπεύον-
τας, οὓς σὺ καὶ φρουρᾶς καὶ στρατείας ἕνεκα κέκτησαι,
τούτους οὕτω διατιθείη ὥστ' ἐκείνου μᾶλλον ἢ σοῦ βού-
λεσθαι εἶναι, ἆρ' ἂν ἀντὶ ταύτης τῆς εὐεργεσίας χάριν
30 αὐτῷ εἰδείης; τί δέ, ὃ μάλιστα ἄνθρωποι ἀσπάζονταί τε
καὶ θεραπεύουσιν οἰκειότατα, εἴ τις τὴν γυναῖκα τὴν σὴν
οὕτω θεραπεύσειεν ὥστε φιλεῖν αὐτὴν μᾶλλον ποιήσειεν
ἑαυτὸν ἢ σέ, ἆρ' ἄν σε τῇ εὐεργεσίᾳ ταύτῃ εὐφράναι;
πολλοῦ γ' ἄν, οἶμαι, καὶ δέοι· ἀλλ' εὖ οἶδ' ὅτι πάντων ἂν
31 μάλιστα ἀδικοίη σε τοῦτο ποιήσας. ἵνα δὲ εἴπω καὶ τὸ μά-
λιστα τῷ ἐμῷ πάθει ἐμφερές, εἴ τις οὓς σὺ ἤγαγες Πέρσας

27. χρήματα] γε ἔφη add. D. οὕτως—δωρεῖσθαι] ἐγὼ ἄν σοι δοκῶ ἥδιον οὕτω δωρεῖσθαι D. οὕτω] τι B. om. D. ὡς] ς in lit. D., qui pr. ὧν. σὺ G. corr. σὺν A.G. pr. σὺ νῦν D. πλουτιζόμενος] τι in ras., ut eraso super ε accentu ς G. μᾶλλον] μάλα D.G. s. v. r. γ'] τε D. ὁρῶ D. 28. δοκῶ ταῦτα D. ἀγνομόνως D. αὐτὰ] ταῦτα D. εἰς σὲ] ἐν σοὶ D. εἰς in ras. et σὲ tantum pr. G. τρέψας] οἴεσθαι A. et G. pr., qui τρέψας in ras. ead. m. qui εἰς. καταθεᾶσθαι A.G. pr., qui eraso θ accentum posuit super ε, sed circumflexum reliquit super α. ἂν] ἂν ἔφη D. εἴ τις D. mg. r. οὓς] ἃς D.G. s. v. r. τρέφοις D. τε om. D. ταύτας—ἑαυτῷ γνωριμωτέρας D. ταύτας G. s. v. r. Hic autem D. mg. ead. m. ση. οἷα τὰ ἐνθυμήματα τῶν ἐπιχειρημάτων ἐξείργασται. σοι] ι in ras. G. ἄρα A. ἂν ἔφη σε εὐφραίνοι D. 29. κἀκεῖνο D. σε om. D. στρατείας] θεραπείας D. οὕτως A. hic et s. 30. 31. διαθείη D. ἢ σοῦ om. D. ἆρ' ἂν H. ἆρα A.G. ἆρ' ἄντι D. αὐτῷ om. D. 30. τις τὴν] τις D. αὐτὴν φιλεῖν D. ποιήσειν A.G. εὐφραίνοι D. πολλοῦ τ' ἂν ἔφη οἶμαι D. εὖ οἶδ' om. A.G. mg. r. μάλιστα] μάλιστ' ἂν D. ἀδικοῖ A., et qui ο in ras. G. 31. προσφερὲς D. ἤγαγες σὺ G.

27. οἷς πενέστερος] Conf. s. 37.

28. τί γὰρ ἄν et ἆρα ἄν ponuntur ἐκ παραλλήλου. Sed non male Fischerus delet ἄν: quomodo aptius procedit oratio, seorsum posito τί γάρ quam cum εὐφράναι conjuncto. Et ita sequitur τί δέ;—ἆρ' ἄν.

29. διατιθείη] Conf. Anab. 1, 1, 5.

οὕτω θεραπεύσειεν ὥστε αὐτῷ ἥδιον ἕπεσθαι ἢ σοὶ, ἆρ' ἂν
φίλον αὐτὸν νομίζοις; οἶμαι μὲν οὒ, ἀλλὰ πολεμιώτερον
32 ἂν ἢ εἰ πολλοὺς αὐτῶν κατακάνοι. τί δ', εἴ τις τῶν σῶν
φίλων φιλοφρόνως σου εἰπόντος λαμβάνειν ὁπόσα ἐθέλοι
εἶτ' αὐτὸς τοῦτο ἀκούσας λαβὼν οἴχοιτο ἅπαντα ὁπόσα
δύναιτο, καὶ αὐτὸς μέν γε τοῖς σοῖς πλουτοίη, σὺ δὲ μηδὲ
μετρίοις ἔχοις χρῆσθαι, ἆρ' ἂν δύναιο τὸν τοιοῦτον ἄμεμ-
33 πτον φίλον νομίζειν; νῦν μέντοι ἐγὼ, ὦ Κῦρε, εἰ μὴ
ταῦτα ἀλλὰ τοιαῦτα ὑπὸ σοῦ δοκῶ πεπονθέναι. σὺ γὰρ
ἀληθῆ λέγεις· εἰπόντος ἐμοῦ τοὺς ἐθέλοντας ἄγειν λαβὼν
ᾤχου πᾶσάν μου τὴν δύναμιν, ἐμὲ δὲ ἔρημον κατέλιπες·
καὶ νῦν ἃ ἔλαβες τῇ ἐμῇ δυνάμει ἄγεις δή μοι καὶ τὴν
ἐμὴν χώραν αὔξεις σὺν τῇ ἐμῇ ῥώμῃ· ἐγὼ δὲ δοκῶ οὐδὲν
συναίτιος ὢν τῶν ἀγαθῶν παρέχειν ἐμαυτὸν ὥσπερ γυνὴ
εὖ ποιεῖν, καὶ τοῖς τε ἄλλοις ἀνθρώποις καὶ τοῖσδε τοῖς
ἐμοῖς ὑπηκόοις σὺ μὲν ἀνὴρ φαίνει, ἐγὼ δ' οὐκ ἄξιος
34 ἀρχῆς. ταῦτά σοι δοκεῖ εὐεργετήματ' εἶναι, ὦ Κῦρε; εὖ
ἴσθ' ὅτι εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν οὕτω με ἀποστερεῖν
ἐφυλάττου ὡς ἀξιώματος καὶ τιμῆς. τί γὰρ ἐμοὶ πλέον τὸ
τὴν γῆν πλατύνεσθαι, αὐτὸν δὲ ἀτιμάζεσθαι; οὐ γάρ τοι
ἐγὼ Μήδων ἦρχον διὰ τὸ κρείττων αὐτῶν πάντων εἶναι,
ἀλλὰ μᾶλλον διὰ τὸ αὐτοὺς τούτους ἀξιοῦν ἡμᾶς ἑαυτῶν
πάντα βελτίονας εἶναι.

35 Καὶ ὁ Κῦρος ἔτι λέγοντος αὐτοῦ ὑπολαβὼν εἶπε, Πρὸς [11]
τῶν θεῶν, ἔφη, ὦ θεῖε, εἴ τι κἀγώ σοι πρότερον ἐχαρισά-
μην, καὶ σὺ νῦν ἐμοὶ χάρισαι ἂν δεηθῶ σου· παῦσαι,

σοὶ] σῷ fortasse G. pr., qui οι in ras. solus. νομίζεις G. οι s. v. r. κατακάνοι] ἀποκτεῖναι A.G. 32. λάμβανε τῶν ἐμῶν ὁπόσα ἐθέλῃς D. εἶτ' αὐτὸς] εἰ D. οἰχοῖτο A. οἴχοιτο λαβὼν πάντα D. γε τοῖς σοῖς] τοῖς σοῖς γε A. δύναιτο—γε D. mg. r. μηδὲ om. A.G. s. v. r. μετρίως A.G. ἔχεις G. 33. μέντοι] ἔφη add. D. ὦ om. G. δοκῶ ὑπὸ σοῦ D. θέλοντας A.G. κατέλειπες A. ἄγεις—αὔξεις] λέγεις ἐμὲ καὶ τὴν ἐμὴν χ. αὔξειν D. ἐμοὶ A. οὐθὲν A. τοῖσδε] τοῖς τε G. corr. s. v. r. Libri φαίνῃ. 34. ταῦτα] ταῦτα οὖν D. ἂν om. A.G. s. v. r. κρεῖττων A. κρεῖττον D. pr. Et litteram post ω et accentum super ει erasit G. πάντων αὐτῶν D. τὸ] τὸ καὶ D. αὐτῶν D. αὑτῶν G. corr. ἑαυτῶν pr. 35. κἀγώ] καὶ ἐγώ D. ἂν] ἂν A.G. pr. ὃ ἄν D. ὧν ἂν G. s. v. r. δεηθῶ σου] σου δεηθῶ D.

31. αὐτῷ] Sic s. 29 ἐκείνου, non ἑαυτοῦ, ut 28, 29. Conf. Anab. 1, 1, 5.

33. ἐθέλοντας] V. ad 1, 4, 10.

παρέχειν ἐμαυτὸν εὖ ποιεῖν] Anab. 2, 3, 22: Ἠισχύνθημεν προδοῦναι αὐτὸν, ἐν τῷ πρόσθεν χρόνῳ παρέχοντες ἡμᾶς αὐτοὺς εὖ ποιεῖν. HUTCH.

35. ἂν] Crasin ut supra 5, 3, 9, restitui et usitatam constructionem. Eadem latere videtur 1, 6, 26; 4, 5, 32, 57.

ἔφη, τὸ νῦν εἶναι μεμφόμενός μοι· ἐπειδὰν δὲ πεῖραν ἡμῶν λάβῃς πῶς ἔχομεν πρὸς σὲ, ἐὰν μὲν δή σοι φαίνηται τὰ ὑπ' ἐμοῦ πεπραγμένα ἐπὶ τῷ σῷ ἀγαθῷ πεποιημένα, ἀσπαζομένου τέ μού σε ἀντασπάζου, εὐεργέτην τε νόμιζε, ἐὰν δ'
36 ἐπὶ θάτερα, τότε μοι μέμφου. Ἀλλ' ἴσως μέντοι, ἔφη ὁ Κυαξάρης, καλῶς λέγεις· κἀγὼ οὕτω ποιήσω. Τί οὖν; ἔφη ὁ Κῦρος, ἦ καὶ φιλήσω σε; Εἰ σὺ βούλει, ἔφη. Καὶ οὐκ ἀποστρέψει με ὥσπερ ἄρτι; Οὐκ ἀποστρέψομαι, ἔφη. καὶ ὃς ἐφίλησεν αὐτόν.

37 Ὡς δὲ εἶδον οἱ Μῆδοί τε καὶ οἱ Πέρσαι καὶ οἱ ἄλλοι, [12]
πᾶσι γὰρ ἔμελεν ὅ τι ἐκ τούτων ἔσοιτο, εὐθὺς ἥσθησάν τε καὶ ἐφαιδρύνθησαν. καὶ ὁ Κῦρος δὲ καὶ ὁ Κυαξάρης ἀναβάντες ἐπὶ τοὺς ἵππους ἡγοῦντο, καὶ ἐπὶ μὲν τῷ Κυαξάρῃ οἱ Μῆδοι εἵποντο, Κῦρος γὰρ αὐτοῖς οὕτως ἐπένευσεν, ἐπὶ
38 δὲ τῷ Κύρῳ οἱ Πέρσαι, οἱ δ' ἄλλοι ἐπὶ τούτοις. ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον καὶ κατέστησαν τὸν Κυαξάρην εἰς τὴν κατεσκευασμένην σκηνὴν, οἷς μὲν ἐτέτακτο
39 παρεσκεύαζον τἀπιτήδεια τῷ Κυαξάρῃ· οἱ δὲ Μῆδοι ὅσον χρόνον σχολὴν πρὸ δείπνου ἦγεν ὁ Κυαξάρης ᾖσαν πρὸς αὐτὸν, οἱ μὲν καὶ αὐτοὶ καθ' ἑαυτοὺς, οἱ δὲ πλεῖστοι ὑπὸ Κύρου ἐγκέλευστοι, δῶρα ἄγοντες, ὁ μέν τις οἰνοχόον καλὸν, ὁ δ' ὀψοποιὸν ἀγαθὸν, ὁ δ' ἀρτοποιὸν, ὁ δὲ μου-

ὅπως D. ἐὰν μὲν δὴ H. ἢν μέν D. ἐὰν δή A.G. τῷ ἀγαθῷ τῷ σῷ πεποιημένα D. πεποιημένα om. A.G. μου] ἐμοῦ D. ἀντασπάζου] με add. D.L. s.v. νόμιζε] εἶναι add. D. ἐὰν] ἢν D. μου D. 36. μέντοι] τοι D. pr., μὲν s.v. r. οὕτω ποιήσω] ποιήσω ταῦτα D. ἢ G. βούλη D. pr. καὶ—ἔφη om. A.G. mg. r. ἀποστρέψεις G. 37. τε om. D. καὶ οἱ ἄλλοι] καὶ ἄλλοι δὲ πολλοὶ D. ἔμελεν ὅτι] ἔμελέ τι D. ἔμελλεν ὅτι A.G. ἐφαιδρύνοντο D. κυαξάρει A.G. ἐπένεσεν A. οἱ δ' ἄλλοι ἐπὶ τούτοις] ἐπὶ δὲ τούτοις οἱ ἄλλοι D. 38. κυαξάρῃ G. ἐπετέτακτο D. Libri τὰ ἐπιτήδεια. κυαξάρει A.G., qui verba (τὰ ἐπ resecta videntur) ιτήδεια τῷ κυαξάρει ponit etiam in mg. 39. Libri ᾔεσαν. αὐτοὶ om. Suidas v. Ἐγκέλευστοι ponens ex h. l. προσῆγον τῷ Κυαξάρει δῶρα, οἱ μὲν καθ' ἑαυτοὺς, οἱ δὲ ὑπὸ K. ἐ. καθ' αὑτοὺς G. ἀφ' ἑαυτῶν D. ὑπὸ κ. ἐγκέλευστοι] ἐκελεύοντο ὑπὸ κύρου D. καλὸν om. A.G. s. v. r.

πεπραγμένα] Semel positum quod bis debebat, ut Herodoti 8, 80: Ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων, aliisque locis, de quibus ad H. Gr. 2, 3, 19, si recte πεποιημένα om. A.G.

36. Post verba ἴσως μέντοι—λέγεις breve silentii intervallum est interponendum legenti hæc: deinde subito mutato et in contrariam verso sententiam animo repetit κἀγὼ οὕτω ποιήσω. SCHN.

ὥσπερ ἄρτι] s. 6.

38. οἷς ἐτέτακτο] Thuc. 3, 22, 7: Οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν, εἴ τι δέοι. Sed altero verbo Anab. locis in Ind. citatis.

39. ἐγκέλευστοι] Sic Anab. 1, 3, 13. SCHN. Tum legendum videtur ἀρτοκόπον, ut H. Gr. 7, 1, 38. Conf. var. scr. Anab. 4, 4, 20, Plat. Gorg. p. 518 B.

σουργὸν, οἱ δ' ἐκπώματα, οἱ δ' ἐσθῆτα καλήν· πᾶς δέ τις
40 ὡς ἐπὶ τὸ πολὺ ἕν γέ τι ὧν εἰλήφει ἐδωρεῖτο αὐτῷ· ὥστε
τὸν Κυαξάρην μεταγιγνώσκειν ὡς οὔτε ὁ Κῦρος ἀφίστη
αὐτοὺς ἀπ' αὐτοῦ οὔθ' οἱ Μῆδοι ἧττόν τι αὐτῷ προσεῖχον
τὸν νοῦν ἢ καὶ πρόσθεν.
41 Ἐπεὶ δὲ δείπνου ὥρα ἦν, καλέσας ὁ Κυαξάρης ἠξίου [1
τὸν Κῦρον διὰ χρόνου ἰδόντα αὐτὸν συνδειπνεῖν. ὁ δὲ
Κῦρος ἔφη, Μὴ δὴ σὺ κέλευε, ὦ Κυαξάρη· ἢ οὐχ ὁρᾷς
ὅτι οὗτοι οἱ παρόντες ὑφ' ἡμῶν πάντες ἐπαιρόμενοι πάρει-
σιν; οὔκουν καλῶς ἂν πράττοιμι εἰ τούτων ἀμελῶν τὴν
ἐμὴν ἡδονὴν θεραπεύειν δοκοίην. ἀμελεῖσθαι δὲ δοκοῦντες
στρατιῶται οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίγνονται, οἱ
42 δὲ πονηροὶ πολὺ ὑβριστότεροι. ἀλλὰ σὺ μὲν, ἔφη, ἄλλως
τε καὶ ὁδὸν μακρὰν ἥκων δείπνει ἤδη· καὶ εἴ τινές σε
τιμῶσιν, ἀντασπάζου καὶ εὐώχει αὐτοὺς, ἵνα σε καὶ θαρ-
43 ρήσωσιν· ἐγὼ δ' ἀπιὼν ἐφ' ἅπερ λέγω τρέψομαι. αὔριον
δ', ἔφη, πρῷ δεῦρ' ἐπὶ τὰς σὰς θύρας παρέσονται οἱ ἐπι-
καίριοι, ὅπως βουλευσώμεθα πάντες σὺν σοὶ ὅ τι χρὴ
ποιεῖν τὸ ἐκ τοῦδε. σὺ δ' ἡμῖν ἔμβαλε παρὼν περὶ τούτου
πότερον ἔτι δοκεῖ στρατεύεσθαι ἢ καιρὸς ἤδη διαλύειν τὴν
44 στρατιάν. ἐκ τούτου ὁ μὲν Κυαξάρης ἀμφὶ δεῖπνον εἶχεν, [1
ὁ δὲ Κῦρος συλλέξας τοὺς ἱκανωτάτους τῶν φίλων καὶ
φρονεῖν καὶ συμπράττειν, εἴ τι δέοι, ἔλεξε τοιάδε.
Ἄνδρες φίλοι, ἃ μὲν δὴ πρῶτα ηὐξάμεθα, πάρεστι σὺν

οἱ—οἱ] ὁ—ὁ D. τις om. A.G. s. v. r. τὸ G. s. v. 40. ὁ om. D. ἀφίστη αὐτοὺς] φι et ους D. in lit. ι super αὐ et ὸν super ους r. G. 41. τὸν s. v. ead. m. A. ἔφη] εἶπεν D. μὴ δὴ] μὴ δὲ A.G. ἢ om. A.G. s. v. r. ὑφ'] ἐ s. v. ead. m. D. ἐπηρμένοι D. δοκοιεν sine acc. D. ἀμελεῖσθαι] Suidas v. Ὑβριστότερος, οἱ ἀμ. δοκοῦντες στρ.—ὑβρ. πολὺ] πολὺ ἂν D. πολλ, ut videtur, G. pr., ut L., ὺ corr. ἀθυμώτεροι D. pr. γίνοιντο D. γίγνοιντο G., sed οιντο in ras. πολλοὶ G. 42. εὐόχει D. θαρρήσωσιν] alterum ρ ex parte, ut videtur, in ras. D. λέγω] ἔλεγον D. 43. Libri πρωί. οἱ] πάντες οἱ D.G. mg. r. πάντες punctis notat G. corr. ὅ τι] τί D. δοκεῖ Junt. δοκεῖς A.D.G. διαλύσειν D. ἀλύειν L. 44. τῶν φ. τοὺς ἱκ. G. εἴ] ὅ G. πρῶτον D. εὐξάμεθα A.G. εὐχόμεθα D. σὺν τοῖς θεοῖς πάρεστιν ἡμῖν D.

ὡς ἐπὶ τὸ πολὺ] Inter τὸ πολὺ et πολὺ libri etiam Anab. 3, 1, 42, 43 ita variant ut articulus restituendus videatur Eq. 1, 12: Εὐχιλότερον ὡς ἐπὶ πολὺ τὸν ἵππον παρέχεται.

42. ἵνα σε θαρρήσωσιν] Eur. Andr. 993: Θάρσει γέροντος χεῖρα. Demosth. p. 30, 15: Οὔτε Φίλιππος ἐθάρρει τούτους οὔθ' οὗτοι Φίλιππον. ZEUN.

ἔμβαλε] Intellige λόγον, ut 2, 2, 19, et 6, 1, 13, βουλὴν ἐμβ. est 2, 2, 18. SCHN. Respondent autem inter se δοκεῖ et καιρὸς, ut s. 45 καιρὸς et δέοι. Utrumque ubi conjungitur 6, 1, 6, delendum potius videtur καιρὸς quam ut hic in altero membro ponendum.

θεοῖς· ὅπῃ γὰρ ἂν πορευώμεθα, κρατοῦμεν τῆς χώρας· καὶ μὲν δὴ τοὺς πολεμίους ὁρῶμεν μειουμένους, ἡμᾶς δὲ αὐ-
45 τοὺς πλειονάς τε καὶ ἰσχυροτέρους γιγνομένους. εἰ δὲ ἡμῖν ἔτι ἐθελήσειαν οἱ νῦν προσγεγενημένοι σύμμαχοι παραμεῖναι, πολλῷ ἂν μᾶλλον ἀνύσαι δυναίμεθα καὶ εἴ τι βιάσασθαι καιρὸς καὶ εἴ τι πεῖσαι δέοι. ὅπως οὖν τὸ μένειν ὡς πλείστοις συνδοκῇ τῶν συμμάχων, οὐδὲν μᾶλλον τοῦτο
46 ἔργον ἐμὸν ἢ καὶ ὑμέτερον μηχανᾶσθαι, ἀλλ᾽ ὥσπερ καὶ ὅταν μάχεσθαι δέῃ, ὁ πλείστους χειρωσάμενος ἀλκιμώτατος δοξάζεται εἶναι, οὕτω καὶ ὅταν πεῖσαι δέῃ, ὁ πλείστους ὁμογνώμονας ἡμῖν ποιήσας οὗτος δικαίως ἂν λεκτι-
47 κώτατος καὶ πρακτικώτατος κρίνοιτο ἂν εἶναι. μὴ μέντοι ὡς λόγον ἡμῖν ἐπιδειξόμενοι οἷον ἂν εἴπητε πρὸς ἕκαστον αὐτῶν τοῦτο μελετᾶτε, ἀλλ᾽ ὡς τοὺς πεπεισμένους ὑφ᾽ ἑκάστου δήλους ἐσομένους οἷς ἂν πράττωσιν οὕτω παρα-
48 σκευάζεσθε. καὶ ὑμεῖς μέν, ἔφη, τούτων ἐπιμέλεσθε· ἐγὼ δὲ ὅπως ἂν ἔχοντες τἀπιτήδεια ὅσον ἂν ἔγωγε δύνωμαι οἱ στρατιῶται περὶ τοῦ στρατεύεσθαι βουλεύωνται τούτου πειράσομαι ἐπιμέλεσθαι.

δὴ] δὴ καὶ D. μειομένους A. 45. θελήσειαν D. προσγενόμενοι D. καὶ πολλῷ ἂν ἀνῦσαι μᾶλλον δ. D. δυναίμεθα Junt. δυνάμεθα A.D.G. συνδόξαι D. συνδοκεῖ G., οἶ s.v. r. solus. τοῦτο μᾶλλον G. ἐμὸν ἔργον D. 46. ὥσπερ ὅταν μάχῃ ᾖ D. οὕτως A. ὅταν πείσεσθαι δέῃ G., mg. r. βουλῆς. ὅταν που δέῃ βουλῆς D. λεκτικώτατος] τε addit D. erasit aliquid L. κρίνοιτο] φαίνοιτο D.G. s.v.r. ἂν om. D. 47. εἴποιτε D. τοὺς] τούς τε A.G. τούς γε H. ἐσομένους] εἶναι G. s.v.r. οὕτως A. 48. Libri ἐπιμελεῖσθε. Libri τὰ ἐπιτήδεια. ὅσα D. ἐγὼ D. βούλωνται G. et λεύ s.v.r. τούτους A. τούτου om. D. Libri ἐπιμελεῖσθαι.

44. ὅπῃ] Frequens in libris Xen. permutatio formarum ὅπῃ et ὅποι, ut hic M., sequente πορεύεσθαι. V. 1, 1, 5; Anab. 7, 6, 37.

48. ὅσον ἂν ἔγωγε δύνωμαι] Jungenda hæc cum verbis τούτου πειράσομαι ἐπιμέλεσθαι. SCHN.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΕΦ. Α.

Ταύτην μὲν δὴ τὴν ἡμέραν οὕτω διαγαγόντες καὶ
δειπνήσαντες ἀνεπαύοντο. τῇ δ' ὑστεραίᾳ πρῷ ἧκον ἐπὶ
τὰς Κυαξάρου θύρας πάντες οἱ σύμμαχοι. ἕως οὖν ὁ
Κυαξάρης ἐκοσμεῖτο, ἀκούων ὅτι πολὺς ὄχλος ἐπὶ ταῖς
θύραις εἴη, ἐν τούτῳ οἱ φίλοι τῷ Κύρῳ προσῆγον οἱ μὲν
Καδουσίους δεομένους αὐτοῦ μένειν, οἱ δὲ Ὑρκανίους, ὁ δέ
τις Σάκας, ὁ δέ τις καὶ Γωβρύαν· Ὑστάσπας δὲ Γαδάταν
2 τὸν εὐνοῦχον προσῆγε, δεόμενον τοῦ Κύρου μένειν. ἔνθα [2]
δὴ ὁ Κῦρος γιγνώσκων ὅτι Γαδάτας πάλαι ἀπωλώλει τῷ
φόβῳ μὴ λυθείη ἡ στρατιά, ἐπιγελάσας εἶπεν, Ὦ Γαδάτα,
δῆλος εἶ, ἔφη, ὑπὸ Ὑστάσπου τοῦδε πεπεισμένος ταῦτα
3 γιγνώσκειν ἃ λέγεις. καὶ ὁ Γαδάτας ἀνατείνας τὰς χεῖρας
πρὸς τὸν οὐρανὸν ἀπώμοσεν ἦ μὴν μὴ ὑπὸ τοῦ Ὑστάσπου
πεισθεὶς ταῦτα γιγνώσκειν· ἀλλ' οἶδα, ἔφη, ὅτι ἢν ὑμεῖς
ἀπέλθητε, ἔρρει τἀμὰ παντελῶς· διὰ ταῦτ', ἔφη, καὶ τούτῳ

1. Libri πρωί. ξύμμαχοι G. ἕως] ἐν ᾧ D. ταῖς θύραις] τὰς θύρας A.G. αὐτοῦ μένειν δεομένους G. ὁ δέ τις σᾶκας post γωβρύαν D. καὶ om. A.D. ὑστάσπας] Libri ὑστάσπης. γαδάτην D. 2. ὁ γαδάτης D. ὁ delet L. ἀπολώλει A. ἔφη εἶ D. ὑπὸ] ὑπὸ τοῦ A.G. τοῦδε] τούτου A.G. 3. γαδάτης D. πρὸς] εἰς G. ὑπὸ ὑστάσπου ταῦτα πεπεῖσθαι ἃ γινώσκοι D. ἂν A.G. ἐκρεῖ A.G. pr., ut videtur, qui ἔρρει in ras. τὰ ἐμὰ D. παντελῶς] λῶς partim in ras., sed ut nihil aliud fuerit pr., G. φη D., ἔ s. v. r.

1. σύμμαχοι] Duces sociorum, ut 5, 5, 43. SCHN.

ἐπὶ ταῖς θύραις] Dativum inter et accusativum variant libri etiam 3, 3, 13, ubi accusativus, ut hic et 8, 6, 10, ex præcedenti illatus videtur.

3. εἰς τὸν οὐρανὸν] πρὸς est supra 1, 4, 11, ἥλλοντο πρὸς τὸν οὐρανὸν, ubi similiter G. εἰς. Sed πρὸς οὐρανὸν est Œcon. c. 19, 9. Infra 6, 4, 9, similiter variant libri. SCHN.

ἔρρει τἀμὰ] Conv. 1, 15: Ἐπεὶ γὰρ

ἐγὼ αὐτὸς διελεγόμην, ἐρωτῶν εἰ εἰδείη τί ἐν νῷ ἔχεις ὑπὲρ
4 τῆς διαλύσεως τοῦ στρατεύματος ποιεῖν. καὶ ὁ Κῦρος [3]
εἶπεν, Ἀδίκως ἄρα ἐγὼ Ὑστάσπου τοῦδε καταιτιῶμαι.
Ἀδίκως μέντοι νὴ Δί', ἔφη ὁ Ὑστάσπας, ὦ Κῦρε· ἐγὼ
γὰρ ἔλεγον τῷ Γαδάτᾳ τῷδε τοσοῦτον μόνον ὡς οὐχ οἷόν
τέ σοι εἴη στρατεύεσθαι, λέγων ὅτι ὁ πατήρ σε μεταπέμ-
5 πεται. καὶ ὁ Κῦρος, Τί λέγεις; ἔφη· καὶ σὺ τοῦτο ἐτόλ-
μησας ἐξενεγκεῖν, εἴτ' ἐγὼ ἐβουλόμην εἴτε μή; Ναὶ μὰ
Δί', ἔφη· ὁρῶ γάρ σε ὑπερεπιθυμοῦντα ἐν Πέρσαις περί-
βλεπτον περιελθεῖν καὶ τῷ πατρὶ ἐπιδείξασθαι ᾗ ἕκαστα
διεπράξω. ὁ δὲ Κῦρος ἔφη, Σὺ δ' οὐκ ἐπιθυμεῖς οἴκαδε
ἀπελθεῖν; Οὐ μὰ Δί', ἔφη ὁ Ὑστάσπας, οὐδ' ἄπειμί γε,
ἀλλὰ μένων στρατηγήσω, ἕως ἂν ποιήσω Γαδάταν τουτονὶ
τοῦ Ἀσσυρίου δεσπότην.
6 Οἱ μὲν δὴ τοιαῦτα ἔπαιζον σπουδῇ πρὸς ἀλλήλους. ἐν [4]
δὲ τούτῳ Κυαξάρης σεμνῶς κεκοσμημένος ἐξῆλθε καὶ ἐπὶ
θρόνου Μηδικοῦ ἐκαθέζετο. ὡς δὲ πάντες συνῆλθον οὓς
ἔδει καὶ σιωπὴ ἐγένετο, ὁ Κυαξάρης ἔλεξεν ὧδε. Ἄνδρες
σύμμαχοι, ἴσως, ἐπειδὴ παρὼν τυγχάνω καὶ πρεσβύτερός

διελεγόμην] προσῆλθον D. τί—τῆς] τίνα γνώμην ἔχοις περὶ τῆς D., omisso deinde ποιεῖν. νῷ H. νόῳ A.G. 4. ἐγὼ] ὡς ἔοικεν add. D. ὑστάσπην αἰτιῶμαι D. ἀδίκως—ὡς οὐχ] καὶ ὁ ὑστάσπης εἶπεν, ναὶ μὰ δί' ἔφη, ὦ κῦρε ἀδίκως μὲν δὴ, ἐπεὶ ἔγωγε καὶ ἀντέλεγον γαδάτῃ ὡς οὐχ D. ὑστάσπης A.G. τε om. G. pr. στρατεύεσθαι] μένειν D. μεταπέμποιτο D.G. s.v. r. 5. τοῦτο σὺ D. εἴτ'] ἐπεί A.G. corr. s.v. ὑπερεπιθ.] πι s.v. r. G. ἀπελθεῖν] διελθεῖν A. ἀπ in lit. G. οὐ μὰ] μὰ D. ὑστάσπης A.D.G. μένων] ν alterum s.v. r. G. ἕως] ἔστ' D. γαδάτην D. δεσπότην τοῦ ἀσσυρίου D. 6. ὁ κυαξάρης D. θρόνου] θρό in lit. G. ὁ om. D. ἔλεξεν] εἶπεν D. ξύμμαχοι G. ἴσως om. A.G. mg. r.

γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν, ἔρρει τὰ ἐμὰ πράγματα, ubi non improbabilis conjectura eorum qui τἀμὰ, ut hic, deleto πράγματα, quod interdum sic additum, ut Demosth. p. 275, 16. Semper certe Xenophon dixerat τἀμὰ, hic et 5, 4, 30, ut in omnibus Anab. 7, 6, 33, in τὰ ἐμὰ divisum in nonnullis.

4. τῷ delendum videtur. Sic Ὑστάσπου τοῦδε s. 2 et 4.

5. ἐξενεγκεῖν illicitum quid significat, quod in publicum efferre nolente Cyro non debebat Hystaspes; atque hic est nuncius fictus, qui Cyrum in patriam arcesseret. SCHN.

6. ἔπαιζον σπουδῇ] Utebantur jocis habentibus aliquid serii vertit Steph. in Thes.

ἴσως] Atticum est affirmando usurpari ἴσως, ut absit confidens arrogantia. Sic etiam 5, 5, 36 Cyaxares ἀλλ' ἴσως μέν τοι καλῶς λέγεις. deque hoc plura diximus in Politicis Aristotelis. Sæpe enim Aristoteles ita ἀττικίζων loquutus est. CAMERARIUS.

ἐπειδὴ—ἄρχειν με λόγου] H. Gr. 4, 1, 32: Μετὰ δὲ τοῦτο ἤρξατο λόγου ὁ Φαρνάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος. Ubi activum exspectes, ut 3, 3, 61, δρόμου τινὲς ἦρξαν, multi mutant in ἤρξαντο. V. ad 2, 2, 28.

εἰμι Κύρου, εἰκὸς ἄρχειν με λόγου. νῦν οὖν δοκεῖ μοι εἶναι
καιρὸς περὶ τούτου πρῶτον διαλέγεσθαι πότερον στρα-
τεύεσθαι ἔτι καιρὸς δοκεῖ εἶναι ἢ διαλύειν ἤδη τὴν στρα-
τιάν· λεγέτω οὖν τις, ἔφη, περὶ αὐτοῦ τούτου ᾗ γιγνώ-
7 σκει. ἐκ τούτου πρῶτος μὲν εἶπεν ὁ Ὑρκάνιος, Ἄνδρες [5]
σύμμαχοι, οὐκ οἶδα μὲν ἔγωγε εἴ τι δεῖ λόγου ὅπου αὐτὰ
τὰ ἔργα δείκνυσι τὸ κράτιστον. πάντες γὰρ ἐπιστάμεθα
ὅτι ὁμοῦ μὲν ὄντες πλείω κακὰ τοὺς πολεμίους ποιοῦμεν ἢ
πάσχομεν· ὅτε δὲ χωρὶς ἦμεν ἀλλήλων, ἐκεῖνοι ἡμῖν
ἐχρῶντο ὡς ἐκείνοις ἦν ἥδιστον, ἡμῖν γε μὴν ὡς χαλεπώ-
8 τατον. ἐπὶ τούτῳ ὁ Καδούσιος εἶπεν, Ἡμεῖς δὲ τί ἂν λέ- [6]
γοιμεν, ἔφη, περὶ τοῦ οἴκαδε ἀπελθόντες ἕκαστοι χωρὶς
εἶναι, ὁπότε γε οὐδὲ στρατευομένοις, ὡς ἔοικε, χωρίζεσθαι
συμφέρει; ἡμεῖς γοῦν οὐ πολὺν χρόνον δίχα τοῦ ὑμετέρου
πλήθους στρατευσάμενοι δίκην ἔδομεν ὡς καὶ ὑμεῖς ἐπί-
9 στασθε. ἐπὶ τούτῳ Ἀρτάβαζος ὅ ποτε φήσας εἶναι Κύρου [7]
συγγενὴς ἔλεξε τοιάδε· Ἐγὼ δ', ἔφη, ὦ Κυαξάρη, τοσοῦ-
τον διαφέρομαι τοῖς πρόσθεν λέγουσιν· οὗτοι μὲν γάρ
φασιν ὅτι δεῖ μένοντας στρατεύεσθαι, ἐγὼ δὲ λέγω ὅτι
10 ὅτε μὲν οἴκοι ἦν, ἐστρατευόμην· καὶ γὰρ ἐβοήθουν πολλά-

με ἄρχειν D. δοκεῖ μοι εἶναι καιρὸς] μοι δοκεῖ καιρὸς ἔφη εἶναι D. λέγεσθαι A.G. corr. s. v. λεχθῆναι M. διαλέγεσθαι ante πρῶτον D. ἔτι καιρὸς δοκεῖ εἶναι] δοκεῖ εἶναι ἔτι D. τις οὖν G. γιγνώσκειν A. 7. πρῶτος D.G. s. v. r. πρῶτον A.G. pr. λόγων D. δείκνυσι D. δεικνύει A.G. κ s. v. r. G. μὲν ὄντες Jacobsius. Libri μένοντες. κακὰ om. A.G. mg. r. ποιοῦμεν τοὺς πολεμίους D. ἡμῖν] καὶ ἡμῖν A. 8. τοῦτο A.G. pr. ὁπότε] ὅπου D. διὰ τοῦ ἡμετέρου A.G. corr. mg. r. διὰ post δίχα punctis notat et η s. v. in υ mutat L. 9. ὁ συγγενὴς εἶναί ποτε φήσας κύρῳ εἶπε τάδε D. κύρῳ etiam H.M. ὅτι δεῖ] ἔτι δεῖν A. ἔτι δεῖ G. et ὅ s. v. r. ὅτε μὲν οἴκοι ἦν D. ὅτε οἴκοι ἤμην A.G.

καιρὸς] Duplex καιρὸς adeo est molestum ut alterum una cum εἶναι delendum credam. V. 5, 5, 43.

7. ὡς χαλεπώτατον] ὡς antea erat ut, hic est quam.

8. δίκην ἔδομεν] V. 5, 4, 15.

9. ποτε] 1, 4, 27. V. 4, 1, 22; 5, 1, 24, ubi item genitivo. Sine eo 7, 5, 48.

ἤμην] Improbatam Phrynicho Ecl. p. 152: Ἤμην, εἰ καὶ εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις, οὐκ ἐρεῖς, ἀλλ' ἦν ἐγώ, ceterisque Atticistis formam, habebat Lysias p. 111, 17, ubi illatam per præcedens ἐκεκτήμην in εἴην recte mutavit Dobræus, et apud Eurip. Hel. 931: Ἦν δ' Ἑλλάδ' ἔλθω κἀπηβοῦ Σπάρτης πάλιν, κλύοντες, εἰσιδόντες, ὡς τέχναις θεῶν ὤλοντ', ἐγὼ δὲ προδότις οὐκ ἄρ' ἦν φίλων, Chœroboscus in Theodos. vol. 2, p. 882, 10: Εὕρηται γὰρ τὸ ἤμην τὸ ἐπὶ τοῦ ὑπῆρχον, ὡς παρ' Εὐριπίδῃ ἐν Ἑλένης ἀπαιτήσει, Ἐγὼ δὲ προδότης οὐκ ἤμην τέκνον, pro quibus libri Etym. M. p. 430, 15, ἀπηγόρευται δέ· πλὴν εὑρήσεις vel εὕρηκα παρὰ Εὐρ. κ. τ. λ. Quod scholiastæ cujusdam commentum coarguit schol. Hippol. 1012: Μάταιος ἆρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν, qui, οὐδαμοῦ, φησὶ, συνέσεως ἤμην ἐγὼ τοιαῦτα ἐννοούμενος. Haud dubie enim Euripides ne ἦν quidem, nedum ἤμην scripsit, sed ἦ. Tro. 474 autem quod Apsines p. 96, 5 ed. Bak. exhibet: Ἤμην τύ-

κις τῶν ἡμετέρων ἀγομένων καὶ περὶ τῶν φρουρίων ὡς
ἐπιβουλευσομένων πολλάκις πράγματα εἶχον φοβούμενός
τε καὶ φρουρῶν· καὶ ταῦτ' ἔπραττον τὰ οἰκεῖα δαπανῶν.
νῦν δ' ἔχω μὲν τὰ ἐκείνων φρούρια, οὐ φοβοῦμαι δὲ ἐκεί-
νους, εὐωχοῦμαι δὲ τὰ ἐκείνων καὶ πίνω τὰ τῶν πολεμίων.
ὡς οὖν τὰ μὲν οἴκοι στρατείαν οὖσαν, τάδε δὲ ἑορτήν, ἐμοὶ
11 μὲν οὐ δοκεῖ, ἔφη, διαλύειν τήνδε τὴν πανήγυριν. ἐπὶ τού- [8]
τῳ ὁ Γωβρύας εἶπεν, Ἐγὼ δ', ὦ ἄνδρες σύμμαχοι, μέχρι
μὲν τοῦδε ἐπαινῶ τὴν Κύρου δεξιάν· οὐδὲν γὰρ ψεύδεται
ὧν ὑπέσχετο· εἰ δ' ἄπεισιν ἐκ τῆς χώρας, δῆλον ὅτι ὁ μὲν
Ἀσσύριος ἀναπαύσεται, οὐ τίνων ποινὰς ὧν τε ὑμᾶς ἐπε-
χείρησεν ἀδικεῖν καὶ ὧν ἐμὲ ἐποίησεν· ἐγὼ δὲ ἐν τῷ μέρει
ἐκείνῳ πάλιν δώσω δίκην ὅτι ὑμῖν φίλος ἐγενόμην.
12 Ἐπὶ τούτοις πᾶσι Κῦρος εἶπεν, Ὦ ἄνδρες, οὐδ' ἐμὲ [9]
λανθάνει ὅτι ἐὰν μὲν διαλύωμεν τὸ στράτευμα, τὰ μὲν
ἡμέτερα ἀσθενέστερα γίγνοιτ' ἄν, τὰ δὲ τῶν πολεμίων
πάλιν αὐξήσεται. ὅσοι τε γὰρ αὐτῶν ὅπλα ἀφῄρηνται,

10. *ἀγομένων καὶ περὶ τῶν σφετέρων* om. A.G. mg. r. solum *σφετέρων* om. M. *ἐπιβουλευομένων* D. *πράγματα*] *γράμματα* A.G. pr. *οὐ φοβοῦμαι δὲ*] *καὶ οὐ φοβοῦμαι* D. *καὶ* ante *οὐ* add. G. r. *καὶ πίνω τὰ*] *πίνω τε τὰ* D. *στρατιὰν* D. *τάδε*] *τὰ* A.G. 11. *δ'* om. A.G. *ξύμμαχοι* G. *οὐδὲν*] *ν* s. v. ead. m. A. *μὲν* om. D. *ἄπιτε* D. *ἡμᾶς* G. pr. *δὲ* om. G. *πάλιν ἐκείνῳ* D. 12. *τουτοισὶ* A.G. *οὐδέμε* D. *ἐὰν*] *ἢν νῦν* D. *ἐὰν νῦν* M. *νῦν* G. s. v. r. *γίγνοιτ' ἂν*] *γίγνεται* D. *ὅσα* D. pr., ut videtur, qui *ι* pro littera erasa, eademque m. r. mg. supplet *ταχὺ ἄλλα ποιήσονται, ὅσϊ τε ἵππους ἀπ.* *τε*] *μὲν* D.

ραννος κεὶς τύραννʼ ἐγημάμην, in eodem libro Paris., qui *καὶ εἰς τυράννου*, aliis *ναὶ μὴν*, quod etiam apud Euripidem ascripsit Victorius, aliis *καὶ μὴν* scribentibus, nihilo felicior librarii conjectura est quam librorum Euripidis scriptura *ἦμεν τύραννοι*, correctore alio formam *ἦ*, quam *ἦ μὲν* scribens Elmsleius ad Soph. Œd. T. 588 restituit, ad *ἦμεν τύραννοι*, alio ad *ἤμην τύραννος* detorquentibus. Recentiores præter anonymum in Etym. M. cod. Ven. et apud Varinum Aldi Hort. p. 73 A, citatum: *Ἤμην πότ' ἤμην τῶν σφριγώντων ἐν λόγοις*, (quem Comicum putat Meinekius Com. vol. 4, p. 654 s. vol. 2, p. 1224,) et alium ap. Dion. Chr. Or. 64, vol. 2, p. 329, cui Or. 44, p. 197, *ἦν* restitui pro *ἤμην*, memorant interpretes Phrynichi et grammatici. Et quum librariorum magna sit in talibus temeritas, ne dubitandum quidem *ἤμην* hic per *ἐστρατευόμην* illatum esse pro *ἦν*, quod etiam schol. Bodl. Anab. 7, 7, 43 interpretatur *ἤμην*, nisi *μην* natum ex omisso *μέν*.

10. *σφετέρων*] Singularis apud scriptorem hujus ætatis usus pronominis significatione *nostri* suspectum facet, etiamsi non deesset in codice uno, quanquam etiam *ἡμετέρων* supplente in marg., in melioribus autem aut omissum esset cum proximis aut recentiori m. suppletum. Videtur enim addidisse qui perverse intelligeret *τὰ ἐκείνων φρούρια*, ut sequitur. Poetarum epicorum et recentiorum exempla de prima vel secunda sing. vel plur. usurpantium v. in Thes. Steph.

11. *ἐγὼ δὲ*] Urbane hæc subjungit priori membro Gobryas, ubi expectabas *ψεύσεται Κῦρος*. SCHN.

ταχὺ ἄλλα ποιήσονται· ὅσοι τε ἵππους ἀπεστέρηνται,
ταχὺ πάλιν ἄλλους ἵππους κτήσονται· ἀντὶ δὲ τῶν ἀπο-
θανόντων ἕτεροι ἐφηβήσουσι καὶ ἐπιγενήσονται· ὥστε
οὐδὲν θαυμαστὸν εἰ πάνυ ἐν τάχει πάλιν ἡμῖν πράγματα
13 παρέχειν δυνήσονται. τί δῆτα ἐγὼ Κυαξάρην ἐκέλευσα [10]
λόγον ἐμβαλεῖν περὶ καταλύσεως τῆς στρατιᾶς; εὖ ἴστε
ὅτι φοβούμενος τὸ μέλλον. ὁρῶ γὰρ ἡμῖν ἀντιπάλους
προσιόντας οἷς ἡμεῖς, εἰ ὧδε στρατευσόμεθα, οὐ δυνησό-
14 μεθα μάχεσθαι. προσέρχεται μὲν γὰρ δήπου χειμών,
στέγαι δὲ εἰ καὶ ἡμῖν αὐτοῖς εἰσιν, ἀλλὰ μὰ Δί' οὐχ
ἵπποις οὐδὲ θεράπουσιν οὐδὲ τῷ δήμῳ τῶν στρατιω-
τῶν, ὧν ἄνευ ἡμεῖς οὐκ ἂν δυναίμεθα στρατεύεσθαι· τὰ
δ' ἐπιτήδεια ὅποι μὲν ἡμεῖς ἐληλύθαμεν ὑφ' ἡμῶν ἀνήλω-
ται· ὅποι δὲ μὴ ἀφίγμεθα, διὰ τὸ ἡμᾶς φοβεῖσθαι ἀνακε-
κομισμένοι εἰσὶν εἰς ἐρύματα, ὥστε αὐτοὶ μὲν ἔχειν, ἡμᾶς
15 δὲ ταῦτα μὴ δύνασθαι λαμβάνειν. τίς οὖν οὕτως ἀγαθὸς ἢ
τίς οὕτως ἰσχυρὸς ὃς λιμῷ καὶ ῥίγει δύναιτ' ἂν μαχόμενος
στρατεύεσθαι; εἰ μὲν οὖν οὕτω στρατευσόμεθα, ἐγὼ μέν [11]
φημι χρῆναι ἑκόντας ἡμᾶς καταλῦσαι τὴν στρατιὰν μᾶλ-
λον ἢ ἄκοντας ὑπ' ἀμηχανίας ἐξελαθῆναι. εἰ δὲ βουλό-
μεθα ἔτι στρατεύεσθαι, τόδ' ἐγώ φημι χρῆναι ποιεῖν, ὡς
τάχιστα πειρᾶσθαι τῶν μὲν ἐκείνων ὀχυρῶν ὡς πλεῖστα
παραιρεῖν, ἡμῖν δ' αὐτοῖς ὡς πλεῖστα ὀχυρὰ ποιεῖσθαι·

ἀντὶ] ἂν D. ἕτεροι καὶ ἐφηβήσονται D. πάνυ om. D. 13. κυαξάρη λόγον ἐκέλευσα D. ἐμβάλλειν A.G. στρατείας A.G. ἴστε] ἴστε ἔφη D. 14. χειμὼν δήπου A. οὐκ ἂν—ἡμεῖς G. mg. r. ὅποι] ὅπου A.D.G. ὅπῃ *alii codices* Brodæi. ὅπῃ M. ἀνακεκοσμιμένοι A. ἀνακεκομισμένοι G. sed *a* s. v. r. αὑτοῖς D. 15. ἰσχυρῶς D. ὃς om. A.G. οὕτως A. ἐγὼ] λέγω D. pr. χρῆναι—φημι om. A.G. mg. r. ἐξαλασθῆναι (sic) D. πειρᾶσθαι ὡς τάχιστα D. ὡς] ἡμᾶς ὡς D.G. s. v. r. παραιρεῖν] παραινεῖν D. pr. G. corr. (in fine paginæ: nam initio sequentis, ubi per errorem repetitur, non corr. est παραινεῖν) L., qui etiam ε super *a* et *a* super αι al. m., quæ voluit περαίνειν. αὐτοῖς] αὐτὸς A. ἰσχυρὰ D.G. s. v. r.

12. ἐφηβήσουσι] Interpretatur Heindorfius, supplebitur paulatim hostium exercitus, quum alii brevi ad pubertatem perventuri sint, alii posthac nascituri. SCHN.

13. ὧδε] Sicut nunc facimus, ut s. 15, οὕτω.

14. ἀνήλωται] Hanc formam etsi damnant Thomas et Mœris, tuetur tamen Grammaticus Suidæ in ἀναλίσκειν. SCHN. Sic semper libri Xen., nisi quod hic nonnulli per *a*.

ὅποι] V. ad 8, 5, 7.

ἀνακεκομισμένοι] Conf. Anab. 4, 7, 1, et 17. SCHN.

15. τῶν ἐκείνων ὀχυρῶν] Hoc si nominativo diceretur, esset τὰ ἐκείνων ὀχυρά. Hist. Gr. 4, 8, 33: Ἀθηναίων ἢ τῶν ἐκείνων συμμάχων.

ἐὰν γὰρ ταῦτα γένηται, τὰ μὲν ἐπιτήδεια πλείω ἕξουσιν ὁπότεροι ἂν πλείω δύνωνται λαβόντες ἀποτίθεσθαι, πολι-
16 ορκήσονται δὲ ὁπότεροι ἂν ἥττους ὦσι. νῦν δ' οὐδὲν διαφέρομεν τῶν ἐν τῷ πελάγει πλεόντων· καὶ γὰρ ἐκεῖνοι πλέουσι μὲν ἀεὶ, τὸ δὲ πεπλευσμένον οὐδὲν οἰκειότερον τοῦ ἀπλεύστου καταλείπουσιν. ἐὰν δὲ φρούρια ἡμῖν γένηται, ταῦτα δὴ τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώραν, ἡμῖν
17 δ' ὑπ' εὐδίαν μᾶλλον πάντ' ἔσται. ὃ δ' ἴσως ἄν τινες ὑμῶν [12]
φοβηθεῖεν, εἰ δεήσει πόρρω τῆς ἑαυτῶν φρουρεῖν, μηδὲν τοῦτο ὀκνήσητε. ἡμεῖς μὲν γὰρ ἐπείπερ καὶ ὣς οἴκοθεν ἀποδημοῦμεν, φρουρήσειν ὑμῖν ἀναδεχόμεθα τὰ ἐγγύτατα χωρία τῶν πολεμίων, ὑμεῖς δὲ τὰ πρόσορα ὑμῖν αὐτοῖς τῆς
18 Ἀσσυρίας ἐκεῖνα κτᾶσθε καὶ ἐργάζεσθε. ἐὰν γὰρ ἡμεῖς τὰ πλησίον αὐτῶν φρουροῦντες δυνώμεθα σῴζεσθαι, ἐν πολλῇ ὑμεῖς εἰρήνῃ ἔσεσθε οἱ τὰ πρόσω αὐτῶν ἔχοντες· οὐ γὰρ, οἶμαι, δυνήσονται τῶν ἐγγὺς ἑαυτῶν κακῶν ὄντων ἀμελοῦντες τοῖς πρόσω ὑμῖν ἐπιβουλεύειν.
19 Ὡς δὲ ταῦτ' ἐρρήθη, οἵ τε ἄλλοι πάντες ἀνιστάμενοι [13]
συμπροθυμήσεσθαι ταῦτ' ἔφασαν καὶ Κυαξάρης. Γαδάτας δὲ καὶ Γωβρύας καὶ τεῖχος ἑκάτερος αὐτῶν, ἢν ἐπιτρέ-

ἐὰν] εἰ D. πλείονα ἕξουσιν D. δύνωνται post δύνωνται erasit G. λαμβάνοντες D. δὲ om. D. ἧσους D. σ s. v. r. ἥττους G. s. v. r. M. κρείττους A.G. pr. 16. μὲν] μὲν γὰρ D. ἐὰν] ἢν D. δὴ] ἤδη D. ὑπεύδια D. ὑπ' εὐδίας G. s. v. r. ἡμῖν δ' εἰς λυσιτέλειαν ἔσται Zonaras. ἔσται πάντα D. 17. ἡμῶν A.G. corr. s. v. r. δεήσοι A. φρουρεῖ A. μηδὲν] μὴ δὲ A. et qui ἐν s. v. r. G. τούτῳ G. s. v. r. ὀκνήσετε D.G. εἴπερ A.G. pr. καὶ erasit G. φρουρήσει D. ἀναδεχόμεθα D.H. ἀναδεχοίμεθα A.G. πρὸσόρια D. duplici accentu, sed sine spiritu. τῆς δὲ συρίας D. τοῖς ἀσσυρίοις G. s. v. r. 18. ἢν D. πλησίον] πλείω A.G. corr. mg. r. δυνώμεθα φρουροῦντες D. φρουροῦντες—αὐτῶν om. A. εἰρήνῃ οἱ τὰ πρόσω αὐτῶν ἔχοντες βιοτεύσεται D. ἔσεσθε] βιοτεύσετε G. mg. r. πρόσω αὐτῶν] πρόσορα B. mg. supplens φρουροῦντες—πρόσορα. ἑαυτῶν] αὐτοῖς D. ἑαυτοῖς M. κακῶν om. A.G. s. v. r. ὄντων om. D. cum κακῶν H. 19. ἐρήθη G. οἵ τε] οἱ G. γαδάτης D. αὐτῶν ἑκατέροις D.

ὑπ' εὐδίαν] ἐπ' εὐδίας malebat Stephanus. Anab. 5, 8, 19, ἐν εὐδίᾳ εἶναι. SCHN. Alia vocabuli cum præp. ἐν vel εἰς conjuncti exempla v. in Thes. Steph. Singulare vero ὑπ' εὐδίαν, nec satis defensum formula ὑπ' αὐγὰς, ut præstet fortasse ὑπεύδια, de quo ib. Conf. autem 5, 4, 6.

17. εἰ] Eur. Androm. 61: Φόβῳ μὲν, εἴ τις δεσποτῶν αἰσθήσεται. Alia Elmsl. ad Heraclid. 791.

τὰ πρόσορα—ἐκεῖνα] Conf. 6, 2, 33; annot. ad 3, 3, 45.

τῶν πολεμίων jungendum cum ἐγγύτατα, ut Anab. 7, 3, 29: Ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ.

18. τῶν ὄντων] V. ad 8, 1, 38.

19. συμπροθυμήσεσθαι ταῦτα] Thuc. 8, 1: Τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, et alia contuli ad Steph.

ψωσιν οἱ σύμμαχοι, τειχιεῖσθαι ἔφασαν, ὥστε καὶ ταῦτα
20 φίλια τοῖς συμμάχοις ὑπάρχειν. ὁ οὖν Κῦρος ἐπεὶ πάντας
ἑώρα προθύμους ὄντας πράττειν ὅσα ἔλεξε, τέλος εἶπεν, Εἰ
τοίνυν περαίνειν βουλόμεθα ὅσα φαμὲν χρῆναι ποιεῖν, ὡς
τάχιστ' ἂν δέοι γενέσθαι μηχανὰς μὲν εἰς τὸ καθαιρεῖν τὰ
τῶν πολεμίων τείχη, τέκτονας δὲ εἰς τὸ ἡμῖν ὀχυρὰ πυρ-
21 γοῦσθαι. ἐκ τούτου ὑπέσχετο ὁ μὲν Κυαξάρης μηχανὴν
αὐτὸς ποιησάμενος παρέξειν, ἄλλην δὲ Γαδάτας καὶ
Γωβρύας, ἄλλην δὲ Τιγράνης· αὐτὸς δὲ Κῦρος ἔφη δύο
22 πειράσεσθαι ποιήσασθαι. ἐπεὶ δὲ ταῦτ' ἔδοξεν, ἐπορίζοντο
μὲν μηχανοποιούς, παρεσκευάζοντο δ' ἕκαστοι εἰς τὰς μη-
χανὰς ὧν ἔδει· ἄνδρας δ' ἐπέστησαν οἳ ἐδόκουν ἐπιτηδειό-
τατοι εἶναι ἀμφὶ ταῦτ' ἔχειν.
23 Κῦρος δ' ἐπεὶ ἔγνω ὅτι διατριβὴ ἔσται ἀμφὶ ταῦτα, [1
ἐκάθισε τὸ στράτευμα ἔνθα ᾤετο ὑγιεινότατον εἶναι καὶ
εὐπροσοδώτατον ὅσα ἔδει προσκομίζεσθαι· ὅσα τε ἐρυμνό-
τητος προσεδεῖτο, ἐποιήσατο, ὡς ἐν ἀσφαλεῖ οἱ ἀεὶ μένον-
τες εἶεν, εἴ ποτε καὶ πρόσω τῇ ἰσχύι ἀποστρατοπεδεύοιτο.
24 πρὸς δὲ τούτοις ἐρωτῶν οὓς ᾤετο μάλιστα εἰδέναι τὴν
χώραν ὁπόθεν ἂν ὡς πλεῖστα ὠφελοῖτο τὸ στράτευμα, ἐξ-
ῆγεν ἀεὶ εἰς προνομάς, ἅμα μὲν ὅπως ὅτι πλεῖστα λαμβά-
νοι τῇ στρατιᾷ τἀπιτήδεια, ἅμα δ' ὅπως μᾶλλον ὑγιαίνοιεν
καὶ ἰσχύοιεν διαπονούμενοι ταῖς πορείαις, ἅμα δ' ὅπως ἐν
25 ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομιμνήσκοιντο. ὁ μὲν δὴ [1
Κῦρος ἐν τούτοις ἦν.

τειχιεῖσθαι] τειχίσασθαι A.G. 20. ἑώρα πάντας D. εἶπεν] ἔφη D. παραινεῖν A.G. pr. ὡς τάχιστα. ἃ ἂν D. ἐχυρὰ D.G. s.v.r. 21. ὁ om. D. γαδάτης τε καὶ γ. D. δὲ om. D., qui ante αὐτὸς delet ἄλλην δέ. αὐτὸς δὲ] αὐτὸς ὁ D. ἔφη δύο] ηδύ in litura D., pr. fortasse ἔφατο. πει-ράσεσθαι C.H. πειρᾶσθαι A.D.G. ποιήσειν A.G. 22. ἐπόριζον D.G. s. v. r. ἔδει] δεῖ A.G. 23. διατριβὴ ἔστιν G. διατριβήσεται D. ἐκάθισε] μὲν add. D. ἔδει] δεῖ A.G. ὅσα τε ἐρυμνότητος] ἐρυμνὸν δ' εἴ πῃ D. αἰεὶ A.D.G. ἀποστρατοπεδεύοιντο A.G. 24. ὡς] τὰ D. ὅπως] ὡς D. πλεῖστα] πλεῖστα μὲν G. προσνομὰς A. Libri τὰ ἐπιτήδεια. ὑγιαίνοιε καὶ ἰσχύοιε G. corr. s. v. r. διαπορευόμενοι A.G. pr. δ'] θ' A.G. ὑπομιμνήσκοιτο A.

τειχιεῖσθαι ἔφασαν] De usu aoristi v. ad H. Gr. 1, 6, 14, ubi addere licet Dion. Chr. Or. 74, vol. 2, p. 397, Sapph. ib. p. 128. Sed hic malui sequi D.

ἐκάθισε] Eur. Heracl. 664: Στρατὸν καθίζει τάσσεταί θ' ὃν ἦλθ' ἔχων. Phœn. 1188: Ἔξω τάφρου καθῖσεν Ἀργείων στρατόν. Thuc. 2, 71; 4, 90.

ἐρυμνότητος] ἐρυμνὰ sic 5, 2, 2; 7, 4, 10. Eadem sunt ἐρύματα. SCHN.

τῇ ἰσχύϊ] Sic supra 5, 4, 20, est ἐλάττονι μορίῳ ἰέναι. Conf. 1, 4, 17; 6, 1, 42: Πάσῃ τῇ δυνάμει, παντὶ σθένει etc. SCHN.

Ἐκ δὲ Βαβυλῶνος οἱ αὐτόμολοι καὶ οἱ ἁλισκόμενοι
ταὔτ' ἔλεγον ὅτι ὁ Ἀσσύριος οἴχοιτο ἐπὶ Λυδίας, πολλὰ
τάλαντα χρυσίου καὶ ἀργυρίου ἄγων καὶ ἄλλα κτήματα
26 καὶ κόσμον παντοδαπόν. ὁ μὲν οὖν ὄχλος τῶν στρατιωτῶν
ἔλεγεν ὡς ὑπεκτίθοιτο ἤδη τὰ χρήματα φοβούμενος· ὁ δὲ
Κῦρος γιγνώσκων ὅτι οἴχοιτο συστήσων εἴ τι δύναιτο ἀν-
τίπαλον ἑαυτῷ, ἀντιπαρεσκευάζετο ἐρρωμένως, ὡς μάχης
ἔτι δεῆσον· ὥστ' ἐξεπίμπλη μὲν τὸ τῶν Περσῶν ἱππικόν,
τοὺς μὲν ἐκ τῶν αἰχμαλώτων, τοὺς δέ τινας καὶ παρὰ τῶν
φίλων λαμβάνων ἵππους· ταῦτα γὰρ παρὰ πάντων ἐδέ-
χετο καὶ ἀπεωθεῖτο οὐδέν, οὔτε εἴ τις ὅπλον διδοίη καλὸν
27 οὔτ' εἴ τις ἵππον· κατεσκευάζετο δὲ καὶ ἅρματα ἔκ τε τῶν [16]
αἰχμαλώτων ἁρμάτων καὶ ἄλλοθεν ὁπόθεν ἐδύνατο. καὶ
τὴν μὲν Τρωικὴν διφρείαν πρόσθεν οὖσαν καὶ τὴν Κυρη-
ναίων ἔτι καὶ νῦν οὖσαν ἁρματηλασίαν κατέλυσε· τὸν γὰρ
πρόσθεν χρόνον καὶ οἱ ἐν τῇ Μηδίᾳ καὶ Συρίᾳ καὶ Ἀραβίᾳ

25. οἱ om. A.G. καὶ om. A.G. s. v. r. ταὔτ' Bothius. Codices ταῦτ'. ἀργυρίου καὶ χρυσίου D. καὶ κόσμον] κόσμον A.G. pr. corr. s. v. 26. ἔλεγεν] ὑπελάμβανον D. ὑπελάμβανεν G. mg. r. οἴχοιτο] οι alterum in ras. D. εἴτι] ὅτι D. ἑαυτὸν D.G. s.v.r. δεήσοι D. ὥστ' Poppo. ὡς δ' A.G. καὶ D. ἐξεπίμπλα D.G. s.v.r. περσῶν] πεζῶν D. οὔτ' εἴ τις] οὐδὲ ἂν A.G., sed τις s. v. r. διδοίη] ἐδίδου D. οὐδ' εἴ τις ἵππον A.G. οὔτε ἵππον D. 27. ἔκ τε] ἐκ D. δύναιτο D. τρωικὴν om. A.G. mg. r. δρωικὴν super δρ posito π (sic) L. διφρίαν A.D., qui δι s. v. ead. m., G. pr. ἔτι νῦν D. οὖσαν om. A.G. s.v.r. μηδείᾳ A.G.

25. ταῦτ'] ταὔτ' Bothius recte hic ut 5, 4, 24. Conf. 6, 2, 11, ubi vel post σχεδὸν δὲ τούτοις illatum ταῦτα ἔλεγον καὶ οἱ αἰχμάλωτοι, pro ταὐτά, et 2, 1, 4. H. Gr. 2, 1, 7, Anab. 7, 3, 13. Aptius τάδε 8, 3, 1.

27. Τρωικὴν] Currus Trojani bijugi fuerunt, et pugnatores inde, cum res ferebat, desilire consueverant (v. Hom. Il. Λ, 91 seq.; Π, 426 s.): unus Hector quadrigis usus est, Il. Θ, 158. Cyrenæi currus quadrijugi fuerunt, quibus pugnatores perpetuo insistebant. Philostratus Icon. 1, 17, de Pelopis curru: Τὸ δ' ἵππων ξύγκειται τεττάρων· τουτὶ γὰρ ἐς μὲν τὰ πολεμικὰ οὔπω ἐθαρσεῖτο, οἱ δὲ ἀγῶνες ἐγίνωσκόν τε αὐτὸ καὶ ἐτίμων. καὶ οἱ Λυδοὶ δὲ φιλιππότατοι ὄντες ἐπὶ μὲν Πέλοπος τέθριπποί τε ἦσαν καὶ ἤδη ἁρματῖται, μετὰ δὲ ταῦτα τετραρύμου τε ἤψαντο καὶ λέγονται πρῶτοι τοὺς ὀκτὼ σχεῖν. SCHN. Conf. 6, 2, 8. Pollux 1, 141: Λίβυες δὲ καὶ ἀπὸ δίφρων καὶ ἵππων ἐπεζευγμένων, ὥσπερ οἱ Ὁμήρου ἥρωες μάχονται· Ὅμηρος γὰρ οὐκ οἶδε μονίππους ἱππέας. ὧν οἱ μὲν ὑπὸ τῷ ζυγῷ ζύγιοι, οἱ δ' ἑκατέρωθεν παρήοροι καὶ παράσειροι καὶ σειραφόροι καὶ σειραῖοι, καὶ αἱ τούτων ἡνίαι σειραὶ καὶ παρηορίαι. ἐπιβεβήκασι δὲ τοῦ ἁρματείου δίφρου ἡνίοχος καὶ παραβάτης· ὃν ὁ Πλάτων ἀναβάτην μικράσπιδα ἐκάλεσε. καλεῖται δέ τις Λιβυκὴ διφρεία, ἡ δὲ Περσικὴ, ἡ δὲ Λακωνική. Ephorus apud Stephanum Byz. v. Βοιωτία: Κυρηναῖοι περὶ τὴν διφρευτικὴν ἐπιστήμην ἠσχόληνται. Arrian. Tact. p. 53 Blanc.: Τῶν Ἀσιανῶν πάλαι μὲν Πέρσαι ἐπήσκησαν τὴν τῶν δρεπανηφόρων τε ἁρμάτων καὶ καταφράκτων ἵππων διφρείαν ἀπὸ Κύρου ἀρξάμενοι, ἔτι δὲ πρὸ τούτων οἱ σὺν Ἀγαμέμνονι Ἕλληνες καὶ οἱ σὺν Πριάμῳ Τρῶες τὴν τῶν ἀφράκτων, καὶ Κυρηναῖοι δ' ἐπὶ πολὺ ἀπὸ ἁρμάτων ἐμάχοντο.

καὶ πάντες οἱ ἐν τῇ Ἀσίᾳ τοῖς ἅρμασιν οὕτως ἐχρῶντο
28 ὥσπερ νῦν οἱ Κυρηναῖοι. ἔδοξε δ' αὐτῷ, ὃ κράτιστον εἰκὸς εἶναι τῆς δυνάμεως, ὄντων τῶν βελτίστων ἐπὶ τοῖς ἅρμασι, τοῦτο ἐν ἀκροβολιστῶν μέρει εἶναι καὶ εἰς τὸ κρατεῖν οὐδὲν μέγα μέρος συμβάλλεσθαι. ἅρματα γὰρ τριακόσια τοὺς μὲν μαχομένους παρέχεται τριακοσίους, ἵπποις δ' οὗτοι χρῶνται διακοσίοις καὶ χιλίοις· ἡνίοχοι δ' αὐτοῖς εἰσὶ μὲν ὡς εἰκὸς οἷς μάλιστα πιστεύουσιν, οἱ βέλτιστοι· ἄλλοι δὲ εἰς τριακοσίους οὗτοί εἰσιν, οἳ οὐδ' ὁτιοῦν τοὺς πολεμίους
29 βλάπτουσι. ταύτην μὲν οὖν τὴν διφρείαν κατέλυσεν· ἀντὶ [17
δὲ τούτου πολεμιστήρια κατεσκευάσατο ἅρματα τροχοῖς τε ἰσχυροῖς, ὡς μὴ ῥᾳδίως συντρίβηται, ἄξοσί τε μακροῖς· ἧττον γὰρ ἀνατρέπεται πάντα τὰ πλατέα· τὸν δὲ δίφρον τοῖς ἡνιόχοις ἐποίησεν ὥσπερ πύργον ἰσχυρῶν ξύλων· ὕψος δὲ τούτων ἐστὶ μέχρι τῶν ἀγκώνων, ὡς δύνωνται ἡνιοχεῖσθαι οἱ ἵπποι ὑπὲρ τῶν δίφρων· τοὺς δ' ἡνιόχους

28. ἔδοξε δ'] ἔδοξεν A.G. corr. s.v. r. ἔδοξεν δὲ L. εἰκὸς] ἦν add. G., sed litteris r. β α s. v. ponit ante εἰκὸς, ut D.M. et in fine versus L. corr., qui post εἰκὸς delet ἄν. αὐτὸν post εἰκὸς delet D. ὄντων τῶν] ὂν τῶν A.G. ὄντων add. G. mg. r. τούτω D. pr. ἐν] μὴ ἐν D. μέρος] βάρος A.M.G., sed hic mg. r. γρ., omisso, ut videtur, μέρος, quod M. in mg. συμβαλέσθαι A.G. ἵππους A.G. pr. οὗτοι] αὐ et gravem super ι r. G., unde αὐ ante hoc add. L. πιστεύσουσιν D. s.v. r. G. ἄλλοι δὲ D. mg. r. δὲ punctis suppositis delet G. οὗτοι] δὲ add. D.G. s. v. r. τοῖς πολεμίοις D. corr. ead. m. 29. διφρίαν D. κατεσκεύασε τὰ D. ἄξιοσί A. ἧσον et σ s. v. r. D. ἀγκώνων] ἀγγώνων A. τοῦ ἡνιόχου add. D.

28. οὐδὲν μέγα μέρος συμβάλλονται] Exemplis hujus formulæ ad Steph. v. Μέρος et Συμβάλλομαι citatis addere licet Diodori Exc. Vat. p. 94 ed. Mai. et Synesii apud Krabinger. ad Encom. calv. p. 75. Μέγα tantum 1, 2, 8.

29. ἀντὶ δὲ τούτου] Ad διφρείαν non redit, sed ad τὸ διφρεύειν, unde illud vocabulum est derivatum. SCHN. Id nempe peculiare fuit quod hi currus axes haberent longiores et rotas firmiores quam bigæ aut quadrigæ communes. Illud quoque animadvertendum est, aurigam solum, non propugnatorem insuper aliquem hos conscendisse currus; hoc enim genere quicquid effici debebat, id efficiendum erat non per homines, sed currus ipsos falcibus armatos. HUTCH.

κατεσκευάσατο convenit cum forma s. 27, et ἐποιήσατο 8, 8, 24, contra activum est s. 30. (Medium cum dat. 51.) SCHN.

πολεμιστήρια ἅρματα non diversa sunt ab iis, quibus insistebant bellatores Trojani et Cyrenaici, sed eodem nomine appellantur. Infra 7, 1, 47, τὰ δρεπανηφόρα ἅρματα memorantur, et statim τὸ πολεμιστήριον τοῦτο subjungitur. sed 8, 8, 26, ubi mentio δρεπανηφόρων ἁρμάτων præcedit, τὰ πολεμιστήρια dicuntur apparatus bellicus omnis, præcipue tamen curruum falcatorum. SCHN.

πάντα intellige τὰ ὑπερέχοντα, ut apparet ex 6, 2, 17. SCHN. Heliodor. Æth. 9, 15: Τούτῳ (τῷ κράνει) ἐκ κορυφῆς εἰς αὐχένα πάντα πλὴν τῶν ὀφθαλμῶν εἰς τὸ διοπτεύειν σκεπόμενος. ZEUN.

30 ἐθωράκισε πάντα πλὴν τῶν ὀφθαλμῶν. προσέθηκε δὲ καὶ δρέπανα σιδηρᾶ ὡς διπήχη πρὸς τοὺς ἄξονας ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν καὶ ἄλλα κάτω ὑπὸ τῷ ἄξονι εἰς τὴν γῆν βλέποντα, ὡς ἐμβαλούντων εἰς τοὺς ἐναντίους τοῖς

30. σιδήρεα D. διπήχεα D.G. s. v. r. διπήχηα L. καὶ om. G. pr. τῶν om. A.G. τὴν om. D. εἰσβαλούντων A.G.

30. προσέθηκε] Antea enim nudi inermesque erant. Persarum currus, quales Arrianus Tact. p. 9 ψιλὰ ἅρματα vocat, ubi quum nominatim Persicorum curruum meminerit, haud dubie respexit ad hoc institutum Cyri, ejusque ἅρματα δρεπανηφόρα opposuit ψιλοῖς, et hæc Τρωικὰ, illa Περσικὰ vocavit. Quanquam autem apud Persas aliosque quosdam Asiæ incolas Cyrus primus veterem immutarit vehiculorum bellicorum formam, currusque falcatos instituerit, tamen haud facile quisquam dixerit, quis curruum istorum apud ceteros Orientis populos primus exstiterit auctor. Ninus sec. Diod. 2, 5 istiusmodi currus habuit. Sed frustra est Schefferus de re vehic. 2, p. 193, qui ante Nini tempora tales apud Chananæos fuisse currus ex monumentis sacris se deprehendisse putat. Nam neque in iis quos appellat locis neque alibi, opinor, usquam Scriptura falcium ex curribus eminentium meminit, quum Jud. 1, 19; 4, 3, ubi vulg. *currus falcatos* perperam exhibet, intelligendi sint *currus ferrei* seu *ferrati*, i. e. *ferro tecti*, ne facile confringi aut securibus secari possent. HUTCH. Conf. autem annot. ad ed. Turic. Æliani Scriptt. milit. vol. 2, p. 265.

διπήχη] Ita διπήχη et τριπήχη est sine varietate in Anab. 4, 2, 28. SCHN. De part. ὡς v. ad H. Gr. 3, 2, 3.

ὑπὸ τῷ ἄξονι] Inter utramque rotam seu ὑπὸ τοῖς δίφροις, ut est in Anabasi, quod contra Perizonium in Curtio vindicato p. 167, negantem recte defendit Zeunius. Hic simul admonet Darii currus falcatos apud Curtium 4, 9, et 15, rotas ipsas et temones habuisse falcatos. SCHN. Conf. Wesseling. ad Diodor. 17, 53, ubi πρὸς ταῖς κατάκλεισι τῶν ἀξόνων restitui recteque judicasse ostendi Perizonium.

ὡς ἐμβαλούντων] Intellige τῶν ἡνιόχων. In Anabasi 1, 8, 10, est de exercitu Artaxerxis: Πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων τὰ δρεπανηφόρα λεγόμενα. εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντύχοιεν· ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλώντων καὶ διακοψόντων ὅτῳ ἐντύχοιεν. Infra 6, 2, 17: Ἅρματα ἔρχεται, ἃ οὐχ οὕτως ἐστήξεται, ὥσπερ πρόσθεν, ἀπεστραμμένα ὥσπερ εἰς φυγὴν, ἀλλ' οἵ τε ἵπποι εἰσὶ κατατεθωρακισμένοι οἱ ἐν τοῖς ἅρμασιν, οἵ τε ἡνίοχοι—δρέπανά τε σιδηρᾶ περὶ τοῖς ἄξοσι προσήρμοσται, ὡς ἐλῶντες καὶ οὗτοι εὐθὺς εἰς τὰς τάξεις τῶν ἐναντίων. Tertius est locus 8, 8, 24, de usu curruum a Cyro institutorum: Ὁ μὲν γὰρ τιμαῖς αὐξήσας τοὺς ἡνιόχους—εἶχε τοὺς εἰς τὰ ὅπλα ἐμβαλοῦντας· οἱ δὲ νῦν οὐδὲ γιγνώσκοντες τοὺς ἐπὶ τοῖς ἅρμασιν—οἱ δὲ ὁρμῶσι μὲν, πρὶν δ' ἐν τοῖς πολεμίοις εἶναι, οἱ μὲν ἑκόντες ἐκπίπτουσιν, οἱ δ' ἐξάλλονται. Quartus est 7, 1, 29, ubi Abradates impetum facit in hostes: καὶ τὰ μὲν ἅρματα ἔφευγον αὐτοὺς εὐθὺς, τὰ μὲν καὶ ἀναλαβόντα τοὺς παραβάτας, τὰ δὲ καὶ ἀπολιπόντα. Quintus denique est 3, 3, 6: Τῶν δ' Ἀσσυρίων οἱ μὲν ἀπὸ τῶν ἁρμάτων προμαχοῦντες, ὡς ἐγγὺς ἤδη προσεμίγνυε τὸ Περσικὸν πλῆθος, ἀνέβαινον ἐπὶ τὰ ἅρματα, καὶ ὑπεξῆγον πρὸς τὸ ἑαυτῶν πλῆθος. Ex his locis omnibus fit manifestum Babylonios eorumque socios curru quadrijugo vectos et ante aciem progressos mox relicto curru pedites pugnasse. Currus autem in vicinia stabant, inter propugnatores et primam aciem relicti, quos a tergo ascenderent propugnatores, si prœlio excedere vellent. A tergo currus bellicos ascendunt etiam Homerici heroes: hinc currus relicti dicuntur *aversi quasi ad fugam spectare* 6, 2, 17, ἑστήξεται ἀπεστραμμένα ὥσπερ εἰς φυγήν. Homerici heroes de curru item desiliunt et pedites pugnant ante

ἅρμασιν. ὡς δὲ τότε Κῦρος ταῦτα κατεσκεύασεν, οὕτως ἔτι καὶ νῦν τοῖς ἅρμασι χρῶνται οἱ ἐν τῇ βασιλέως χώρᾳ. ἦσαν δὲ αὐτῷ καὶ κάμηλοι πολλαὶ παρά τε τῶν φίλων
31 συνειλεγμέναι καὶ αἰχμάλωτοι πᾶσαι συνηθροισμέναι. καὶ [18
ταῦτα μὲν οὕτω συνεπεραίνετο.

Βουλόμενος δὲ κατάσκοπόν τινα πέμψαι ἐπὶ Λυδίας καὶ μαθεῖν ὅ τι πράττοι ὁ Ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι Ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο ὁ φυλάττων τὴν καλὴν γυναῖκα. συνεβεβήκει γὰρ τῷ Ἀράσπᾳ τοιάδε. ληφθεὶς ἔρωτι τῆς γυναικὸς ἠναγκάσθη προσενεγκεῖν λόγους αὐτῇ
32 περὶ συνουσίας. ἡ δὲ ἀπέφησε μὲν καὶ ἦν πιστὴ τῷ ἀνδρὶ καίπερ ἀπόντι· ἐφίλει γὰρ αὐτὸν ἰσχυρῶς· οὐ μέντοι κατηγόρησε τοῦ Ἀράσπου πρὸς τὸν Κῦρον, ὀκνοῦσα συμ-
33 βαλεῖν φίλους ἄνδρας. ἐπεὶ δὲ ὁ Ἀράσπας δοκῶν ὑπηρετήσειν τῷ τυχεῖν ἃ ἐβούλετο ἠπείλησε τῇ γυναικὶ ὅτι εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα ποιήσοι ταῦτα, ἐκ τούτου ἡ γυνή, ὡς ἔδεισε τὴν βίαν, οὐκέτι κρύπτει, ἀλλὰ πέμπει τὸν
34 εὐνοῦχον πρὸς τὸν Κῦρον καὶ κελεύει λέξαι πάντα. ὁ δ' [19
ὡς ἤκουσεν, ἀναγελάσας ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φά-

κατεσκεύαζεν A.G. οἱ] καὶ οἱ D. συνηλεγμέναι D. καὶ] nisi leg. καὶ αἱ. 31. οὕτως A.D. ἐπεραίνετο D. συνεπαίνετο L., qui ερ s. v., et fortasse G., qui εραινετο in ras., quid pr. non liquet. τινα κατάσκοπον D. τὴν καλὴν γυναῖκα] τὴν γυναῖκα τὴν καλὴν G. γὰρ] δὲ G. συνηθείας A.G., qui ουσ s. v. r. συμβάλλειν D. 33. δὲ] οὖν G. ὑπηρετεῖν D. τῷ τυχεῖν] ἀπετύγχανεν D.G. mg. r. ἠβούλετο A.G. ποιήσοιτο D. ποιήσει M. Zonaras p. 157 D. ἅπαντα D. 34. ὁ] ὡς A.

aciem, hinc πρόμαχοι appellati: interdum tamen currui insistentes pugnant. Compara Excursum Heynianum de acie Homerica ad Iliadis Δ, p. 654 seqq. Apud Græcos usus curruum bellicorum memoratur ab Euripide Suppl. 675, ubi Thebanorum ἡνίοχοι et παραιβάται pugnam incipiunt. Diodorus 12, 70, in exercitu Bœotorum ad pugnam apud Delium ducto memorat eosdem: Προεμάχοντο δὲ πάντων οἱ παρ' ἐκείνοις ἡνίοχοι καὶ παραβάται καλούμενοι, ἄνδρες ἐπίλεκτοι τριακόσιοι, quos Thucydides 4, 93, in enumeratione copiarum omisit. Idem Diodorus 20, 41, Ophellam ait duxisse ἅρματα ἑκατὸν, ἡνιόχους δὲ καὶ παραβάτας πλείους τῶν τριακοσίων. Sed Ophellas Cyrenæus fuit. Cyrenæi igitur plures aut equos currui adjunxisse, et aurigas imposuisse videntur; aut quadrijugis curribus plures et propugnatores et aurigas imposuerunt: de quo nunc quærere amplius non vacat. Thebanorum παραβάτας usumque curruum bellicorum qui præterea commemoraverit, neminem equidem novi. SCHN.

31. βουλόμενος—ἔδοξεν αὐτῷ] Conf. 4, 2, 3.

συνηθείας] Ita meliores, quod præstat vulgari συνουσίας. Verbum ἠναγκάσθη significat effectum et vim cupiditatis incensæ. SCHN. Rarum præsertim apud veteres συνήθεια pro συνουσία, quod ad Steph. Thes. ab Hesychio per συνήθεια explicatum notavimus, et alia signif. positum in συνήθεια depravatum etiam apud Plutarch. Pericl. c. 6, Dion. c. 13. Frequentius συνουσία, de quo v. ibid.

34. φάσκοντι] 5, 1, 8.

σκοντι εἶναι, πέμπει Ἀρτάβαζον σὺν τῷ εὐνούχῳ καὶ
κελεύει αὐτῷ εἰπεῖν βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα,
35 *πείθειν δὲ εἰ δύναιτο, οὐκ ἔφη κωλύειν. ἐλθὼν δ' ὁ Ἀρτά-*
βαζος πρὸς τὸν Ἀράσπαν ἐλοιδόρησεν αὐτὸν, παρακατα-
θήκην ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων
ἀδικίαν τε καὶ ἀκράτειαν, ὥστε τὸν Ἀράσπαν πολλὰ μὲν
δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης,
ἀπολωλέναι δὲ τῷ φόβῳ μή τι καὶ πάθοι ὑπὸ Κύρου.
36 *Ὁ οὖν Κῦρος καταμαθὼν ταῦτα ἐκάλεσεν αὐτὸν καὶ* [20]
μόνος μόνῳ ἔλεξεν, Ὁρῶ σε, ἔφη, ὦ Ἀράσπα, φοβούμε-
νόν τε ἐμὲ καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα. παῦσαι οὖν τού-
των· ἐγὼ γὰρ θεούς τε ἀκούω ἔρωτος ἡττῆσθαι, ἀνθρώ-
πους τε οἶδα καὶ μάλα δοκοῦντας φρονίμους εἶναι οἷα πε-
πόνθασιν ὑπ' ἔρωτος· καὶ αὐτὸς δ' ἐμαυτοῦ κατέγνων μὴ
ἂν καρτερῆσαι ὥστε συνὼν καλοῖς ἀμελεῖν αὐτῶν. καὶ σοὶ
δὲ τούτου τοῦ πράγματος ἐγὼ αἴτιός εἰμι· ἐγὼ γάρ σε
37 *συγκαθεῖρξα τούτῳ τῷ ἀμάχῳ πράγματι. καὶ ὁ Ἀράσπας*
ὑπολαβὼν εἶπεν, Ἀλλὰ σὺ μὲν, ὦ Κῦρε, καὶ ταῦτα ὅμοιος
εἶ οἷόσπερ καὶ τἄλλα, πρᾷός τε καὶ συγγνώμων τῶν ἀν-
θρωπίνων ἁμαρτημάτων· ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρω-

35. *αὐτὸν* om. D., qui *ἐλοιδώρησεν.* *παρακ. τε ὀν.* D. *ὀνομάζον* A. *αὐτοῦ*] *ἑαυτοῦ* A.G. *ἀκρασίαν* D.G. s. v. r. *μήτι καὶ*] *μήτι* D. 36. *ἐκάλεσέν τε αὐτὸν* D. *τε* post *γὰρ* punctis notat D. *ἔρωτος* D. mg. al. m. *ἡττᾶσθαι* A.G. Zonaras. *ἡσσᾶσθαι* D. corr. in *σα*, pr. fortasse *ἡσσῆσθαι*, ut Juntina. *φρονίμους δοκοῦντας* D. *ἀμελῆσαι* D. *συγκατῆρξα* A.G. *συγκατεῖρξα* G. s. v. r. 37. *οἷόσπερ*] *ὥσπερ* G.

35. *ἀσέβειάν τε*] *τε* ad sequentia non præcedentia refertur.

ἀκράτειαν] Aliena ab Atticis forma *ἀκρασία*, ut hic nonnullis, constanter illata omnibus Comment. 4, 5, 6—9, Conv. 8, 27, 32, etiam Stobæi et Athenæi.

θεούς τε] Vulgarem amantium excusationem commemoravit etiam Terentius Eun. 3, 5, 43. SCHN. Soph. fr. Phædræ apud Stob. Fl. 63, 25.

36. *ἐν αἰσχύνῃ δεινῶς ἔχοντα*] Eurip. Suppl. 164: *Ἐν μὲν αἰσχύναις ἔχω πίτνειν πρὸς οὖδας·* Bacch. 89: *Ἔχουσ' ἐν ὠδίνων λοχίαις ἀνάγκαις.* Aristoph. Ran. 704: *Ἔχοντες κυμάτων ἐν ἀγκάλαις.* Idem Thesm. 230: *Ἔχ' ἀτρέμα σαυτὸν* dixit ut mox est s. 37, *ἐκποδὼν ἔχειν ἐμαυτόν.* Aesch. Prom. 344: *Ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων.* V. Steph. Thes. v. *Ἔχω*, p. 2621 C, 2618 D.

πράγματι] Aristoph. Eccl. 441: *Γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικόν.* Arrian. Epict. 1, 11, 2: *Πῶς χρῇ τῷ πράγματι;* ut 3, 3, 12, *πραγμάτιον*, de puella, citat Hutch.

37. *ὥσπερ*] Conv. 4, 37: *Ὅμοιά μοι δοκοῦσι πάσχειν, ὥσπερ εἴ τις πολλὰ ἐσθίων μηδέποτε ἐμπίμπλαιτο.* Anab. 5, 4, 34: *Ὅμοια ἔπραττον, ἅπερ ἂν μετ' ἄλλων ὄντες*, ubi *οἷάπερ* malim. Sic est infra s. 47. H. Gr. 4, 2, 11. Hier. 7, 5. Œcon. 8, 9, *ὅμοιόν τε εἶναι, οἷόνπερ εἰ γεωργός.* SCHN. Nec falsum *ἅπερ.*

ποι καταδύουσι τῷ ἄχει. ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐμῆς
συμφορᾶς, οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι προσι-
όντες συμβουλεύουσιν ἐκποδὼν ἔχειν ἐμαυτὸν, μή τι καὶ
38 πάθω ὑπὸ σοῦ, ὡς ἠδικηκότος ἐμοῦ μεγάλα. καὶ ὁ Κῦρος [21
εἶπεν, Εὖ τοίνυν ἴσθι, ὦ Ἀράσπα, ὅτι ταύτῃ τῇ δόξῃ οἷός τ'
εἶ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι καὶ τοὺς συμμάχους μεγάλα
ὠφελῆσαι. Εἰ γὰρ γένοιτο, ἔφη ὁ Ἀράσπας, ὅ τι ἐγώ σοι
39 ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος. Εἰ τοίνυν, ἔφη,
προσποιησάμενος ἐμὲ φεύγειν ἐθέλοις εἰς τοὺς πολεμίους
ἐλθεῖν, οἶμαι ἄν σε πιστευθῆναι ὑπὸ τῶν πολεμίων.
Ἔγωγε ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, καὶ ὑπὸ τῶν φίλων
40 οἶδα ὅτι ὡς σὲ πεφευγὼς λόγον ἂν παρέχοιμι. Ἔλθοις
ἂν τοίνυν, ἔφη, ἡμῖν πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι
δὲ καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο
διὰ τὸ πιστεύειν, ὥστε μηδὲ ἓν σε λεληθέναι ὧν βουλό-
μεθα εἰδέναι. Ὡς πορευσομένου, ἔφη, ἤδη νυνί· καὶ γὰρ

καταλύουσι D.G. s. v. r. *συμβουλεύειν* A.G. pr. *ἐκποδῶν* A.D.G. *τι* s. v. r. G. *ἠδικηκότως* A. 38. *οἷός τ' εἶ* om. A.G. mg. r. 39. *ἐμὲ*] *με* in ras. G. *οἴομαι* A.G. *ἔγωγε*] *ἐγὼ μὲν* D. *ὡς*] *ὁ* G. corr. s. v. r. *σὲ*] *ἐ* in ras. plurium litt. G. 40. *μηδὲν λεληθέναι* D. *πορευσομένου*] *πορεύσομαι οὖν* D.G. infra v. r.

καταδύουσι τῷ ἄχει] Ut antea fuit *καταδύομαι ὑπὸ τῆς αἰσχύνης*, idemque addito *κατὰ γῆς* Anab. 7, 7, 11, ita *καταδύομαι τῷ ἄχει* poterat dici, nisi additum esset *οἱ ἄλλοι*. SCHN.

ὡς] Conf. 4, 2, 29; 8, 1, 13. H. Gr. 7, 2, 19: *Ὡς δὲ τὴν νύκτα ἠγρύπνησαν, ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέρας*· 4, 37: *Ὡς δὲ πολλοὶ οἱ εἰργμένοι ἦσαν, — ἀπορῆσαι δὴ μάλιστα ἐποίησε—ὅτι Μαντινέας ὀλίγους πάνυ εἶχον.* Primo illorum locorum quod pro *ὡς θέρος ἦν* Zonaras posuit *θέρος γὰρ ἦν*, sententiam, non verba reddidit. Nunquam enim, ubi *ὡς* ponitur pro *γὰρ*, membra illo inchoata anteponuntur, ut membra per *γὰρ* interposita.

ἠδικηκότος] Xenophon non scripsit *ὡς ἠδικηκὼς*, quod olim mirabar, sed *ἠδικηκότος ἐμοῦ*, quia hæc ad præcedentia *οἱ δὲ φίλοι συμβουλ.* referuntur. SCHN.

38. *εἰ γὰρ* est *utinam*, ut Odysseæ 3, 205 et alibi. SCHN.

ἐν καιρῷ] Hæc minime opportuna huic loco censens Weiskius suspicatur *ἐν καιρῷ αὖ γενοίμην*, cujus glossema sit *αὖ χρήσιμος*. Recte. Ita supra 5, 1, 16: *Ἴσως γὰρ ἂν πάνυ ἡμῖν ἐν καιρῷ γένοιτο αὕτη ἡ γυνή.* Hist. Gr. 3, 4, 9 (ubi Plutarchus Agesil. c. 8, *χρήσιμος*): *Πειράσομαι ἐν καιρῷ σοι εἶναι.* et 7, 4, 8: *Ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα.* Ubi Andocidis locum p. 72, posui simillimum Xenophonteo 5, 1, 16: *Καὶ ἔστιν ὑμῖν χρῆσθαι τούτοις ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γένηται.* SCHN. *Εἴθε γὰρ, ὁ Ἀράσπας ἔφη, γενοίμην σοι χρήσιμος ἐν καιρῷ*, Zonaras p. 158 B.

39. *ὑπὸ*] *λόγον παρέχειν* est venire in sermones, et idem quod *λέγεσθαι*: quare jungitur præpositioni *ὑπὸ*, ut *ἀποθνήσκω ὑπό τινος*, et similia verba. SCHN.

40. *ὡς πορευσομένου*] Plato Charmid. p. 176 C: *Ὡς ἀκολουθήσοντος καὶ μὴ ἀπολειψομένου — βιάσει ἄρα — ὡς βιασομένου, ἔφη.* Xenophon supra 1, 6, 11: *Ὡς οὖν ἐμοῦ μηδέποτε ἀμελήσοντος—οὕτως ἔχε τὴν γνώμην.* 3, 1, 9: *Ἐρώτα—ὡς τἀληθῆ ἐροῦντος.* 8, 4, 22: *Ὡς ἀναμενοῦντος καὶ οὐκ ἀποθανουμένου οὕτω παρασκεύαζου.* Simile

τοῦτο ἴσως ἓν τῶν πιστῶν ἔσται τὸ δοκεῖν με ὑπὸ σοῦ
41 μελλήσαντά τι παθεῖν ἐκπεφευγέναι. Ἦ καὶ δυνήσει ἀπολιπεῖν, ἔφη, τὴν καλὴν Πάνθειαν; Δύο γάρ, ἔφη, ὦ Κῦρε, σαφῶς ἔχω ψυχάς· νῦν τοῦτο πεφιλοσόφηκα μετὰ τοῦ ἀδίκου σοφιστοῦ τοῦ Ἔρωτος. οὐ γὰρ δὴ μία γε οὖσα ἅμα ἀγαθή τέ ἐστι καὶ κακή, οὐδ' ἅμα καλῶν τε καὶ αἰσχρῶν ἔργων ἐρᾷ καὶ ταὐτὰ ἅμα βούλεταί τε καὶ οὐ βούλεται πράττειν, ἀλλὰ δῆλον ὅτι δύο ἐστὸν ψυχά, καὶ ὅταν

δοκεῖν με] δοκοῦμεν A. δοκοῦν με G. corr. s. v. r. μελλήσαντα] μελήσοντα D. ο s. v. r. G. 41. καὶ om. D. Libri δυνήσῃ. πανθίαν D. ταὐτὰ Stephanus. ταῦτα A.D.G. δῆλον ὅτι om. G.M. βούλεται post ὅτι delet D. ἔστων A. ψυχαὶ A.G. pr.

est 8, 7, 10: Ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθε. Comment. 2, 6, 33: Ὡς τοὺς μὲν καλοὺς φιλήσοντός μου—θαρρῶν δίδασκε. Anab. 1, 3, 6: Ὡς ἐμοῦ οὖν ἰόντος—οὕτω τὴν γνώμην ἔχετε. ubi v. annot. SCHN.

41. Πάνθειαν] Xenophontis narrationem respiciunt Philostr. Imag. p. 824 seq., cui Πάνθεια pro Πανθία restitutum ex libro, Lucian. Imag. c. 10, Plut. Mor. p. 1093 C. Eandem fabulam carmine Soterichus quidam apud Suidam in hoc n., Celer sophista apud Philostr. V. Soph. 1, 22, 3, oratione persequutus erat. Conf. etiam Dio Chrys. vol. 2, p. 328, Tzetzes Anteh. 240, qui Πανθείην.

δύο ἐστὸν ψυχὰ] Camerarius ad h. l. ita commentatus est: "De duabus animis Socraticæ sunt disputationes expositæ copiose a Platone. Non esse autem unam vim animi vel non unum genus seu εἶδος, ita ostenditur: quia unum et idem non possit simul efficere contraria, ut manus simul attrahere et rejicere una aliquid et idem simul eodem tempore consistere et moveri. Hæc disseruntur verbose in quarto libro rerum publicarum: estque ista divisio animi in partem præditam ratione, id est cogitantem et intelligentem (a Græcis vocatur τὸ λογιστικὸν seu λογικὸν μέρος) et alteram quasi brutam, quæ est ἄλογος. Atque Plato aliud plane genus facit ejus animæ, quæ particeps est rationis, et aliud ejus, quæ expers; idque genus etiam mortale esse ait in Timæo, cum posuisset in Phædro, ὅτι πᾶσα ψυχὴ ἀθάνατος. Quæ argumentatio mirabiliter arrisit Ciceroni.—Non fugit autem nos, posse hæc Xenophontea referri ad Platonicas etiam disputationes in 9 libro Legum, ubi inter alia dicitur: non esse pauciores animas duabus, bona una, altera mala: nam æternas causas boni atque mali in natura illum introduxisse scimus. Sed hæc jam magis etiam inextricabilia atque mirifica sunt. Illa itaque superiora aliquanto minus abhorrentia a captu communi retineamus." Locus prior Platonis Reip. 4, p. 436 B, hic est: Δῆλον ὅτι ταὐτὸν τἀναντία ποιεῖν ἢ πάσχειν κατὰ ταὐτόν γε καὶ πρὸς ταὐτὸν οὐκ ἐθελήσει ἅμα· ὥστε, ἐάν που εὑρίσκωμεν ἐν αὐτοῖς ταῦτα γιγνόμενα, εἰσόμεθα ὅτι οὐ ταὐτὸν ἦν, ἀλλὰ πλείω. Hac scilicet argumentatione nititur quod sequitur p. 439 D: Οὐ δὴ ἀλόγως ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι, τὸ μέν, ᾧ λογίζεται, λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς, τὸ δέ, ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται, ἀλόγιστόν τε καὶ ἐπιθυμητικόν, πληρώσεών τινων καὶ ἡδονῶν ἑταῖρον. ταῦτα μὲν τοίνυν δύο ἡμῖν ὡρίσθω εἴδη ἐν ψυχῇ ἐνόντα. τὸ δὲ τοῦ θυμοῦ καὶ ᾧ θυμούμεθα—ἴσως τῷ ἑτέρῳ τῷ ἐπιθυμητικῷ ἂν εἴη ὁμοφυές. In hoc loco non difficile est duas animas reperire, quas exinde duxisse creditur Xenophon. Potest tamen fieri ut is ex Platonis sermonibus cum discipulis habitis cognitam Platonis opinionem habuerit, si eam omnino Xenophontem respexisse credideris; quod facere nos quid cogit? Alter Platonis locus, quem Camerarius in animo habuit,

μὲν ἡ ἀγαθὴ κρατῇ, τὰ καλὰ πράττεται, ὅταν δὲ ἡ πονηρά,
τὰ αἰσχρὰ ἐπιχειρεῖται. νῦν δὲ ὡς σὲ σύμμαχον ἔλαβε,
42 κρατεῖ ἡ ἀγαθὴ καὶ πάνυ πολύ. Εἰ τοίνυν καὶ σοὶ δοκεῖ [22
πορεύεσθαι, ἔφη ὁ Κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα κἀκείνοις
πιστότερος ᾖς· ἐξάγγελλέ τε αὐτοῖς τὰ παρ' ἡμῶν, οὕτω
τε ἐξάγγελλε ὡς ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα ἐμπο-
δὼν μάλιστ' ἂν εἴη ὧν βούλονται πράττειν. εἴη δ' ἂν
ἐμποδών, εἰ ἡμᾶς φαίης παρασκευάζεσθαι ἐμβαλεῖν που
τῆς ἐκείνων χώρας· ταῦτα γὰρ ἀκούοντες ἧττον ἂν παντὶ
σθένει ἀθροίζοιντο, ἕκαστός τις φοβούμενος καὶ περὶ τῶν
43 οἴκοι. καὶ μένε, ἔφη, παρ' ἐκείνοις ὅτι πλεῖστον χρόνον· ἃ
γὰρ ἂν ποιῶσιν ὅταν ἐγγύτατα ἡμῶν ὦσι, ταῦτα μάλιστα
καιρὸς ἡμῖν εἰδέναι ἔσται. συμβούλευε δ' αὐτοῖς καὶ ἐκτάτ-
τεσθαι ὅπῃ ἂν δοκῇ κράτιστον εἶναι· ὅταν γὰρ σὺ ἀπέλθῃς
εἰδέναι δοκῶν τὴν τάξιν αὐτῶν, ἀναγκαῖον οὕτω τετάχθαι
αὐτοῖς· μετατάττεσθαι γὰρ ὀκνήσουσι, καὶ ἤν πῃ ἄλλῃ
44 μετατάττωνται, ἐξ ὑπογύου ταράξονται. Ἀράσπας μὲν [23
δὴ οὕτως ἐξελθὼν καὶ συλλαβὼν τοὺς πιστοτάτους θερά-
ποντας καὶ εἰπὼν πρός τινας ἃ ᾤετο συμφέρειν τῷ πράγ-
ματι ᾤχετο.

45 Ἡ δὲ Πάνθεια ὡς ᾔσθετο οἰχόμενον τὸν Ἀράσπαν,

ἐπιχειρῆται G. 42. σοὶ om. D. σὺ G. pr. καὶ ἐκείνοις D. ᾖς] εἶ D. ἐξάγγελε A., qui mox λ s. v., D. αὐτῷ D. et mox βούλοιτο. ἐκποδῶν A. ἐμποδῶν D. bis. εἴη δ' ἂν ἐμποδῶν om. A.G. mg. r. ἀθροίζοντο A. ἁθροίζοιντο D. ἀθροίζοιτο G., addito ν s. v. r. 43. ἡμῖν καιρὸς D. ὅποι A.D. αὐτοῖς. μ. γὰρ om. A.G. mg. r. ὀκνήσωσι A.G. ὑπογυίου D.G. 44. καὶ om. D. ἃ] οἷα D. ξυμφέρειν G. 45. πανθία D. ἄρασπαν D.

exstat Leg. 10, p. 896 D: Ψυχὴν— μίαν ἢ πλείους; δυοῖν μέν γέ που ἔλαττον μηδὲν τιθῶμεν, τῆς τε εὐεργέτιδος καὶ τῆς τἀναντία δυναμένης ἐξεργάζεσθαι. Quibus tertius conf. Phædr. p. 237 D: Ἡμῶν ἐν ἑκάστῳ δύο τινὲ ἐστὸν ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα ᾗ ἂν ἄγητον, ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν, ἄλλη δὲ ἐπίκτητος δόξα ἐφιεμένη τοῦ ἀρίστου etc. SCHN. Conf. Comment. 1, 2, 12 seq., ubi de moribus Critiæ, Alcibiadisque disserit, qui quamdiu cum Socrate versabantur, honeste, posteaquam ab eo discessissent, turpiter se gesserunt. HUTCH. Duas animæ partes memorat etiam Aristot. Polit. 7, 15 extr., verbis secundo Platonis loco simillimis.

σοφιστοῦ] Sic dicit etiam Plato Conv. p. 203 D.

41. καὶ πάνυ πολὺ] Conf. Heindorf. ad Plat. Phædon. p. 106. SCHN.

ἁθροίζειν, ut D., Atticis tribuunt grammatici.

43. ὑπογύου] Alii ὑπογυίου, quæ est perpetua omnium scriptorum in libris inter utramque formam fluctuatio. Missis Grammaticorum etymologiis si analogiam sequimur, ὑπόγυιος non magis dixerint veteres quam ἔγγυος, ἀμφίγυος, κρήγυος cum diphthongo dixerunt.

πέμψασα πρὸς τὸν Κῦρον εἶπε, Μὴ λυποῦ, ὦ Κῦρε, ὅτι
Ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους· ἢν γὰρ ἐμὲ ἐάσῃς
πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι ἥξειν
πολὺ Ἀράσπου πιστότερον φίλον· καὶ δύναμιν δὲ οἶδ᾽ ὅτι
ὁπόσην ἂν δύνηται ἔχων παρέσται σοι. καὶ γὰρ ὁ μὲν
πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ δὲ νῦν
βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπά-
σαι ἀπ᾽ ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν εὖ οἶδ᾽ ὅτι
46 ἄσμενος ἂν πρὸς ἄνδρα οἷος σὺ εἶ ἀπαλλαγείη. ἀκούσας [24]
ταῦτα ὁ Κῦρος ἐκέλευε πέμπειν πρὸς τὸν ἄνδρα· ἡ δ᾽
ἔπεμψεν. ὡς δ᾽ ἔγνω ὁ Ἀβραδάτας τὰ παρὰ τῆς γυναικὸς
σύμβολα, καὶ τἄλλα δὲ ᾔσθετο ὡς εἶχεν, ἄσμενος πορεύε-
ται πρὸς τὸν Κῦρον ἵππους ἔχων ἀμφὶ τοὺς χιλίους. ὡς δ᾽
ἦν πρὸς τοῖς τῶν Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν
Κῦρον εἰπὼν ὃς ἦν. ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν
47 πρὸς τὴν γυναῖκα. ὡς δ᾽ εἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ
Ἀβραδάτας, ἠσπάζοντο ἀλλήλους ὡς εἰκὸς ἐκ δυσελπί-
στων. ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιό-
τητα καὶ τὴν σωφροσύνην καὶ τὴν πρὸς αὐτὴν κατοίκτι-
σιν. ὁ δὲ Ἀβραδάτας ἀκούσας εἶπε, Τί ἂν οὖν ἐγὼ ποιῶν,
ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀπο-
δοίην; Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος ὅμοιος
εἶναι περὶ ἐκεῖνον οἷόσπερ ἐκεῖνος περὶ σέ;

ἦν] ἐὰν D. πρὸς] εἰς G. δύναιτο A.G. μὲν om. A.G. βασιλεὺς ὢν D. βασιλεὺς G. s. v. r. αὐτὸν εὖ om. D. οἷος σὺ] οἷος G. s. v. r. οἷς pr. ἀπαλλαγήσεται A.G. 46. κελεύει D. ἀβραδάτης D. τὰ ἄλλα D. δισχιλίους D. τῶν om. D. πέμπειν D. εὐθὺς om. A. post ἄγειν add. G. mg. r. 47. δὲ ἰδέτην A.G. ἀλλήλους C.H.M., ut videtur, et Q. ἀλλήλω P. Zonaras. ἀλλήλοιν A.G. καὶ ὁ] καὶ D. ἀβραδάτης D.G. hic et infra. ἀσπάζοντο A. ἠσπάσαντο D. δυσελπίστου G. s. v. r. πανθία D. hic et infra. ἑαυτὴν D. κατοίκησιν A. κατοίκισιν D.G. pr. ὑπέρ τε] ὑπὲρ D. ἐμαυτοῦ] ὑπὲρ ἐμοῦ G. ἀποδιδοίην D. ἔφη] φησὶν G. ὅμοιος om. G.M. περὶ ἐκεῖνον εἶναι D. οἷσπερ καὶ ἐκεῖνος D.

ἀπαλλαγείη] De ἀπαλλαγήσεται hic in meliores illato v. ad 4, 5, 46.

46. τοὺς χιλίους] Infra s. 50 et 2, 7 Abradatas dicitur ex equitatu suo parasse currus centum: qui quum efficiant numerum 800 equorum, verosimilius est Abradatam adduxisse secum ἀμφὶ χιλίους ἵππους, non δισχιλίους. ZEUN. Alterum habebat Tzetzes Hist. 3, 682: Σὺν δισχιλίοις ἔρχεται ἱππέων ἐπιλέκτοις.

47. ὅμοιος] Ex glossemate natum censet Zeunius. At supra s. 37, est καὶ ταῦτα ὅμοιος εἶ οἷόσπερ καὶ τἄλλα. deinde concinnitatis et numeri ratio melius constare videtur in vulgata lectione. SCHN. Servat etiam Tzetzes Hist. 3, 688: Τὸ ὅμοιον γενέσθαι σε πρὸς τοῦτον οἷος ἐκεῖνος περὶ σέ.

48 Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτας· [25]
καὶ ὡς εἶδεν αὐτὸν, λαβόμενος τῆς δεξιᾶς εἶπεν, Ἀνθ' ὧν
σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω τί μεῖζον εἴπω ἢ
ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι καὶ θεράποντα καὶ σύμ-
μαχον. καὶ ὅσα ἂν ὁρῶ σε σπουδάζοντα, συνεργὸς πειρά-
49 σομαι γίγνεσθαι ὡς ἂν δύνωμαι κράτιστος. καὶ ὁ Κῦρος
εἶπεν, Ἐγὼ δὲ δέχομαι· καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν
τῇ γυναικὶ δειπνεῖν· αὖθις δὲ καὶ παρ' ἐμοὶ δεήσει σε σκη-
νοῦν σὺν τοῖς σοῖς τε καὶ ἐμοῖς φίλοις.
50 Ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτας σπουδάζοντα τὸν Κῦρον [26]
περὶ τὰ δρεπανηφόρα ἅρματα καὶ περὶ τοὺς τεθωρακισμέ-
νους ἵππους τε καὶ ἱππέας, ἐπειρᾶτο συντελεῖν αὐτῷ εἰς τὰ
ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ ὅμοια ἐκείνῳ·
αὐτὸς δὲ ὡς ἡγησόμενος αὐτῶν ἐπὶ τοῦ ἅρματος παρε-
51 σκευάζετο. συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα τετράρρυμόν τε

48 ἀβραδάτης hic etiam A. et 50. 52. –ας H.M. εὖ σὺ ἐποίησας D. μείζων D. ξύμμαχον G. συνεργὸς] σοι add. D.G. s. v. r. γενέσθαι G. 49. δὲ δέχομαι] δέχομαί τε D.M. et servans δὲ G. corr. ἐμοῖς] ἐμοῦ D. 51. τετράρυμον A.D. τετράριθμον G. corr. mg. r. Duplici ρ hic et infra H. Alterum bis puncto notat L., qui pr., ut G., τετράριθμον.

50. τεθωρ.] Cataphractos equites appellatos annotat Servius ad Virg. Æn. 11, 770, qui et ipsi, ut equi, ferro sunt muniti. Athen. 5, p. 194: Τελευταία δ' ἦν ἡ κατάφρακτος ἵππος οἰκείως τῇ προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων τοῖς ὅπλοις. V. supra ad 3, 3, 27, Arrian. Tact. p. 53 ed. Scheffer. HUTCH. Xen. Eq. 12, 8. ZEUN.

ὅμοια ἐκείνῳ] Breviter dictum pro τοῖς ἐκείνου. SCHN. Conf. 5, 1, 4. Sic Hom. Il. P, 51: Κόμαι· Χαρίτεσσιν ὁμοῖαι, ubi alia interpretes.

51. τετράρρυμον] Temones quatuor ita fuisse currui aptatos ut singuli cum axe ipso juxta se committerentur, deinceps duo dextrorsum, statuit Salmasius in Plinianis Exerc.: contra quem operose Schefferus de re vehiculari 1, 12, docere conatur alium post alium temonem fuisse aptatum, ut prior jungeretur ad caput posterioris, et omnes in curru ipso directi instar unius axis recta linea protenderentur. Hanc Schefferi sententiam impugnat Zeunius ad h. l. negans se videre quomodo temones alii post alios potuerint aptari, et quomodo quatuor juga equorum alia post alia juncta potuerint ab uno auriga regi. Cui occurrit Weiskius ita ut dubitet quomodo sedecim equi cataphracti æqua fronte ad ipsum axem temonibus aptatis juncti esse potuerint: requiri enim axem infinitæ longitudinis. Neque minus difficile fuisse sedecim equos ita junctos ab uno regi auriga, præsertim in ipso flexu currus. Quare aut binis temonibus quaternos equos ad ipsum axem junctos incessisse putat, ita ut alii quaterni hos antecederent, et sic deinceps per reliqua ζεύγη, aut assentiendum Scheffero censet. Verum suspicor virum doctum cogitasse, equos temonibus junctos non tam jugo quam loris aut funibus, more vecturæ nostræ. Verum more antiquo unus temo atque unum jugum duos equos jungebat. Deinde quadrigas temones duos juxta se positos iisque equos quatuor duobus jugis junctos habuisse docet locus clarissimus Pindari Nemeorum Z, 137. Quadrigarum autem ad exemplum factos fuisse currus τετραρύμους et ὀκταρύμους res ipsa loquitur. SCHN. Verba Xenophontis repetit Philostr. Imag. 2, 9, p. 825, ubi de Panthea. Conf. autem Blomf. ad Æsch. Pers. 47.

καὶ ἵππων ὀκτώ· τοὺς δὲ ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο.

52 Ἀβραδάτας μὲν ταῦτα ἔπραττε· Κῦρος δὲ ἰδὼν τὸ [27]
τετράρρυμον αὐτοῦ ἅρμα κατενόησεν ὅτι οἷόν τε εἴη καὶ ὀκτάρρυμον ποιήσασθαι, ὥστε ὀκτὼ ζεύγεσι βοῶν ἄγειν τῶν μηχανῶν τὸ κατωτάτω οἴκημα· ἦν δὲ τοῦτο τριώ-

Post ὀκτὼ libri addunt ἡ δὲ πάνθεια (πανθία D.) ἡ γυνὴ αὐτοῦ ἐκ τῶν ἑαυτῆς χρημάτων χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο καὶ χρυσοῦν κράνος, ὡσαύτως δὲ καὶ περιβραχιόνια (περιβραχίονα D. περὶ βραχιόνια G.). κατεσκευάζετο G. 52. τετράρυμον A.D.G. corr., qui pr. τετράριθμον. κατενόησεν om. G. ὅτι] ὡς D. om. G. ὀκτάρυμον A.D.G. κατωτάτω] Libri κατώτατον. τετρώρυγον] τὸ τριώρυον A. τριώρυιον et γ supra v., et in mg. τριόργυιον, B. τὸ τριώρων G. τριόργυιον mg. r., sed corr. in ον. τὸ τριόργυιον L. corr. P. τριόργυον D.

τὸ κατώτατον] Equidem mirabar superiora tabulata non item vecta dici, causamque suspicabar esse eam, quod machinæ super inferiore tabulato exstruerentur postea quam in locum esset ventum. At tota turris pluribus tabulatis compacta dicitur deinde οἰκήματα, nec usquam partium separatim fit mentio, nec ullæ machinæ superstruebantur, sed ipsæ turres solæ appellantur, etiam infra 3, 8, et 28; 7, 1, 39; 7, 5, 52. Video etiam Weiskium hæsisse in hoc loco. Sed is alias dubitationis causas habuit. Nam cur τὸ κατώτατον οἴκημα tantum commemoretur, per se esse clarum ait. Cum enim tota turris propter magnitudinem currui non posset imponi, tantum infimum ejus tabulatum, quod alias ex singulis partibus coagmentandum esset, (puto in ipso hostilis agminis conspectu et pugnæ procinctu) Cyrum in currum agi voluisse. Superius autem tabulatum, ut angustius et levius, inter reliqua impedimenta sequi potuisse. Verum, ut dixi, turris ipsa tota, partibus omnibus bene coagmentatis, non currui imposita, sed rotis primo tabulato subjectis agebatur, nec ullæ ejus partes separatæ vehebantur, ut in turribus ambulatoriis, quas etiam dissolutas in exercitu circumferebant. Quales descripsit Vitruv. 10, 13, 3. In c. 14, et alibi μηχανὰς ὑποτρόχους describit. Inferioris tabulati altitudinem, rotis innixi, trium orgyarum indicat Xenophon, latitudinem superioris licebit partim ex adjunctis peridromis et loricis, partem ex usu bellico numeroque viginta bellatorum, denique ex numero temonum axi infixorum juxta se deinceps octo et equorum sedecim his adjunctorum æstimare. Quæ vero dubitavit Weiskius cur ζεύγεσι βοῶν, non ἵππων? brevem habent responsionem et facilem. Equis enim Cyrus ad equitatum augendum maxime utebatur. Deinde etiam illa brevitas Weiskio est suspecta, quod non dicatur, vere tales currus factos esse, sed statim subjiciatur, cujus altitudinis fuerint. Haud dubie igitur totum locum esse mancum. Quod mihi non videtur, nec ex brevitate illa extractum ad ineptias narrationis longioris Xenophontem compellere placet. SCHN. Recte autem animadvertit Buttmannus Gram. vol. 2, p. 411 ed. pr. κατώτατον ab librario esse illatum ut ἀνωτάτη pro ἀνωτάτω in deteriores Anab. 7, 4, 11, Diod. 2, 10, et alia similia alibi. Nihilo certiora sunt reliqua adjectivi exempla ad Thes. Steph. citata.

ἡ δὲ Πάνθεια—περιβραχιόνια ex 4, 2 hic loco alieno esse repetita animadvertit Bornemannus. Habuit jam Tzetzes 3, 700: Ἐκ τοῦ καλλίστου κόσμου δὲ αὐτῆς τοῦ γυναικείου ἡ Πάνθεια εἰργάσατο τότε τῷ Ἀβραδάτᾳ χρυσοῦν ὁμοῦ τὸν θώρακα καὶ βραχιονιστῆρας καὶ κράνος λιθοκόλλητον, χάριν ἀστράπτον.

52. τριώρυγον] Formam hic propemodum servatam in libris melioribus, Xenophonti Cyn. 2, 5: Τὸ δὲ μέγεθος τὰ μὲν ἐνόδια διώρυγα, τετρώρυγα, πεντώρυγα, τὰ δὲ δίκτυα δεκώρυγα, εἰκοσώρυγα, τριακοντώρυγα, ubi, ut hic

53 ρυγον μάλιστα ἀπὸ τῆς γῆς σὺν τοῖς τροχοῖς. τοιοῦτοι δὲ πύργοι σὺν τάξει ἀκολουθοῦντες ἐδόκουν αὐτῷ μεγάλη μὲν ἐπικουρία γενέσθαι τῇ ἑαυτοῦ φάλαγγι, μεγάλη δὲ βλάβη τῇ τῶν πολεμίων τάξει. ἐποίησε δὲ ἐπὶ τῶν οἰκημάτων καὶ περιδρόμους καὶ ἐπάλξεις· ἀνεβίβαζε δ' ἐπὶ τὸν πύργον
54 ἕκαστον ἄνδρας εἴκοσιν. ἐπεὶ δὲ πάντα συνειστήκει αὐτῷ [28]
τὰ περὶ τοὺς πύργους, ἐλάμβανε τοῦ ἀγωγίου πεῖραν· καὶ πολὺ ῥᾷον ἦγε τὰ ὀκτὼ ζεύγη τὸν πύργον καὶ τοὺς ἐπ' αὐτῷ ἄνδρας ἢ τὸ σκευοφορικὸν βάρος ἕκαστον τὸ ζεῦγος. σκευῶν μὲν γὰρ βάρος ἀμφὶ τὰ πέντε καὶ εἴκοσι τάλαντα ἦν ζεύγει· τοῦ δὲ πύργου, ὥσπερ τραγικῆς σκηνῆς τῶν ξύλων πάχος ἐχόντων, καὶ εἴκοσιν ἀνδρῶν καὶ ὅπλων, τούτων ἐγένετο ἔλαττον ἢ πεντεκαίδεκα τάλαντα ἑκάστῳ

53. *μεγάλην ἐπικουρίαν ποιῆσαι* D. *ἑαυτῶν* D. *μεγάλην δὲ βλάβην* D. corr. *ἀνεβίβαζε δ'*] *ἀνεβίβαζεν* G. *τὸν πῦργον* A. *τῶν πύργων* D. 54. *συνεστήκει* D. *ἀγωγήμου* D. *ῥάδιον* D. *εἴκοσι καὶ πέντε* D. *ζεύγει τοῦ* B. s. v., D.M. *ζεύγη τοῦ* A.G. pr. *ζευγητοῦ* G. corr. *τρατηγικῆς* G. pr. *ξύλων*] *ὀκτὼ* post hoc s. v. B. *πάχος* D.G. s. v. M. *ἐχόντων* G. s. v. r. M. *ὄντων* A.D.G. *τούτων*] Libri *τούτοις*.

librarii, editores intulerant formas -*όργυιος*, vindicavit Boeckhius *Urkunden ueber das Seewesen des attischen Staates* p. 412, ubi: Νεῖα τὰ πλεῖστα πεντώρυγα. Eandem Theophrasto II. Pl. 5, 8, 1: Μῆκος μὲν ἦν τῶν εἰς τὴν ἐνδεκήρη τὴν Δημητρίου τμηθέντων τρισκαιδεκόργυιον, ex vestigiis librorum Urbinatis et Medicei restitui ad Steph. Thes. v. Ὀργυιά, vol. 5, p. 2154 C, D. Sed hic quum τὸ ante τριώρυγον addant libri meliores, ibid. v. Τετρώρυγος, p. 2090 B, id ex τετρώρυγον potius ortum conjeci quam τὸ male esse repetitum.

53. *τοιοῦτοι δὲ πύργοι*] De quibus v. Veget. 4, 17, 18 et Stewech. ad 1. HUTCH.

σὺν τάξει] s. 55, est *σὺν τῷ στρατεύματι. ἐν τάξει* malim. SCHN.

περιδρόμους] Sunt iidem in turribus descriptis a Vitruvio 10, 13, 4, ut docui in annotatione p. 364. SCHN.

ἀγωγίου] Vulgatum *ἀγωγίμου* jam olim cum Brodæo Stephanus et Muretus in *ἀγωγίου* mutari voluerunt propter sequens *ἀγώγιον*, quod Suidas interpretatur *τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης*. Contra Hutchinsonus statuit significationem *ἀγωγίμου* ab *ἀγωγίου* non solum diversam, sed huic etiam loco aptam. *τὸ ἀγώγιμον* igitur h. l. interpretatur facilitatem aut difficultatem vecturæ, quasi vectilitatem dicas. Verum differentiam istam, etsi vera sit, huic loco nostro non congruere docet comparatio ponderis impositi curribus impedimenta et turres agentibus; unde apparet *βάρος* esse synonymum vocabulo *ἀγώγιον*; nec alteri *ἀγώγιμον* ullum hic esse locum. SCHN. Suidæ e Xenophonte citantis gl. Photii est.

τραγικῆς σκηνῆς] De tribus scenarum generibus, tragicis, comicis et satyricis, v. Vitruv. 5, 8. HUTCH. Comparationem cum scenæ tragicæ machinamentis nec intelligere nec interpretari hodie licet in tantis rei scenicæ Græcæ tenebris. SCHN. Quod G. corr. habet *πάχος ἐχόντων* est etiam in M., quantum ex Valckenarii silentio colligo, qui his ascripserat, *obscurissima sunt*. Nullo autem in libro est *τούτων*, quod ex Philelphi *harum turrium* petitum reposuit Hutch. pro *τούτοις*, quum non minus commodum sit *οὕτως*.

ἑκάστῳ ζεύγει] *ἑκάστῳ τῷ ζεύγει*, ut præcesserat, Zeunius. Conf. var. scr. Anab. 1, 8, 9.

55 ζεύγει τὸ ἀγώγιον. ὡς δ' ἔγνω εὔπορον οὖσαν τὴν ἀγωγὴν, παρεσκευάζετο ὡς ἄξων τοὺς πύργους σὺν τῷ στρατεύματι, νομίζων τὴν ἐν πολέμῳ πλεονεξίαν ἅμα σωτηρίαν τε καὶ δικαιοσύνην εἶναι καὶ εὐδαιμονίαν.

ΚΕΦ. Β.

Ἦλθον δ' ἐν τούτῳ τῷ χρόνῳ καὶ παρὰ τοῦ Ἰνδοῦ χρήματα ἄγοντες καὶ ἀπήγγελλον αὐτῷ ὅτι ὁ Ἰνδὸς ἐπιστέλλει τοιάδε. Ἐγὼ, ὦ Κῦρε, ἥδομαι ὅτι μοι ἐπήγγειλας ὧν ἐδέου, καὶ βούλομαί σοι ξένος εἶναι καὶ πέμπω σοι χρήματα· κἂν ἄλλων δέῃ, μεταπέμπου. ἐπέσταλται
2 δὲ τοῖς παρ' ἐμοῦ ποιεῖν ὅ τι ἂν σὺ κελεύῃς. ἀκούσας δὲ ὁ [2]
Κῦρος εἶπε, Κελεύω τοίνυν ὑμᾶς τοὺς μὲν ἄλλους μένοντας ἔνθα κατεσκηνώκατε φυλάττειν τὰ χρήματα καὶ ζῆν ὅπως ὑμῖν ἥδιστον· τρεῖς δέ μοι ἐλθόντες ὑμῶν εἰς τοὺς πολεμίους ὡς παρὰ τοῦ Ἰνδοῦ περὶ συμμαχίας, καὶ τἀκεῖ μαθόντες ὅ τι ἂν λέγωσί τε καὶ ποιῶσιν, ὡς τάχιστα ἀπαγγείλατε ἐμοί τε καὶ τῷ Ἰνδῷ· κἂν ταῦτά μοι καλῶς ὑπηρετήσητε, ἔτι μᾶλλον ὑμῖν χάριν εἴσομαι τούτου ἢ ὅτι χρήματα πάρεστε ἄγοντες. καὶ γὰρ οἱ μὲν δούλοις ἐοικότες κατάσκοποι οὐδὲν ἄλλο δύνανται εἰδότες ἀπαγγέλλειν ἢ ὅσα πάντες ἴσασιν· οἱ δὲ οἷοίπερ ὑμεῖς ἄνδρες πολλάκις
3 καὶ τὰ βουλευόμενα καταμανθάνουσιν. οἱ μὲν δὴ Ἰνδοὶ [3]
ἡδέως ἀκούσαντες καὶ ξενισθέντες τότε παρὰ Κύρῳ, συσκευασάμενοι τῇ ὑστεραίᾳ ἐπορεύοντο, ὑποσχόμενοι ἦ

55. ἄξων] ἅμα ἄξων D.G. mg. r. πύργους] ἵππους G. mg. r. εἶναι post σωτηρίαν τ' D. καὶ δ. εἶναι om. M. 1. ἀπήγγελον D. ἀπήγγειλον G. ἐπιστέλλοι D. ὅτι ἀπήγγειλας ὧν ἐδέου A. ὧν ἐδέου ὅτι ἀπήγγειλας G., sed μοι post ὅτι s. v. r. ὧν ἐδέου ἐπήγγειλας M. 2. δὲ om. D. ὑμᾶς om. Zonaras. μὲν om. D. εἰς] ἐς A.G. τἀκεῖ] Libri τὰ ἐκεῖ. ποιῶσιν] ποιήσωσιν A.G. κἂν] καὶ G., ἂν s. v. r. ὑπηρετήσατε G. corr. s. v. πάρεσται D. ἀπαγγέλειν A.D. οἷοί] τοιοῦτοι οἷοί D.G. mg. r. 3. δὴ om. G.M. ἀκ. ἡδέως D. ὑποσχόμενοι om. G.

55. ἀγωγὴν] Rationem curruum turritorum promovendorum. SCHN.

εὐδαιμονίαν quam dicat docent 7, 1, 10 extr. 5, 42, 79, 83; 8, 1, 10, 23, 24.

ἦλθον] 3, 3, 27.

2. οἷοίπερ ὑμεῖς] Vere dicitur legatus publice ad hostem missus et in castris ejus versatus magis idoneus esse ad explorandum hostilis exercitus statum atque adeo ad imperatoris consilia indaganda, quam speculator vulgaris sub servi persona latens. SCHN.

μὴν μαθόντες ὅσα ἂν δύνωνται πλεῖστα ἐκ τῶν πολεμίων
ἥξειν ὡς δυνατὸν τάχιστα.

4 Ὁ δὲ Κῦρος τά τε ἄλλα εἰς τὸν πόλεμον παρεσκευάζετο
μεγαλοπρεπῶς, ὡς δὴ ἀνὴρ οὐδὲν μικρὸν ἐπινοῶν πράτ-
τειν, ἐπεμέλετο δὲ οὐ μόνον ὧν ἔδοξε τοῖς συμμάχοις,
ἀλλὰ καὶ ἔριν ἐνέβαλλε πρὸς ἀλλήλους τοῖς φίλοις ὅπως
αὐτοὶ ἕκαστοι φανοῦνται καὶ εὐοπλότατοι καὶ ἱππικώτατοι
καὶ ἀκοντιστικώτατοι καὶ τοξικώτατοι καὶ φιλοπονώτατοι.
5 ταῦτα δὲ ἐξειργάζετο ἐπὶ τὰς θήρας ἐξάγων καὶ τιμῶν τοὺς
κρατίστους ἕκαστα· καὶ τοὺς ἄρχοντας δὲ οὓς ἑώρα ἐπιμε-
λομένους τούτου ὅπως οἱ αὐτῶν κράτιστοι ἔσονται στρα-
τιῶται, καὶ τούτους ἐπαινῶν τε παρώξυνε καὶ χαριζόμενος
6 αὐτοῖς ὅ τι δύναιτο. εἰ δέ ποτε θυσίαν ποιοῖτο καὶ ἑορτὴν
ἄγοι, καὶ ἐν ταύτῃ ὅσα πολέμου ἕνεκα μελετῶσιν ἄνθρω-
ποι πάντων τούτων ἀγῶνας ἐποίει καὶ ἆθλα τοῖς νικῶσι
μεγαλοπρεπῶς ἐδίδου, καὶ ἦν πολλὴ εὐθυμία ἐν τῷ στρα-
τεύματι.

7 Τῷ δὲ Κύρῳ σχεδόν τι ἤδη ἀποτετελεσμένα ἦν ὅσα [4]
ἐβούλετο ἔχων στρατεύεσθαι πλὴν τῶν μηχανῶν. καὶ γὰρ
οἱ Πέρσαι ἱππεῖς ἔκπλεῳ ἤδη ἦσαν εἰς τοὺς μυρίους, καὶ
τὰ ἅρματα τὰ δρεπανηφόρα, ἅ τε αὐτὸς κατεσκεύαζεν, ἔκ-
πλεω ἤδη ἦν εἰς τὰ ἑκατόν, ἅ τε Ἀβραδάτας ὁ Σούσιος
ἐπεχείρησε κατασκευάζειν ὅμοια τοῖς Κύρου, καὶ ταῦτα ἔκ-
8 πλεω ἦν εἰς ἄλλα ἑκατόν. καὶ τὰ Μηδικὰ δὲ ἅρματα ἐπε-
πείκει Κῦρος Κυαξάρην εἰς τὸν αὐτὸν τρόπον τοῦτον μετα-

δυνατὸν] ἂν δύνωνται D. 4. εἰς] πρὸς D. et omisso τε ἄλλα Zonaras. ὡς δὴ] ὥστε A.G. corr. s. v. r. σμικρὸν G.M. ὑπονῶον A.G. ἐπεμελεῖτο D.L. corr., ἐπιμελεῖσθαι G. pr. ἐπιελεῖσθαι A. ὧν om. A.G. mg. r. τῶν συμμάχων H. φανῶνται, ut videtur, G. pr., qui υ s. v. r. εὐοπλώτατοι D. τοῖς φίλοις om. A.G. mg. r. 5. δὲ om. A.G. ἐπὶ] τε add. G. ἑκασταχῇ D. G. mg. r. ἐπιμελουμένους D. τούτου] τούτους A. αὐτῶν Stephanus. αὐτοὶ A.G. αὐτοῦ D.G. s. v. r. μελετῶσιν] πολεμῶσιν D. corr. mg. r. 7. ὁπόσα D. ἱππῇς D. pr. ἔκπλεω L. ἔκπλεα A.D.G. ἀβραδάτης A.D.G. ἔκπλεω] Libri ἔκπλεα.

4. τά τε ἄλλα] Huic respondet ἐπεμέλετο δέ.

5. τοὺς κρατίστους ἕκαστα] 2, 1, 21: Οὗτοι κράτιστοι ἕκαστα γίγνονται.

6. ὅσα πολέμου] Conf. 1, 6, 18; 2, 1, 22, unde Onesander ea fere omnia elicuisse videtur quæ tradit c. 10. HUTCH.

7. ἔκπλεω] Recte jam Castalio constanter ἔκπλεω, ut postulat usus Xenophontis. Formæ novitiæ ἔκπλεα exempla attulimus ad Thes. Steph.

σκευάσαι ἐκ τῆς Τρωικῆς καὶ Λιβυκῆς διφρείας· καὶ ἔκπλεω καὶ ταῦτα ἦν εἰς ἄλλα ἑκατόν. καὶ ἐπὶ τὰς καμήλους δὲ τεταγμένοι ἦσαν ἄνδρες δύο ἐφ' ἑκάστην τοξόται. καὶ ὁ μὲν πλεῖστος στρατὸς οὕτως εἶχε τὴν γνώμην ὡς ἤδη παντελῶς κεκρατηκὼς καὶ οὐδὲν ὄντα τὰ τῶν πολεμίων.

9 Ἐπεὶ δὲ οὕτω διακειμένων ἦλθον οἱ Ἰνδοὶ ἐκ τῶν πολε- [5]
μίων οὓς ἐπεπόμφει Κῦρος ἐπὶ κατασκοπήν, καὶ ἔλεγον ὅτι Κροῖσος μὲν ἡγεμὼν καὶ στρατηγὸς πάντων ᾑρημένος εἴη τῶν πολεμίων, δεδογμένον δ' εἴη πᾶσι τοῖς συμμάχοις βασιλεῦσι πάσῃ τῇ δυνάμει ἕκαστον παρεῖναι, χρήματα δὲ εἰσφέρειν πάμπολλα, ταῦτα δὲ τελεῖν καὶ μισθουμένους
10 οὓς δύναιντο καὶ δωρουμένους οἷς δέοι, ἤδη δὲ καὶ μεμισθωμένους εἶναι πολλοὺς μὲν Θρᾳκῶν μαχαιροφόρους, Αἰγυπτίους δὲ προσπλεῖν· καὶ ἀριθμὸν ἔλεγον εἰς δώδεκα μυριάδας σὺν ἀσπίσι ποδήρεσι καὶ δόρασι μεγάλοις, οἵαπερ καὶ νῦν ἔχουσι, καὶ κοπίσι· προσέτι δὲ καὶ Κυπρίων στράτευμα· παρεῖναι δ' ἤδη Κίλικας πάντας καὶ Φρύγας ἀμφοτέρους καὶ Λυκάονας καὶ Παφλαγόνας καὶ Καππαδόκας καὶ Ἀραβίους καὶ Φοίνικας καὶ σὺν τῷ Βαβυλῶνος ἄρχοντι τοὺς Ἀσσυρίους, καὶ Ἴωνας δὲ καὶ Αἰολέας καὶ σχεδὸν πάντας τοὺς Ἕλληνας τοὺς ἐν τῇ Ἀσίᾳ ἐποικοῦν-

8. ἐς, ut videtur, A. Libri ἔκπλεα. 9. ἐπεὶ—πολεμίων D. mg. r. πεπόμφει A. εἴη τῶν] ἐπὶ τῶν A.G. πάσῃ τῇ] πᾶσι D. δέει D. 10. ποδήρεσι] ταῖς ποδήρεσι D. καὶ δόρασι om. A.G. mg. r. προσέτι προσπλεῖν D.G. s. v. r. κίλικας] καὶ κίλικας D. αἰολαίας D. ἀποικ. A. κατοικ. G.M.

8. Λιβυκῆς διφρείας] Est quæ supra 6,1, 27, ubi v. annot., Cyrenaica vocata fuit. SCHN.

9. ἐπεὶ δὲ] Absolvitur oratio s. 12.

οὕτω διακειμένων] Male Zonaras interpretatur: Οὕτω δὲ διατιθεμένων τῷ Κύρῳ τῶν τοῦ πολέμου. SCHN.

ἐπὶ κατασκοπὴν] V. ad Hist. Gr. 1, 4, 11. Dativo, ut hic nonnulli, Pausan. 7, 7, 7, Procop. 1, 17, p. 50 B.

τελεῖν] *Impendere*, ut 8, 1, 13, et alibi. V. Steph. v. Τελέω, p. 1983, B, C.

10. μαχαιροφόρους] Iisdem armis instructos habet Thuc. 2, 96, et 98; 7, 27, ἀκοντίοις alii pugnabant, ut Xenophon Comment. 3, 9, 1, narrat. Crœsi cum Amasi Ægyptiorum et Labyneto Assyriorum rege initam societatem belli adversus Cyrum narrat Herodotus 1, 77, qui c. 26, Græcos Asiam incolentes a Crœso victos testatur, et c. 69, 77, et 82, belli societatem a Crœso cum Lacedæmoniis initam refert. SCHN.

Αἰγυπτίους] σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσι de iisdem Ægyptiis est in Anabasi 1, 8, 9. SCHN. Maximus Tyr. Diss. 3 init.: Ἐπιόντος αὐτοῖς βαρβαρικοῦ στόλου, ἵππου Μηδικῆς, ἁρμάτων Περσικῶν, ἀσπίδων Αἰγυπτίων. HUTCH. V. infra 7, 1, 33.

10. ἐποικοῦντας] Al. κατοικοῦντας, sed ἔποικοι sunt coloni incolis adjuncti; hi ἐποικεῖν dicuntur, non κατοικεῖν. SCHN. Οἰκοῦντας 2, 1, 5, ubi D. item ἐποικοῦντας.

11 τας σὺν Κροίσῳ ἠναγκάσθαι ἕπεσθαι, πεπομφέναι δὲ
Κροῖσον καὶ εἰς Λακεδαίμονα περὶ συμμαχίας· συλλέ-
γεσθαι δὲ τὸ στράτευμα ἀμφὶ τὸν Πακτωλὸν ποταμόν,
προϊέναι δὲ μέλλειν αὐτοὺς εἰς Θύμβραρα, ἔνθα καὶ νῦν ὁ
σύλλογος τῶν ὑπὸ βασιλέα βαρβάρων τῶν κάτω Συρίας,
καὶ ἀγορὰν πᾶσι παρηγγέλθαι ἐνταῦθα κομίζειν· σχεδὸν
δὲ τούτοις ταὐτὰ ἔλεγον καὶ οἱ αἰχμάλωτοι· ἐπεμέλετο γὰρ
καὶ τούτου ὁ Κῦρος ὅπως ἁλίσκοιντο παρ' ὧν ἔμελλε πεύ-
σεσθαί τι· ἔπεμπε δὲ καὶ δούλοις ἐοικότας κατασκόπους ὡς
12 αὐτομόλους· ὡς οὖν ταῦτα ἤκουσεν ὁ στρατὸς τῷ Κύρῳ, [6]
ἐν φροντίδι ἐγένετο, ὥσπερ εἰκός, ἡσυχαίτεροί τε ἢ ὡς εἰώ-
θεσαν διεφοίτων, φαιδροί τε οὐ πάνυ ἐφαίνοντο, ἐκυκλοῦν-
τό τε καὶ μεστὰ ἦν πάντα ἀλλήλους ἐρωτώντων περὶ τού-
των καὶ διαλεγομένων.
13 Ὡς δὲ ᾔσθετο ὁ Κῦρος φόβον διαθέοντα ἐν τῇ στρατιᾷ,
συγκαλεῖ τούς τε ἄρχοντας τῶν στρατευμάτων καὶ πάντας
ὁπόσων ἀθυμούντων ἐδόκει βλάβη τις γίγνεσθαι καὶ προ-
θυμουμένων ὠφέλεια. προεῖπε δὲ τοῖς ὑπηρέταις, καὶ ἄλλος

11. θυμβραϊὰ A. θυμβραΐα G. θύβραρα D. καὶ om. D. τούτοις ταὐτὰ Juntina. τούτοις ταῦτα A.G. ταῦτα τούτοις D. ἐπεμελεῖτο A.G. παρ' om. G. 12. ἤκουσεν ταῦτα D. τοῦ κύρου D. Zonaras p. 159 B. ἐγίγνετο] τε ἕκαστος ἐγίγνετο D. ἡσυχαίτερον D. καὶ ἡσ. G. ἐώθεσαν A.G. pr. φαιδροί τε] φαιδροί τε οἱ πολλοί D. ἐκύκλουν τότε D. ἐλυποῦντό τε A.G. corr. mg. r. περὶ τ. post ἐρωτ. D. περὶ πάντων post ἐρωτ. A. post διαλ. G.M. 13. βλάβη ἐδόκει τις D. ἐδόκει τις βλάβη G.

ἠναγκάσθαι] Verum hic sequitur. Nam Græcos Asiam incolentes bello subactos vectigales factos esse a Crœso tradit Herodotus 1, 26 s. ZEUN.

11. Θύμβραρα] Si de loco pugnæ inter Assyrios et Cyrum commissæ constaret, situs loci Θύμβραρα definiri certius posset. Post pugnam enim sub vesperam castra Cyrus Thymbraris posuit 7, 1, 45. Hinc unius diei itinere profectus esse videtur et pervenisse Sardes, quo etiam cadaver Abradatæ in pugna occisi perlatum ab uxore curatur. Θύμβριον Anabas. 1, 2, 13, videtur diversum, quippe in Phrygia situm. SCHN. Steph. Byz.: Θύμβραρα, πόλις Ἀσίας τῷ Πακτωλῷ συνεχής, ὡς Ξενοφῶν. Τὸ ἐθνικὸν Θυμβραρεὺς ἔδει. Ξενοφῶν δὲ Θυμβραραῖός φησι. Quorum postrema epitomes potius videntur quam Stephani. Nullum enim gentile est apud Xenophontem. Loci illius nomen in Θυνναρο.. in inscriptione quadam latere putabat Lebas *Expédition scientifique de Morée* vol. 2, p. 77 s.

ἔνθα—ὁ σύλλογος] Similis locus Œcon. 4, 6: Καὶ πάντας ἅμα συνάγων —ἔνθα δὴ ὁ σύλλογος καλεῖται. quocum alii compararunt locum Hist. Gr. 5, 1, 10: Ἔνθα ἡ Τριπυργία καλεῖται. SCHN. Conf. autem Anab. 1, 9, 7.

12. ἐκυκλοῦντο] Anab. 6, 4, 20: Σχεδόν τι πᾶσα ἡ στρατιὰ διὰ τὸ μέλλειν ἅπασιν ἐκυκλοῦντο περὶ τὰ ἱερά. HUTCH.

ἡσυχαίτεροί τε—φαιδροί τε] Prius τε hæc nectit tum præcedentibus, quod qui ad sequens referret καὶ addidit corrector in G., ut Anab. 1, 8, 3, ubi v. annot.

εἴ τις βούλοιτο τῶν ὁπλοφόρων προσίστασθαι ἀκουσό-
μενος τῶν λόγων, μὴ κωλύειν. ἐπεὶ δὲ συνῆλθον, ἔλεξε
τοιάδε.
14 Ἄνδρες σύμμαχοι, ἐγὼ τοίνυν ὑμᾶς συνεκάλεσα ἰδών [7]
τινας ὑμῶν, ἐπεὶ αἱ ἀγγελίαι ἦλθον ἐκ τῶν πολεμίων,
πάνυ ἐοικότας πεφοβημένοις ἀνθρώποις. δοκεῖ γάρ μοι
θαυμαστὸν εἶναι εἴ τις ὑμῶν ὅτι μὲν οἱ πολέμιοι συλλέ-
γονται δέδοικεν, ὅτι δὲ ἡμεῖς πολὺ πλείους συνειλέγμεθα
νῦν ἢ ὅτε ἐνικῶμεν ἐκείνους, πολὺ δὲ ἄμεινον σὺν θεοῖς
παρεσκευάσμεθα νῦν ἢ πρόσθεν, ταῦτα δὲ ὁρῶντες οὐ θαρ-
15 ρεῖτε. ὦ πρὸς θεῶν, ἔφη, τί δῆτα ἂν ἐποιήσατε οἱ νῦν δε-
δοικότες, εἰ ἤγγελλόν τινες τὰ παρ' ἡμῖν νῦν ὄντα ταῦτα
ἀντίπαλα ἡμῖν προσιόντα, καὶ πρῶτον μὲν ἠκούετε, ἔφη,
ὅτι οἱ πρότερον νικήσαντες ἡμᾶς οὗτοι πάλιν ἔρχονται
ἔχοντες ἐν ταῖς ψυχαῖς ἣν τότε νίκην ἐκτήσαντο· ἔπειτα δὲ
οἱ τότε ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκρο-
βολίσεις νῦν οὗτοι ἔρχονται καὶ ἄλλοι ὅμοιοι τούτοις
16 πολλαπλάσιοι· ἔπειτα δὲ ὥσπερ οὗτοι ὁπλισάμενοι τοὺς
πεζοὺς τότ' ἐνίκων, νῦν οὕτω καὶ οἱ ἱππεῖς αὐτῶν παρε-
σκευασμένοι πρὸς τοὺς ἱππέας προσέρχονται, καὶ τὰ μὲν
τόξα καὶ ἀκόντια ἀποδεδοκιμάκασι, παλτὸν δὲ ἓν ἰσχυρὸν
ἕκαστος λαβὼν προσελαύνειν διανενόηται ὡς ἐκ χειρὸς τὴν
17 μάχην ποιησόμενος· ἔτι δὲ ἅρματα ἔρχεται, ἃ οὐχ οὕτως
ἑστήξει ὥσπερ πρόσθεν ἀπεστραμμένα ὡς εἰς φυγὴν,

προσίστασθαι C. προΐστασθαι A.D.G. 14. ξύμμαχοι G. τοίνυν] τοι D. συνεκάλεσα] συνέλεξα D. συλλέγονται] συλλέγεσθαι λέγονται D. λέγονται συλλέγεσθαι G. corr. r. πολὺ] μὲν add. D.G. s. v. r. θεῷ D. 15. Libri ὦ. ἤγγελον D. pr. ἡμῖν] ὑμῖν A. ἡμῖν πρ.] ὑμῖν πρ. D. ὅτι om. A. πρότερον H.M. πρότεροι A.G. corr. s. v. r. πρόσθεν μὲν D. ὑμᾶς A. τότε ν.] ποτε ν. A.G. ἀκροβολίσεις] ἀκροπόλεις A.G. s. v. r. ἄλλοι om. D. 16. οὕτως A.D. ἱππεῖς] ἱππῆς D. pr. ἀκοντίδια D. ἓν G. mg. r. ἰσχυρότερον D. 17. Libri ἑστήξεται. ἀποστραφέντα D. ὥσπερ εἰς A.G.

13. προσίστασθαι] Est in circulo exteriore adsistere concioni. SCHN.

15. οἱ τότε ἐκκόψαντες] 3, 3, 60.

16. παλτὸν] Infra est de his ipsis equitibus 7, 1, 2, παλτῷ κρανείνῳ ἑνὶ ἕκαστος. SCHN.

17. ἑστήξεται] Eadem forma Cyneg. 10, 9, quum ἀφεστήξει sit Anab. 2, 4, 5, ubi tamen meliores ἀποσταίη vel ἀποστῇ. Utroque loco ἑστήξει Elmslejus ad Aristoph. Ach. 590, ut Eurip. Iph. A. 675, ἑστήξεις pro ἑστήξῃ vel ἑστήξει, et Platoni τεθνήξει ex libris restitutum pro τεθνήξεται.

17. ἀπεστραμμένα — ἐλῶντες] De sententia v. ad 6, 1, 30. Verba δρέπανά τε — προσήρμοσται quasi parenthesin inseruit Xenophon, subjungens ἐλῶντες—ἐναντίων, quæ cum præcedentibus οἵ τε ἡνίοχοι — κράνεσι tantum coeunt, repugnant contra parenthesi. SCHN. Ὡς εἰς autem sic An. 1, 8, 23, etc.

ἀλλ᾽ οἵ τε ἵπποι εἰσὶ κατατεθωρακισμένοι οἱ ἐν τοῖς ἅρμα-
σιν, οἵ τε ἡνίοχοι ἐν πύργοις ἑστᾶσι ξυλίνοις τὰ ὑπερ-
έχοντα ἅπαντα συνεστεγασμένοι θώραξι καὶ κράνεσι, δρέ-
πανά τε σιδηρᾶ περὶ τοῖς ἄξοσι προσήρμοσται, ὡς ἐλῶν-
18 τες καὶ οὗτοι εὐθὺς εἰς τὰς τάξεις τῶν ἐναντίων· πρὸς δ᾽ ἔτι
κάμηλοι εἰσὶν αὐτοῖς ἐφ᾽ ὧν προσελῶσιν, ὧν μίαν ἑκάστην
ἑκατὸν ἵπποι οὐκ ἂν ἀνάσχοιντο ἰδόντες· ἔτι δὲ πύργους
προσίασιν ἔχοντες ἀφ᾽ ὧν τοῖς μὲν ἑαυτῶν ἀρήξουσιν,
ἡμᾶς δὲ βάλλοντες κωλύσουσι τοῖς ἐν τῷ ἰσοπέδῳ μά-
19 χεσθαι· εἰ δὴ ταῦτα ἀπήγγελλέ τις ὑμῖν ἐν τοῖς πολεμίοις
ὄντα, οἱ νῦν φοβούμενοι τί ἂν ἐποιήσατε; ὁπότε ἀπαγ-
γελλομένων ὑμῖν ὅτι Κροῖσος μὲν ᾕρηται τῶν πολεμίων
στρατηγὸς, ὃς τοσούτῳ Σύρων κακίων ἐγένετο ὅσῳ Σύροι
μὲν μάχῃ ἡττηθέντες ἔφυγον, Κροῖσος δὲ ἰδὼν ἡττημένους
20 ἀντὶ τοῦ ἀρήγειν τοῖς συμμάχοις φεύγων ᾤχετο· ἔπειτα δὲ
διαγγέλλεται δήπου ὅτι αὐτοὶ μὲν οἱ πολέμιοι οὐχ ἱκανοὶ
ἡγοῦνται ὑμῖν εἶναι μάχεσθαι, ἄλλους δὲ μισθοῦνται, ὡς
ἄμεινον μαχουμένους ὑπὲρ σφῶν ἢ αὐτοί. εἰ μέντοι τισὶ
ταῦτα μὲν τοιαῦτα ὄντα δεινὰ δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα
φαῦλα, τούτους ἐγώ φημι χρῆναι, ὦ ἄνδρες, ἀφεῖναι εἰς
τοὺς ἐναντίους· πολὺ γὰρ ἐκεῖ ὄντες πλείω ἂν ἡμᾶς ἢ
παρόντες ὠφελοῖεν.

21 Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Κῦρος, ἀνέστη Χρυσάντας ὁ [8]
Πέρσης καὶ ἔλεξεν ὧδε. Ὦ Κῦρε, μὴ θαύμαζε εἴ τινες
ἐσκυθρώπασαν ἀκούσαντες τῶν ἀγγελλομένων· οὐ γὰρ
φοβηθέντες οὕτω διετέθησαν, ἀλλ᾽ ἀχθεσθέντες· ὥσπερ
γε, ἔφη, εἴ τινων βουλομένων τε καὶ οἰομένων ἤδη ἀριστή-

οἱ ἐν] ἐν D. συνεστεγασμένα A. pr. -ναι corr. περὶ] πρὸς D. ἑλόντες G. 18. εἰσὶν] ἐν A.G. pr., corr. mg. r. ἂν om. A.G. ἔχ. προσιάσιν D. προσίασιν A. ὑμᾶς A.D. κωλύσουσι τοῖς] κωλύσουσιν D. 19. ἀπήγγειλε D. ἡμῖν A.G. ἐν τοῖς] αὐτοῖς A.G. ἀπαγγελομ. D. corr. s. v. r. ὑμῖν om. D. τῶν πολεμίων] τοῖς πολεμίοις D. ἡττημένους] συνηττημένους A.G. 20. δὲ] δὲ δὴ A.G. ἡμῖν D. μαχομένους A.D.G. pr. εἰ om. A.G., interpungentes post τισί. ἐναντίους] πολεμίους D. ἂν om. A.G. ἢ παρόντες ὠφελοῖεν] οἱ παρόντες ὠφελοῖεν A. ὠφελοῖεν ἢ παρόντες D. 21. δὲ om. D. μὴ] ἔφη μὴ D.

18. ἑκάστην] Conf. ad 7, 1, 27.

19. ἀπαγγελλομένων] Oratio incepta non continuatur, sed structura abrumpitur per ἀνακολουθίαν: quod genus varias habet excusationes. SCHN. Intelligendum ὁπότε φοβεῖσθε.

Σύροι] Syri sunt Assyrii, de quibus 4, 2, 31. SCHN.

Κροῖσος δὲ] 4, 1, 8; 2, 29.

σειν ἐξαγγελθείη τι ἔργον ὃ ἀνάγκη εἴη πρὸ τοῦ ἀρίστου
ἐξεργάσασθαι, οὐδεὶς ἄν, οἶμαι, ἡσθείη ἀκούσας· οὕτω τοί-
νυν καὶ ἡμεῖς ἤδη οἰόμενοι πλουτήσειν, ἐπεὶ ἠκούσαμεν ὅτι
ἐστὶ περίλοιπον ἔργον ὃ δεῖ ἐξεργάσασθαι, συνεσκυθρω-
πάσαμεν, οὐ φοβούμενοι, ἀλλὰ πεποιῆσθαι ἂν ἤδη καὶ
22 τοῦτο βουλόμενοι. ἀλλὰ γὰρ ἐπειδὴ οὐ περὶ Συρίας μόνον
ἀγωνιούμεθα, ὅπου σῖτος πολὺς καὶ πρόβατά ἐστι καὶ
φοίνικες οἱ καρποφόροι, ἀλλὰ καὶ περὶ Λυδίας, ἔνθα πολὺς
μὲν οἶνος, πολλὰ δὲ σῦκα, πολὺ δὲ ἔλαιον, θάλαττα δὲ
προσκλύζει καθ᾽ ἣν πλείω ἔρχεται ἢ ὅσα τις ἑόρακεν
ἀγαθά, ταῦτα, ἔφη, ἐννοούμενοι οὐκέτι ἀχθόμεθα, ἀλλὰ
θαρροῦμεν ὡς μάλιστα, ἵνα θᾶττον καὶ τούτων τῶν Λυδίων
ἀγαθῶν ἀπολαύωμεν. ὁ μὲν οὕτως εἶπεν· οἱ δὲ σύμμαχοι [9]
πάντες ἥσθησάν τε τῷ λόγῳ καὶ ἐπῄνεσαν.

23 Καὶ μὲν δή, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, δοκεῖ μοι ἰέναι ἐπ᾽
αὐτοὺς ὡς τάχιστα, ἵνα πρῶτον μὲν αὐτοὺς φθάσωμεν
ἀφικόμενοι, ἢν δυνώμεθα, ὅπου τἀπιτήδεια αὐτοῖς συλλέ-
γεται· ἔπειτα δὲ ὅσῳ ἂν θᾶττον ἴωμεν, τοσούτῳ μείω μὲν
24 τὰ παρόντα εὑρήσομεν αὐτοῖς, πλείω δὲ τὰ ἀπόντα. ἐγὼ
μὲν δὴ οὕτω λέγω· εἰ δέ τις ἄλλῃ πῃ γιγνώσκει ἢ ἀσφα-
λέστερον εἶναι ἢ ῥᾷον ἡμῖν, διδασκέτω. ἐπεὶ δὲ συνηγό-
ρευον μὲν πολλοὶ ὡς χρεὼν εἴη ὅτι τάχιστα πορεύεσθαι
ἐπὶ τοὺς πολεμίους, ἀντέλεγε δὲ οὐδείς, ἐκ τούτου δὴ ὁ
Κῦρος ἤρχετο λόγου τοιοῦδε.

25 Ἄνδρες σύμμαχοι, αἱ μὲν ψυχαὶ καὶ τὰ σώματα καὶ τὰ [10]

ἀπαγγελθείη D. τι om. D. ἤδη] τε A.G., qui ἤδη addit mg. r. ἀκούσας] τοῦτο add. D.G. s. v. r. ὅτι ἐστὶ] ἐστὶν D. περίλοιπον] τι λοιπὸν D. 22. ἐπεὶ D. Libri ἑώρακεν. ἀλλὰ] ἀλλά γε D. θαρροῦμεν ὡς μάλιστα *alii codices* Brodæi P. θαρρῶμεν ὡς τάχιστα A. et ου s. ω ponens r. G. θαρροῦντες ὡς τάχιστα D. τούτων om. D. ἀπολαύσωμεν D. 23. μοι] καὶ add. D.G. s. v. r. Libri τὰ ἐπιτήδεια. ἂν om. A.G. μείω μὲν] μειούμενα A.G. αὐτοῖς εὑρήσομεν D. 24. ἄλλῃ πῃ] ἄλλως πως D.G. s. v. r. διδ.—συνηγ. μὲν om. A. μὲν] ἡμῖν E. et, ut videtur, G. pr. 25. ξύμμαχοι G.

21. πεποιῆσθαι ἂν] Delendum videtur ἄν, ut 4, 2, 35, quod neque cum πεποιῆσθαι neque cum sequenti βουλόμενοι recte conjungitur.

22. περὶ Συρίας—ὅπου σῖτος] Confirmat Anab. 1, 4, 19; 5, 10. ZEUN.

φοίνικες οἱ καρποφόροι] V. ad Anab. 2, 3, 15. In Græcia autem fructus non maturescebant. Plut. Mor. p. 723 C.

περὶ Λυδίας] Conf. Herodot. 1, 71. ZEUN. De Assyria 1, 193.

τῶν Λυδίων ἀγαθῶν] Idem adj. Anab. 1, 5, 6: Ἐν τῇ Λυδίᾳ ἀγορᾷ ἐν τῷ Κύρου βαρβαρικῷ. ZEUN.

ὡς χρεὼν εἴη] H. Gr. 7, 1, 28: Λεγόντων ὡς χρεὼν εἴη. Synesius p. 3 B; 96 B; et ubi εἶναι pro εἴη C.

ὅπλα οἷς δεήσει χρῆσθαι ἐκ πολλοῦ ἡμῖν σὺν θεῷ παρεσκεύασται· νῦν δὲ τἀπιτήδεια δεῖ εἰς τὴν ὁδὸν συσκευάζεσθαι αὐτοῖς τε ἡμῖν καὶ ὁπόσοις τετράποσι χρώμεθα μὴ μεῖον ἢ εἴκοσιν ἡμερῶν. ἐγὼ γὰρ λογιζόμενος εὑρίσκω πλειόνων ἢ πεντεκαίδεκα ἡμερῶν ἐσομένην ὁδὸν, ἐν ᾗ οὐδὲν εὑρήσομεν τῶν ἐπιτηδείων· ἀνεσκεύασται γὰρ τὰ μὲν ὑφ'
26 ἡμῶν, τὰ δὲ ὑπὸ τῶν πολεμίων ὅσα ἐδύναντο. συσκευάζεσθαι οὖν χρὴ σῖτον μὲν ἱκανόν· ἄνευ γὰρ τούτου οὔτε μάχεσθαι οὔτε ζῆν δυναίμεθ' ἄν· οἶνον δὲ τοσοῦτον ἕκαστον ἔχειν χρὴ ὅσος ἱκανὸς ἔσται ἐθίσαι ἡμᾶς αὐτοὺς ὑδροποτεῖν· πολλὴ γὰρ ἔσται τῆς ὁδοῦ ἄοινος, εἰς ἣν οὐδ'
27 ἂν πάνυ πολὺν οἶνον συσκευασώμεθα, διαρκέσει. ὡς οὖν μὴ ἐξαπίνης ἄοινοι γενόμενοι νοσήμασι περιπίπτωμεν, ὧδε χρὴ ποιεῖν· ἐπὶ μὲν τῷ σίτῳ νῦν εὐθὺς ἀρχώμεθα πίνειν ὕδωρ· τοῦτο γὰρ ἤδη ποιοῦντες οὐ πολὺ μεταβαλοῦμεν. [11]
28 καὶ γὰρ ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μᾶζαν ἐσθίει, καὶ ὅστις ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον, καὶ τὰ ἑφθὰ δὲ πάντα μεθ' ὕδατος τοῦ πλείστου

δεήσοι G. Libri τὰ ἐπιτήδεια. δεῖ om. A. ἐγὼ—ἡμερῶν om. A.G. mg. r. πλειόνων P. πλεόνων D. πλέον ὂν G.M. ἠδύναντο A.G. 26. σκευάζεσθαι γὰρ χρὴ τὸ ἱκανόν A. σκευάζεσθαι (sed s. v. r. συ, tum in ras. r. οὖν σῖτον μὲν), ἱκανὸν χρὴ G. χρὴ ἔχειν ἕκαστον D. ὅσος ἱκανὸς] ἐν ὅσῳ ἱκανόν D. ἐστιν D. Suidas v. Συσκ. νῦν om. A.G. mg. r. ἀρχόμεθα G. 28. καὶ ὅστις] ὅστις δὲ Suidas v. Ἀλφιτοσ. et Ἀρτοσ., ὅστις v. Μᾶζα. ὕδατι—ἀρτοσιτεῖ G. mg. r. μάζαν A.D.G.

25. ἀνεσκεύασται] Anab. 6, 2, 8: Τὴν ἀγορὰν εἴσω ἀνεσκεύασαν. Suidas cognatum ἀποσκευάζειν per ἀποτίθεσθαι interpretatur. SCHN.

26. ὑδροποτεῖν] Atticum ὑδροπωτεῖν. V. s. 29, et Steph. Thes.

27. νοσήμασι] Conf. Hippocr. Aphor. 2, 51, Celsi 1, 3. ZEUN.

ἐπὶ μὲν τῷ σίτῳ νῦν εὐθὺς] Quærendum quid sit ἐπὶ τῷ σίτῳ: quid deinceps μετὰ τὸν σῖτον: quid denique μετὰ τὸ δεῖπνον. Formula ἐπὶ τῷ σίτῳ reperitur Cyrop. 1, 2, 11: Ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ. Supra 5, 2, 17, erat ἐν σίτῳ ὢν, et paullo post ἐν τῷ σίτῳ φρόνιμοι καὶ μέτριοι φαίνεσθαι. ubi codd. ἐπὶ σίτῳ. Diversa signif. est Comment. 3, 14, 2: Ἐσθίουσι πάντες ἐπὶ τῷ σίτῳ ὄψον. Est enim panis, ut sequens τὸ μὲν ὄψον οὐκ ἐπαύσατο ἐσθίων, ἄρτον δὲ προσέλαβεν docet. Igitur qui initio τοῦ μὲν σίτου πεπαυμένος, τὸ δὲ ὄψον αὐτὸ καθ' ἑαυτὸ ἐσθίων, est qui panem sumere ad carnem desierat. Hic vero σῖτος aperte cœnam ipsam significat, ut adjecta vocabula μᾶζα et ἄρτος demonstrant. μετὰ τὸν σῖτον tempus signant, ubi bellaria et mensa secunda apponitur. ὁ μετὰ τὸ δεῖπνον scilicet οἶνος dicitur, qui alibi solenni vocabulo πότος appellatur, ubi vinum merum bibitur. Sic est Comment. 1, 3, 5: Ἐπὶ τὸν σῖτον ἰέναι, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι, ποτὸν δὲ πᾶν ἡδὺ ἦν. Eodem fere modo Homerus Il. Λ, 629, κρόμυον dixit ἐπὶ ποτῷ ὄψον. quem locum interpretatus Xenophon Conv. 4, 8, ait: Εἰ δὴ τοῦτο καίμε τὰ δεῖπνον τρωξόμεθα. Delendum τὸ existimo, uti supra 5, 5, 39, est ὅσον χρόνον σχολὴν πρὸ δείπνου ἦγεν. Anab. 7, 4, 3: Τὸ ὕδωρ, ὃ ἐφέρετο ἐπὶ δεῖπνον. SCHN.

28. τοῦ πλείστου] τὰ πλεῖστα ex Polluce 10, 16, Schneiderus, ut De-

ἐσκεύασται. μετὰ δὲ τὸν σῖτον ἂν οἶνον ἐπιπίνωμεν, οὐδὲν
29 μεῖον ἔχουσα ἡ ψυχὴ ἀναπαύσεται. ἔπειτα δὲ καὶ τοῦ μετὰ
δεῖπνον ἀφαιρεῖν χρή, ἕως ἂν λάθωμεν ὑδροπόται γενό-
μενοι. ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν
ὑποφέρειν τὰς μεταβολάς· διδάσκει δὲ καὶ ὁ θεὸς, ἀπάγων
ἡμᾶς κατὰ μικρὸν ἐκ τοῦ χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ
θάλπη ἔκ τε τοῦ θάλπους εἰς τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ
μιμουμένους εἰς ὃ δεῖ ἐλθεῖν προειθισμένους ἡμᾶς ἀφικνεῖ-
30 σθαι. καὶ τὸ τῶν στρωμάτων δὲ βάρος εἰς τἀπιτήδεια
καταδαπανᾶτε· τὰ μὲν γὰρ ἐπιτήδεια περιττεύοντα οὐκ
ἄχρηστα ἔσται· στρωμάτων δὲ ἐνδεηθέντες μὴ δείσητε ὡς
οὐχ ἡδέως καθευδήσετε· εἰ δὲ μή, ἐμὲ αἰτιᾶσθε. ἐσθὴς
μέντοι ὅτῳ ἐστὶν ἀφθονωτέρα παροῦσα, πολλὰ καὶ ὑγιαί-
31 νοντι καὶ κάμνοντι ἐπικουρεῖ. ὄψα δὲ χρὴ συνεσκευάσθαι
ὅσα ἐστὶν ὀξέα καὶ δριμέα καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ
σῖτόν τε ἄγει καὶ ἐπὶ πλεῖστον ἀρκεῖ. ὅταν δ' ἐκβαίνωμεν
εἰς ἀκέραια, ὅπου ἤδη εἰκὸς ἡμᾶς σῖτον λαμβάνειν, χειρο-
μύλας χρὴ αὐτόθεν παρασκευάσασθαι αἷς σιτοποιησόμεθα·
32 τοῦτο γὰρ κουφότατον τῶν σιτοποιικῶν ὀργάνων. συνε-
σκευάσθαι δὲ χρὴ καὶ ὧν ἀσθενοῦντες δέονται ἄνθρωποι·

ἂν] εἰ A.G. 29. δεῖπνον] τὸ δεῖπνον D. ἀφαιρεῖν] ὃ ἀφαιρεῖν D. ἕως] ἔστ' D. ἔσται G. mg. r. μάθωμεν A.G. corr. mg. r. ὑδρωπόται A. σμικρὸν G. μετάλλαξις D. Stob. Fl. 101, 25, citans ἡ γὰρ—ἀφικνεῖσθαι. ποιεῖ] μεταποιεῖ D. ἀπαγαγὼν D. ἐκ] ἔκ τε D. Stob. ἔκ τε] καὶ ἐκ D. Stob. ὃν] οὗ D. δεῖ ἐλθεῖν] διελθεῖν G. 30. τὰ ἐπιτ. D. ἐσθὴς] εὐθὺς D. ὑγιαίοντι A. 31. χρὴ] ἃ χρὴ A.G. συσκευάζεσθαι D. ὀξέα] ὀξέα ἐπὶ πλεῖστον D.G. mg. r. ἡμᾶς εἰκὸς ἤδη D. σίτου D. χειρομύλας] μύλας D. χειρομύλους A. et cum *a* s. *ου* r.G. χρὴ om. et παρασκευάσασθε A.G.

mosthenes p. 986, 15: Διοικητῶν καὶ μαρτύρων καὶ πάντων τῶν πλείστων, et Latini *pleraque omnia*. Supra 5, 5, 39: Πᾶς δέ τις ὡς ἐπὶ τὸ πολὺ ἕν γέ τι ὧν εἰλήφει ἐδωρεῖτο αὐτῷ.

29. ἀπάγων] Deus hominem docet, quotquot anni decurrunt, tempestates cœlique mutationes paulatim sensimque afferens et sanitati corporis nostri adtemperans. Conf. Comment. 4, 3, 9. SCHN. Dio Chr. vol. 1, p. 127. VALCK.

30. στρωμάτων] Conf. Anab. 3, 2, 28. ZEUN.

μὴ δείσητε ὡς] Aristoph. Equit. 112: Δέδοιχ' ὅπως μὴ τεύξομαι δαίμονος κακοδαίμονος. Pluti 200: Δέδοικα, ὅπως ἐγὼ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ ἔχειν με, ταύτης δεσπότης γενήσομαι. Supra 5, 2, 12, est μὴ φοβοῦ, ὡς ἀπορήσεις. SCHN.

31. ἐπὶ σῖτον ἄγει] Hæc si philosophiæ studiosis, non militibus, præciperentur, a disciplina Socratis Xenophon descivisse dici poterat Weiskio, qui comparat Comment. 1, 3, 6. SCHN.

ἀρκεῖ] *Durant.* Thucyd. 1, 71: Τούτοις τῶν ἀνθρώπων τὴν ἡσυχίαν ἐπὶ πλεῖστον ἀρκεῖν. SCHN.

ἀκέραια] Sc. χωρία, loca hostium incursionibus intacta. SCHN.

32. Nisi perfecti ducis et ad minimarum etiam rerum curam se demit-

τούτων γὰρ ὁ μὲν ὄγκος μικρότατος, ἢν δὲ τύχη τοιαύτη γένηται, μάλιστα δεήσει. ἔχειν δὲ χρὴ καὶ ἱμάντας· τὰ γὰρ πλεῖστα καὶ ἀνθρώποις καὶ ἵπποις ἱμᾶσιν ἤρτηται· ὧν κατατριβομένων καὶ ῥηγνυμένων ἀνάγκη ἀργεῖν, ἢν μή τις ἔχῃ περίζυγα. ὅστις δὲ πεπαίδευται καὶ παλτὸν ξύσασθαι,
33 ἀγαθὸν καὶ ξυήλης μὴ ἐπιλαθέσθαι. ἀγαθὸν δὲ καὶ ῥίνην φέρεσθαι· ὁ γὰρ λόγχην ἀκονῶν ἐκεῖνος καὶ τὴν ψυχήν τι παρακονᾷ. ἔπεστι γάρ τις αἰσχύνη λόγχην ἀκονῶντα κακὸν εἶναι. ἔχειν δὲ χρὴ καὶ ξύλα περίπλεα καὶ ἅρμασι καὶ ἁμάξαις· ἐν γὰρ πολλαῖς πράξεσι πολλὰ ἀνάγκη καὶ τὰ
34 ἀπαγορεύοντα εἶναι. ἔχειν δὲ δεῖ καὶ τὰ ἀναγκαιότατα ὄργανα ἐπὶ ταῦτα πάντα· οὐ γὰρ πανταχοῦ χειροτέχναι παραγίγνονται· τὸ δ' ἐφ' ἡμέραν ἀρκέσον ὀλίγοι τινὲς οἳ οὐχ ἱκανοὶ ποιῆσαι. ἔχειν δὲ χρὴ καὶ ἄμην καὶ σμινύην καθ' ἅμαξαν ἑκάστην, καὶ κατὰ τὸν νωτοφόρον δὲ ἀξίνην καὶ δρέπανον· ταῦτα γὰρ καὶ ἰδίᾳ ἑκάστῳ χρήσιμα καὶ
35 ὑπὲρ τοῦ κοινοῦ πολλάκις ὠφέλιμα γίγνεται. τὰ μὲν οὖν

32. ἐδέησεῖν D. δεήσει et ἐ et εν s. v. r. G. ἐδέησεν M. τοιαύτη] τοιάδε G. mg. r. τριβομένων D. Suidas v. Περίζυγα. καταρρηγνυμένων D. ἐπιλάθεσθαι D. 33. ῥίνη] Pollux 7, 113. τι om. D. ἁμάξαις A.G. πολλὰ] πολλὴ D.G. corr. s. v. r. 34. ἀπανταχοῦ D. καθ' D. κατὰ A.G. τὸν] τὸ edd. vet., ad quod de M. tacet Valck. om. D. Pollux 2, 180: Καὶ παρὰ Ξενοφῶντι νωτοφόρος ἡμίονος καὶ ὄνος. χρήσιμα ἑκάστῳ D. ὠφέλημα G.

tentis exemplar proponere in Cyro Xenophon voluisse videretur, poterat sane hæc tanta minutiarum cura imperatore indigna, certe minor videri. Contra Weiskio pleraque jocularia et fere ridicula nonnulla videbantur, quorum curam Cyrus hic habendam præcipiat. SCHN.

ἤρτηται] Hipparch. 8, 4: Χρὴ δὲ, ἐπείπερ χαλινοὶ καὶ ἐφίππια ἐξ ἱμάντων ἠρτημένα ἐστὶ, μήποτε τὸν ἵππαρχον τούτων ἔρημον εἶναι.

περίζυγα] περιττὰ sensum postulare vidit Zeunius; quæ notio in vocabulo περίζυγος quomodo inesse possit, exemplis vocabulorum περίεργος, περιλαλεῖν appositis docere conatus est Weiskius. Hesychio περίζυξ est ὁμόζυγος et σύζυγος: alibi vocabulum non exstat. Equidem posui, quod locus Aristotelis Polit. 2, 3, 6, confirmabit facile, ubi παράζυγας vocat, qui in republica Platonis definitum civium numerum, quibus suæ possessiones jam assignatæ sunt, excedunt, περιγενόμενοι, quam vocem ante Gifanium ibi Perionius comparavit in Annot. ad versionem p. 542, ed. Basil. anni 1544, qui verum vidit vocabuli sensum; tentavit tamen idem quod Gifanius, περίζυγας scribens. SCHN. Qui male Παράζυγας. Non explicat Suidas. Dicitur ut περίπλεα s. 33.

33. ὁ ἀκονῶν ἐκεῖνος] V. ad 6, 1, 17.

περίπλεα] Esse videtur pro ὑπέρπλεα, idemque quod περιττά. SCHN. Rectius autem περίπλεω.

ἀπαγορεύοντα] Sunt ea, quæ in ipso usu paulatim deficiunt. SCHN.

34. ὄργανα] Similia de Lacedæmoniis Reip. Lac. 11, 2.

ὀλίγοι τινὲς οἳ οὐχ ἱκανοὶ] Hoc dicit, quemvis etiam qui non sit exercitatus instrumentis instructum sarcire defecta in diem posse.

τὸν] τὸ si verum, ut videtur, dicitur ut τὰ σκευοφόρα.

εἰς τροφὴν δέοντα οἱ ἡγεμόνες τῶν ὁπλοφόρων ἐξετάζετε
τοὺς ὑφ' ὑμῖν αὐτοῖς· οὐ γὰρ δεῖ παριέναι ὅτου ἄν τις τού-
των δέηται· ἡμεῖς γὰρ τούτων ἐνδεεῖς ἐσόμεθα. ἃ δὲ κατὰ
τὰ ὑποζύγια κελεύω ἔχειν, ὑμεῖς οἱ τῶν σκευοφόρων ἄρ-
χοντες ἐξετάζετε, καὶ τὸν μὴ ἔχοντα κατασκευάζεσθαι
36 ἀναγκάζετε. ὑμεῖς δ' αὖ οἱ τῶν ὁδοποιῶν ἄρχοντες ἔχετε
μὲν ἀπογεγραμμένους παρ' ἐμοῦ τοὺς ἀποδεδοκιμασμένους
καὶ τοὺς ἐκ τῶν ἀκοντιστῶν καὶ τοὺς ἐκ τῶν τοξοτῶν καὶ
τοὺς ἐκ τῶν σφενδονητῶν· τούτων δὲ χρὴ τοὺς μὲν ἀπὸ
τῶν ἀκοντιστῶν πέλεκυν ἔχοντας ξυλοκόπον ἀναγκάζειν
στρατεύεσθαι, τοὺς δ' ἀπὸ τῶν τοξοτῶν σμινύην, τοὺς δ'
ἀπὸ τῶν σφενδονητῶν ἄμην· τούτους δ' ἔχοντας ταῦτα
πρὸ τῶν ἁμαξῶν κατ' ἴλας πορεύεσθαι, ὅπως ἤν τι δέῃ
ὁδοποιίας, εὐθὺς ἐνεργοὶ ἦτε, καὶ ἐγὼ ἤν τι δέωμαι, ὅπως
37 εἰδῶ ὅθεν δεῖ λαβόντα τούτοις χρῆσθαι. ἄξω δὲ καὶ τοὺς
ἐν τῇ στρατιωτικῇ ἡλικίᾳ σὺν τοῖς ὀργάνοις χαλκέας τε
καὶ τέκτονας καὶ σκυτοτόμους, ὅπως ἄν τι δέῃ καὶ τοιού-
των τεχνῶν ἐν τῇ στρατιᾷ, μηδὲν ἐλλείπηται. οὗτοι δὲ

ὑφ'] ἐφ' A. ἡμῖν G. οὐ] εἰ A.G. pr. παρεῖναι A. et, ut videtur, G. pr. ἐνδέηται D. γὰρ om. A.G. s. v. r. ἃ δὲ κατὰ] ὅσα δὲ καὶ D. 36. ὁδοποιῶν] ὁδῶν D. corr. mg. ead. m. καὶ τοὺς ἐκ τῶν τοξοτῶν] καὶ τοξοτῶν D. ἐκ] ἀπὸ D. ἀπὸ τῶν] ἀπὸ A.G. pr. δὲ] οὖν mg. r. G. χρὴ om. A.G. mg. r. ξυλοτόμον A. ξυτόμον et λο s. v. r. G. πέλεκυς ξυλοκόπος Pollux 7, 113. δ' ἀπὸ τῶν τ. Stephanus. δὲ τῶν τ. A.G. δ' ἐκ τῶν τ. D. τῶν σφ.] σφ. A.M. ἅμην D. ἀμαξῶν A.G. ἴλλας A.G. ἐνεργοίητε D. δεῖ] δὴ D. pr. 37. τε καὶ] καὶ D. ἄν τι δέῃ] ὁπόσα ἂν δέηται D. ἐλλείπηται Castalio. ἐλλίπηται A.G. λίπηται D.

35. δέοντα] Necessaria ad victum; sequitur enim ὅσα δὲ κελεύω ἔχειν. SCHN.

36. ἀποδεδοκιμασμένους] Hæreo in hoc verbo; nam validos eligi debere et electos fuisse apparet. Ad militiam vero minus idoneos credere oportet eos, qui ἀποδεδοκιμασμένοι vocantur. An fortasse præpositio aliena est censenda? Infra s. 37, est οὗτοι ὁπλοφόρου τάξεως ἀπολελύσονται. SCHN. Ita hic ἀποδεδοκιμασμένοι.

37. ἐλλείπηται] Duo præter hunc loci sunt Xenophontis, ubi verbum hoc forma hac usurpatum legitur. Comment. 2, 6, 5: Φιλόνεικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας; sed ibi est pro ἀπολείπεσθαι. Ita Plato Sophistæ p. 258 B: Οὐδενὸς τῶν ἄλλων οὐσίας ἐλλειπόμενόν ἐστι τὸ μὴ ὄν. quæ Heindorfius vertit: *nullius ceterorum οὐσίαν non assequitur.* Ficinus: *nihilominus quam ceterorum quidquam essentiam habet.* Alter est de Equit. 3, 8: Πολλοὶ γὰρ — διὰ τὸ ἄπειροι εἶναι τούτων ἐλλείπονται. Præcessit autem τὸν μὴ καλῶς πάνυ ταῦτα ποιοῦντα, idem significans, quod hic ἐλλείπεσθαι. Nam τούτων potest etiam ad vocabulum ἄπειροι referri. Sed neuter horum locorum similis est nostro, ubi *deesse* significat verbum ἐλλείπεσθαι, quod potius ex usu Xenophonteo ἐλλείπειν dicendum erat. SCHN. Rarioris passivi exempla nonnulla v. in Thes. Steph. p. 765 B.

ὁπλοφόρου μὲν τάξεως ἀπολελύσονται, ἃ δὲ ἐπίστανται, τῷ βουλομένῳ μισθοῦ ὑπηρετοῦντες ἐν τῷ τεταγμένῳ
38 ἔσονται. ἢν δέ τις καὶ ἔμπορος βούληται ἕπεσθαι πωλεῖν τι βουλόμενος, τῶν μὲν προειρημένων ἡμερῶν τἀπιτήδεια ἔχειν ἤν τι πωλῶν ἁλίσκηται, πάντων στερήσεται· ἐπειδὰν δ' αὗται παρέλθωσιν αἱ ἡμέραι, πωλήσει ὅπως ἂν βούληται. ὅστις δ' ἂν τῶν ἐμπόρων πλείστην ἀγορὰν παρέχων φαίνηται, οὗτος καὶ παρὰ τῶν συμμάχων καὶ παρ' ἐμοῦ
39 δώρων καὶ τιμῆς τεύξεται. εἰ δέ τις χρημάτων προσδεῖσθαι νομίζει εἰς ἐμπολὴν, γνωστῆρας ἐμοὶ προσαγαγὼν καὶ ἐγγυητὰς ἦ μὴν πορεύεσθαι σὺν τῇ στρατιᾷ, λαμβανέτω ὧν ἡμεῖς ἔχομεν. ἐγὼ μὲν δὴ ταῦτα προαγορεύω· εἰ δέ τίς τι
40 καὶ ἄλλο δέον ἐνορᾷ, πρὸς ἐμὲ σημαινέτω. καὶ ὑμεῖς μὲν ἀπιόντες συσκευάζεσθε, ἐγὼ δὲ θύσομαι ἐπὶ τῇ ὁρμῇ· ὅταν δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ, σημανοῦμεν. παρεῖναι δὲ χρὴ ἅπαντας τὰ προειρημένα ἔχοντας εἰς τὴν τεταγμένην χώραν
41 πρὸς τοὺς ἡγεμόνας ἑαυτῶν. ὑμεῖς δὲ οἱ ἡγεμόνες τὴν ἑαυτοῦ ἕκαστος τάξιν εὐτρεπισάμενος πρὸς ἐμὲ πάντες συμβάλλετε, ἵνα τὰς ἑαυτῶν ἕκαστοι χώρας καταμάθητε.

ἀπολελαύσονται A. ἀπολύσονται G. corr. 38. Libri τὰ ἐπιτήδεια. ἤν τι Camerarius. Libri ἢν δέ τι. τι] τις G. τις E. τι r. δ' om. A.G. ὅπως] δ' ὅπως A. ξυμμάχων G. καὶ τιμῆς om. D. 39. προσάγων D. ἐγγύους D. σὺν] ἐν M. στρατείᾳ A.G. προσαγορεύω A.G. pr. ὁρᾷ D. 40. θύωμαι D. 41. συμβαλεῖται D. συμβαλεῖτε G. s. v. r. καταλάβητε G. s. v. r.

ἐν τῷ τεταγμένῳ] In certo et his constituto loco, ut recte Brodæus. SCHN. Inscr. Attica apud Boeckh. Œcon. Athen. vol. 2, p. 749, 46 ed. alt.: Φυλάττοντες τὴν σφετέραν αὐτῶν ἐν τῷ τεταγμένῳ ὄντων. Aristid. vol. 1, p. 525: Εἴπερ οἱ πολλοὶ παρέξουσιν ἑαυτοὺς ἐν τῷ τεταγμένῳ, δεῖ τοὺς ἡγουμένους αὐτοῦ τούτου πρῶτον αὐτοὺς ἡγεῖσθαι.

38. πωλεῖν τι βουλόμενος] Hæc ineptum glossatorem arguunt, aut ex vera scriptura vitio librariorum orta sunt. SCHN.

τῶν προειρημένων ἡμερῶν τἀπιτήδεια ἔχειν] i. e. ὧν vel εἰς ἃς προείρηται τὰ ἐπιτήδεια ἔχειν. Hist. Gr. 7, 1, 28: Ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος ὃς εἰρημένος ἦν παραμένειν.

39. εἰς ἐμπολὴν] De coemendo dictum notat Pollux 3, 127: Ξ. δὲ καὶ τὴν ἐμπολὴν ἐπὶ τοῦ ἀγοράζειν ἔταξεν.

γνωστῆρας] Vulgo sua ætate γνωστὰς dici monet Mœris p. 116. Conf. Hemst. ad Pollucis 9, 151. Sunt qui Latine cognitores dicuntur apud Ciceronem, de quibus Clavis Ciceroniana Ernestii poterit comparari. SCHN. De forma v. ad H. Gr. 4, 8, 39. Tum πορεύεσθαι Steph., ut solent in talibus libri fallere.

40. ἑαυτῶν] τοὺς ἑαυτῶν aut ἑαυτῶν ἡγεμόνας exspectes.

ΚΕΦ. Γ.

Ἀκούσαντες δὲ ταῦτα οἱ μὲν συνεσκευάζοντο, ὁ δὲ
Κῦρος ἐθύετο. ἐπεὶ δὲ καλὰ τὰ ἱερὰ ἦν, ὡρμᾶτο σὺν τῷ
στρατεύματι· καὶ τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐξεστρατοπεδεύ-
σατο ὡς δυνατὸν ἐγγύτατα, ὅπως εἴ τίς τι ἐπιλελησμένος
εἴη, μετέλθοι, καὶ εἴ τίς τι ἐνδεόμενος γνοίη, τοῦτο ἐπιπα-
2 ρασκευάσαιτο. Κυαξάρης μὲν οὖν τῶν Μήδων ἔχων τὸ
τρίτον μέρος κατέμενεν, ὡς μηδὲ τὰ οἴκοι ἔρημα εἴη. ὁ δὲ
Κῦρος ἐπορεύετο ὡς ἐδύνατο τάχιστα, τοὺς ἱππέας μὲν
πρώτους ἔχων, καὶ πρὸ τούτων διερευνητὰς καὶ σκοποὺς
ἀεὶ ἀναβιβάζων ἐπὶ τὰ πρόσθεν εὐσκοπώτατα· μετὰ δὲ
τούτους ἦγε τὰ σκευοφόρα, ὅπου μὲν πεδινὸν εἴη, πολλοὺς
ὁρμαθοὺς ποιούμενος τῶν ἁμαξῶν καὶ τῶν σκευοφόρων·
ὄπισθεν δὲ ἡ φάλαγξ ἐφεπομένη, εἴ τι τῶν σκευοφόρων
ὑπολείποιτο, οἱ προστυγχάνοντες τῶν ἀρχόντων ἐπεμέ-
3 λοντο ὡς μὴ κωλύοιντο πορεύεσθαι. ὅπου δὲ στενωτέρα [2]
εἴη ἡ ὁδὸς, διὰ μέσου ποιούμενοι τὰ σκευοφόρα ἔνθεν καὶ
ἔνθεν ἐπορεύοντο οἱ ὁπλοφόροι· καὶ εἴ τι ἐμποδίζοι, οἱ
κατὰ ταῦτα γιγνόμενοι τῶν στρατιωτῶν ἐπεμέλοντο. ἐπο-

1. ὁ δὲ κῦρος] ὁ δ' D. ἐστρατοπεδεύσατο D. ἐδύνατο D. τοῦτο] τοῦτο καὶ D. 2. κατέμεινεν D. ἠδύνατο A.G. ἐπορεύετο post ἠδύνατο G. αἰεὶ A.D.G. πεδίον D. ὁρμάθους A.G. pr. ἀμαξῶν A.G. ὄπισθεν—σκευοφόρων om. A.G. mg. r. φάλαξ D. corr. s. v. r., ut mox προστυχ. ὑπολείποιτο] εἴ τῳ ὑπολείποιτο A.G. pr. ἐπιμέλοντο A. ἐπεμέλλοντο G. κωλύοιεν D.G. s. v. r. 3. ὅποι A.G. στενοτέρα A.D.G. ἡ om. D. ἐμποδίζοι, οἱ] ἐμποδίζοιτο D. αὖ γιγν. D.

1. τι ἐνδεόμενος] Suspectum mihi est τι ἐνδεόμενος pro τινὸς ἐνδεόμενος. Nam et 6, 2, 35 dixit ὅπου ἂν τις ἐνδέηται τούτων· ita enim in quibusdam libris scriptum est, non δέηται· et sequitur, ἡμεῖς γὰρ τούτων ἐνδεεῖς ἐσόμεθα. Sic et 4, 19, εἰ δέ τινος ἔτι ἐνδεῖσθαι δοκεῖτε. Ut autem hic mendose legitur τι ἐνδεόμενος pro τινὸς ἐνδεόμενος, sic et illic perperam Flor. editio habet τι ἐνδεῖσθαι et ibidem οὐδὲν ἀπορήσομεν pro τινὸς ἐνδεῖσθαι et οὐδενὸς ἀπορήσομεν, ut in Aldina quoque editione legitur. STEPH.

2. πρόσθεν] Vocabulum equidem non desiderabam. SCHN.

μετὰ δὲ τούτους ἦγε] Conf. de hoc itinere Scriptt. rei milit. ed. Turic. vol. 2, p. 288.

ὄπισθεν—ἐφεπομένη] Sequi debebat ἐπεμέλετο, ὡς μὴ, Xenophon tamen maluit οἱ προστυγχάνοντες τῶν ἀρχόντων ἐπεμέλοντο. SCHN. V. 5, 4, 34.

3. στενωτέρα] In formis per ο et ω ita ludunt librarii ut iidem libri qui hic ο, in ω consentiant 2, 4, 3. Sed recentioribus relinquendæ formæ illæ vitiosæ, quas recentissimi ulterius depravarunt in στεινότερος vel στεινότατος, ut apud Photium Bibl. p. 39, 16 ed. Bekk.

ρεύοντο δὲ ὡς τὰ πολλὰ αἱ τάξεις παρ' ἑαυταῖς ἔχουσαι τὰ
σκευοφόρα· ἐπετέτακτο γὰρ πᾶσι τοῖς σκευοφόροις κατὰ
τὴν ἑαυτοῦ ἕκαστον τάξιν ἰέναι, εἰ μή τι ἀναγκαῖον ἀποκω-
4 λύοι. καὶ σημεῖον δὲ ἔχων ὁ τοῦ ταξιάρχου σκευοφόρος
ἡγεῖτο γνωστὸν τοῖς τῆς ἑαυτοῦ τάξεως· ὥστ' ἀθρόοι ἐπο-
ρεύοντο, ἐπεμέλοντό τε ἰσχυρῶς ἕκαστος τῶν ἑαυτοῦ ὡς
μὴ ὑπολείποιντο. καὶ οὕτω ποιούντων οὔτε ζητεῖν ἔδει
ἀλλήλους ἅμα τε παρόντα ἅπαντα καὶ σαώτερα ἦν καὶ
θᾶττον τὰ δέοντα εἶχον οἱ στρατιῶται.
5 Ὡς δὲ οἱ προϊόντες σκοποὶ ἔδοξαν ἐν τῷ πεδίῳ ὁρᾶν [3]
ἀνθρώπους λαμβάνοντας καὶ χιλὸν καὶ ξύλα, καὶ ὑποζύγια
δὲ ἑώρων ἕτερα τοιαῦτα ἄγοντα, τὰ δὲ καὶ νεμόμενα, καὶ
τὰ πρόσω αὖ ἐφορῶντες ἐδόκουν καταμανθάνειν μετεωριζό-
μενον καπνὸν ἢ κονιορτόν, ἐκ τούτων πάντων σχεδὸν ἐγί-
γνωσκον ὅτι εἴη που πλησίον τὸ στράτευμα τῶν πολεμίων.
6 εὐθὺς οὖν πέμπει τινὰ ὁ σκόπαρχος ἀγγελοῦντα ταῦτα τῷ
Κύρῳ. ὁ δὲ ἀκούσας ταῦτα ἐκείνους μὲν ἐκέλευσε μένοντας
ἐπὶ ταύταις ταῖς σκοπαῖς ὅ τι ἂν ἀεὶ καινὸν ὁρῶσιν ἐξαγ-
γέλλειν· τάξιν δ' ἔπεμψεν ἱππέων εἰς τὸ πρόσθεν καὶ ἐκέ-
λευσε πειραθῆναι συλλαβεῖν τινας τῶν ἀνὰ τὸ πεδίον ἀν-
θρώπων, ὅπως σαφέστερον μάθοιεν τὸ ὄν. οἱ μὲν δὴ [4]
7 ταχθέντες τοῦτο ἔπραττον. αὐτὸς δὲ τὸ ἄλλο στράτευμα

ἐπετέτακτο γὰρ om. D. *ἑαυτῶν ἑκάστου* A. et qui *ἕκαστον* s. v. r. G. *ἑαυτοῦ ἑκάστου* D. *ἀποκωλύσειεν* D. 4. *ὁ* post *ταξιάρχου* D. *ἑαυτοῦ*] *ἑαυτῶν* A.G. *ὥστε ἀθρόοι τε* D. Libri *ἐπεμελοῦντο*. *ἕκαστοι* A.D.G. pr. *ὑπολείποιντο* Juntina. *ὑπολίποιντο* A.D.G. *σωότερα* D. 5. *ὡς δὲ οἱ προϊόντες*] *οἱ δ' οὖν προσιόντες* D. *τὰ δὲ*] *τά τε* A.G. *ἀφορῶντες* D. *καπνὸν*] *ἢ καπνὸν* D.G. s. v. r. *ἁπάντων* D. *σχεδὸν* om. D. *που* om. D. 6. *τινα ὁ σκοπάρχης* (*σκόπαρχος* E.) A.G. *ὁ σκοπάρχης τινὰ* D. *αἰεὶ* D. *ἐξαγγέλειν* D.

5. *ἕτερα τοιαῦτα*] Camerarius interpretatur: *videbantur videre aliquos arripientes pabulum et ligna, cernebantque jumenta et quæ illa ducerent et quæ pascerentur.* Aperte libri sui scripturam expressit, sed *ἕτερα ταῦτα* reddidisse videtur. SCHN.

6. *σκόπαρχος*] Illatum in libros plerosque *σκοπάρχης* suspectum facit quicquid hujusmodi formarum superest apud Xenophontem, velut *κωμάρχης*, quæ forma sublata apud Pollucem 9, 11, ubi *καὶ κωμάρχης* additum in deterioribus, ut in omnibus 6, 165, *τριττυάρχης* inter composita cum *τρι*, quibuscum nihil commune habet, quod *τριττύαρχος* scripturus fuisset Pollux, ut 8, 109, ne dicam de *ἐνωμοτάρχης* aut aliis, quæ ipsæ librorum varietates ostendunt nullius esse fidei.

ἀκούσας ταῦτα] Non infrequens apud Xenophontem moleste repetitum *ταῦτα*, quod in talibus modo addunt modo omittunt meliores.

αὐτοῦ κατεχώριζεν, ὅπως παρασκευάσαιντο ὅσα ᾤετο χρῆναι πρὶν πάνυ ὁμοῦ εἶναι. καὶ πρῶτον μὲν ἀριστᾶν παρηγγύησεν, ἔπειτα δὲ μένοντας ἐν ταῖς τάξεσι τὸ πα-
8 ραγγελλόμενον προνοεῖν· ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσε καὶ ἱππέων καὶ πεζῶν καὶ ἁρμάτων ἡγεμόνας, καὶ τῶν μηχανῶν δὲ καὶ τῶν σκευοφόρων τοὺς ἄρχοντας καὶ τῶν ἀρ-
9 μαμαξῶν· καὶ οὗτοι μὲν συνῆσαν. οἱ δὲ καταδραμόντες εἰς τὸ πεδίον συλλαβόντες ἀνθρώπους ἤγαγον· οἱ δὲ συλληφθέντες ἀνερωτώμενοι ὑπὸ τοῦ Κύρου ἔλεγον ὅτι ἀπὸ τοῦ στρατοπέδου εἶεν, προεληλυθότες ἐπὶ χιλὸν, οἱ δ' ἐπὶ ξύλα, παρελθόντες τὰς προφυλακάς· διὰ γὰρ τὸ πλῆθος
10 τοῦ στρατοῦ σπάνια πάντ' εἶναι. καὶ ὁ Κῦρος ταῦτα [5]
ἀκούσας, Πόσον δὲ, ἔφη, ἄπεστιν ἐνθένδε τὸ στράτευμα; οἱ δ' ἔλεγον ὅτι ὡς δύο παρασάγγας. ἐπὶ τούτοις ἤρετο ὁ Κῦρος, Ἡμῶν δ', ἔφη, λόγος τις ἦν παρ' αὐτοῖς; Ναὶ μὰ Δί', ἔφασαν, καὶ πολύς γε ὡς ἐγγὺς ἤδη εἴητε προσιόντες. Τί οὖν; ἔφη ὁ Κῦρος, ἦ καὶ ἔχαιρον ἀκούοντες ἰόντας; τοῦτο δὲ ἐπήρετο τῶν παρόντων ἕνεκα. Οὐ μὰ Δί', εἶπον ἐκεῖνοι, οὐ μὲν δὴ ἔχαιρον, ἀλλὰ καὶ μάλα ἠνι-
11 ῶντο. Νῦν δ', ἔφη ὁ Κῦρος, τί ποιοῦσιν; Ἐκτάττονται, ἔφασαν· καὶ ἐχθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ

7. *παρεσκευάσαντο* D. *παριστᾶν* G. pr. *παρεγγύησεν* G. *προσνοεῖν* A.G. 8. *ἠρίστησαν*] *ί* in lit. G. *τοὺς ἡγεμόνας* D. Libri *συνήεσαν.* 9. *ληφθέντες* D. *προεληλύθοιεν δ' ἐπὶ* D. *παρελθόντες*] *προελθόντες* A. *προσελθόντες* G. corr. s. v. r. 10. *ὅτι* om. D. Zonaras p. 159 C. *οἱ δὲ ὡς δύο π. εἶπον* Suidas v. *Παρασ.* *προσάγγας* D. pr. *τούτοις*] *τούτων* D. *λόγοις* A. *ἔφησαν* A.G. corr. s. v. r. *ἤδη* G. mg. r. *εἴητε* Heindorfius. *ἦτε* A.D.G. Zonaras. *ἦ καὶ* om. D. *ἰόντας* om. D. *τοῦτο δὲ*] *ὁ δὲ τοῦτ'* D. *δὴ*] *δή γε* A. *δὴ καὶ* G. *ἀλλὰ* om. D. *χθὲς* G.

7. *τὸ παραγγελλόμενον προνοεῖν*] Sic 4, 1, 6. SCHN.

9. *οἱ δ'*] V. ad 5, 2, 5. SCHN.

10. *οὐ μὲν δή γ'*] Conf. 1, 6, 9; 2, 2, 22, et 5, 5, 18. Horum locorum alter huic plane similis est: *Οὐ μὲν δὴ, ἀλλὰ τοῦτό γε ψευδόμενος ἑάλωκα.* ubi codd. *ἀλλὰ καὶ τοῦτο ψευδόμενος.* Conv. 4, 52: *Μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή· ἀλλὰ καὶ δέδοικα.* Sed Œcon. 13, 5, plane est *οὐ μὲν δὴ ἄξιόν γε τὸ πρᾶγμα καταγέλωτος.* SCHN. Sed *δή γε* valde suspectum apud antiquiores.

εἴητε] Librorum scriptura *ἦτε* conservata videtur forma *εἶτε*, quæ pariter atque *εἶμεν* pro *εἴημεν*, *εἶεν* pro *εἴησαν*, Xenophonti aliisque Atticis constanter reddenda, ut dicetur ad 7, 1, 42.

11. *τρίτην ἡμέραν*] Zonaras Lex. p. 1745, de formula hac agens citat: *Χθὲς καὶ τρίτην ἡμέραν ταὐτὸ τοῦτ' ἔπραττον,* ostenditque quæ sit fides librorum Xenophontis in crasi et apostropho. Forma *χθὲς* in omnibus est 7, 5, 43, et Anab. 6, 4, 18, et Attica perhibetur a grammaticis ad Steph. Thes. citatis: sed *ἐχθὲς* omnes infra 7, 5, 53, aliique Attici ibidem memorati. De formula v. Schneider. ad 5, 3, 27.

τοῦτο ἔπραττον. Ὁ δὲ τάττων, ἔφη ὁ Κῦρος, τίς ἐστιν; οἱ δὲ ἔφασαν, Αὐτός τε Κροῖσος καὶ σὺν αὐτῷ Ἕλλην τις ἀνὴρ, καὶ ἄλλος δέ τις Μῆδος· οὗτος μέντοι ἐλέγετο φυγὰς εἶναι παρ' ὑμῶν. καὶ ὁ Κῦρος εἶπεν, Ἀλλ', ὦ Ζεῦ μέγιστε, λαβεῖν μοι γένοιτο αὐτὸν ὡς ἐγὼ βούλομαι.

12 Ἐκ τούτου τοὺς μὲν αἰχμαλώτους ἀπάγειν ἐκέλευσεν, [6] εἰς δὲ τοὺς παρόντας ὡς λέξων τι ἀνήγετο. ἐν τούτῳ δὲ παρῆν ἄλλος αὖ ἀπὸ τοῦ σκοπάρχου, λέγων ὅτι ἱππέων τάξις μεγάλη ἐν τῷ πεδίῳ προφαίνοιτο· καὶ ἡμεῖς μὲν, ἔφη, εἰκάζομεν ἐλαύνειν αὐτοὺς βουλομένους ἰδεῖν τόδε τὸ στράτευμα. καὶ γὰρ πρὸ τῆς τάξεως ταύτης ἄλλοι ὡς τριάκοντα ἱππεῖς συχνὸν προελαύνουσι, καὶ μέντοι, ἔφη, κατ' αὐτοὺς ἡμᾶς, ἴσως βουλόμενοι λαβεῖν, ἢν δύνωνται, τὴν σκοπήν· ἡμεῖς δ' ἐσμὲν μία δεκὰς οἱ ἐπὶ ταύτης τῆς
13 σκοπῆς. καὶ ὁ Κῦρος ἐκέλευσε τῶν περὶ αὐτὸν ἀεὶ ὄντων ἱππέων ἐλάσαντας ὑπὸ τὴν σκοπὴν ἀδήλους τοῖς πολεμίοις ἀτρεμίαν ἔχειν. Ὅταν δ', ἔφη, ἡ δεκὰς ἡ ἡμετέρα λείπῃ τὴν σκοπὴν, ἐξαναστάντες ἐπίθεσθε τοῖς ἀναβαίνουσιν ἐπὶ τὴν σκοπήν. ὡς δὲ ὑμᾶς μὴ λυπῶσιν οἱ ἀπὸ τῆς μεγάλης τάξεως, ἀντέξελθε σὺ, ἔφη, ὦ Ὑστάσπα, τὴν χιλιοστὺν τῶν ἱππέων λαβὼν καὶ ἐπιφάνηθι ἐναντίος τῇ τῶν πολεμίων τάξει. διώξει δὲ οὐδαμῇ εἰς ἀφανὲς, ἀλλ' ὅπως αἱ

ὁ κῦρος] κῦρος A.G. ἀλλ' ὦ] ἀλλὰ D. 12. ἐκέλευσεν ἀπάγειν D. αὖ G. mg. r. ταύτης om. D. ἔφη om. D. συχνοὶ G. προελαύνουσι Stephanus. προσελαύνουσι A.D.G. κατ'] καὶ A.G. μία δεκὰς ἐπὶ ταύτῃ τῇ σκοπῇ D. οἱ] ἡ A.G. 13. ἐκέλσε G. pr. αἰεὶ D. ἐξαναστάντας—σκοπὴν om. D. δὲ om. D. ἀντεξέλθετε ἔφη A.G. σὺ om. M. χιλιοστὴν A.G. ἀντίος D. Libri διώξεις. οὐδαμοῖ A. μηδαμῇ D.

12. ἀνήγετο] Plato Charmid. p. 155 D: Ἐνέβλεψέ τε μοι καὶ ἀνήγετο ὡς ἐρωτήσων. Eryx. p. 392 D: Ὁρῶν αὐτὸν ἀναγόμενον ὡς ἀδολεσχήσοντα. Lucian. Lexiph. c. 15: Ἀνηγόμην ὡς ἀρχαιολογήσων, tanquam de navigante.

συχνὸν] Anab. 1, 8, 10: Ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων. SCHN. Alia v. ad Thes. Steph.

13. διώξεις] Supra 1, 3, 14, est διώξει. Similiter 4, 1, 19, et 4, 3, 18. Cyneg. 12, 4. SCHN. Sed Anab. 1, 4, 8: Ἀλλὰ μὰ τοὺς θεοὺς οὐκ ἔγωγε αὐτοὺς διώξω. Demosth. p. 989, 11. Nihilominus hic scripsi διώξει.

ἐναντίος] ἀντίος Junt. et Ald., ut sæpe meliores in Cyropædia et Anabasi ἀντίος præbent pro ἐναντίος, semel etiam ἀντιοῦσθαι supra 4, 2, 39 pro ἐναντιοῦσθαι, ut apud Thuc. 2, 40, ἠντιώμεθα pro ἠναντιώμεθα legebat Hesychius v. Ἤντησε. Quod ego illic non magis admittendum duxi quam 4, 3, 18, ἀντίον pro ἐναντίον. Thucydides enim ne ἀντίος quidem dixit, ut Xenophon et Tragici, ἐναντιοῦσθαι autem ipse pariter atque Xenophon toties ut mirum foret si uterque semel dixisset ἀντιοῦσθαι, ut Æschylus, et plerumque, nisi semper, Herodotus.

οὐδαμῇ] Forma οὐδαμοῖ est in libris nonnullis minus bonis Anab. 7, 6, 29: Μηδαμῇ κατ ὀλίγους ἀποσκεδαννυμέ-

σκοπαί σοι διαμένωσιν ἐπιμεληθεὶς πάριθι. ἢν δ' ἄρα ανα-
τείναντές τινες τὰς δεξιὰς προσελαύνωσιν ὑμῖν, δέχεσθε
φιλίως τοὺς ἄνδρας.
14 Ὁ μὲν δὴ Ὑστάσπας ἀπιὼν ὡπλίζετο· οἱ δ' ὑπηρέται [7]
ἤλαυνον εὐθὺς ὡς ἐκέλευσεν. ἀπαντᾷ δ' αὐτοῖς καὶ δὴ
ἐντὸς τῶν σκοπῶν σὺν τοῖς θεράπουσιν, ὁ πεμφθεὶς πάλαι
15 κατάσκοπος, ὁ φύλαξ τῆς Σουσίδος γυναικός. ὁ μὲν οὖν
Κῦρος ὡς ἤκουσεν, ἀναπηδήσας ἐκ τῆς ἕδρας ὑπήντα τε
αὐτῷ καὶ ἐδεξιοῦτο· οἱ δὲ ἄλλοι ὥσπερ εἰκὸς μηδὲν εἰδότες
ἐκπεπληγμένοι ἦσαν τῷ πράγματι, ἕως ὁ Κῦρος εἶπεν,
Ἄνδρες φίλοι, ἥκει ἡμῖν ἀνὴρ ἄριστος. νῦν γὰρ ἤδη
πάντας ἀνθρώπους δεῖ εἰδέναι τὰ τούτου ἔργα. οὗτος οὔτε
αἰσχροῦ ἡττηθεὶς οὐδενὸς ᾤχετο οὔτ' ἐμὲ φοβηθείς, ἀλλ' ὑπ'
ἐμοῦ πεμφθείς, ὅπως ἡμῖν μαθὼν τὰ τῶν πολεμίων σαφῶς
16 τὰ ὄντα ἐξαγγείλειεν. ἃ μὲν οὖν ἐγώ σοι ὑπεσχόμην, ὦ
Ἀράσπα, μέμνημαί τε καὶ ἀποδώσω σὺν τούτοις πᾶσι.
δίκαιον δὲ καὶ ὑμᾶς ἅπαντας, ὦ ἄνδρες, τοῦτον τιμᾶν ὡς
ἀγαθὸν ἄνδρα· ἐπὶ γὰρ τῷ ἡμετέρῳ ἀγαθῷ καὶ ἐκινδύνευσε
17 καὶ αἰτίαν ὑπέσχεν, ᾗ ἐβαρύνετο. ἐκ τούτου δὴ πάντες [8]
ἠσπάζοντο τὸν Ἀράσπαν καὶ ἐδεξιοῦντο. εἰπόντος δὲ
Κύρου ὅτι τούτων μὲν τοίνυν εἴη ἅλις, Ἃ δὲ καιρὸς ἡμῖν
εἰδέναι, ταῦτ', ἔφη, διηγοῦ, ὦ Ἀράσπα· καὶ μηδὲν ἔλαττον
τοῦ ἀληθοῦς μηδὲ μεῖον τὰ τῶν πολεμίων. κρεῖττον γὰρ

διαμένουσιν D. corr. s. v. ead. m. ἐπιμεληθεὶς] ἐπι s. v. et μ r. G. ἂν D. ἀνατείνοντες τὰς D. ὑμῖν τινες D. δέχεσθαι A. φίλως D.G. s. v. r. 14. ὑστάσπης G. κέλευσεν D. pr. ἀράσπας post σκοπῶν add. G. mg. r. ὁ ἀράσπας δηλαδὴ Zonaras p. 159 D. ὁ φύλαξ Budæus. ἡ φύλαξ A.G. φύλαξ D. 15. ἤκουσεν] εἶδεν D.G. corr. r. ὑπήντα] ἠπήντα B. pr. ὁ om. A.G. pr. οὐδενὸς om. D. 16. δὲ] γὰρ D.G. s. v. r. 17. ἅλις εἴη D. δὲ καιρὸς—εἰδέναι] ἃ δ' ὁ ἑταῖρος —εἶδεν A.G. pr., qui corr. r. δ' ὁ καιρὸς—εἰδέναι. ἐλάττου] ἐλασσοῦ A.G. μείου D., omissis mox μηδὲ μείου. Suidas v. Μείου citat Κῦρος ἔφη πρὸς Ἀράσπαν τὸν κατάσκοπον, μηδὲν ἐλάσσου τἀληθοῦς μηδὲ μείου τὰ τῶν π. κρεῖσσον—εὑρίσκειν. κρεῖττον] κροῖσσος A.

νους. V. ad Steph. Thes. v. Οὐδαμοῖ. Sed hic præstat οὐδαμῇ. Tum διαμενοῦσιν Schneiderus, ut ὑγιανεῖς 1, 6, 16. Præsens bis Hipparch. 1, 3.

17. εἰπόντος—ἔφη] V. ad H. Gr. 4, 8, 9.

τοῦ ἀληθοῦς] τἀληθοῦς, ut Suidas v. Μείου, scripsisse videtur Xenophon, etsi crasis hujus exempla apud recentiores non raræ nulla sunt apud Thucydidem aut Platonem, quorum libri etiam τὸ et τὰ sæpe præbent ubi haud dubie τἀληθὲς et τἀληθῆ scripserunt illi pariter atque Xenophon.

μηδὲ μείου] Satis est probabile orta esse ex dittographia, verbo rariori μείου cum ἐλάττου confuso, ut alterum alteri substituunt scriptores cum

μείζω οἰηθέντας μείονα ἰδεῖν ἢ μείω ἀκούσαντας ἰσχυρότερα
18 εὑρίσκειν. Καὶ μὴν, ἔφη ὁ Ἀράσπας, ὡς ἂν ἀσφα-
λέστατά γε εἰδείην ὁπόσον τὸ στράτευμά ἐστιν ἐποίουν·
συνεξέταττον γὰρ παρὼν αὐτοῖς. Σὺ μὲν ἄρα, ἔφη ὁ
Κῦρος, οὐ τὸ πλῆθος μόνον οἶσθα, ἀλλὰ καὶ τὴν τάξιν
αὐτῶν; Ἐγὼ μὲν ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, καὶ ὡς
διανοοῦνται τὴν μάχην ποιεῖσθαι. Ἀλλ' ὅμως, ἔφη ὁ
Κῦρος, τὸ πλῆθος ἡμῖν πρῶτον εἰπὲ ἐν κεφαλαίῳ.
19 Ἐκεῖνοι τοίνυν, ἔφη, πάντες τεταγμένοι ἐπὶ τριάκοντα τὸ
βάθος καὶ πεζοὶ καὶ ἱππεῖς πλὴν τῶν Αἰγυπτίων ἐπέχουσιν
ἀμφὶ τὰ τετταράκοντα στάδια· πάνυ γάρ μοι, ἔφη, ἐμέ-
20 λησεν ὥστε εἰδέναι ὁπόσον κατεῖχον χωρίον. Οἱ δ' Αἰ- [9]
γύπτιοι, ἔφη ὁ Κῦρος, πῶς εἰσι τεταγμένοι; ὅτι εἶπας
Πλὴν τῶν Αἰγυπτίων. Τούτους δὲ οἱ μυρίαρχοι ἔταττον
εἰς ἑκατὸν πανταχῇ τὴν μυριοστὺν ἑκάστην· τοῦτον γὰρ
σφίσι καὶ οἴκοι νόμον ἔφασαν εἶναι τῶν τάξεων. καὶ ὁ
Κροῖσος μέντοι μάλα ἄκων συνεχώρησεν αὐτοῖς οὕτω τάτ-
τεσθαι· ἐβούλετο γὰρ ὅτι πλεῖστον ὑπερφαλαγγῆσαι τοῦ
σοῦ στρατεύματος. Πρὸς τί δὴ, ἔφη ὁ Κῦρος, τοῦτο ἐπι-
θυμῶν; Ὡς ναὶ μὰ Δί', ἔφη, τῷ περιττῷ κυκλωσόμενος·
καὶ ὁ Κῦρος εἶπεν, Ἀλλ' οὗτοι ἂν εἰδεῖεν εἰ οἱ κυκλούμενοι [10]

μείζω] μείζονα D. ἰσχυρότερα] μείζονα G. mg. r. 18. ὡς σαφέστατά γ' ἂν εἰδείην ἃ ἐποίουν D. σαφε super ἀσφ G. r. ξυνεξ. A.G. αὐτούς D. ἄρα] γὰρ A.G. οἶσθας A.G. pr. διανοοῦντα A. 19. ἐπὶ] εἰσὶν ἐπὶ A.G. ἐπέχουσιν] ἔχουσιν D. οὗτοι δ' ἀμφέχουσιν A.G. pr. οὗτοι δ' ἀπέχουσιν G. corr. κατεῖχον G. s. v. r. κατεῖχε A.G. κ̄ρ (in fine versus) τεῖ, i. e. κρατεῖ, D. 20. ὁ om. G. κῦρος] κῦρος. εἰπὲ D. μυρίαρχοι E. μυριάρχαι A.D.G. μυριωστὴν A.G. οἴκοι νόμον] οἰκονόμον D.G. mg. r. ἔφασαν] ἔθεσαν A.G. μέντοι] μὲν D. πλείστω D. ὑπερφαλαγγίσαι D. οἱ om. D.

Xen. Hist. Gr. 3, 4, 9: Μειοῦν μὲν ἄρα σύγε τοὺς φίλους ἠπίστω, collati in annot.

ἐπέχουσιν] Varietates in libris peperit non infrequens confusio præpositionum ἀμφὶ et ἐπὶ, cujus exempla sunt infra 7, 1, 1; 3, 2, Anab. 4, 1, 5. Numerum autem hostium Cyro conjiciendum relinquit Araspas e spatio quod acies tantæ quantæ dixerat altitudinis occuparet. De vulgata scriptura recte Schneiderus: "Mihi locus vitiosus videtur, gemino argumento pronominis οὗτοι, quod aperte præcedenti ἐκεῖνοι oppositum ad Ægyptios referri debebat, sed non potest: spatium enim stadiorum quadraginta exercitus Ægyptiorum occupare non potuit solus. Deinde ἀπέχουσι nullo modo potest locum verbi ἐπέχουσι obtinere. Jam nihil melius succurrit quam ex indiciis D. scribere πάντες τεταγμένοι ἐπὶ τρ. τὸ βάθος καὶ πεζοὶ καὶ ἱππεῖς πλὴν τῶν Αἰγυπτίων ἐπέχουσιν ἀμφὶ etc." Jam Camerarius: "Est illud ἔχουσιν, ἐπέχουσιν."

20. οὗτοι ἂν εἰδεῖεν] Recte Heindorfius interpretatur: *At hi cognoscent, an qui cingunt cingi possint.* Qui frequens est formulæ illius usus in

21 κυκλωθεῖεν. ἀλλ' ἃ μὲν παρὰ σοῦ καιρὸς μαθεῖν, ἀκηκόαμεν· ὑμᾶς δὲ χρή, ὦ ἄνδρες, οὕτω ποιεῖν· νῦν μὲν ἐπειδὰν ἐνθένδε ἀπέλθητε, ἐπισκέψασθε καὶ τὰ τῶν ἵππων καὶ τὰ ὑμῶν αὐτῶν ὅπλα· πολλάκις γὰρ μικροῦ ἐνδείᾳ καὶ ἀνὴρ καὶ ἵππος καὶ ἅρμα ἀχρεῖον γίγνεται· αὔριον δὲ πρῲ, ἕως ἂν ἐγὼ θύωμαι, πρῶτον μὲν χρὴ ἀριστῆσαι καὶ ἄνδρας καὶ ἵππους, ὅπως ὅ τι ἂν πράττειν ἀεὶ καιρὸς ᾖ μὴ τούτου ἡμῖν ἐνδέῃ· ἔπειτα δὲ σύ, ἔφη, ὦ Ἀράσπα, τὸ δεξιὸν κέρας ἔχε ὥσπερ καὶ ἔχεις, καὶ οἱ ἄλλοι μυρίαρχοι ᾗπερ νῦν ἔχετε· ὁμοῦ δὲ τοῦ ἀγῶνος ὄντος οὐδενὶ ἅρματι καιρὸς ἵππους μεταζευγνύναι. παραγγείλατε δὲ τοῖς ταξιάρχοις καὶ λοχαγοῖς ἐπὶ φάλαγγος καθίστασθαι εἰς δύο ἔχοντας ἕκαστον τὸν λόχον. ὁ δὲ λόχος ἦν ἕκαστος εἴκοσι τέτταρες.

22 Καί τις εἶπε τῶν μυριάρχων, Καὶ δοκοῦμέν σοι, ἔφη, ὦ [11] Κῦρε, ἱκανῶς ἕξειν εἰς τοσούτους τεταγμένοι πρὸς οὕτω βαθεῖαν φάλαγγα; καὶ ὁ Κῦρος εἶπεν, Αἱ δὲ βαθύτεραι φάλαγγες ἢ ὡς ἐξικνεῖσθαι τοῖς ὅπλοις τῶν ἐναντίων τί σοι, ἔφη, δοκοῦσιν ἢ τοὺς πολεμίους βλάπτειν ἢ τοὺς

21. καιρὸς om. D. οὕτως A. ἐνθένδεν, ut videtur, G. pr. τὰ ὑμῶν] ὑμῶν D. πολλάκις γὰρ] ὡς πολλάκις D. ἀληθῶς hic mg. r. G. Libri πρωί. ὅπως ὅ τι] ὅ τι δ' A.G. pr. ἂν om. D. ἡμῖν] μῖν A.G. pr. μὲν] γε D. ᾖ] εἴη D. καὶ ἔχεις] κατέχεις D. μυριάρχοι A.L. ἐμοῦ A. δὲ] γὰρ D. τοὺς ἵππους D. τοῖς om. D. λόχος] λόχος τί hic mg. r. G. 22. ἔφη om. D. εἰς τοσούτους] ὡς τοσούτου D. τεταγμένους A.G. corr. s. v. r. οὕτω] οὕτω τεταγμένοι D. ἢ om. A.G. pr. δοκοῦσιν ἔφη D.

comminando, ut Soph. Œd. Col. 882: Τά γ' οὐ τελεῖ.—Ζεὺς ταῦτ' ἂν εἰδείη, σὺ δ' οὔ.

21. Ἀράσπα] Hæc verba Araspæ modo redeunti ex hostium castris non convenire ratus Ἀρίσβα conjecit, quicunque memoratum a Leonclavio nomen reperit. Nec alibi Araspas inter μυριάρχους nominatur. V. etiam ad 7, 1, 3. SCHN. Εἶχες Poppo. Alioqui putandum hoc ipso loco significari Araspam factum fuisse myriarchum. Sed mirum quod hæc describens ita auxit Tzetzes Hist. 3, 709: Ἅμα ἡμέρᾳ θύσας δὲ τῇ αὔριον ὁ Κῦρος συνέταττε τὸ στράτευμα πρὸς προσβολὴν πολέμου, τῷ μὲν Ἀράσπᾳ δεδωκὼς τὸ δεξιὸν τὸ κέρας, Ὑστάσπᾳ τὸ εὐώνυμον, ἔχοντι τοὺς ἡμίσεις ἱππέας γένους τοῦ Περσῶν, κεκροτημένους μάχαις, τοῖς ἄλλοις μυριάρχαις δὲ ἄλλα ποιεῖν κελεύσας. Quibus addit quæ sunt s. 28. Qui quæ de Hystaspa dixit, aut repetiit ex 7, 1, 19, aut exciderunt post κέρας ἔχε hæc fere: σὺ δέ, ὦ Ὑστάσπα, τὸ εὐώνυμον ἔχε. Et certe Xenophon hic non posuerat illa ἔχοντι τοὺς ἡμίσεις etc., quæ infra 7, 1, 19, ut mirum quidem sit quod sinistrum cornu omittitur, sed Tzetzae non nimium sit tribuendum, quippe alterius loci non ignaro.

ἅρματι] Proverbii loco exemplum currus juncti poni recte admonet Camerarius. SCHN.

εἰς δύο] Altitudinem dici, non latitudinem, ostendit s. 22. V. ed. Turic. Scriptt. milit. vol. 2, p. 242.

23 συμμάχους ὠφελεῖν; ἐγὼ μὲν γάρ, ἔφη, τοὺς εἰς ἑκατὸν
τούτους ὁπλίτας εἰς μυρίους ἂν μᾶλλον βουλοίμην τε-
τάχθαι· οὕτω γὰρ ἂν ἐλαχίστοις μαχοίμεθα. ἐξ ὅσων
μέντοι ἐγὼ τὴν φάλαγγα βαθυνῶ οἶμαι ὅλην ἐνεργὸν καὶ
24 σύμμαχον ποιήσειν αὐτὴν ἑαυτῇ. ἀκοντιστὰς μὲν ἐπὶ τοῖς
θωρακοφόροις τάξω, ἐπὶ δὲ τοῖς ἀκοντισταῖς τοὺς τοξό-
τας. τούτους γὰρ πρωτοστάτας μὲν πῶς ἄν τις τάττοι, οἳ
καὶ αὐτοὶ ὁμολογοῦσι μηδεμίαν μάχην ἂν ὑπομεῖναι ἐκ
χειρός; προβεβλημένοι δὲ τοὺς θωρακοφόρους μενοῦσί τε,
καὶ οἱ μὲν ἀκοντίζοντες, οἱ δὲ τοξεύοντες, ὑπὲρ τῶν
πρόσθεν πάντων λυμανοῦνται τοὺς πολεμίους. ὅ τι δ' ἂν
κακουργῇ τις τοὺς ἐναντίους, δῆλον ὅτι παντὶ τούτῳ
25 τοὺς συμμάχους κουφίζει. τελευταίους μέντοι στήσω τοὺς
ἐπὶ πᾶσι καλουμένους. ὥσπερ γὰρ οἰκίας οὔτε ἄνευ
λιθολογήματος ὀχυροῦ οὔτε ἄνευ τῶν στέγην ποι-
ούντων οὐδὲν ὄφελος, οὕτως οὐδὲ φάλαγγος οὔτ' ἄνευ
τῶν πρώτων οὔτ' ἄνευ τῶν τελευταίων, εἰ μὴ ἀγαθοὶ
26 ἔσονται, ὄφελος οὐδέν. ἀλλ' ὑμεῖς τ', ἔφη, ὡς παραγ-
γέλλω τάττεσθε, καὶ ὑμεῖς οἱ τῶν πελταστῶν ἄρχοντες
ἐπὶ τούτοις ὡσαύτως τοὺς λόχους καθίστατε, καὶ ὑμεῖς οἱ
27 τῶν τοξοτῶν ἐπὶ τοῖς πελτασταῖς ὡσαύτως. σὺ δέ, ὃς τῶν
ἐπὶ πᾶσιν ἄρχεις, τελευταίους ἔχων τοὺς ἄνδρας παράγ-
γελλε τοῖς ἑαυτοῦ ἐφορᾶν τε ἑκάστῳ τοὺς καθ' αὑτὸν καὶ
τοῖς μὲν τὸ δέον ποιοῦσιν ἐπικελεύειν, τοῖς δὲ κακυνομένοις
ἀπειλεῖν ἰσχυρῶς· ἢν δέ τις στρέφηται προδιδόναι θέλων,
θανάτῳ ζημιοῦν. ἔργον γάρ ἐστι τοῖς μὲν πρωτοστάταις

στρατηγικῶς hic mg. r. G. 23. εἰς μυρίους] δισμυρίους D. βουλοίμην μᾶλλον D. οὕτως D. μαχούμεθα D. ὅσων] οἵων D., qui hic mg. ση. τὴν τάξιν. βαθύνων A.G. pr. Libri οἴομαι. αὐτὴν] post hoc καὶ erasit G. 24. μὲν] γὰρ D. τοὺς om. D. πῶς H. τοι A.G. om. D. πρόσθε A.D. pr. ἄν τις κακουργῇ D. 25. λιθουργήματος D. ὀχυροῦν A.G. στέγειν A. ὄφελος οὐδὲν D. εἰ—ἔσονται] ἢν—ὦσιν D. 26. τ' om. A.G. τάττεσθαι D. pr. καθιστᾶτε D. καθίσταντε G. pr. 27. ἄρχοις G. pr. τοὺς] τοῖς G. corr. s. v. r. κακινομένοις] μάλακυνομένοις D. ἔργω G. προστάταις D.M.

23. τοὺς εἰς ἑκατὸν τούτους] s. 20.

24. τάξω] Conf. de hac τάξει edit. Turic. Scriptt. milit. vol. 1, p. 55; 2, p. 245.

25. τοὺς ἐπὶ πᾶσι] Esse eosdem qui alias οἱ ὄπισθεν et οὐρὰ dicantur, tradit Weiskius; recte, dummodo hos de agmine, illos de acie, intelligas, quamquam locus Hist. Gr. 1, 1, 34, contrarius huic sententiæ esse videatur. Verum certi genus militis esse debere arguit additum καλουμένους. SCHN.

26. πελταστῶν] Sunt qui antea ἀκοντισταὶ vocantur. SCHN.

27. ἑαυτοῦ] Nisi legendum σαυτοῦ, ut 1. 6. 35.

θαρρύνειν τοὺς ἑπομένους καὶ λόγῳ καὶ ἔργῳ· ὑμᾶς δὲ δεῖ τοὺς ἐπὶ πᾶσι τεταγμένους πλείω φόβον παρέχειν τοῖς
28 κακοῖς τοῦ ἀπὸ τῶν πολεμίων. καὶ ὑμεῖς μὲν ταῦτα ποιεῖτε. σὺ δέ, ὦ Εὐφρᾶτα, ὃς ἄρχεις τῶν ἐπὶ ταῖς μηχαναῖς, οὕτω ποίει ὅπως τὰ ζεύγη τὰ τοὺς πύργους ἄγοντα ἕψεται
29 ὡς ἐγγύτατα τῆς φάλαγγος. σὺ δ', ὦ Δαοῦχε, ὃς ἄρχεις τῶν σκευοφόρων, ἐπὶ τοῖς πύργοις ἄγε πάντα τὸν τοιοῦτον στρατόν· οἱ δὲ ὑπηρέται σοῦ [τῶν ὄχλων] ἰσχυρῶς κολα-
30 ζόντων τοὺς προϊόντας τοῦ καιροῦ ἢ λειπομένους. σὺ δέ, ὦ Καροῦχα, ὃς ἄρχεις τῶν ἁρμαμαξῶν αἳ ἄγουσι τὰς γυναῖκας, κατάστησον αὐτὰς τελευταίας ἐπὶ τοῖς σκευοφόροις. ἑπόμενα γὰρ ταῦτα πάντα καὶ πλήθους δόξαν παρέχει καὶ ἐνεδρεύειν ἡμῖν ἐξουσία ἔσται καὶ τοὺς πολεμίους, ἢν κυκλοῦσθαι πειρῶνται, μείζω τὴν περιβολὴν ἀναγκάσει ποιεῖσθαι· ὅσῳ δ' ἂν μεῖζον χωρίον περιβάλωνται, τοσού-
31 τῳ ἀνάγκη αὐτοὺς ἀσθενεστέρους γίγνεσθαι. καὶ ὑμεῖς μὲν οὕτω ποιεῖτε· σὺ δέ, ὦ Ἀρτάοζε καὶ Ἀρταγέρσα, τὴν χιλιοστὺν ἑκάτερος τῶν σὺν ὑμῖν πεζῶν ἐπὶ τούτοις ἔχετε.

θρασύνειν A.G. corr. mg. r. *ὑμᾶς δὲ*] *καὶ ὑμᾶς* A.G. *ὑμᾶς* M. *φόβω* D. 28. *εὐφράτα* A.G. pr. *βραδάτα* G. corr. *ἀβραδάτα* D. *πύργοις ἄγοντα*] *ὑπηρέτας καὶ τοὺς πύργους φέροντα* D. *ὑπηρέτας καὶ τοὺς* post *τοὺς* G. mg. r. 29. *δαδοῦχε* G. *σκευοφόρων*] *ἁρμαμαξῶν* G. s. v. r. *πύργοις*] *ἐπὶ ταῖς μηχαναῖς* add. A.G. *ἄγετε* D. *τῶν ὄχλων* om. D. 30. *καροῦχα* A.G. pr. *καρδοῦχε* D.G. s. v. r. *καδούρχα* B. mg. r. *παρέξει* D. *πάντα ταῦτα* A. *τοὺς πολεμίους* Schneiderus. Libri *τοῖς πολεμίοις*. *πειρῶνται*] *βούλωνται* D. *μεῖζον*] *μείζω* A.D. *περιβάλλωνται* D. 31. *μὲν*] *μὲν ἀῦι* (sic) D. *μὲν οὖν* G. *ἀρτάοζε*] *ῥαρτάοζε* D. *ἀρτάβαζε* G. corr. r. *ἀρταγέρασα* A. *ἀρταγόρσα* D. *χιλιοστὴν* bis A. *ἡμῖν* D. pr. *ἐπὶ—ἔχετε* om. D.

28. Εὐφράτα] Idem nomen est apud Athanasium in Montefalconii Collectione nova Patrum vol. 2, p. 21 A, Εὐφρατᾶς apud Theodoretum H. E. 2, 9, Suidam v. Μένανδρος Προτίκτωρ. Ἀβραδάτας autem ex s. 35 illatus. Sunt autem omnia hæc nomina in vocativo circumflectenda potius quam acuenda.

29. τῶν ὄχλων] Comment. 3, 7, 5, μᾶλλον ἐν τοῖς ὄχλοις ἢ ἐν ταῖς ἰδίαις ὁμιλίαις est diverso sensu pro concionibus populi, ut apud Platonem. SCHN. Qui omisit τῶν ὄχλων. Alia plur. exempla v. in Thes. Steph.

30. αἳ ἄγουσι τὰς γυναῖκας] Hæc glossematis speciem habere recte monuit Weiskius. Excusari possent, si σκευοφόρων ἁρμαμαξῶν s. 29 essent a Xenophonte profecta. Sed s. 8. etiam distinguuntur ἁρμάμαξαι a σκευοφόροις. præterea 3, 1, 8, et 40; 4, 2, 29, et 4, 3, 1, ἁρμάμαξα ut vehiculum muliebre fuit jam sæpius nominata. SCHN.

τοὺς πολεμίους] Audacter ita vulgatum τοῖς πολεμίοις correxi, a nemine interpretum tactum. SCHN.

Ἀρτάοζε καὶ Ἀρταγέρσα] Nomen Artagersis est in Anabasi 1, 7, 11, et 1, 8, 24, cum varietate aliqua scripturæ in libris. Ibidem 2, 4, 16; 5, 35, Ἀρτάοζος. SCHN. Ἀρταγέρσας, ut infra nonnulli, Tzetzes Hist. 3, 717.

32 καὶ σὺ, ὦ Φαρνοῦχε καὶ Ἀσιαδάτα, τὴν τῶν ἱππέων χιλιο-
στὺν, ἧς ἑκάτερος ἄρχει ὑμῶν, μὴ συγκατατάττετε εἰς τὴν
φάλαγγα, ἀλλ' ὄπισθεν τῶν ἁρμαμαξῶν ἐξοπλίσθητε καθ'
ὑμᾶς αὐτούς· ἔπειτα πρὸς ἐμὲ ἥκετε σὺν τοῖς ἄλλοις ἡγε-
μόσιν. οὕτω δὲ δεῖ ὑμᾶς παρεσκευάσθαι ὡς πρώτους
33 δεῆσον ἀγωνίζεσθαι. καὶ σὺ δὲ ὁ ἄρχων τῶν ἐπὶ ταῖς κα-
μήλοις ἀνδρῶν, ὄπισθεν τῶν ἁρμαμαξῶν ἐκτάττου· ποίει
34 δ' ὅ τι ἄν σοι παραγγέλλῃ Ἀρταγέρσης. ὑμεῖς δ' οἱ τῶν
ἁρμάτων ἡγεμόνες διακληρωσάμενοι, ὁ μὲν λαχὼν ὑμῶν
πρὸ τῆς φάλαγγος τὰ μεθ' ἑαυτοῦ ἑκατὸν ἔχων ἅρματα
καταστησάτω· αἱ δ' ἕτεραι ἑκατοστύες τῶν ἁρμάτων, ἡ
μὲν κατὰ τὸ δεξιὸν πλευρὸν τῆς στρατιᾶς στοιχοῦσα
ἑπέσθω τῇ φάλαγγι ἐπὶ κέρως, ἡ δὲ κατὰ τὸ εὐώνυμον.
35 Κῦρος μὲν οὕτω διέταττεν. [12

Ἀβραδάτας δὲ ὁ Σούσων βασιλεὺς εἶπεν, Ἐγώ σοι,
Κῦρε, ἐθελούσιος ὑφίσταμαι τὴν κατὰ πρόσωπον τῆς
36 ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τί σοι ἄλλο δοκεῖ. καὶ
ὁ Κῦρος ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος ἐπήρετο τοὺς
ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, Ἦ καὶ ὑμεῖς, ἔφη, ταῦτα
συγχωρεῖτε; ἐπεὶ δ' ἐκεῖνοι ἀπεκρίναντο ὅτι οὐ καλὸν εἴη
ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτοὺς, καὶ ἔλαχεν ὁ Ἀβρα-
δάτας ἧπερ ὑφίστατο, καὶ ἐγένετο κατὰ τοὺς Αἰγυπτίους.
37 τότε μὲν δὴ ἀπιόντες καὶ ἐπιμεληθέντες ὧν προεῖπον ἐδει-
πνοποιοῦντο καὶ φυλακὰς καταστησάμενοι ἐκοιμήθησαν.

32. φαρμενοῦχε D. ἀσιαδάτα A.G. ἀσιάδα D. ἧν A. ὑμῶν ἄρχει D. συγκατάσσετε A. ὄπισθε A. οὕτως D. δεῆσον] δεῆσον ὑμᾶς D. 33. ὁ] ὦ A.D. τῶν om. A.G. s. v. r. ἀρταγέρσας D.G. s. v. r. 34. πρὸ τῆς] πρώτης D. πρὸς τῆς G. pr. ἑκατὸν] ἕκαστος D. αἱκατοστύες A. στείχουσα A.G. corr. s. v. r. κέρας D. 35. ἀβραδάτης D. hic et infra. σὺ D. pr. ὑπίσταμαι A.G. corr. s. v. r. 36. ὑφίεσθε G. corr. s. v. r. ὁ ἀβρ.] ἀβρ. D. ὑφίστατο] ὑφ in ras. G. 37. φύλακας D.

32. Ἀσιαδάτα] Ἀσιαδάτας quidem etiam Tzetzes Hist. 3, 718. Sed verum videri Ἀσιδάτης dixi ad Anab. 7, 8, 9, ubi Ἀσιδάτης Persa memoratur, quocum Medum Ἀσπάδαν apud Diodorum 2, 34, et Persam Ἀσπαδάτην apud Ctesiam Photii cod. 72, p. 37, 31, contulit Schneiderus. Quæ diversæ stirpis nomina esse persuadet Ἀσπαμίτρης ib. p. 39, 40; 40, 13.

34. ἐπὶ κέρως] Constanter in hac formula Xenophon utitur forma contracta, alibi semper trisyllaba, nisi quod τοῦ δεξιοῦ κέρως est Anab. 1, 7, 1. Et κέρατα, οὐ μόνον κέρα, probat Antiatt. Bekkeri p. 104, 2, etsi illius non major fides quam librorum Xenophontis, quum bisyllaba utantur Thucydides et antiquiores.

37. προεῖπον] προεῖπεν scriptum malim, quod ad Cyrum referatur. SCHN. Προεῖπον refertur ad scriptorem.

ΚΕΦ. Δ.

Τῇ δ' ὑστεραίᾳ πρῴ Κῦρος μὲν ἐθύετο, ὁ δ' ἄλλος στρατὸς ἀριστήσας καὶ σπονδὰς ποιησάμενος ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππους προμετωπιδίοις καὶ προστερνιδίοις· καὶ τοὺς μὲν μονίππους παραμηριδίοις, τοὺς δ' ὑπὸ τοῖς ἅρμασιν ὄντας παραπλευριδίοις· ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά.

2 Καὶ τῷ Ἀβραδάτᾳ δὲ τὸ τετράρρυμον ἅρμα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. ἐπεὶ δ' ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν καὶ χρυσοῦν κράνος καὶ περι-

1. Libri *πρωί.* *ὁ μὲν κῦρος* D. *μὲν* om. D. qui mg. hic *ἐξόπλισις.* *προμετωπίοις* D. corr. mg. ead. m. *μονίππους*] *ἵππους* D. *παραμηρίοις* A.G. corr. s. v. r. *τοὺς δ' ὑπὸ*] *τοῖς δ' ἐπὶ* D. *ὄντας* om. D. *φοικίσι* G. corr. s. v. r. *ἡ στρατιᾶι* D. 2. *ἀβραδάτᾳ* E.H. *ἀβραδάτῃ* A.D.G. *τετράρρυμον* H. *τετράρυμον* A.D.G., qui mox mg. r. *λινοῦς θώραξ.* *πανθεία* D. *χρυσοῦν καὶ χρυσοῦν* Meyerus. *χρυσοῦν κράνος* A.G. Zonaras. *καὶ χρυσοῦν κράνος* D. *περιβραχείονα* D.

1. *ὥπλιζον—παραπλευριδίοις*] Conf. Pollux 1, 140, infra 7, 1, 2.

ἤστραπτε χαλκῷ] Anab. 1, 8, 5: *Τάχα δὴ καὶ χαλκός τις ἤστραπτε.* HUTCH.

φοινικίσι] Punicearum tunicarum usum apud Persas multi testantur veterum scriptorum loci. Apud Herodotum 9, 22, Masistius *ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτὸν, κατύπερθεν δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον.* Conf. infra 7, 1, 2. SCHN.

λινοῦν] Nicetas Chon. Annal. p. 247 A: *Ἐκ δὲ λίνου πεποιημένον ὕφασμα οἴνῳ αὐστηρῷ ἱκανῶς ἠλισμένῳ διάβροχον πολλάκις περιπτυχθὲν δίκην θώρακος ἐνεδύετο· ἐς τοσοῦτον δ' ἦν ἀντιτυπὲς ἁλσὶ καὶ οἴνῳ συμπιληθὲν, ὡς καὶ βέλους εἶναι παντὸς στεγανώτερον. ἠριθμοῦντο δ' εἰς ὀκτωκαίδεκα καὶ πλείω τὰ τοῦ ὑφάσματος συμπτύγματα.* Pausanias 1, 21, 7: *Οἱ θώρακες οἱ λινοῖ μαχομένοις μὲν οὐχ ὁμοίως εἰσὶ χρήσιμοι· διιᾶσι γὰρ καταβιαζόμενοι τὸν σίδηρον· θηρεύοντας δὲ ὠφελοῦσιν· ἐναποκλῶνται γάρ σφισι καὶ λεόντων ὀδόντες καὶ παρδάλεων.* Chalybibus eundem tribuit Anabas. 4, 7, 15: *Εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐστραμμένα.* Homero Adrastus et Amphius Il. 2, 830, *λινοθώρηκες* sunt et dicuntur. SCHN.

χρυσοῦν θώρακα καὶ] Verba *θώρακα καὶ* admonitu Buttmanni inserui e cap. 1. s. 51. SCHN. Probabilior conjectura Meyeri interpretis Germanici, quam recepi, etsi *χρυσοῦν κράνος* tantum memorant Philostratus Imag. 2, 9, p. 825, et qui ipsa fere Xenophontis verba repetit Zonaras: *Ὁπλιζομένῳ δὲ προσῆγεν ἡ Πάνθεια χρυσοῦν κράνος καὶ περιβραχιόνια,* quum Tzetzes, qui 701 repetiverat quæ ejecimus 6, 1, 51, 723 ponat tantum: *Αὐτὴ δ' ἡ Πάνθεια χερσὶν ὥπλιζεν Ἀβραδάταν.*

χρυσοῦν] Intelligendæ lorica et galea non aureæ, sed inauratæ, ut Anab. 1, 2, 27; 8, 28, *ἀκινάκης χρυσοῦς*, et 5, 3, 12, *ξόανον χρυσοῦν*, ubi v. annot.

βραχιόνια καὶ ψέλια πλατέα περὶ τοὺς καρποὺς τῶν χει-
ρῶν καὶ χιτῶνα πορφυροῦν ποδήρη στολιδωτὸν τὰ κάτω
καὶ λόφον ὑακινθινοβαφῆ. ταῦτα δ' ἐποιήσατο λάθρᾳ τοῦ
3 *ἀνδρὸς ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. ὁ δὲ ἰδὼν ἐθαύ-* [2]
μασέ τε καὶ ἐπήρετο τὴν Πάνθειαν, Σὺ δήπου, ὦ γύναι,
συγκόψασα τὸν σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποιήσω;
Μὰ Δί', ἔφη ἡ Πάνθεια, οὔκουν τόν γε πλείστου ἄξιον·
σὺ γάρ ἔμοιγε, ἢν καὶ τοῖς ἄλλοις φανῇς οἷόσπερ ἐμοὶ δο-
κεῖς εἶναι, μέγιστος κόσμος ἔσει. ταῦτα δὲ λέγουσα ἅμα
ἐνέδυε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ
αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.
4 *Ἐπεὶ δὲ καὶ πρόσθεν ὢν ἀξιοθέατος ὁ Ἀβραδάτας*
ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ
ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης· λαβὼν
δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας παρεσκευάζετο ὡς ἀνα-
5 *βησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. ἐν δὲ τούτῳ ἡ Πάνθεια ἀπο-* [3]
χωρῆσαι κελεύσασα τοὺς παρόντας πάντας ἔλεξεν, Ἀλλ'
ὅτι μέν, ὦ Ἀβραδάτα, εἴ τις καὶ ἄλλη πώποτε γυνὴ τὸν
ἑαυτῆς ἄνδρα μεῖζον τῆς ἑαυτῆς ψυχῆς ἐτίμησεν, οἶμαί σε
γιγνώσκειν ὅτι καὶ ἐγὼ μία τούτων εἰμί. τί οὖν ἐμὲ δεῖ
καθ' ἓν ἕκαστον λέγειν; τὰ γὰρ ἔργα οἶμαί σοι πιθανώ-
6 *τερα παρεσχῆσθαι τῶν νῦν λεχθέντων λόγων. ὅμως δὲ*
οὕτως ἔχουσα πρὸς σὲ ὥσπερ σὺ οἶσθα, ἐπομνύω σοι τὴν

ψέλλια A.G. *στολιωτὸν* D. *φολιδωτὸν* G. corr. s. v. r. *τὰ* om. D. *ὅπλα* G. s. v. r. 3. *περὶ πανθείας καὶ ἀβραδάτου* mg. G. *ἤρετο* D. *πανθίαν* D. *σὺ*] *οὐ* D. *σαυτῆς*] *αὐτῆς* D. *πανθία* D. hic et 5. *ἢν*] *ἂν* D. *φανῇς οἷόσπερ*] *φάνηθι ὡς* D. *ἔσῃ* A.G. om. D. *δὲ* om. D. *ἐνέδυέ τε τὰ* D. *ἐπηρᾶτο* D. *αὐτῆς* A.G. pr. 4. *ὢν*] *ἦν* G. *ἀβραδάτας* E. *ἀβραδάτης* A.D.G. *ἅτε καὶ*] *ἅτε* D.M. *ἡνιόχου* A.G. corr. mg. r. 5. *ὑποχ.* D.G. s. v. r. Tzetzes. *εἴτις καὶ*] *εἴτις* D. *αὐτῆς* D. *μείζω* D. *τούτων μία* D. *ἓν* om. D. *λόγων* om. D. 6. *ἑκοῦσα* D.

τιάραν ὑακινθινοβαφῆ habet Chariton 6, 4, ubi v. Dorv., *στολαὶ ὑακ.* sunt in Arriani Anab. 6, 29, 9. SCHN. Themist. Orat. 24, p. 306 B: *Τιάραν ἔχων ἐξ ὑακίνθου τε καὶ σμαράγδου.*

στολιδωτὸν] Rugæ illæ, quæ in vestium fimbriis de industria ad ornatum iis aliquem conciliandum formantur, *στολίδες* dicuntur: Pollux 7, 54: *Εἴη δ' ἂν τις καὶ στολιδωτὸς χιτών· στολίδες δ' εἰσὶν αἱ ἐξεπίτηδες ὑπὸ δεσμοῦ γιγνόμεναι κατὰ τέλη τοῖς χιτῶσιν ἐπιπτυχαί, μάλιστα ἐπὶ λινῶν χιτώνων.* Conf. Salmasius ad Tertull. p. 334. HUTCH. Gallis *falbelas*. SCHN.

3. *κόσμος*] Anab. 1, 9, 23, confert Lennep. ad Phalar. Ep. 35.

λανθάνειν] Charito 5, 2, p. 81: *Ἄκων μὲν ἀλλὰ ἐπείθετο Χαιρέας· καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δ' αὐτοῦ τὰ δάκρυα κατὰ τῶν παρειῶν.* ZEUN. Cum *αὐτῇ* conf. 5, 1, 5.

4. *ὑφηνιόχου*] Conf. 7, 1, 15.

6. *ἐπομνύω*] *ἐπόμνυμι* Zonaras. Sed

ἐμὴν καὶ σὴν φιλίαν ἦ μὴν ἐγὼ βούλεσθαι ἂν μετὰ σοῦ ἀνδρὸς ἀγαθοῦ γενομένου κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον ἢ

καὶ σὴν] καὶ τὴν σὴν D. ἀνδρὸς bis D. γῇ D.

ὀμνύω est in omnibus Anab. 6, 1, 31; 7, 6, 18, si minoris momenti videantur talia, ut ὀμνύοντες H. Gr. 4, 4, 5, et alibi, ὠμνύετε supra 1, 3, 10, quum ὤμνυτε sit in omnibus Anab. 2, 5, 32. Et ὤμνυον bis est in fœdere apud Thuc. 5, 19, 24, nec rara sunt apud Demosthenem talia, ut ὤμνυε p. 553, 16; ὀμνύοντα p. 554, 22; δεικνύων p. 556, 23. Utrumque dici, sed μᾶλλον διὰ τοῦ νυ, perhibet Photius. Alteram formam sub mediam fere Aristophanis ætatem paullatim adhiberi cœptam animadvertit Porson. ad Eur. Med. 744. Librorum etiam apud Xenophontem fides incerta. V. var. scr. 6, 1, 7. Itaque ὤμνυτε pro ὠμνύετε restitui 1, 3, 10, invitis libris, qui in ὤμνυτε consentiunt Anab. 2, 5, 32, nec 1, 4, 10, ἐπεδείκνυ μὲν οὖ ex uno L. corr. dubitavi recipere et præferre nihilo melioris fidei scripturæ ἐπεδείκνυε, quum priorem confirment libri optimi in ἐπιδεικνύμενος consentientes. Quæ eadem forma conservata in F. Comment. 1, 1, 11, ubi ceteri omnes aut ἀπεδείκνυεν cum Eusebio et Stobæo aut ἐπεδείκνυεν, ut H. Gr. 1, 7, 4, B. V. ἐπεδείκνυε, ceteri ἐπεδείκνυ, forma librariis adeo ignota ut Aristoph. Eq. 424: Τοὺς θεοὺς ἀπώμνυον illatum sit in omnes pro ἀπώμνυν, et mirum sit quod διεδείκνυ intactum reliquerunt apud Synesium p. 92 D., quum ipse ille F. cum ceteris in ἐπεδείκνυεν consentiat Comment. 1, 5, 6; 3, 4, 1; 3, 9, 11, hic quidem sequente ἐν, et Cyrop. 8, 4, 35, solus Zonaras servet ἐδείκνυ, qui vicissim 7, 5, 24, δεικνύετε, ut omnes 1, 6, 40, ἐνεπετάννυες, et Platonis Tim. p. 76 A. περιημφιέννυ nonnulli certe depravant in -υεν. Cujusmodi de formis Elmslejus ad l. Medeæ p. 192, ubi ὄμνυε quidam pro ὄμνυ: "Ὄμνυε ne infimæ quidem ætatis Comicos usurpaturos fuisse existimo. Hoc enim inter ὄμνυε et ὀμνύει interest, quod ὄμνυε brevem syllabam post υ habet, ὀμνύει longam. Hanc autem formam non usurpasse videntur Comici, nisi quando υ longam syllabam sibi subjectam habebat. Dixerunt ὀμνύω ὀμνύεις ὀμνύει ὀμνύων ὀμνύοντες, minime vero ὀμνύομεν ὀμνύετε ὤμνυον (adde ὤμνυες et ceteras personas) ὄμνυε ὀμνυέτω. Saltem nihil tale in eorum reliquiis offendi." Qui quod de Comicis qui post Euclidem vixerunt dixit, etiam de prosæ recentioris Atticæ scriptoribus verissimum videtur, etsi librariorum apud hos temeritas omnia pervertit. Est quidem in libris superstitibus Demosthenis p. 1257, 17, κατεσκεδάννυον, sed κατεσκεδάννυσαν Dionysius. In præsenti librarii ludunt inter formas -ύασι, -ύουσι, -ῦσι, hujus tamen accentum aut omittentes, ut Paris. S. Demosth. p. 851, 5, aut in antepenultima ponentes, ut Anab. 6, 2, 2, in δείκνυσι; 7, 1, 17, in ἀναπετάννυσι. Et quanquam dubites horum fide testium illis restituere formam -ῦσι, (quam Atticam dicit Mœris in Δεικνῦσι et Ζευγνῦσι, formam -νᾶσι recentioris Atticismi, in Ὀλλύασιν et Ῥηγνύασιν autem hanc simpliciter Atticam, formam -νουσιν vero ubique vulgarem,) nihil tamen ambigas de ejicienda e Xenophonte forma -νουσιν, si contuleris var. scr. Anab. 6, 3, 5, pariterque Thucydide 4, 25, 5, coll. var. scr. 7, 51, 2; 8, 10, 3; 42, 3; 106, 3, et Platone. Nec pluris apud illos facienda videtur codicum auctoritas in reliquis ejusdem formæ exemplis, etiam quatenus a Comicis recentioribus usurpata fuit secundum observationem Elmsleji, qui recte animadvertit medii vel passivi formas in -νομαι prorsus esse inauditas, ut raro inferant vel librarii, qui in activo præter formas, de quibus supra, maxime supponere solent participium in feminino et casibus obliquis, rarius primam præsentis de forma in -νω: etsi consensui librorum ne in hac quidem aut participii nominativo singularis apud Xenophontem multum tribuam, sed hæc quoque fallere puto.

τὴν ἐμὴν καὶ σὴν φιλίαν] Plat. Alcib. 1, p. 109 D: Μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν, confert Dobr. Advers. vol. 2, p. 64.

ἐπιέσασθαι] Hesychius ἐπιέσασθαι γῆν interpretatur ταφῆναι. ubi vide annotationem Hemsterhusii vol. 1,

7 ζῆν μετ' αἰσχυνομένου αἰσχυνομένη· οὕτως ἐγὼ καὶ σὲ
τῶν καλλίστων καὶ ἐμαυτὴν ἠξίωκα. καὶ Κύρῳ δὲ με-
γάλην τινὰ δοκῶ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με αἰχμάλωτον
γενομένην καὶ ἐξαιρεθεῖσαν ἑαυτῷ οὔτε με ὡς δούλην ἠξί-
ωσε κεκτῆσθαι οὔτε ὡς ἐλευθέραν ἐν ἀτίμῳ ὀνόματι, διε-
8 φύλαξε δὲ σοὶ ὥσπερ ἀδελφοῦ γυναῖκα λαβών. πρὸς δὲ
καὶ ὅτε Ἀράσπας ἀπέστη αὐτοῦ ὁ ἐμὲ φυλάττων, ὑπεσχό-
μην αὐτῷ, εἴ με ἐάσειε πρὸς σὲ πέμψαι, ἥξειν αὐτῷ σὲ
πολὺ Ἀράσπου ἄνδρα καὶ πιστότερον καὶ ἀμείνονα.
9 Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτας ἀγασθεὶς τοῖς [4]
λόγοις καὶ θιγὼν αὐτῆς τῆς κεφαλῆς, ἀναβλέψας εἰς τὸν
οὐρανὸν ἐπηύξατο, Ἀλλ', ὦ Ζεῦ μέγιστε, δός μοι φανῆναι
ἀξίῳ μὲν Πανθείας ἀνδρὶ, ἀξίῳ δὲ καὶ Κύρου φίλῳ τοῦ
ἡμᾶς τιμήσαντος. ταῦτ' εἰπὼν κατὰ τὰς θύρας τοῦ ἁρμα-
10 τείου δίφρου ἀνέβαινεν ἐπὶ τὸ ἅρμα. ἐπεὶ δὲ ἀναβάντος
αὐτοῦ κατέκλεισε τὸν δίφρον ὁ ὑφηνίοχος, οὐκ ἔχουσα ἡ
Πάνθεια πῶς ἂν ἔτι ἄλλως ἀσπάσαιτο αὐτὸν, κατεφίλησε
τὸν δίφρον· καὶ τῷ μὲν προῄει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθοῦσα
αὐτὸν συνεφείπετο, ἕως ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ
Ἀβραδάτας εἶπε, Θάρρει, Πάνθεια, καὶ χαῖρε καὶ ἄπιθι
11 ἤδη. ἐκ τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι λαβοῦσαι
ἀπῆγον αὐτὴν εἰς τὴν ἁρμάμαξαν καὶ κατακλίναντες κατε-
κάλυψαν τῇ σκηνῇ. οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος τοῦ

ἑαυτὴν D. corr. s. v. r. 7. δοκῶ post δὲ D. οὔτε με] οὔτε D. ἐν s.v. r. G. διεφύλαξε δὲ] διὸ ἐφύλαξεν δὲ D. 8. ἐάσεις D. ἐάσει G. ἥξειν] ἔσεσθαι add. A. et punctis notatum r. G. ἀράσπα A.G. corr. s. v. r. 9. ἀβραδάτης A.D. et 10. τοῖς λόγοις] αὐτὴν D.G. mg. r. αὐτῆς τοῖς λ. M. θίγων A.D.G. εἰς] πρὸς D. ἐπεύξατο A.D.G. ἐπηύξατο Zonaras p. 160 C. πανθίας D. et 10. δὲ καὶ] δὲ D. τὰς om. D. ἁρματίου D. 10. οὐκ] οὐδ' A.G. πῶς ἔτι ἄλλως ἢ ἀσπάσετο D. τῷ μὲν] τὸ μὲν D. ὁ om. A.G. s. v. r. ἀβραδάτης D. 11. αὐτὴν ἀπῆγον D. κατακλίναντες] κατέκλιναν καὶ D. Pollux 10, 52.

p. 1352, et Abresch. in Observ. Miscell. Belg. 6, 2, p. 404. Κοινὴν e Philostrati Icon. 2, 9, scribere non est opus. SCHN. V. Steph. Thes. v. Ἐπιέννυμι.

7. ἐν ἀτίμῳ ὀνόματι] Concubinæ, παλλακῆς, vocabulo noluit uti. SCHN.

8. ἀμείνονα] Mœris p. 34: Ἀμείνω Ἀττικοὶ, ἀμείνονα Ἕλληνες. Quem, sive singularem masculini sive pluralem neutrius dixit, recte præcepisse videri de prosa, etiamsi poetæ Attici talia admiserint, exiguamque esse fidem librorum tam in his quam ceteris similibus comparativorum formis, quippe sæpissime inter solutas et contractas variantium, dixi ad Thes. Steph. v. Ἀμείνων.

11. τῇ σκηνῇ Pollux 10, 52 interpretatur τὸ ἐστεγασμένον μέρος τῆς ἁμάξης, et καὶ κατέκλιναν καὶ κατεκάλυψαν τὴν σκηνὴν exhibet. Ita etiam Charito 5, 2, p. 82 (109 Lips.): Τὴν Καλλιρρόην εἴασεν ἐπὶ τῆς ἁρμαμάξης

θεάματος τοῦ τε Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτὸν πρὶν ἡ Πάνθεια ἀπῆλθεν.

12 *Ὡς δ' ἐκεκαλλιερήκει μὲν ὁ Κῦρος, ἡ δὲ στρατιὰ παρετέτακτο αὐτῷ ὥσπερ παρήγγειλε, κατέχων σκοπὰς ἄλλας πρὸ ἄλλων συνεκάλεσε τοὺς ἡγεμόνας καὶ ἔλεξεν ὧδε.*

13 *Ἄνδρες φίλοι καὶ σύμμαχοι, τὰ μὲν ἱερὰ οἱ θεοὶ ἡμῖν φαίνουσιν οἷάπερ ὅτε τὴν πρόσθεν νίκην ἔδοσαν· ὑμᾶς δ' ἐγὼ βούλομαι ἀναμνῆσαι ὧν μοι δοκεῖτε μεμνημένοι πολὺ ἂν*

14 *εὐθυμότεροι εἰς τὸν ἀγῶνα ἰέναι. ἠσκήκατε μὲν γὰρ τὰ εἰς τὸν πόλεμον πολὺ μᾶλλον τῶν πολεμίων, συντέτραφθε δὲ καὶ συντέταχθε ἐν τῷ αὐτῷ πολὺ πλείω ἤδη χρόνον ἢ οἱ πολέμιοι καὶ συννενικήκατε μετ' ἀλλήλων· τῶν δὲ πολεμίων οἱ πολλοὶ συνήττηνται μεθ' αὐτῶν, οἱ δὲ ἀμάχητοι ἑκατέρων οἱ μὲν τῶν πολεμίων ἴσασιν ὅτι προδότας τοὺς παραστάτας ἔχουσιν, ὑμεῖς δὲ οἱ μεθ' ἡμῶν ἴστε ὅτι μετ'*

15 *ἐθελόντων τοῖς συμμάχοις ἀρήγειν μάχεσθε. εἰκὸς δὲ τοὺς μὲν πιστεύοντας ἀλλήλοις ὁμόνως μάχεσθαι μένοντας,*

τε om. D.G. *ἡ*] *ἢ* G. pr., ut videtur. 12. *δὲ καὶ καλλιερήκει* A. *δὲ καλλιερήκει* D. *δὲ κεκαλλιερήκει* G. *ἔλεξεν ὧδε*] *ἔλεξε τάδε* G. 13. *ξύμμαχοι* G. *ἡμῖν* om. D. 14. *μὲν* om. D. *μᾶλλον*] *μᾶλλον ἢ* A.G. *οἱ* om. D. *συνενικήκατε* G. *πολλὰ*] *πολλὰ μὲν* D.G. corr. r. *ἥττηνται* D. *μεθ' αὐτῶν*] *μετ' αὐτῶν* A.G. pr. *μεθ' ἑαυτῶν* D. *καθ' ἑαυτῶν* G. corr. r. *μετὰ θελόντων* A.G. *τῶν συμμάχων* D.G. s. v. r. *μάχεσθαι* D. 15. Libri *ὁμονόως*.

καὶ συνεκάλυψε τὴν σκηνήν. Ubi cum Hemsterhusio Dorvillius censet *σκηνὴν* apud Xenophontem scribendum, ut *σκηνὴ* seu camera curulis velo aut sindone obtegi dicatur. Sed erat *σκηνὴ κύκλῳ περιπεφραγμένη*, ut Plutarchus Themistocl. c. 26 ait, cujus latera obtegebant *παραπετάσματα*, quæ removeri et obduci poterant. Recte ita *τῇ σκηνῇ κατακαλύπτειν τινὰ* dici potest. SCHN. Quod Polluci quoque restituebat Hutchinson. Memorat talem currum etiam Diodorus 20, 25, sed *ἅρμα σκηνὴν ἔχον* dicens.

καλοῦ ὄντος] Locum imitatione reddere studuit Charito p. 83, monente jam Abreschio Lection. Aristænet. p. 46. SCHN.

12. *σκοπὰς ἄλλας πρὸ ἄλλων*] Per intervalla dispositas ab acie Cyri ad hostilem versus.

14. *συντέτραφθε*] 2, 1, 28.

ἀμάχητοι] Formam in prosa suspectam pro *ἄμαχοι* notavi ad Thes. Steph. Nihil enim præsidii in gl. Suidæ vel Zonaræ: *Ἄμαχος, ἀντὶ τοῦ μὴ μαχόμενος. Ξενοφῶν. καὶ ἀμάχητοι οἱ μήπω μεμαχημένοι.* Qua ipsa signif. *ἄμαχοι* est 4, 1, 16. Sic autem inter *ἀμαχητὶ* et *ἀμαχὶ* variari dixi ibidem. Similiter *ἀμηχάνητοι* pro *ἀμήχανοι* apud Suidam scriptum notabitur ad 7, 5, 37.

15. *ὁμόνως*] Ita scribendum esse hic et Ages. 1, 37, et quicquid simile apud Atticos intulerunt librarii, dixi ad H. Gr. 2, 1, 2, et ad Steph. Thes. v. *Εὔνους*. Ubi quod notavi *εὐνόων*, ei nihil præstat *πλόων* Reip. Athen. 1, 20 pro *πλῶν*, quo utitur Plato, librariis talia fere distrahentibus, ut *πλόοι* unus de optimis Anab. 5, 7, 7, *νόῳ* deteriores supra 5, 2, 17. Male hæc vitia defendit Schæf. ad Greg. p. 481.

τοὺς δὲ ἀπιστοῦντας ἀναγκαῖον βουλεύεσθαι πῶς ἂν ἕκα-
16 στοι τάχιστα ἐκποδὼν γένοιντο. ἴωμεν δὴ, ὦ ἄνδρες, ἐπὶ
τοὺς πολεμίους, ἅρματα μὲν ἔχοντες ὡπλισμένα πρὸς
ἄοπλα τὰ τῶν πολεμίων, ὡς δ' αὔτως καὶ ἱππέας καὶ ἵπ-
πους ὡπλισμένους πρὸς ἀόπλους, ὡς ἐκ χειρὸς μάχεσθαι.
17 πεζοῖς δὲ τοῖς μὲν ἄλλοις οἷς καὶ πρόσθεν μαχεῖσθε, Αἰγύ-
πτιοι δὲ ὁμοίως μὲν ὡπλισμένοι εἰσὶν, ὁμοίως δὲ τεταγμέ-
νοι· τάς τε γὰρ ἀσπίδας μείζους ἔχουσιν ἢ ὡς ποιεῖν τι καὶ
ὁρᾶν, τεταγμένοι τε εἰς ἑκατὸν δῆλον ὅτι κωλύσουσιν ἀλ-
18 λήλους μάχεσθαι πλὴν πάνυ ὀλίγων. εἰ δὲ τῷ ὠθοῦντες
ἐξώσειν πιστεύουσιν, ἵπποις αὐτοὺς πρῶτον δεήσει ἀντέ-
χειν καὶ σιδήρῳ ὑφ' ἵππων ἰσχυριζομένῳ· ἢν δέ τις αὐτῶν
καὶ ὑπομείνῃ, πῶς ἅμα δυνήσεται ἱππομαχεῖν τε καὶ φα-
λαγγομαχεῖν καὶ πυργομαχεῖν; καὶ γὰρ οἱ ἀπὸ τῶν πύρ-
γων ἡμῖν μὲν ἐπαρήξουσι, τοὺς δὲ πολεμίους παίοντες
19 ἀμηχανεῖν ἀντὶ τοῦ μάχεσθαι ποιήσουσιν. εἰ δέ τινος ἔτι
ἐνδεῖσθαι δοκεῖτε, πρὸς ἐμὲ λέγετε· σὺν γὰρ θεοῖς οὐδενὸς
ἀπορήσομεν. καὶ εἰ μέν τις εἰπεῖν τι βούλεται, λεξάτω· εἰ
δὲ μὴ, ἐλθόντες πρὸς τὰ ἱερὰ καὶ προσευξάμενοι οἷς ἐθύ-
20 σαμεν θεοῖς ἴτε ἐπὶ τὰς τάξεις· καὶ ἕκαστος ὑμῶν ὑπομι-
μνησκέτω τοὺς μεθ' αὑτοῦ ἅπερ ἐγὼ ὑμᾶς, καὶ ἐπιδεικνύτω
τις τοῖς ἀρχομένοις ἑαυτὸν ἄξιον ἀρχῆς, ἄφοβον δεικνὺς
καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους.

ἂν om. D. *ἐκποδῶν* (ut A.) *τάχιστα* D. 16. *ἴμεν* D. Libri *αὔτως*. 17. *ἄλλοις*] *πολλοῖς* G. s. v. r. *οἷς*] *οἵοις* D. *μαχεῖσθαι* D. *αἰγυπτίοις* (ut G. corr. r.) *δὲ οἱ ὁμοίως* D. *ἀσπίδας*] *ἐλπίδας* G. *καὶ ὁρᾶν*] *καὶ ὡς ὁρᾶν* D. *ἑκατὸν*] *ἕκαστον* A.G. pr. 18. *τῷ* om. A.G. infra v. r. *ἰσχυριζομένων* G. s. v. r. *ὑπομένῃ* D. *καὶ πυργομαχεῖν* om. A.G. mg. r. *ὑμῖν* D. 19. *τινες* A.G. *δοκεῖτε*] *δοκεῖ τις* D. *οὐδὲν* D. *ἐθύομεν* D.

16. *ὡς—μάχεσθαι*] Recte Camerarius vertit: *similiter et cum equis virisque armatis contra inermes* (*contendamus*), *ut ad committendum prælium cominus*. SCHN.

18. *ὠθοῦντες ἐξώσειν*] V. ad 5, 4, 51.

20. *πρὸς τὰ ἱερὰ*] Ad locum ubi sacra facta erant s. 12. V. ad 7, 3, 6.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦ. Α.

Οἱ μὲν δὴ εὐξάμενοι τοῖς θεοῖς ἀπῇσαν πρὸς τὰς τάξεις· τῷ δὲ Κύρῳ καὶ τοῖς ἀμφ' αὐτὸν προσήνεγκαν οἱ θεράποντες ἐμπιεῖν καὶ φαγεῖν ἔτι οὖσιν ἀμφὶ τὰ ἱερά. ὁ δὲ Κῦρος ὥσπερ εἶχεν ἑστηκὼς ἀπαρξάμενος ἠρίστα καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ· καὶ σπείσας καὶ εὐξάμενος ἔπιε, καὶ οἱ ἄλλοι δὲ οἱ περὶ αὐτὸν οὕτως ἐποίουν. μετὰ δὲ ταῦτα αἰτησάμενος Δία πατρῷον ἡγεμόνα εἶναι καὶ σύμμαχον ἀνέβαινεν ἐπὶ τὸν ἵππον καὶ τοὺς ἀμφ' αὐτὸν
2 ἐκέλευσεν. ὡπλισμένοι δὲ πάντες οἱ περὶ τὸν Κῦρον τοῖς αὐτοῖς Κύρῳ ὅπλοις, χιτῶσι φοινικοῖς, θώραξι χαλκοῖς, κράνεσι χαλκοῖς, λόφοις λευκοῖς, μαχαίραις, παλτῷ κρανείνῳ ἑνὶ ἕκαστος· οἱ δὲ ἵπποι προμετωπιδίοις καὶ προστερνιδίοις καὶ παραμηριδίοις χαλκοῖς· τὰ δ' αὐτὰ ταῦτα

1. Libri ἀπῄεσαν. ἀπίεσαν G. αὐτὸν] αὑτὸν G. ἐμφαγεῖν καὶ ἐμποιεῖν D. ἀμφὶ] ἐπὶ D.M. corr. καὶ οἱ ἄλλοι δὲ] οἱ δὲ ἄλλοι D. αὑτὸν D. ἐκέλευεν D. 2. πάντες] ἦσαν add. D. λόφοις λευκοῖς om. A. λόφοις δὲ λευκοῖς G. κρανεΐνῳ] κράνει A.G. pr. κραΐνῳ. οἷς D. ἕνι D. pr. καὶ παραμηριδίοις Weiskius. καὶ παραπλευριδίοις D.H., quæ om. A.G. καὶ libri post ταῦτα. Transposuit Weiskius.

1. ἀπαρξάμενος] Morem Græcorum et Romanorum enarrat Dionysius Hal. Ant. R. 7, 72, Xenophon Hier. 4, 2. SCHN. Hom. Od. Ξ, 422. ZEUN.

ἐκέλευσεν] Intell. ἀναβαίνειν. SCHN.

2. ὡπλισμένοι] De omisso ἦσαν v. annot. ad Anab. 5, 2, 26.

χιτῶσι] Apud Herodotum 9, 22, Masistius ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτὸν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον. SCHN.

κρανεΐνῳ] Hoc est παλτὸν ἰσχυρὸν supra memoratum 6, 2, 16. παλτὰ κρανέϊνα Persis etiam in Hist. Gr. 3, 4, 12, dedit. SCHN.

παραμηριδίοις pro παραπλευριδίοις transposito quod ante παραμηρίδια ponebatur καὶ restituit Weiskius, conferens locum De arte equestri 12, 8;

παραμηρίδια ἦν καὶ τῷ ἀνδρί· τοσοῦτον μόνον διέφερε τὰ
Κύρου ὅπλα ὅτι τὰ μὲν ἄλλα ἐκέχριτο τῷ χρυσοειδεῖ
χρώματι, τὰ δὲ Κύρου ὅπλα ὥσπερ κάτοπτρον ἐξέλαμπεν.
3 ἐπεὶ δὲ ἀνέβη καὶ ἔστη ἀποβλέπων ᾗπερ ἔμελλε πορεύ- [2]
εσθαι, βροντὴ δεξιὰ ἐφθέγξατο· ὁ δ' εἶπεν, Ἑψόμεθά σοι,
ὦ Ζεῦ μέγιστε. καὶ ὡρμᾶτο ἐν μὲν δεξιᾷ ἔχων Χρυσάνταν
τὸν ἵππαρχον καὶ τοὺς ἱππέας, ἐν ἀριστερᾷ δὲ Ἀρσάμαν
4 καὶ τοὺς πεζούς. παρηγγύησε δὲ παρορᾶν πρὸς τὸ σημεῖον
καὶ ἐν ἴσῳ ἕπεσθαι· ἦν δὲ αὐτῷ τὸ σημεῖον ἀετὸς χρυσοῦς
ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. καὶ νῦν δ' ἔτι τοῦτο τὸ
σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει. πρὶν δὲ ὁρᾶν τοὺς
πολεμίους εἰς τρὶς ἀνέπαυσε τὸ στράτευμα.

διέφερε] διέφερεν D. διέφερον A.G. ἐκέχριτο] ἐκέχριστο A.G. ἐκέχρωστο D. χρυσοειδῆ D. ἐξέλαπεν et μ s. v. A. ἐξέλαμπον G. pr. 3. ἀποβλέπων codices Brodæi, E.P. βλέπων A.D.G. ἐν μὲν] Libri μὲν ἐν. ἀρσάμαν Philelphus. ἀρίσμαν A.G. ἀρασάμαν D. ἀρίσβαν P. Tzetzes Hist. 5, 750. 4. σημεῖον κύρου πολεμ. D. mg. σημεῖον τῶν περσῶν ἀετὸς G. mg. τῷ] τῶν D. pr. εἰς τρὶς] καὶ τρὶς A.D.H.

Ὁπλίζειν δεῖ καὶ τὸν ἵππον προμετωπιδίῳ καὶ προστερνιδίῳ καὶ παραμηριδίοις· ταῦτα γὰρ ἅμα καὶ τῷ ἀμβάτῃ παραμηρίδια γίγνεται: ubi itidem παραπλευριδίοις est in libris, sed de παραμηριδίοις loqui scriptorem docet s. 10: Κνῆμαι δὲ καὶ πόδες ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν παραμηριδίων: nec ferreis παραπλευριδίοις locum esse in caballis et res ipsa et Cyr. 6, 4, 1, docet.

ἐκέχριτο] Illitus igitur metallo color retundebat armorum fulgorem, qui purus ex Cyri armamentis fulgebat, veluti speculi metallici politissimi. Verbum ἐκλάμπειν aliter usurpatur H. Gr. 1, 1, 16, τοῦ ἡλίου ἐκλάμψαντος. SCHN. De forma verbi v. ad 7, 5, 22.

3. ἐφθέγξατο] De tuba et classico utitur eodem verbo Xenophon in Anabasi. SCHN.

Ἑψόμεθα] Virgilianum illud Æn. 4, 576: *sequimur te, sancte deorum, quisquis es,* confert Muretus. SCHN.

Ἀρσάμαν] s. 8, idem nomen sine varietate scriptum. Araspas vel Arisbas supra 6, 3, 21, nominatus est μυρίαρχος et equitum dux; contra hic noster homo peditum dux, igitur diversus. Nec constat ille Araspas Medusne an Persa a Medo diversus fuerit. Hic Arsamas Persa et dux peditum Persarum fuit, ut Chrysantas Persa, equitum dux. SCHN.

4. παρορᾶν] Supra 3, 3, 59, in agmine Persæ ὁμότιμοι incedunt παρορῶντες εἰς ἀλλήλους. Sed mox s. 5, παρορᾶν est obscure videre. SCHN.

ἐν ἴσῳ] Intellige βήματι vel διαστήματι, æquo gradu vel spatio. SCHN. Conf. s. 8.

4. ἀνατεταμένος] Intelligit τὰς πτέρυγας Weiskius et ex Curtio 3, 3, 16, pinnas extendenti similis interpretatur. Eodem verbo de eodem signo regio exercitus Persici utitur Xenophon in Anabasi 1, 10, 12, ubi est ἐπὶ πέλτης; e Dexippo ἀνατεταμένα ἐπὶ ξυστῶν ἠργυρωμένων refert Suidas in ξυστόν. In Anabasi Zeunius verbum ἀνατεταμένος interpretatur *erectus, extensus;* contra hic exemplo Camerarii *extensis alis.* Ferrem, si *tollens alas* interpretarentur, ut est ἀνατεταμένος τὴν μάχαιραν 4, 1, 3, et 7, 1, 34, sed τὰς πτέρυγας omitti in hac dictione durum mihi videtur. SCHN. V. annot. ad Anab. de signo aquilæ alis extensis fictæ.

ὑπερφαλαγγοῦντες] Est ὑπερέχειν τοῖς κέρασι τῶν πολεμίων, ut ait H. Gr. 4, 2, 11, aciem in utroque cornu ultra hostium exercitum extendere. SCHN. V. ad Thes. Steph.

εἰς τρὶς] Sic Anab. 6, 4, 16, aliisque locis ad Thes. Steph. v. τρὶς citatis.

5 Ἐπεὶ δὲ προεληλύθεσαν ὡς εἴκοσι σταδίους, ἤρχον- [3]
το ἤδη τὸ τῶν πολεμίων στράτευμα ἀντιπροσιὸν παρ-
ορᾶν. ὡς δ' ἐν τῷ καταφανεῖ πάντες ἀλλήλοις ἐγένοντο
καὶ ἔγνωσαν οἱ πολέμιοι πολὺ ἑκατέρωθεν ὑπερφαλαγ-
γοῦντες, στήσαντες τὴν αὑτῶν φάλαγγα, οὐ γὰρ ἔστιν
ἄλλως κυκλοῦσθαι, ἐπέκαμπτον εἰς κύκλωσιν, ὥσπερ
γάμμα ἑκατέρωθεν τὴν ἑαυτῶν τάξιν ποιήσαντες, ὡς πάν-
6 τοθεν ἅμα μάχοιντο. ὁ δὲ Κῦρος ὁρῶν ταῦτα οὐδέν τι [4]
μᾶλλον ἀφίστατο, ἀλλ' ὡσαύτως ἡγεῖτο. κατανοῶν δὲ ὡς
πρόσω τὸν καμπτῆρα ἑκατέρωθεν ἐποιήσαντο περὶ ὃν
κάμπτοντες ἀνέτεινον τὰ κέρατα, Ἐννοεῖς, ἔφη, ὦ Χρυ-
σάντα, ἔνθα τὴν ἐπικαμπὴν ποιοῦνται; Πάνυ γε, ἔφη ὁ
Χρυσάντας, καὶ θαυμάζω γε· πολὺ γάρ μοι δοκοῦσιν
ἀποσπᾶν τὰ κέρατα ἀπὸ τῆς ἑαυτῶν φάλαγγος. Ναὶ μὰ
7 Δί', ἔφη ὁ Κῦρος, καὶ ἀπό γε τῆς ἡμετέρας. Τί δὴ
τοῦτο; Δῆλον ὅτι φοβούμενοι μὴ ἢν ἐγγὺς ἡμῶν γένηται
τὰ κέρατα τῆς φάλαγγος ἔτι πρόσω οὔσης, ἐπιθώμεθα αὐ-
τοῖς. Ἔπειτ', ἔφη ὁ Χρυσάντας, πῶς δυνήσονται ὠφελεῖν
οἱ ἕτεροι τοὺς ἑτέρους οὕτω πολὺ ἀπέχοντες ἀλλήλων;
Ἀλλὰ δῆλον, ἔφη ὁ Κῦρος, ὅτι ἡνίκα ἂν γένηται τὰ κέ-
ρατα ἀναβαίνοντα κατ' ἀντιπέρας τῶν πλαγίων τοῦ ἡμετέ-
ρου στρατεύματος, στραφέντες ὡς εἰς φάλαγγα ἅμα πάν-
8 τοθεν ἡμῖν προσίασιν, ὡς ἅμα πάντοθεν μαχούμενοι. Οὐκ- [5]

5. δὲ] δὲ ἤδη A.G. προσεληλύθεσαν A.G. προεληλύθεισαν D. ὡς] εἰς D. ἀλλήλοις] ἕλληνες A.G. pr. ἐπιφαλαγγοῦντες D. αὐτῶν A.G. ἑαυτῶν D. ἐπικάμπτουν A. ὥσπερ] ὅπως ὥσπερ D. γράμμα A.G. ὡς om. D. 6. ὁ δὲ κῦρος] κῦρος δὲ D. τι om. D. ὡσαύτως] ὡς D. καπτῆρα G. corr. s. v. r. ἐπ. ἑκατ. D. ἐποιήσατο A.G. corr. ἐπικαμπὴν] ἐπικαμπτὴν D. τ post π insertum, sed rursus deletum r. G. αὐτῶν D. 7. ὅτι] ἔφη add. D.G. s. v. r. ἢν ἐγγὺς] ἔνεγγυς A.G. ἔτι πρόσω] ἐπὶ πρόσω A.G. pr. ἐπιπρόσω corr. ἐπιθ.] καὶ ἐπιθ. A. ἀπέχοντες] ἔχοντες A. ἀλλὰ δῆλον om. A.G. mg. r. ὁ κῦρος om. A.G. s. v. r. γένωνται A.G. corr. s. v. r. στραφεῖεν A.G. pr. προσίασιν H. προΐασιν D. προΐασιν—πάντοθεν om. A.G. mg. r.

5. ἐπέκαμπτον] Anab. 1, 8, 17, ἐπέκαμπτον ὡς εἰς κύκλωσιν: H. Gr. 4, 2, 20, εἰς κύκλωσιν. ZEUN.

ὥσπερ γάμμα] Λ.

7. ὡς εἰς φ.] Dicitur στραφῆναι ὡς εἰς φάλαγγα, ut paulo antea ἐπέκαμπτον εἰς κύκλωσιν et alibi ὡς εἰς κύκλωσιν, et cum futuro, προσίασιν ὡς μαχούμενοι, et in multis similibus dictionibus, ubi consilium et finem facti significat. SCHN.

ὡς—μαχούμενοι] Ineptissime hæc verba repetunt, quæ satis jam extrema s. 5, significata fuerunt, et iisdem quidem verbis; modum et rationem accuratius et abunde definiunt verba ἅμα πάντοθεν ἡμῖν προσίασιν. Quare verba supervacanea seclusi. SCHN. Possunt sane abesse.

οὖν, ἔφη ὁ Χρυσάντας, εὖ σοι δοκοῦσι βουλεύεσθαι;
Πρός γε ἃ ὁρῶσι· πρὸς δὲ ἃ οὐχ ὁρῶσιν ἔτι κάκιον ἢ εἰ
κατὰ κέρας προσῇσαν. ἀλλὰ σὺ μέν, ἔφη, ὦ Ἀρσάμα,
ἡγοῦ τῷ πεζῷ ἠρέμα ὥσπερ ἐμὲ ὁρᾷς· καὶ σύ, ὦ Χρυ-
σάντα, ἐν ἴσῳ τούτῳ τὸ ἱππικὸν ἔχων συμπαρέπου. ἐγὼ
δὲ ἄπειμι ἐκεῖσε ὅθεν μοι δοκεῖ καιρὸς εἶναι ἄρχεσθαι τῆς
μάχης· ἅμα δὲ παριὼν ἐπισκέψομαι ἕκαστα πῶς ἡμῖν
9 ἔχει. ἐπειδὰν δ' ἐκεῖ γένωμαι, ὅταν ἤδη ὁμοῦ προσιόντες
ἀλλήλοις γιγνώμεθα, παιᾶνα ἐξάρξω, ὑμεῖς δὲ ἐπείγεσθε.
ἡνίκα δ' ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε
μέν, οὐ γάρ, οἶμαι, ὀλίγος θόρυβος ἔσται, ὁρμήσεται δὲ
τηνικαῦτα Ἀβραδάτας ἤδη σὺν τοῖς ἅρμασιν εἰς τοὺς
ἐναντίους· οὕτω γὰρ αὐτῷ εἰρήσεται· ὑμᾶς δὲ χρὴ ἕπεσθαι
ἐχομένους ὅτι μάλιστα τῶν ἁρμάτων· οὕτω γὰρ μάλιστα
τοῖς πολεμίοις τεταραγμένοις ἐπιπεσούμεθα. παρέσομαι δὲ
κἀγὼ ᾗ ἂν δύνωμαι τάχιστα διώκων τοὺς ἄνδρας, ἢν
οἱ θεοὶ θέλωσι.
10 Ταῦτ' εἰπὼν καὶ σύνθημα παρεγγυήσας Ζεὺς σωτὴρ [6]
καὶ ἡγεμὼν ἐπορεύετο. μεταξὺ δὲ τῶν ἁρμάτων καὶ τῶν
θωρακοφόρων διαπορευόμενος ὁπότε προσβλέψειέ τινας τῶν
ἐν ταῖς τάξεσι, τοτὲ μὲν εἶπεν ἄν, Ὦ ἄνδρες, ὡς ἡδὺ ὑμῶν
τὰ πρόσωπα θεάσασθαι. τοτὲ δ' αὖ ἐν ἄλλοις ἂν ἔλεξεν,
Ἆρα ἐννοεῖτε, ἄνδρες, ὅτι ὁ νῦν ἀγών ἐστιν οὐ μόνον περὶ
τῆς τήμερον νίκης, ἀλλὰ καὶ περὶ τῆς πρόσθεν ἣν νενική-
11 κατε καὶ περὶ πάσης εὐδαιμονίας; ἐν ἄλλοις δ' ἂν προϊὼν
εἶπεν, Ὦ ἄνδρες, τὸ ἀπὸ τοῦδε οὐδέν ποτε ἔτι θεοὺς αἰτια-

8. κακῇ D. εἰ om. D. Libri προσῄεσαν, sed D. corr. in η. ἀρίσμα L. corr. ἠρέμα D. ἄπειμι] περίειμι D.G. s. v. r. μαχῆς D. pr. περιὼν G. ἐπισκέψομαι] καὶ ἐπισκέψομαι G. 9. ἐπὰν D. παιῶνα A. et, ut videtur, G., ut L. pr. ἐξάρχω G. corr. s. v. r. ἐπείγεσθε] ἐφέπεσθε D.G. mg. r. αἰσθήσεσθαι (ut A.) μὲν οὔ D. οἴομαι D. ὁρμήσεται] ὁρμήσετε G. corr. r. εὑρήσετε A.G. pr. τηνικαῦτα] ἡνίκα αὐτὸς A.G. corr. mg. r. ἀβραδάτης A.D.G. εἰρήσετε D. s. v. ead. m. ἐπεισπεσούμεθα G. corr. r. καὶ ἐγὼ D. 10. ξύνθημα A.G. συνθήματα D. ζεῦ D. et mg. ἀκάθαρτος. τοτὲ] τό in fine versus D. τότε bis A. ἡμῶν D. τοτὲ—μόνον περὶ om. D. ἀλλὰ καὶ] καὶ om. A.G. s. v. r. ἄλλοις ἂν Juntina. ἄλλοισιν A.G. ἄρα A.G. ἐνικήσατε D. 11. δ' ἂν] δὲ A.G. δ' ἂν αὖ D. προιὼν A.G. οὐδέποτε G. ἔτι ante ἔσται D.

ἐν ἴσῳ τούτῳ] Ut supra s. 4, fuit ἐν ἴσῳ ἕπεσθαι. Pertinet τούτῳ ad συμπαρέπου. SCHN.

9. παιᾶνα] Vitiosam formam per ω notavi præf. ad Anab. p. xii.

ἐπείγεσθε] Festinationem et citatum gradum significat et opponitur præcedenti ἠρέμα ἡγεῖσθαι. SCHN.

θέλωσι] ἐθέλωσι fortasse M., ut Ald. V. ad 1, 4, 10.

τέον ἔσται· παραδεδώκασι γὰρ ἡμῖν πολλά τε καὶ ἀγαθὰ
12 κτήσασθαι. ἀλλ᾽, ὦ ἄνδρες, ἀγαθοὶ γενώμεθα. κατ᾽ ἄλ-
λους δ᾽ αὖ τοιάδε, Ὦ ἄνδρες, εἰς τίνα ποτ᾽ ἂν καλλίονα
ἔρανον ἀλλήλους παρακαλέσαιμεν ἢ εἰς τόνδε; νῦν γὰρ
ἔξεστιν ἀγαθοῖς ἀνδράσι γενομένοις πολλὰ κἀγαθὰ ἀλλή-
13 λοις εἰσενεγκεῖν. κατ᾽ ἄλλους δ᾽ αὖ, Ἐπίστασθε μέν, [7]
οἶμαι, ὦ ἄνδρες, ὅτι νῦν ἆθλα πρόκειται τοῖς νικῶσι μὲν
διώκειν, παίειν, κατακαίνειν, ἀγαθὰ ἔχειν, καλὰ ἀκούειν,
ἐλευθέροις εἶναι, ἄρχειν· τοῖς δὲ κακοῖς δῆλον ὅτι τἀναντία
τούτων. ὅστις οὖν αὑτὸν φιλεῖ, μετ᾽ ἐμοῦ μαχέσθω· ἐγὼ
γὰρ κακὸν οὐδὲν οὐδ᾽ αἰσχρὸν ἑκὼν εἶναι προσήσομαι.
14 ὁπότε δ᾽ αὖ γένοιτο κατά τινας τῶν πρόσθεν συμμαχεσα-
μένων, εἶπεν ἄν, Πρὸς δὲ ὑμᾶς, ὦ ἄνδρες, τί δεῖ λέγειν;
ἐπίστασθε γὰρ οἵαν τε οἱ ἀγαθοὶ ἐν ταῖς μάχαις ἡμέραν
ἄγουσι καὶ οἵαν οἱ κακοί.
15 Ὡς δὲ παριὼν κατὰ Ἀβραδάταν ἐγένετο, ἔστη· καὶ ὁ [8]
Ἀβραδάτας παραδοὺς τῷ ὑφηνιόχῳ τὰς ἡνίας προσῆλθεν
αὐτῷ· προσέδραμον δὲ καὶ ἄλλοι τῶν πλησίον τεταγμένων
καὶ πεζῶν καὶ ἁρματηλατῶν. ὁ δ᾽ αὖ Κῦρος ἐν τοῖς παρα-
γεγενημένοις ἔλεξεν, Ὁ μὲν θεός, ὦ Ἀβραδάτα, ὥσπερ σὺ
ἠξίους, συνηξίωσε σὲ καὶ τοὺς σὺν σοὶ πρωτοστάτας εἶναι
τῶν συμμάχων· σὺ δὲ τοῦτο μέμνησο, ὅταν δέῃ σε ἤδη
ἀγωνίζεσθαι, ὅτι Πέρσαι οἵ τε θεασόμενοι ὑμᾶς ἔσονται
καὶ οἱ ἑψόμενοι ὑμῖν καὶ οὐκ ἐάσοντες ἐρήμους ὑμᾶς ἀγω-
16 νίζεσθαι. καὶ ὁ Ἀβραδάτας εἶπεν, Ἀλλὰ τὰ μὲν καθ᾽

καὶ] καὶ μεγάλα D.G. mg. r. 12. ὦ ἄνδρες om. D. ποτ᾽ ἂν] ποτε A.G., qui ἂν s. v. r. κἀγαθοῖς ἀνδράσι γενυμένοις post πολλὰ repetit A. 13. ἐπίστασθαι D. παίειν om. A.G. mg. r. κατακαίειν D. pr. καλ᾽ D. ἐλευθέρους D. ὅτις D. pr. αὐτὸν A.D. pr. G. οὐδὲν κακὸν D. ἑκὼν om. D. προσήσομαι Ald. προαήσομαι A.G. pr. D. pr. προίσομι corr. παρήσομαι G. corr. 14. πρόσθε D. συμμεμαχεσμένων A.G. οἷα τε D. et ν s. v. r. 15. παριὼν] ἐπιὼν G. s. v. r. κατὰ ἀβραδάτην A.G. καθ᾽ ἁβραδάτην D. et mox ἁβραδάτης eodemque spiritu infra. καὶ] μὲν A.G. corr., quid pr. incertum. ἀβραδάτης A.G. προσῆλθε δ᾽ αὐτῷ A.G. ἄλλοι] οἱ ἄλλοι D. ἔλεξεν] τοιάδε add. D. συνηξίωσε] ἠξίωσεν D. σε om. A.G. ὑμᾶς ἀγ.] ἡμᾶς ἀγ. A.G. θεασάμενοι D. καὶ οὐκ] οὐκ D. ἐάσοντες] τες in ras. G. 16. ἀβραδάτης A.D.G. μὲν om. D.

11. πολλά τε καὶ ἀγαθὰ si scribitur, ut Anab. 5, 5, 8: Διὰ πολλῶν τε καὶ δεινῶν πραγμάτων, crasis etiam κἀγαθὰ restituenda videtur, ut s. 12.

ἀλλ᾽, ὦ ἄνδρες] Nisi scribendum ἀλλ᾽ ἄνδρες, ut 32, 41. Sic paullo ante 10. ὦ ἄνδρες nonnulli pro ἄνδρες.

ἡμᾶς ἔμοιγε δοκεῖ, ὦ Κῦρε, καλῶς ἔχειν· ἀλλὰ τὰ πλάγια
λυπεῖ με, ὅτι τὰ μὲν τῶν πολεμίων κέρατα ἰσχυρὰ ὁρῶ
ἀνατεινόμενα καὶ ἅρμασι καὶ παντοδαπῇ στρατιᾷ· ἡμέτε-
ρον δ' οὐδὲν ἄλλο αὐτοῖς ἀντιτέτακται ἢ ἅρματα· ὥστ'
ἔγωγ', ἔφη, εἰ μὴ ἔλαχον τήνδε τὴν τάξιν, ᾐσχυνόμην ἂν
ἐνθάδε ὤν· οὕτω πολύ μοι δοκῶ ἐν ἀσφαλεστάτῳ εἶναι.
17 καὶ ὁ Κῦρος εἶπεν, Ἀλλ' εἰ τὰ παρὰ σοὶ καλῶς ἔχει, θάρ- [9]
ρει ὑπὲρ ἐκείνων· ἐγὼ γάρ σοι σὺν θεοῖς ἔρημα τῶν πολε-
μίων τὰ πλάγια ταῦτα ἀποδείξω. καὶ σὺ μὴ πρότερον ἔμ-
βαλλε τοῖς ἐναντίοις, διαμαρτύρομαι, πρὶν ἂν φεύγοντας
τούτους οὓς νῦν φοβεῖ θεάσῃ· τοιαῦτα δ' ἐμεγαληγόρει,
μελλούσης τῆς μάχης γίγνεσθαι· ἄλλως δ' οὐ μάλα με-
γαλήγορος ἦν· Ὅταν μέντοι ἴδῃς τούτους φεύγοντας, ἐμέ
τε ἤδη παρεῖναι νόμιζε καὶ ὅρμα εἰς τοὺς ἄνδρας· καὶ σὺ
γὰρ τότε τοῖς μὲν ἐναντίοις κακίστοις ἂν χρήσαιο, τοῖς δὲ
18 μετὰ σαυτοῦ ἀρίστοις. ἀλλ' ἕως ἔτι σοι σχολή, ὦ Ἀβρα-
δάτα, πάντως παρελάσας παρὰ τὰ σαυτοῦ ἅρματα παρα-
κάλει τοὺς σὺν σοὶ εἰς τὴν ἐμβολήν, τῷ μὲν προσώπῳ
παραθαρρύνων, ταῖς δ' ἐλπίσιν ἐπικουφίζων. ὅπως δὲ
κράτιστοι φανεῖσθε τῶν ἐπὶ τοῖς ἅρμασι, φιλονεικίαν
αὐτοῖς ἔμβαλλε· καὶ γάρ, εὖ ἴσθι, ἢν τάδε εὖ γένηται,
πάντες ἐροῦσι τὸ λοιπὸν μηδὲν εἶναι κερδαλεώτερον ἀρε-
τῆς. ὁ μὲν δὴ Ἀβραδάτας ἀναβὰς παρήλαυνε καὶ ταῦτ'
ἐποίει.

πλάγια add. A.G. κέρατα om. D. τήνδε τὴν] τὴν αὐτὴν G., sed δὲ s. τὴν r. τὰ τῶν π. πλάγια D. 17. τοῖς πολεμίοις διαμαρτύρομαι D. τοῖς αἰγυπτίοις ὡς ἐναντίοις μαρτύρομαι A.G. corr. mg. r. Libri φοβῇ. ἄλλως] ω in ras. G. μεγαλήτορος G. pr. μεγαλήγορος Pollux 2, 126. μέντοι] ἔφη add. D. εἰς] πρὸς D. χρήσαις D., omisso etiam ρ pr. σαυτοῦ] σοῦ M. 18. ἔτι] ἐστί G. corr. σχολῇ D. πάντας G. s. v. r. παρελάσας] παρακαλέσας G. s. v. r. φανῆσθε A.G. ἀβραδάτης A. (hic τ cum compendio) D.G.

16. ἀσφαλεστάτῳ] Heindorfius malebat ἀσφαλεστέρῳ. SCHN. Sic 21.

17. ἐναντίοις] Ægyptios Abradatæ adversos facit s. 30, unde hic illati videntur, ἐναντίοι autem etiam 6, 2, 20, in πολέμιοι mutatum, ut ὑπεναντίοι 1, 6, 38. Itaque recepi pro altero, quod sæpius præcesserat et minus est aptum altero mox repetito.

μεγαλήγορος] Aristides vol. 2, p. 389: Ξενοφῶν περὶ τοῦ Κύρου τοῦ μεγάλου διαλεγόμενος τὸν μὲν ἄλλον χρόνον εὐσταλῆ φησι καὶ κόσμιον αὐτὸν εἶναι καὶ ἥκιστα ἀλαζόνα, ἡνίκα δ' εἰς τοὺς ἀγῶνας ἴοι καὶ ὑποθερμαίνοιτο, οὐδὲν μικρὸν λέγειν οὐδ' ὑποστέλλεσθαι κ. τ. λ.

18. ἢν τάδε εὖ γένηται] Post hanc vero victoriam vestro imprimis exemplo reliqui abhinc omnes edocti nihil virtute utilius esse credent. SCHN.

19 Ὁ δ' αὖ Κῦρος παριὼν ὡς ἐγένετο πρὸς τῷ εὐωνύμῳ, [10]
ἔνθα ὁ Ὑστάσπας τοὺς ἡμίσεις ἔχων ἦν τῶν Περσῶν ἱπ-
πέων, ὀνομάσας αὐτὸν εἶπεν, Ὦ Ὑστάσπα, νῦν ὁρᾷς
ἔργον τῆς σῆς ταχυεργίας· νῦν γὰρ εἰ φθάσομεν τοὺς πο-
20 λεμίους κατακανόντες, οὐδεὶς ἡμῶν ἀποθανεῖται. καὶ ὁ
Ὑστάσπας ἐπιγελάσας εἶπεν, Ἀλλὰ περὶ μὲν τῶν ἐξ
ἐναντίας ἡμῖν μελήσει· τοὺς δ' ἐκ πλαγίου σὺ ἄλλοις
πρόσταξον, ὅπως μηδ' οὗτοι σχολάζωσι. καὶ ὁ Κῦρος
εἶπεν, Ἀλλ' ἐπί γε τούτους ἐγὼ αὐτὸς παρέρχομαι· ἀλλ', ὦ
Ὑστάσπα, τόδε μέμνησο, ὅτῳ ἂν ἡμῶν ὁ θεὸς νίκην διδῷ,
ἤν τί που μένῃ πολέμιον, πρὸς τὸ μαχόμενον ἀεὶ συμβάλ-
21 λωμεν. ταῦτ' εἰπὼν προῄει. ἐπεὶ δὲ κατὰ τὸ πλευρὸν [11]
παριὼν ἐγένετο καὶ κατὰ τὸν ἄρχοντα τῶν ταύτῃ ἁρμάτων,
πρὸς τοῦτον ἔλεξεν, Ἐγὼ δ' ἐπέρχομαι ὑμῖν ἐπικουρήσων·
ἀλλ' ὁπόταν αἴσθησθε ἡμᾶς ἐπιτιθεμένους κατ' ἄκρον, τότε
καὶ ὑμεῖς πειρᾶσθε ἅμα διὰ τῶν πολεμίων ἐλαύνειν· πολὺ
γὰρ ἐν ἀσφαλεστέρῳ ἔσεσθε ἔξω γενόμενοι ἢ ἔνδον ἀπο-
22 λαμβανόμενοι. ἐπεὶ δ' αὖ παριὼν ἐγένετο ὄπισθεν τῶν
ἁρμαμαξῶν, Ἀρταγέρσαν μὲν καὶ Φαρνοῦχον ἐκέλευσεν
ἔχοντας τήν τε τῶν πεζῶν χιλιοστὺν καὶ τὴν τῶν ἱππέων
μένειν αὐτοῦ. Ἐπειδὰν δ', ἔφη, αἰσθάνησθε ἐμοῦ ἐπιτι-
θεμένου τοῖς κατὰ τὸ δεξιὸν κέρας, τότε καὶ ὑμεῖς τοῖς καθ'
ὑμᾶς ἐπιχειρεῖτε· μαχεῖσθε δ', ἔφη, πρὸς κέρας, ὥσπερ
ἀσθενέστατον στράτευμα γίγνεται, φάλαγγα ἔχοντες,

19. ὡς in fine versus r. G. ὁ ὑστάσπας] ὁ ὑστάσπης A.G. ὑστάσπας D. ἡμίσεις] ισ posterius r. G. in spatio unius litteræ. ἦν in ras. G. ἢν φθάσωμεν D. κατακανόντες D. κατακαίνοντες A.G. 20. ἐπικαλέσας D. τοὺς] τοῖς D. corr. σχολάζωσι G. pr., ut videtur. ὅτῳ—διδῷ om. A. νίκην διδῷ] διδοῖ νίκην G. συμβάλωμεν D. 21. προϊὼν D. ἐγίγνετο D. δ' ἐπέρχομαι] δὲ ἔρχομαι D. ἐπιτεθειμένους A.G. 22. ἐκέλευεν D. τήν τε] τὴν A.G. πεζῶν] περσῶν A.G. pr. χιλιοστὴν A. ἀσθενέστατον Schneiderus. ἀσθενέστερον A.D.G. καὶ φάλαγγας ἔχ. A. φάλαγγα δ' ἔχ. D. φάλαγγας ἔχ. G.

19. ταχυεργίας] Acrem Chrysantam pingit etiam 2, 4, 26. SCHN.

ἢν φθάσωμεν κατακανόντες] Supra 3, 2, 4, ἢν φθάσωμεν ἀναβάντες. iterum ibidem s. 6. Ceterum locum hunc Cyri animum præsentem et metu liberum indicare recte animadvertit Camerarius. SCHN.

21. κατ' ἄκρον] In extrema parte cornu hostilis recte interpretatur Zeunius, ut est s. 22: Ἐμοῦ ἐπιτιθεμένου τοῖς κατὰ τὸ δεξιὸν κέρας. SCHN.

22. ὥσπερ ἀσθενέστατον στράτευμα γίγνεται—ὥσπερ ἂν ἰσχυρότατοι εἴητε] Quum ἰσχυρότατοι præbeant optimi, et hoc recepi et ἀσθενέστερον convenienter illi correxi cum Schneidero, duobus Arriani locis ab Hutchinsono collatis uso Anab. 1, 6, 22: Οἱ δὲ ἀπροσδόκητοί τε ἐπιπεσόντες φάλαγγι

ὥσπερ ἂν ἰσχυρότατοι εἴητε. καὶ εἰσὶ μὲν, ὡς ὁρᾶτε, τῶν
πολεμίων ἱππεῖς οἱ ἔσχατοι· πάντως δὲ πρόετε πρὸς αὐτοὺς
τὴν τῶν καμήλων τάξιν, καὶ εὖ ἴστε ὅτι καὶ πρὶν μάχε-
σθαι γελοίους τοὺς πολεμίους θεάσεσθε.
23 Ὁ μὲν δὴ Κῦρος ταῦτα διαπραξάμενος ἐπὶ τὸ δεξιὸν [12
παρῄει· ὁ δὲ Κροῖσος νομίσας ἤδη ἐγγύτερον εἶναι τῶν
πολεμίων τὴν φάλαγγα σὺν ᾗ αὐτὸς ἐπορεύετο ἢ τὰ ἀνα-
τεινόμενα κέρατα, ἦρε τοῖς κέρασι σημεῖον μηκέτι ἄνω
πορεύεσθαι, ἀλλ' αὐτοῦ ἐν χώρᾳ στραφῆναι. ὡς δ' ἔστη-
σαν ἀντία πρὸς τὸ τοῦ Κύρου στράτευμα ὁρῶντες, ἐσήμη-
24 νεν αὐτοῖς πορεύεσθαι πρὸς τοὺς πολεμίους. καὶ οὕτω δὴ
προσῆσαν τρεῖς φάλαγγες ἐπὶ τὸ Κύρου στράτευμα, ἡ μὲν
μία κατὰ πρόσωπον, τὼ δὲ δύο, ἡ μὲν κατὰ τὸ δεξιὸν, ἡ δὲ
κατὰ τὸ εὐώνυμον· ὥστε πολὺν φόβον παρεῖναι πάσῃ τῇ
Κύρου στρατιᾷ. ὥσπερ γὰρ μικρὸν πλινθίον ἐν μεγάλῳ
τεθὲν, οὕτω καὶ τὸ Κύρου στράτευμα πάντοθεν περιείχετο
ὑπὸ τῶν πολεμίων καὶ ἱππεῦσι καὶ ὁπλίταις καὶ πελτοφό-
25 ροις καὶ τοξόταις καὶ ἅρμασι πλὴν ἐξόπισθεν. ὅμως δὲ ὁ [13
Κῦρος ἐπεὶ παρήγγειλεν, ἐστράφησαν πάντες ἀντιπρόσω-
ποι τοῖς πολεμίοις· καὶ ἦν μὲν πολλὴ πανταχόθεν σιγὴ

ἰσχυρώτατοι A. ἰσχυρότεροι D. εἴητε] ἂν ante hoc s. v. r. G. ἱππῆς D. pr. 23. παρείη D. pr. ᾗ] om. A.G. ᾗ D. τὰ ἀνατ.] ἐπανατ. τὰ A.G. κερᾶσι A. αὐτοῦ ἐν χώρᾳ] ἐν τῇ χώρᾳ D. ἀντία] πάντες D., quod ante ἀντία addit mg. G. m. paullo antiquiori. τοῦ om. D. ἐσήμαινεν D. 24. προσήεσαν A.G. προήεσαν D. τὼ] τὰ A. (sed corr., ut videtur, in τὼ) G. δύω D. πολὺν] τὸ λοιπὸν A. et, ut videtur, G. pr., licet πολὺν, quod nunc habet in spatio paullo capaciori atramenti tantum colore nonnihil diverso correctorem prodat, pr. autem scriptura non erasa sit, sed eluta videatur. στρατείᾳ A.G. pr. ἅρμασι] ἅρμασι καὶ A.G. 25. δὲ] δὲ καὶ A.D. ἀντιπρόσωπον A.G. corr. s. v. r.

κατὰ κέρας, ᾗπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτῃ ἐμβολῇ προσμίξειν ἔμελλον. ibidemque 13, 7: Ἀτάκτως (legendum ἀτάκτοις) τε οὖν καὶ κατὰ κέρας ᾗπερ ἀσθενέστατον ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι. Quibus ex locis ipsiusque Xenophontis verbis s. 26: Πολὺ ἐπλεονέκτει· φάλαγγι γὰρ κατὰ κέρας προσέβαλλεν, clare apparet φάλαγγα esse adorientium, κέρας hostium impetitorum.

23. ἐγγύτερον] Ita fieri Crœsus volebat, ut apparet ex s. 7. SCHN.

ἀνατεινόμενα] Supra s. 6. erat ἀνέτεινον τὰ κέρατα. 7, τὰ κέρατα ἀναβάντα. 16, κέρατα ἀνατεινόμενα. SCHN.

αὐτοῦ ἐν χώρᾳ] H. Gr. 4, 8, 39: Ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. Ubi mire postpositum αὐτοῦ, ut locis ad 7, 4, 36 citatis, quibus quominus deleatur nomen loci tanquam glossema obstat Theocr. 25, 170: Οὐκ οἶδ' ἀτρεκέως ἢ Ἄργεος ἐξ ἱεροῖο αὐτόθεν ἢ Τίρυνθα νέμων, ubi ordinis inversi exempla attulit Schæferus.

ἀντία—ὁρῶντες] Sic Eq. 6, 2.

25. σιγὴ] Conf. Hom. Il. Γ, 8; Δ, 429, Gellius N. A. 1, 11. ZEUN. H. Gr. 4, 3, 17: Συνιόντων τέως μὲν σιγὴ πολλὴ ἀπ' ἀμφοτέρων ἦν.

ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν· ἡνίκα δὲ ἔδοξε τῷ Κύρῳ καιρὸς
26 εἶναι, ἐξῆρχε παιᾶνα, συνεπήχησε δὲ πᾶς ὁ στρατός. μετὰ
δὲ τοῦτο τῷ Ἐνυαλίῳ τε ἅμα ἐπηλάλαξαν καὶ ἐξανίσταται
ὁ Κῦρος, καὶ εὐθὺς μετὰ τῶν ἱππέων λαβὼν πλαγίους τοὺς
πολεμίους ὁμόσε αὐτοῖς τὴν ταχίστην συνεμίγνυ· οἱ δὲ
πεζοὶ αὐτῷ συντεταγμένοι ταχὺ ἐφείποντο, καὶ περιεπτύσσοντο ἔνθεν καὶ ἔνθεν, ὥστε πολὺ ἐπλεονέκτει· φάλαγγι γὰρ κατὰ κέρας προσέβαλλεν· ὥστε ταχὺ ἰσχυρὰ φυγὴ ἐγένετο τοῖς πολεμίοις.

27 Ὡς δὲ ᾔσθετο Ἀρταγέρσης ἐν ἔργῳ ὄντα τὸν Κῦρον, [14]
ἐπιτίθεται καὶ αὐτὸς κατὰ τὰ εὐώνυμα, προεὶς τὰς καμήλους, ὥσπερ Κῦρος ἐκέλευσεν. οἱ δὲ ἵπποι αὐ τὰς ἐκ πάνυ πολλοῦ οὐκ ἐδέχοντο, ἀλλ' οἱ μὲν ἔκφρονες γιγνόμενοι

εἶναι] ἤδη εἶναι D., qui hic mg. ση. τὴν τοῦ πολέμου συμβολήν. παιῶνα A. pr. G. corr. s. v. r. 26. τούτω A. corr. G. pr. τε ἅμα] ἅμα τε D. καὶ ἐξ.] ἵσταται D. μετὰ] μὲν τὰ A.G. pr. μὲν μετὰ D. λαθὼν A.G. pr. αὐτῶν D. Libri συνεμίγνυεν. περιέπτυσσον D. καὶ D. s. v. ἐπλεονέκτουν D.G. s. v. r. προσέβαλλεν] λ alterum s. v. ead. m. A. προσέβαλλον D.G. s. v. r. 27. δὲ om. D. ὁ ἀρταγέρσας D. hic et 28. ἔργῳ] ἴσῳ A.G. s. v. r. ἐκέλευεν A., ut videtur.

26. τῷ Ἐνυαλίῳ] Supra 3, 3, 58, ante pugnam hymnum παιᾶνα τὸν νομιζόμενον ἐξῆρχεν ὁ Κῦρος: sed quia res ad manuum consertionem non venerat, nulla fit clamoris militaris inconditi, ubi Enyalius crebro invocabatur, mentio. Hist. Gr. 2, 4, 17: Ἐξάρξω μὲν οὖν ἐγώ, ἡνίκα ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες etc. SCHN. Τῷ Ἐνυαλίῳ ἐλελίζειν Anab. 1, 8, 18; 5, 2, 14.

περιεπτύσσοντο] περιέπτυσσον non contemnendum videbitur comparanti Anabasin 1, 10, 9: Ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες μὴ προσάγοιεν πρὸς τὸ κέρας καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς διακόψειαν. SCHN.

κατὰ κέρας] Zeunius interpretatur cornu hostium adoriri, idemque valere ait quod supra πλαγίους τοὺς πολεμίους λαμβάνειν, ab latere adoriri. Etiam Weiskius adversus utrumque cornu exercitus hostilis ita pugnatum esse ait, ut ea Cyrus ejusque duces phalange facta invadant a latere. Scilicet ut τὰ κέρατα dicuntur etiam τὰ πλάγια, ita πλαγίους λαμβάνειν τοὺς πολεμίους et κατὰ κέρας λαμβ. idem significant. Inde igitur s. 22, πρὸς κέρας μάχεσθαι et φάλαγγα ἔχοντα μάχεσθαι opponuntur sibi invicem: ἄγειν ἐπὶ φάλαγγος opponitur τῷ κατὰ κέρας ἄγειν supra 1, 6, 43, quod interpretatur Camerarius promotis cornibus agmen ducere, et phalangem ducere. Ita Anab. 4, 6, 6: Ἵνα μὴ κατὰ κέρας ἄγων πλησιάσῃ τοῖς πολεμίοις· παρήγγειλε δὲ τοῖς ἄλλοις παράγειν τοὺς λόχους, ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στράτευμα. Plane ut in nostro loco Hist. Gr. 6, 5, 16, est: Μὴ ἐκ τῆς πόλεως οἱ Μαντινεῖς ἐξελθόντες κατὰ κέρας τε καὶ ἐκ τῶν ὄπισθεν ἐπιπέσοιεν αὐτῷ. Significat igitur κατὰ κέρας ἐπιτίθεσθαι vel ἐπιπίπτειν a latere adoriri; κατὰ κέρας ἄγειν est ducere productis cornibus agmen. Contrarium ἐπὶ φάλαγγος καθίστασθαι 6, 3, 21. Paulo diversum est ἐπὶ κέρως ἄγειν, πορεύεσθαι Reip. Lacedæm. 11, 8, aliud ἐπὶ κέρας στρέφειν τὸ ἄγημα ibidem: εἰς κέρας ἡγεῖσθαι Hipparchici 4, 3, oppositum τῷ ἄγειν ἐπὶ φάλαγγος. De quo vide ad Hist. Gr. 1, 7, 31; 6, 2, 30, et Valckenar. ad Herod. 6, 12. SCHN. Qui v. ad Anab. 6, 5, 25; H. Gr. 7, 4, 23.

ἔφευγον, οἱ δ' ἐξήλλοντο, οἱ δ' ἐνέπιπτον ἀλλήλοις. τοι-
28 αῦτα γὰρ πάσχουσιν ἵπποι ὑπὸ καμήλων. ὁ δὲ Ἀρταγέρ-
σης συντεταγμένους ἔχων τοὺς μεθ' ἑαυτοῦ ταραττομένοις
ἐπέκειτο· καὶ τὰ ἅρματα δὲ κατὰ τὸ δεξιὸν καὶ τὸ εὐώνυ-
μον ἅμα ἐνέβαλλε. καὶ πολλοὶ μὲν τὰ ἅρματα φεύγοντες
ὑπὸ τῶν κατὰ κέρας ἑπομένων ἀπέθνησκον, πολλοὶ δὲ
τούτους φεύγοντες ὑπὸ τῶν ἁρμάτων ἡλίσκοντο.
29 Καὶ ὁ Ἀβραδάτας δὲ οὐκέτι ἔμελλεν, ἀλλὰ βοήσας, [
Ἄνδρες φίλοι, ἕπεσθε, ἐνίει οὐδὲν φειδόμενος τῶν ἵππων,
ἀλλ' ἰσχυρῶς ἐξαιμάττων τῷ κέντρῳ· συνεξώρμησαν δὲ
καὶ οἱ ἄλλοι ἁρματηλάται. καὶ τὰ μὲν ἅρματα ἔφευγεν
αὐτοὺς εὐθὺς, τὰ μὲν καὶ ἀναλαβόντα τοὺς παρα-
30 βάτας, τὰ δὲ καὶ ἀπολιπόντα. ὁ δὲ Ἀβραδάτας ἀντικρὺ δι'
αὐτῶν εἰς τὴν τῶν Αἰγυπτίων φάλαγγα ἐμβάλλει· συνεισ-
έβαλον δὲ αὐτῷ καὶ οἱ ἐγγύτατα τεταγμένοι. πολλαχοῦ
μὲν οὖν καὶ ἄλλοθι δῆλον ὡς οὐκ ἔστιν ἰσχυροτέρα φά-
λαγξ ἢ ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ, καὶ ἐν
τούτῳ δὲ ἐδήλωσεν. οἱ μὲν γὰρ ἑταῖροί τε αὐτοῦ καὶ ὁμο-
τράπεζοι συνεισέβαλον· οἱ δ' ἄλλοι ἡνίοχοι ὡς εἶδον ὑπο-

ἐξήλοντο G. ἔπιπτον ἐπ' ἀλλήλοις D., qui mg. ὅτι ὁ ἵππος φεύγει τὴν κάμηλον. πάσχουσιν] παρέχουσιν οἱ A. φύσις τῶν ἵππων πρὸς τὰς καμήλους G. mg. 28. ἀρταγέρσης A. ultima compendio scripta. V. ad s. 27. μεθ' ἑαυτῶν A. μεθ' ἑαυτὸν, ut videtur, G. pr. μετ' αὐτοῦ D. δὲ] δὲ τά τε D. ὑπὸ τῶν—φεύγοντες om. A.G. mg. r. 29. ὁ ἀβραδάτης D. eademque forma modo aspero modo leni infra. ἀλλ' ἀναβοήσας D. ἀλλὰ βοήσας etiam Zonaras. ἄνδρες] ἰσχυρῶς ante hoc G. mg. r. ἕπεσθε ἐνίει] ἕπεσθέ μοι G., sed ἐνίει s. v. r. ἐξαιμάτων D. pr. 30. παραιβάτας A.G. δι' αὐτῶν] διάττων D. συνέβαλλον D. εισ s. v. ἔστιν] ἔνεστιν A.G. pr. ἠθροισμένων A.G. ἡθοισμένη D. τε om. D. συνεισέβαλον Junt. συνεισεβαλλον A.G. οὐ συνεισέβαλλον D.

27. τοιαῦτα γὰρ] Ita etiam tradit, Herodoto 1, 80, præeunte, Aristoteles H. A. 6, 18, et Ælianus H. A. 3, 7. Polyæn. 7, 6. Verum jam olim Muretus ad h. l. *Ego*, inquit, *sæpe et vidi et expertus sum multos equos esse, qui etiamsi ad camelum proxime accesserint, neque aspectu illius neque odore terreantur.* SCHN. Idem alii tradunt, multos non terreri, sed esse etiam qui terreantur. V. s. 48.

29. ἐνίει] H. Gr. 2, 4, 32: Τοὺς μὲν ἱππέας ἐλαύνειν ἐνέντας, καὶ τὰ δέκα ἀφ' ἥβης συνέπεσθαι.

παραβάτας] Hos Pollux memorat 1, 141: Ἐπιβεβήκασι δὲ τοῦ ἁρματείου δίφρου ἡνίοχος καὶ παραβάτης, ὃν ὁ Πλάτων ἀναβάτην μικράσπιδα ἐκάλεσε. Hom. Il. Ψ, 132: Ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε, ubi Schol. HUTCH. V. Schneider. ad 6, 1, 30. Τῷ κέντρῳ ἐξαιμάσσειν Poll. 1, 214; 2, 215.

ἅρματα] Currus bellici hostium, de quorum usu v. ad 3, 3, 60. SCHN.

30. ἀντικρὺ] V. Lobeck. ad Phryn. p. 444.

ἐδήλωσεν] Absolute sic Comment. 1, 2, 31, Eurip. Phœn. 636. SCHN. Conf. autem Xen. Conv. 8, 32.

ὁμοτράπεζοι] Eosdem in Cyri minoris exercitu laudat Anab. 1, 8, 18; 9, 17. SCHN.

μένοντας πολλῷ στίφει τοὺς Αἰγυπτίους, ἐξέκλιναν κατὰ
31 τὰ φεύγοντα ἅρματα καὶ τούτοις ἐφείποντο. οἱ δὲ ἀμφὶ [16]
Ἀβραδάταν ᾗ μὲν ἐνέβαλλον, ἅτε οὐ δυναμένων διαχάσα-
σθαι τῶν Αἰγυπτίων διὰ τὸ μένειν τοὺς ἔνθεν καὶ ἔνθεν
αὐτῶν, τοὺς μὲν ὀρθοὺς τῇ ῥύμῃ τῶν ἵππων παίοντες ἀνέ-
τρεπον, τοὺς δὲ πίπτοντας κατηλόων καὶ αὐτοὺς καὶ ὅπλα
καὶ ἵπποις καὶ τροχοῖς. ὅτου δ' ἐπιλάβοιτο τὰ δρέπανα,
32 πάντα βίᾳ διεκόπτετο καὶ ὅπλα καὶ σώματα. ἐν δὲ τῷ
ἀδιηγήτῳ τούτῳ ταράχῳ ὑπὸ τῶν παντοδαπῶν σωρευμά-
των ἐξαλλομένων τῶν τροχῶν ἐκπίπτει ὁ Ἀβραδάτας καὶ
ἄλλοι δὲ τῶν συνεισβαλόντων· καὶ οὗτοι μὲν ἐνταῦθα ἄν-
δρες ἀγαθοὶ γενόμενοι κατεκόπησαν καὶ ἀπέθανον· οἱ δὲ
Πέρσαι συνεπισπόμενοι, ᾗ μὲν ὁ Ἀβραδάτας ἐνέβαλε καὶ
οἱ σὺν αὐτῷ, ταύτῃ συνεισπεσόντες τεταραγμένους ἐφό-
νευον, ᾗ δὲ ἀπαθεῖς ἐγένοντο οἱ Αἰγύπτιοι, πολλοὶ δ' οὗτοι [17]
ἦσαν, ἐχώρουν ἐναντίοι τοῖς Πέρσαις.
33 Ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν καὶ
μαχαιρῶν· ἐπλεονέκτουν μέντοι οἱ Αἰγύπτιοι καὶ πλήθει
καὶ τοῖς ὅπλοις. τά τε γὰρ δόρατα ἰσχυρὰ καὶ μακρὰ ἔτι
καὶ νῦν ἔχουσιν, αἵ τε ἀσπίδες πολὺ μᾶλλον τῶν θωράκων
καὶ τῶν γέρρων καὶ στεγάζουσι τὰ σώματα καὶ πρὸς τὸ
ὠθεῖσθαι συνεργάζονται πρὸς τοῖς ὤμοις οὖσαι. συγκλεί-
34 σαντες οὖν τὰς ἀσπίδας ἐχώρουν καὶ ἐώθουν. οἱ δὲ Πέρσαι
οὐκ ἐδύναντο ἀντέχειν, ἅτε ἐν ἄκραις ταῖς χερσὶ τὰ γέρρα
ἔχοντες, ἀλλ' ἐπὶ πόδα ἀνεχάζοντο παίοντες καὶ παιόμενοι,
ἕως ὑπὸ ταῖς μηχαναῖς ἐγένοντο. ἐπεὶ μέντοι ἐνταῦθα ἦλ-

31. ἀβραδάτην A.G. ᾗ] οἱ G. corr. s. v. r. διαχάσασθαι] διαχωρῆσαι G. litteram inter χα et σ erasit D. αὐτῶν] αὐτῷ A.G. corr. s. v. r. τῇ ῥύμῃ] τῇ ῥύμῃ τῇ D. ἵππων] ἱππέων A.G. ἀνετρέποντο A.G. ἵπποις καὶ τροχοῖς Camerarius. ἵππους καὶ τροχούς A.D.G. 32. ἀβραδάτης G. bis. συνεπισπώμενοι G. συνεισπ.] ἐπεισπ. D. ἀπειθεῖς D.G. s. v. r. ἐναντίον G. τεταγμένους G. corr. mg. r. 33. ἰσχυρὰ] ἰσχυρά τε D. μακρὰ] μακρὰ ἃ D. γέρων A. γερρῶν D. στέγουσι D. καὶ πρὸς] καὶ s. v. r. G. ἐωθοῦντο D. 34. ἠδύναντο D. ἄκραις] ἴσαις A.G. corr. mg. r.

31. διαχάσασθαι] ἀναχάζειν Anab. 4, 1, 16, medium 4, 7, 10, Cyrop. 7, 1, 34. SCHN.

ὅτου] Stragem, quam Darii currus falcati pauci in Macedonum exercitu ediderant, describit Curtius 4, 15, 17. SCHN. De ὅτου—πάντα v. ad 5, 3, 50.

32. ταράχῳ] Sic aliquoties Xenophon, et secundum Dionysium Halic. Thucydides, apud quem hodie ταραχὴ, ut alibi apud Xenophontem.

33. ἀσπίδες] V. ad 6, 2, 10.

34. ἄκραις ταῖς χερσὶ] Sinistræ, non brachio astricta, utpote perbrevia.

*θον, ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἀπὸ τῶν πύργων· καὶ οἱ
ἐπὶ πᾶσι δὲ οὐκ εἴων φεύγειν οὔτε τοὺς τοξότας οὔτε τοὺς
ἀκοντιστάς, ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας ἠνάγκαζον
35 καὶ τοξεύειν καὶ ἀκοντίζειν. ἦν δὲ πολὺς μὲν ἀνδρῶν φόνος,
πολὺς δὲ κτύπος ὅπλων καὶ βελῶν παντοδαπῶν, πολλὴ
δὲ βοὴ τῶν μὲν ἀνακαλούντων ἀλλήλους, τῶν δὲ παρα-
κελευομένων, τῶν δὲ θεοὺς ἐπικαλουμένων.
36 Ἐν δὲ τούτῳ Κῦρος διώκων τοὺς καθ' αὑτὸν παραγί-
γνεται. ὡς δ' εἶδε τοὺς Πέρσας ἐκ τῆς χώρας ἐωσμένους,
ἤλγησέ τε καὶ γνοὺς ὅτι οὐδαμῶς ἂν θᾶττον σχοίη τοὺς
πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου ἢ εἰ εἰς τὸ ὄπισθεν
περιελάσειεν αὐτῶν, παραγγείλας ἕπεσθαι τοῖς μεθ' αὑτοῦ
περιήλαυνεν εἰς τὸ ὄπισθεν· καὶ εἰσπεσόντες παίουσιν
37 ἀφορῶντας καὶ πολλοὺς κατακαίνουσιν. οἱ δὲ Αἰγύπτιοι
ὡς ᾔσθοντο, ἐβόων τε ὅτι ὄπισθεν οἱ πολέμιοι καὶ ἐστρέ-
φοντο ἐν ταῖς πληγαῖς. καὶ ἐνταῦθα δὴ φύρδην ἐμάχοντο
καὶ πεζοὶ καὶ ἱππεῖς, πεπτωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ
καὶ πατούμενος παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν
ἵππον αὐτοῦ· ὁ δὲ ἵππος πληγεὶς σφαδᾴζων ἀποσείεται
38 τὸν Κῦρον. ἔνθα δὴ ἔγνω ἄν τις ὅσου ἄξιον εἴη τὸ φιλεῖ-
σθαι ἄρχοντα ὑπὸ τῶν περὶ αὐτόν. εὐθὺς γὰρ ἀνεβόησάν
τε πάντες καὶ προσπεσόντες ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο*

35. *τῶν δὲ παρακ.* G. mg. r. 36. *καὶ* om. A. *σχοίη*] *ἔχοι ἢ* A.G. *προσόδου* A.G. *εἰ* add. C. om. A.D.G. *περιελάσειεν*] *εν* fort. corr. r. G. *παραγγείλας*] *οὖν* add. D. *ἕπεσθε* A. *μεθ' αὐτοῦ* (sic) D. *μεθ' ἑαυτοῦ* G. *κατακλίνουσιν* D. 37. *ὅτι* G. s. v. r. *ἐν*] *οἱ ἐν* D. *ἱππῆς* D. pr. *πεπτωκὼς—Κῦρον* citans Longin. s. 25 cum exigua varietate addit *ὁ δὲ πίπτει.* *ἵππῳ*] *ἱππικῷ* A.G. pr. 38. *ἐώθουν* om. A.D.G.L.M. addunt reliqui libri. *ἐωθοῦντο* om. E.

36. *ἀφορῶντας*] Esse debet a tergo, aversos, hostem ante se positum intuentes, nec a tergo adesse opinatos. SCHN. Conf. autem H. Gr. 6, 5, 14.

37. *φιλεῖσθαι ἄρχοντα*] Onesander c. 1, 8: *Ὅντινα γὰρ ἄνθρωποι φιλοῦσιν αὐτομάτῳ διανοίας ἐμπτώσει, τούτῳ ταχὺ μὲν ἐπιτάττοντι πείθονται, λέγοντι δὲ οὐκ ἀπιστοῦσιν, κινδυνεύοντι δὲ συναγωνίζονται.* HUTCH.

εὐθὺς] Locum de pugna acerrima super Cyro decertantium comparabis cum Agesilao 2, 12, Hist. Gr. 4, 3, 19: *Ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον.* SCHN.

σφαδᾴζων] *ἀλγεῖν* interpretatur e Xenophonte citans Etym. M. p. 737, 12, sed alios addit explicasse, *σπαίρειν.* Scripsi autem *σφαδᾴζων*, quam orthographiam ab Herodiano *Περὶ μον. λ.* p. 23, 7, memoratam libri interdum servarunt in verbis *ματᾴζω* et *τερᾴζω*, de quibus v. Thes. Steph.

38. *ἐώθουν—ἐπαίοντο*] Dio Cass. 47, 45: *Ἀλλ' αὐτοῦ ὥσπερ εἶχον ἐτίτρωσκον, ἐτιτρώσκοντο, ἐφόνευον, ἐφονεύοντο, μέχρι πόρρω τῆς ἡμέρας.* ZEUN. Hic si abesset *ἐώθουν*, medium foret *ἐωθοῦντο*, et conferendum s. 40 init.

ἔπαιον, ἐπαίοντο. καταπηδήσας δέ τις ἀπὸ τοῦ ἵππου τῶν
τοῦ Κύρου ὑπηρετῶν ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ
39 ἵππον. ὡς δ' ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιο- [19]
μένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπας ἤδη παρῆν
σὺν τοῖς Περσῶν ἱππεῦσι καὶ Χρυσάντας. ἀλλὰ τούτους
ἐμβάλλειν μὲν οὐκέτι εἴα εἰς τὴν φάλαγγα τῶν Αἰγυπτίων,
ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. ὡς δ' ἐγένετο
περιελαύνων παρὰ τὰς μηχανάς, ἔδοξεν αὐτῷ ἀναβῆναι
ἐπὶ τῶν πύργων τινὰ καὶ κατασκέψασθαι εἴ πῃ καὶ ἄλλο
40 τι μένοι τῶν πολεμίων καὶ μάχοιτο. ἐπεὶ δὲ ἀνέβη, κατεῖδε
μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόν-
των, διωκόντων, κρατούντων, κρατουμένων· μένον δ' οὐ-
δαμοῦ οὐδὲν ἔτι ἐδύνατο κατιδεῖν πλὴν τὸ τῶν Αἰγυπτίων·
οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, πάντοθεν κύκλον ποιησάμενοι,
ὥστε ὁρᾶσθαι τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο· καὶ
ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά.
41 Ἀγασθεὶς δὲ ὁ Κῦρος αὐτοὺς καὶ οἰκτείρων ὅτι ἀγαθοὶ [20]
ἄνδρες ὄντες ἀπώλλυντο, ἀνεχώρισε πάντας τοὺς περιμα-
χομένους καὶ μάχεσθαι οὐδένα ἔτι εἴα. πέμπει δὲ πρὸς αὐ-
τοὺς κήρυκα ἐρωτῶν πότερα βούλονται ἀπολέσθαι πάντες
ὑπὲρ τῶν προδεδωκότων αὐτοὺς ἢ σωθῆναι ἄνδρες ἀγαθοὶ
δοκοῦντες εἶναι. οἱ δ' ἀπεκρίναντο, Πῶς δ' ἂν ἡμεῖς σω-
42 θείημεν ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι; ὁ δὲ Κῦρος πάλιν
ἔλεγεν, Ὅτι ἡμεῖς ὑμᾶς ὁρῶμεν μόνους καὶ μένοντας καὶ

τοῦ ἵππου τῶν post τῶν punctis notat G. 39. ἤδη om. D. ἱστάσπας A. μὲν ἐμβαλεῖν A.G. ἐκέλευσεν A. παρελαύνων A.G. corr. s. v. r. Zonaras. παρὰ] περὶ D. κατασκέψασθαι] τα s. v. r. G. εἴ] εἴτί D. ἄλλοι μένοιεν D. μάχοιντο D. corr. r. μάχοιτο pr. 40. κρατουμένων· μένον] κρατουμένων, τῶν μὲν πολεμίων φευγόντων, τῶν δ' αὐτοῦ κρατούντων, κρατουμένων D.G. mg. r. ἠδύνατο A. ἠδύναντο G. κατειδεῖν G. et fort. A. pr. πάντοθεν κυκλοποιησάμενοι A.G., quod correxit Castalio. κύκλῳ πάντοσε ποιησάμενοι D. 41. δὲ] δὲ καὶ D. ὄντες om. G. ἀπώλλυντο] υ in lit. D. ἀνεχώρησε A.D.G. pr. πάντες] πάντας D. ὑπὲρ I.O. ὑπὸ A.D.G. αὐτὸν A.G. pr. οἱ δ' ἀπεκρίναντο om. A.G. mg. r.

ἀναβάλλει] Camerarius ex Livii 31, 37, comparavit locum de Philippo: *pavidumque regem in equum subjecit.* SCHN. V. ad Anab. 4, 4, 4.

39. Ὑστάσπας] V. s. 19.

ἐγένετο παρὰ τὰς μηχανάς] De constructione conf. ad 1, 4, 18.

40. πάντοθεν κύκλον ποιησάμενοι] Conf. ad Anab. 3, 1, 2. Hom. Od. Θ, 278: Ἀμφὶ δ' ἄρ' ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντῃ.

ὑπὸ ταῖς ἀσπέσιν ἐκάθηντο] Ut Lacedæmonii ad Platæas. Plut. Aristid. c. 17.

ἐποίουν μὲν οὐδὲν ἔτι] Heliodor. Æth. 9, 19: Πασχόντων πλείονα ἢ δρώντων, καρτερικῷ δὲ λήματι τὰ δεινὰ ὑπομενόντων. ZEUN.

41. σωθείημεν] Vix vestigium relictum

μάχεσθαι ἐθέλοντας. Ἀλλὰ τοὐντεῦθεν, ἔφασαν οἱ Αἰγύπτιοι, τί καὶ καλὸν ἂν ποιοῦντες σωθείημεν; καὶ ὁ Κῦρος αὖ πρὸς τοῦτο εἶπεν, Εἰ τῶν τε συμμαχομένων μηδένα προδόντες σωθείητε, τά τε ὅπλα ἡμῖν παραδόντες, φίλοι τε γενόμενοι τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν
43 ἀπολέσαι. ἀκούσαντες ταῦτα ἐπήροντο, Ἢν δὲ γενώμεθά [σοι φίλοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; ἀπεκρίνατο ὁ Κῦρος, Εὖ ποιεῖν καὶ εὖ πάσχειν. ἐπηρώτων πάλιν οἱ Αἰγύπτιοι, Τίνα εὐεργεσίαν; πρὸς τοῦτο εἶπεν ὁ Κῦρος, Μισθὸν μὲν ὑμῖν δοίην ἂν πλείονα ἢ νῦν ἐλαμβάνετε ὅσον ἂν χρόνον πόλεμος ᾖ· εἰρήνης δὲ γενομένης τῷ βουλομένῳ ὑμῶν μένειν παρ' ἐμοὶ χώραν τε δώσω καὶ πόλεις καὶ γυναῖκας
44 καὶ οἰκέτας. ἀκούσαντες ταῦτα οἱ Αἰγύπτιοι τὸ μὲν ἐπὶ Κροῖσον συστρατεύειν ἀφελεῖν σφίσιν ἐδεήθησαν· τούτῳ γὰρ μόνῳ γιγνώσκεσθαι ἔφασαν· τὰ δ' ἄλλα συνομολο-
45 γήσαντες ἔδοσαν πίστιν καὶ ἔλαβον. καὶ οἱ Αἰγύπτιοί τε οἱ καταμείναντες τότε ἔτι καὶ νῦν βασιλεῖ πιστοὶ διαμένουσι, Κῦρός τε πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις Αἰγυπτίων καλοῦνται, Λάρισαν δὲ καὶ Κυλλήνην παρὰ Κύμην πλησίον θαλάττης, ἃς ἔτι καὶ νῦν οἱ ἀπ' ἐκείνων ἔχουσι. ταῦτα δὲ διαπραξάμενος ὁ Κῦρος

42. θέλοντας A.G. τοὐντεῦθέν τοι D. τί] ὅτι A.G. pr. καὶ om. D. τοῦτο] αὐτοὺς D. τά τε] τὰ A.G. ἡμῖν om. D. ἐξὸν] ἐξ ὧν D. 43. φίλοι σοι D. δοίην ἂν] δοίην A.G. 44. νίκη κύρου G. mg. σφῖσιν A. γιγν.] συγ G. s. v. r. 45. καὶ οἱ] οἱ δὲ D. τε οἱ om. D. πιστοὶ βασιλεῖ D. αἰγυπτίων πόλεις D. λάρισσαν A.G. δὲ Zeunius. τε A.D.G.

in libris Xenophontis formarum σωθεῖμεν etc., ut dixi præf. ad Anab. p. xiii, etsi hæ quoque pariter atque formæ -οῖμεν et -ῷμεν, quas sæpius libri servarunt pro formis -οίημεν et -ῴημεν, solæ ejus dialecto conveniunt.

42. ὅτι] V. ad 4, 5, 11.

44. ἀφελεῖν σφίσιν] Sic infra 2, 26: Μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ. Aliud enim ἀφαιρεῖν quam ἀφαιρεῖσθαι. Cum γιγνώσκεσθαι conf. H. Gr. 5, 3, 9.

45. Κυλλήνην Zeunius suspicatur occupasse locum oppidi notioris Καρήνη apud Herodotum 7, 42, deinde verba παρὰ Κύμην putat transposita, et pertinere ad Larissam proprie, quæ περὶ Κύμην dicatur a Stephano Byzantino. Xen. Hist. Gr. 3, 1, 7, Λάρισσαν τὴν Αἰγυπτίαν καλουμένην Æolidis memorat. Cyllenen nemo præter Xenophontem nominavit. SCHN. Præter Eustath. Il. p. 300, 39: Ἔστι δέ φασι καὶ Κύμης Κυλλήνη. Quæ ille fortasse petiit ex integriori Stephani Byz. libro, quem in ceteris sequitur.

οἱ ἀπ' ἐκείνων] Atque horum posteros fuisse in exercitu Artaxerxis, ducente Tissapherne, Anabas. 1, 8, 9, probabilis est ibi Zeunii opinio, eo quidem magis, quod ibidem 2, 5, 13. Ægyptii Persis inimici dicuntur. Cognovit igitur horum ipsorum Ægyptiorum virtutem auditu et facto

ἤδη σκοταῖος ἀναγαγὼν ἐστρατοπεδεύσατο ἐν Θυμβράροις.

46 Ἐν δὲ τῇ μάχῃ τῶν πολεμίων Αἰγύπτιοι μόνοι ηὐδοκί- [22]
μησαν· τῶν δὲ σὺν Κύρῳ τὸ Περσῶν ἱππικὸν κράτιστον ἔδοξεν εἶναι· ὥστ' ἔτι καὶ νῦν διαμένει ἡ ὅπλισις ἣν τότε
47 Κῦρος τοῖς ἱππεῦσι κατεσκεύασεν. ηὐδοκίμησε δὲ ἰσχυρῶς καὶ τὰ δρεπανηφόρα ἅρματα· ὥστε καὶ τοῦτο ἔτι καὶ νῦν
48 διαμένει τὸ πολεμιστήριον τῷ ἀεὶ βασιλεύοντι. αἱ μέντοι κάμηλοι ἐφόβουν μόνον τοὺς ἵππους, οὐ μέντοι κατέκαινόν γε οἱ ἐπ' αὐτῶν ἱππεῖς, οὐδ' αὐτοί γε ἀπέθνησκον ὑπὸ ἱπ-
49 πέων· οὐδεὶς γὰρ ἵππος ἐπέλαζε. καὶ χρήσιμον μὲν ἐδόκει εἶναι· ἀλλὰ γὰρ οὔτε τρέφειν οὐδεὶς ἐθέλει καλὸς κἀγαθὸς κάμηλον ὥστ' ἐποχεῖσθαι οὔτε μελετᾶν ὡς πολεμήσων ἀπὸ τούτων. οὕτω δὴ ἀπολαβοῦσαι πάλιν τὸ ἑαυτῶν σχῆμα ἐν τοῖς σκευοφόροις διάγουσι.

ΚΕΦ. Β.

Καὶ οἱ μὲν ἀμφὶ τὸν Κῦρον δειπνοποιησάμενοι καὶ φυλακὰς καταστησάμενοι, ὥσπερ ἔδει, ἐκοιμήθησαν. Κροῖσος μέντοι εὐθὺς ἐπὶ Σάρδεων ἔφευγε σὺν τῷ στρατεύματι· τὰ δ' ἄλλα φῦλα ὅποι ἐδύνατο προσωτάτω ἐν τῇ νυκτὶ

46. τῶν] μὲν add. G. s. v. r. ηὐδ. hic et s. 47 E. εὐδ. A.D.G. τότε περσὸν D. ὥστε καὶ ἔτι νῦν D. ὅπλισις] πόλις A.G. pr. 48. μόνον] μὲν τῷ ὄντι D. ἱππῆς D. pr. ἐπέλαζε] ἐπέλεξεν D. 49. ὡς] ὥστε D. ἑαυτῶν] αὐτῶν D. 1. φύλακας D. ἔδει] ἐδόκει D. τὰ δὲ] τὰ δὴ A. pr. ὅποι Juntina. ὅπῃ A.D.G. ὅπῃ ἠδύναντο ἀπεχώρουν Zonaras.

Xenophon, nec erat, cur de narrationis fide dubitaret Weiskius, ablegans lectorem ad interpretes Curtii 4, 1, 30. SCHN.

ἀναγαγὼν] Suidas: Ἀναγαγὼν ἀντὶ τοῦ ἀπαγαγών· Ξενοφῶν. Quocum Coluthi 236: Ὅν ποτε κουρίζοντα δῆμος Ἀμυκλαίων ἠγάσσατο, μὴ Διὶ Λητὼ σκυζομένη καὶ τοῦτον ἀνήγαγεν, confert Jacobsius in Wolfii Anal. vol. 1, p. 101.

Θυμβράροις] V. ad 6, 2, 11.

46. μάχῃ] Ad Sardes commissa secundum Herodotum 1, 80, anno a. C. 546, e computo Reizii, uti admonet Zeunius. SCHN.

ἡ ὅπλισις] 4, 5, 58; 6, 2, 16. ZEUN.

κατεσκεύασεν] Paulo insolentior est dictio ἣν τοῖς ἱππεῦσι κατεσκεύασε; usitatior erat ᾗ τοὺς ἱππέας κατεσκεύασεν, ut supra 6, 1, 51, τοὺς ἵππους χαλκοῖς προβλήμασι κατεσκευάσατο. SCHN. H. Gr. 4, 2, 7, ὅπλα εἰς τὴν στρατιὰν κ.

47. τὸ πολεμιστήριον] V. ad 8, 8, 26.

49. σχῆμα singulari usu significat habitum, usum et ornatum camelorum ad bellicum usum instructarum. SCHN.

1. ἐπὶ Σάρδεις, ut s. 2 et hic Zonaras, est contra Sardes, at ἐπὶ Σάρδεων est Sardes versus. SCHN.

τὰ ἄλλα φῦλα ὅποι ἐδύνατο—ἕκαστος ἀπεχώρει] V. annot. ad H. Gr. 1,

2 τῆς ἐπ' οἶκον ὁδοῦ ἕκαστος ἀπεχώρει. ἐπειδὴ δὲ ἡμέρα ἐγέ-
νετο, εὐθὺς ἐπὶ Σάρδεις ἦγε Κῦρος. ὡς δ' ἐγένετο πρὸς τῷ
τείχει τῷ ἐν Σάρδεσι, τάς τε μηχανὰς ἀνίστη ὡς προσβα-
3 λῶν πρὸς τὸ τεῖχος καὶ κλίμακας παρεσκευάζετο. ταῦτα δὲ
ποιῶν κατὰ τὰ ἀποτομώτατα δοκοῦντα εἶναι τοῦ Σαρδια-
νῶν ἐρύματος τῆς ἐπιούσης νυκτὸς ἀναβιβάζει Χαλδαίους

ἐπ' οἶκον ὁδοῦ] ἐποικόνου D. 2. ἐπεὶ δὲ δὴ A.G. ἐπεὶ δὲ M. σάρδις D. πρὸς τῷ τείχει G. mg. r. τῷ τείχει—πρὸς om. D. προσβαλὼν A.

7, 5: Μετὰ ταῦτα δὲ οἱ στρατηγοὶ βραχέως ἕκαστος ἀπελογήσατο. Anab. 1, 8, 9: Πάντες οὗτοι κατὰ ἔθνη ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον τὸ ἔθνος ἐπορεύετο. Similiter ib. 2, 1, 15: Οὗτοι μὲν ἄλλος ἄλλα λέγει.

2. τῷ τείχει τῷ ἐν Σάρδεσι] Mœnia Sardium et *ἐρύματα* deinde munitiones vertit Camerarius. Weiskius *muros urbis* interpretatur, *ἔρυμα* vero arcem. Verum nullo modo Græce urbis muri *τὸ ἐν Σάρδεσι τεῖχος* bis dici potuit, sed est potius idem quod statim *τὸ Σαρδιανῶν ἔρυμα* dicitur, arx urbis, *ἀκρόπολις, ἄκρα*. Ubi Xenophon ab arce muros urbis distinguit, utitur plurali: Ὡς δ' ἐγένετο δῆλον ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ ἔφυγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅπῃ ἠδύνατο ἕκαστος τῆς πόλεως. SCHN.

3. τοῦ Σαρδιανῶν ἐρύματος] Deteriorum librorum scripturam *τῶν Σαρδιανῶν ἐρύματα* servatam maluit Hemsterh. ad Luciani Contempl. c. 9, vol. 1, p. 501. Contra quem Zeunius ratione hac utitur: Ex Herodoto 1, 84, patere, ut ex sequentibus, non omnia *ἐρύματα* vel munimenta seu muros urbis fuisse præruptos et inaccessos, sed tantum partem non urbis, sed arcis, qua etiam arx clam fuerit occupata. Igitur *τὸ Σαρδιανῶν ἔρυμα* esse arcem Sardianorum, quæ mox dicatur *ἀκρόπολις, τὰ ἄκρα* et bis *ἡ ἄκρα*, apud Ælianum V. H. 1, 25, *ἡ ἄκρα ἡ ἐν Σάρδεσι*, ut apud Polybium 7, 4, quem locum dignum esse qui comparetur cum nostro. Recte, nec habet ulla locum dubitatio *ἔρυμα* esse idem quod *ἀκρόπολις* et *ἄκρα*. Verum in Xenophonte difficultatem etiamnum et quidem permagnam habet, quod post *τείχους, ἐρύματος* et *ἄκρας* captæ mentionem denuo *τειχῶν* nomen ponitur, quæ diversa esse oportet a *τῷ τείχει τῷ ἐν Σάρδεσι*. In Herodoti loco 1, 80, et 84, nihil præsidii petere licebit. Simpliciter enim *τὸ τεῖχος*, etiam *τὸ τεῖχος τῶν Λυδῶν* vocatur, et ubi de Mardi Hyrœadæ invento sermo est, *κατὰ τοῦτο τῆς ἀκροπόλιος, τῇ οὐδεὶς ἐτέτακτο φύλακος—ἀπότομός τέ γάρ ἐστι ταύτῃ ἡ ἀκρόπολις καὶ ἄμαχος*: deinde *κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ ἦν ἐπίμαχον τὸ χωρίον τῆς ἀκροπόλιος—ἔστι δὲ πρὸς τοῦ Τμώλου τετραμμένον τῆς πόλιος*. Tantum id lucramur ex Herodoti notitia partem urbis munitissimam, quæ *τεῖχος* et *ἀκρόπολις* dicitur, conversam contra montem Tmolum fuisse. Ab ista arce Herodotus *τὸ ἄστυ* ibidem et c. 88, *τὸ τῶν Λυδῶν ἄστυ* distinguit. Arce igitur inclusus cum copiis suis videtur esse captus Crœsus; hinc *ἁλισκομένου δὲ τοῦ τείχεος ἤϊε τῶν τις Περσέων ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων*. Igitur in Xenophonte tutius nunc licebit *τὸ ἐν Σάρδεσι τεῖχος*, et sicubi deinde simpliciter *τεῖχος* nominatur, uti *τὸ τῶν Σαρδιανῶν ἔρυμα*, ut apud Herodotum *τὸ τῶν Λυδῶν τεῖχος*, de arce interpretari: contra *τὰ τείχη* alia ratione interpretari debemus, nec ullo modo lectio antiqua *τὰ ἀποτομώτατα τῶν Σαρδιανῶν ἐρύματα* ad illa trahi possunt: quanquam video magnum virum, ubi Luciani l. c. de arce Sardium explicat: *τὴν μεγάλην ἀκρόπολιν τὴν τὸ τριπλοῦν τεῖχος* [*ἔχουσαν* add. duo codd.], de triplice isto muro arcis Xenophontis *ἐρύματα* interpretatum esse. Si triplex urbis murus commemoratus fuisset ab historico, facile istuc *τὰ τείχη* a Xenophonte nominata, ut diversa a *τῷ τείχει τῷ ἐν Σάρδεσι* et

τε καὶ Πέρσας. ἡγήσατο δ' αὐτοῖς ἀνὴρ Πέρσης δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν καὶ καταμεμαθηκὼς κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν
4 αὐτήν. ὡς δ' ἐγένετο τοῦτο δῆλον ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν ὅποι ἐδύνατο ἕκαστος τῆς πόλεως. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰσῄει εἰς τὴν πόλιν καὶ παρήγγειλεν ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι.
5 ὁ δὲ Κροῖσος κατακλεισάμενος ἐν τοῖς βασιλείοις Κῦρον [2]
ἐβόα· ὁ δὲ Κῦρος τοῦ μὲν Κροίσου φύλακας κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν ὡς εἶδε τοὺς μὲν Πέρσας φυλάττοντας τὴν ἄκραν, ὥσπερ ἔδει, τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα, κατεδεδραμήκεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν, εὐθὺς συνεκάλεσεν αὐτῶν τοὺς

3. καὶ καταμ.] καταμ. A.G. pr. κατάβασίν τινα καὶ D., qui mg. ση. ὅπως αἱ σάρδις ἑάλωσαν. ἀνάβασιν] τὴν ἀνάβασιν A.G. 4. ὅποι E.Q. ὅπου (?) H. ὅπῃ A.D.G. 5. κατέλειπεν D.G. κατεδεδραμήκεσαν] κατεδραμήκεσαν D.E. καταδεδραμήκεσαν A.G. ἁρπαζόμενοι A.G. corr. s.v.r. τὰ om. A.D.G. pr.

τῷ τῶν Σαρδιανῶν ἐρύματι, trahere liceret. Nunc dubius hæreo; et tamen τὰ τείχη ad urbis muros quam ad triplicem arcis murum referre malim. In causa maxima dubitationis nostræ est ambigua Xenophontis dictio. Multa egregia ex historicis antiquis de Sardium arce dolo capta repetiit et docet Hemsterhusius ad Luciani locum, ex quibus huc pertinet locus Strabonis 13, p. 625, de Sardibus, ἄκραν εὐερκῆ ἔχουσα, magis etiam locus Charonis Lampsaceni apud Plutarch. contra Herod. disputantem Mor. p. 861 D: Ἑλεῖν τὰ περὶ Σάρδεις ἅπαντα χωρὶς τοῦ τείχεος τοῦ βασιληΐου. Omnium aptissimus est locus Polybii 7, c. 15, ubi Sardium arx dolo capta narratur simili vel plane eodem: Συνθεωρήσας δὲ τὸ κατὰ τὸν καλούμενον Πρίονα τεῖχος ἀφυλακτούμενον, οὗτος δ' ἐστὶ τόπος ὁ συνάπτων τὴν ἄκραν καὶ τὴν πόλιν. Pars igitur ea loci, ubi urbs conjungebatur cum arce, Πρίων audit: quam puto ad Tmolum montem pertinuisse, nomen a simitudine serræ vel asperitate nactam. Strabo 14, p. 633, ubi Ephesi situm depingit: Ἐκαλεῖτο μὲν λεπρὴ ἀκτὴ ὁ πρίων ὑπερκείμενος τῆς νῦν πόλεως, ἔχων μέρος τοῦ τείχους αὐτῆς· τὰ γοῦν ὄπισθεν τοῦ πρίονος κτήματα ἔτι νυνὶ λέγεται ἐν τῇ Ὀπισθολεπρίᾳ. Antoninus Liberalis ex Bœo γῆς τῆς Ἐφεσίας, ἵν' ἐστὶ νῦν ὁ πρηὼν παρὰ τὴν πόλιν, narrans c. 11, eundem locum intelligi vult; adeo ut scriptura dubia sit; collem et partem montis, fortasse Tmoli, urbi Epheso et Sardibus imminentem, præruptum, utrobique dici manifestum est. SCHN. Etiam apud Strab. verum Πρηών. V. Steph. Thes.

ἀνὴρ Πέρσης] Secundum Herodotum fuit Hyrœades Mardus. ZEUN.

ποταμὸν] Apud Herodotum 5, 101, medium forum prætereuntem. Ovidius Metam. 11, 137, vicinum Sardibus amnem Pactolum vocat. SCHN.

5. ἐβόα] Clamans advocabat in auxilium contra militum irruentium insolentiam. SCHN. Conf. autem Herodot. 1, 85. ZEUN. Constructionis alia exempla v. in Thes. Steph.

ὅπλα ἔρημα] Tentoria s. castra. Conf. ad Hist. Gr. 2, 4, 6. Fecerant quod Cyrus vetuerat, ἐκ τῆς τάξεως κινεῖσθαι. SCHN. Hist. Gr. 7, 4, 6: Λαβόντες τῶν φρουρῶν τὰ ὅπλα ἔρημα. V. Schneider. Ind. Anab. in v. et infra ad s. 8. Est locus ubi arma posuerant.

ἄρχοντας καὶ εἶπεν αὐτοῖς ἀπιέναι ἐκ τοῦ στρατεύματος ὡς
6 τάχιστα. Οὐ γὰρ ἄν, ἔφη, ἀνασχοίμην πλεονεκτοῦντας
ὁρῶν τοὺς ἀτακτοῦντας. καὶ εὖ μέν, ἔφη, ἐπίστασθε ὅτι
παρεσκευαζόμην ἐγὼ ὑμᾶς τοὺς ἐμοὶ συστρατευομένους
πᾶσι Χαλδαίοις μακαριστοὺς ποιῆσαι· νῦν δ', ἔφη, μὴ
θαυμάζετε ἤν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ.
7 ἀκούσαντες ταῦτα οἱ Χαλδαῖοι ἔδεισάν τε καὶ ἱκέτευον [3]
παύσασθαι ὀργιζόμενον καὶ τὰ χρήματα πάντα ἀποδώσειν
ἔφασαν. ὁ δ' εἶπεν ὅτι οὐδὲν αὐτῶν δέοιτο. ἀλλ' εἴ με,
ἔφη, βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε πάντα ὅσα
ἐλάβετε τοῖς διαφυλάξασι τὴν ἄκραν. ἢν γὰρ αἴσθωνται οἱ
ἄλλοι στρατιῶται ὅτι πλεονεκτοῦσιν οἱ εὔτακτοι γενόμενοι,
8 πάντα μοι καλῶς ἕξει. οἱ μὲν δὴ Χαλδαῖοι οὕτως ἐποί-
ησαν ὡς ἐκέλευσεν ὁ Κῦρος· καὶ ἔλαβον οἱ πειθόμενοι
πολλὰ καὶ παντοῖα χρήματα. ὁ δὲ Κῦρος καταστρατοπε-
δεύσας τοὺς ἑαυτοῦ ὅπου ἐδόκει τὸ ἐπιτηδειότατον εἶναι
τῆς πόλεως μένειν ἐπὶ τοῖς ὅπλοις παρήγγειλε καὶ ἀριστο-
ποιεῖσθαι.
9 Ταῦτα δὲ διαπραξάμενος ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν [4]
Κροῖσον. ὁ δὲ Κροῖσος ὡς εἶδε τὸν Κῦρον, Χαῖρε, ὦ
δέσποτα, ἔφη· τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ ἀπὸ τοῦδε
10 δίδωσι σοὶ καὶ ἐμοὶ προσαγορεύειν. Καὶ σύ γε, ἔφη, ὦ
Κροῖσε, ἐπείπερ ἄνθρωποί γέ ἐσμεν ἀμφότεροι. ἀτάρ, ἔφη,

ὡς om. A.G. 6. συστρατευσαμένους D. κρείσσω A.G. pr. 7. τε om. D. πάντα om. D. ἀποδόσειν D. pr. ἄλλου D. 8. τὸ om. D. εἶναι om. A.G. ἐπὶ om. A.G. παρήγγειλε καὶ] παρήγγειλεν A.G. 9. αὐτῷ D.G., qui ταῦτα διαπρ.—κροῖσον mg. r., quæ om. A. idemque ὁ δὲ—κῦρον. ἔφη post χαῖρε D. καὶ om. A.G. s. v. r. τὸ om. D. σοι] μοι A.G. pr., qui post καὶ s. v. r. ἐμοὶ, quod om. A. 10. ἐπείπερ—ὦ κροῖσε G. mg. r.

ἁρπασόμενοι] In Hipparchico 4, 17, est ἁρπάσοντας. SCHN. Nisi fallit scriptura, ut in ἀναρπάσεις pro ἀναρπάσει Eur. Ion. 1303. Sæpius ita recentiores.

6. μακαριστοὺς] Conf. 3, 2, 26. ZEUN.

κρείττων ἐντύχῃ] Minæ ambiguæ magis feriunt animos, recte admonente Zeunio. SCHN.

7. πλεονεκτοῦσιν] Similia Hipparch. 1, 24, infra 8, 4, 4.

8. ὅπλα sunt h. l. castra sive quod supra fuit ἐν τῇ τάξει. SCHN.

9. τοῦτο] Refertur ad δέσποτα, jungiturque cum ἔχειν et προσαγορεύειν, ut Eur. Phœn. 11: Καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ ἔθετο, de quo Matthiæ Gram. §. 435.

10. καὶ σύ γε] Aristoph. Pac. 718: Ἀλλ', ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά.—Καὶ σύ γε, ὤνθρωπε, χαίρων ἄπιθι· Ran. 164: Καὶ χαῖρε πόλλ' ὦδελφέ.—Νὴ Δί καὶ σύ γε ὑγίαινε. Lys. 6: Χαῖρ' ὦ Καλονίκη.—Καὶ σύ γ', ὦ Λυσιστράτη.

ὦ Κροῖσε, ἆρ' ἄν τί μοι ἐθελήσαις συμβουλεῦσαι; Καὶ βουλοίμην γ' ἄν, ἔφη, ὦ Κῦρε, ἀγαθόν τί σοι εὑρεῖν·
11 τοῦτο γὰρ ἂν οἶμαι ἀγαθὸν κἀμοὶ γενέσθαι. Ἄκουσον τοίνυν, ἔφη, ὦ Κροῖσε· ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας πολλὰ πεπονηκότας καὶ πολλὰ κεκινδυνευκότας καὶ νῦν νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην ἐν τῇ Ἀσίᾳ μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας. γιγνώσκω γάρ, ἔφη, ὅτι εἰ μή τινα καρπὸν λήψονται τῶν πόνων, οὐ δυνήσομαι αὐτοὺς πολὺν χρόνον πειθομένους ἔχειν. διαρπάσαι μὲν οὖν αὐτοῖς ἐφεῖναι τὴν πόλιν οὐ βούλομαι· τήν τε γὰρ πόλιν νομίζω ἂν διαφθαρῆναι, ἔν τε τῇ ἁρπαγῇ εὖ οἶδ' ὅτι οἱ πονηρότατοι πλεονεκτήσειαν ἄν.
12 ἀκούσας ταῦτα ὁ Κροῖσος ἔλεξεν, Ἀλλ' ἐμέ, ἔφη, ἔασον λέξαι πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω ὅτι διαπέπραγμαι παρὰ σοῦ μὴ ποιῆσαι ἁρπαγὴν μηδὲ ἐᾶσαι ἀφανισθῆναι παῖδας καὶ γυναῖκας· ὑπεσχόμην δέ σοι ἀντὶ τούτων ἦ μὴν παρ' ἑκόντων Λυδῶν ἔσεσθαι πᾶν ὅ τι καλὸν κἀγαθὸν ἔστιν
13 ἐν Σάρδεσιν. ἢν γὰρ ταῦτα ἀκούσωσιν, οἶδ' ὅτι ἥξει σοι πᾶν ὅ τι ἐστὶν ἐνθάδε καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί· καὶ ὁμοίως εἰς νέωτα πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πόλις ἔσται· ἢν δὲ διαρπάσῃς, καὶ αἱ τέχναι σοι, ἃς

ἄρ' A.G. καὶ om. A.G. s. v. r. γ' om. D. καὶ ἐμοὶ D. 11. πεποιηκότας A. et fort. G. pr. ὅτι om. D. τῶν πόνων λ. D. αὐτοῖς om. D. δύναμαι D. γρ. βούλομαι mg. ead. m. ἂν] ἅμα D. διαφθαρῆναι] διαρπαγῆναι A.G. corr. in textu et mg. r. τῇ om. D. πλεονεκτήσαιεν A.G. ἂν om. D. 12. θέλω D. διαπέπραγμαι] πε s. v. ead. m. D. παρὰ] ἐγὼ παρὰ D. ὑπισχνοῦμαι D. καὶ ἀγαθόν D. 13. ἥξει σοι] ἥξουσι A.G. καὶ] ἢ D. σοι om. A.G. ἔσται om. A.G. s. v. r. ante ἡ πόλις D.

ἐθελήσαις—βουλοίμην] V. ad 8, 7, 26.

συμβουλεῦσαι] Herodotus 1, 88. Crœsi consilium a Cyro non expetitum habet. Sed Cyrus Xenophonteus est modestior et imitatione dignior quam Herodoteus. ZEUN.

ἀγαθόν—εὑρεῖν] *Utilis esse velim.* Conf. Hist. Gr. 4, 1, 10. SCHN.

11. τὴν πλουσιωτάτην] Conf. Herodot. 1, 29, Strabo 13, p. 625 seq., Plin. 5, 29. HUTCH. Quod τῶν addunt *alii codices* Brodæi et Zonaras, conf. cum 4, 6, 11.

τοὺς στρατιώτας—τοὺς στρατιώτας] V. 8, 5, 13. ZEUN. Alterum om. I.O.

πλεονεκτήσειαν ἄν] Sententia eadem est apud Livium 5, 20: *ita ferme eveniat, ut segnior sit prædator, ut quisque laboris periculique præcipuam petere partem soleat.* SCHN.

13. καλὸν κἀγαθόν] Statim sequitur ὅ τι ἐστὶν ἐνθάδε καλὸν κτῆμα. supra dicuntur 6, 2, 32, ἀγαθὰ Λύδια. Herodotus 1, 207, ἀγαθὰ Περσικὰ dicit, et statim καλὰ μεγάλα subjungit, et epulas opipare paratas ἀγαθὰ πολλὰ vocat. V. etiam supra 5, 5, 19. SCHN.

ἥξει σοι] Conf. ἐλθόντα s. 14.

τέχναι] Artes, quas desiderat fructuosa vitium, olearum, ficuum cultura, præcipue intelligi, comparato loco 6, 2, 22, monet Weiskius. SCHN.

14 πηγάς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. ἐξ-
έσται δέ σοι ἰδόντι τὰ ἐλθόντα ἔτι καὶ περὶ τῆς ἁρπαγῆς
βουλεύσασθαι. πρῶτον δ', ἔφη, ἐπὶ τοὺς ἐμοὺς θησαυροὺς
πέμπε καὶ παραλαμβανόντων οἱ σοὶ φύλακες παρὰ τῶν
ἐμῶν φυλάκων. ταῦτα μὲν δὴ ἅπαντα οὕτω συνῄνεσε [6]
ποιεῖν ὁ Κῦρος ὥσπερ ἔλεξεν ὁ Κροῖσος.
15 Τάδε δέ μοι πάντως, ἔφη, Κροῖσε, λέξον πῶς σοι ἀπο-
βέβηκε τὰ ἐκ τοῦ ἐν Δελφοῖς χρηστηρίου· σοὶ γὰρ δὴ
λέγεται πάνυ γε τεθεραπεῦσθαι ὁ Ἀπόλλων καί σε πάντα
16 ἐκείνῳ πειθόμενον πράττειν. Ἐβουλόμην ἄν, ἔφη, ὦ
Κῦρε, οὕτως ἔχειν· νῦν δὲ πάντα τἀναντία εὐθὺς ἐξ ἀρχῆς
πράττων προσηνέχθην τῷ Ἀπόλλωνι. Πῶς δέ; ἔφη ὁ
17 Κῦρος· δίδασκε· πάνυ γὰρ παράδοξα λέγεις. Ὅτι πρῶ- [7]
τον μέν, ἔφη, ἀμελήσας ἐρωτᾶν τὸν θεόν, εἴ τι ἐδεόμην,
ἀπεπειρώμην αὐτοῦ εἰ δύναιτο ἀληθεύειν. τοῦτο δ', ἔφη,
μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοί, ἐπειδὰν
18 γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. ἐπεὶ
μέντοι ἔγνω καὶ μάλ' ἄτοπα ἐμοῦ ποιοῦντος καὶ πρόσω
19 Δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω περὶ παίδων. ὁ δέ μοι
τὸ μὲν πρῶτον οὐδ' ἀπεκρίνατο· ἐπεὶ δ' ἐγὼ πολλὰ μὲν
πέμπων ἀναθήματα χρυσᾶ, πολλὰ δ' ἀργυρᾶ, πάμπολλα
δὲ θύων ἐξιλασάμην ποτὲ αὐτόν, ὡς ἐδόκουν, τότε δή μοι
ἀποκρίνεται ἐρωτῶντι τί ἄν μοι ποιήσαντι παῖδες γένοιντο·
20 ὁ δὲ εἶπεν ὅτι ἔσοιντο. καὶ ἐγένοντο μέν, οὐδὲ γὰρ οὐδὲ

14. ἔξεστι G. s. v. r. τὰ] ταῦτα D.G. mg. r. θησαυροὺς D. mg. al. m. Libri παραλαμβανέτωσαν. πάντα D. οὕτως A.D. συνῄνεσεν ὁ κῦρος ποιεῖν D. 15. τάδε δέ E. et reliqui libri. τάδε A. τά δέ D.G. πάντα ἔφη A. ἔφη πάντως D. ὦ κροῖσε D. σοι om. A.G. τὰ ἐν δελφοῖς χρηστήρια D. γε om. D. τεθεραπεῦσαι A. τε s. v. al. m. D. 16. ἂν] δ' ἂν D. πῶς δὲ] πῶς D. 17. εἰ δύναιτο] εἰδέναι τὸ A. 18. μέντοι] δὲ M. δελφῶν] δὲ ἀφ' ὧν D. 19. μοι om. D. οὐδ'] οὐκ G. 20. ἐγένετο A.G. corr. s. v. r. οὐδὲ γὰρ] οὐ γὰρ D.

14. ἐλθόντα] Est id, quod s. 13, erat ἥξει σοι πᾶν ὅ τι ἐστὶ καλὸν κτῆμα ἐνθάδε. SCHN.

παραλαμβανέτωσαν] παραλαμβανόντων scripsisse Xenophontem, ut dixi ad Anab. p. xvi, persuadent quæ ex L. annotavimus ad 3, 3, 50, et ex aliis libris ad 8, 6, 11.

17. ἀπεπειρώμην] Herodotum compara 1, 46. SCHN.

τοῦτο] Sequi debebat ἐπειδὰν πάθωσι: cujus loco repetiit id quod pronomine contineretur. V. ad 8, 1, 10.

18. ἔγνω] Homer. Il. Δ, 357: Ὣς γνῶ χωομένοιο. Plato Apolog. p. 27 A: Ἆρα γνώσεται Σωκράτης ἐμοῦ χαριεντιζομένου; SCHN.

19. ἀναθήματα] Recenset Herodotus 1, 50 seqq. ZEUN.

20. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο] De duplici οὐδὲ post Hemsterh. ad

τοῦτο ἐψεύσατο, γενόμενοι δὲ οὐδὲν ὤνησαν. ὁ μὲν γὰρ κωφὸς ὢν διετέλει, ὁ δὲ ἄριστος γενόμενος ἐν ἀκμῇ τοῦ βίου ἀπώλετο. πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφοραῖς πάλιν πέμπω καὶ ἐπερωτῶ τὸν θεὸν τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι ἀπεκρίνατο,

21 Σαυτὸν γιγνώσκων εὐδαίμων, Κροῖσε, περάσεις.

ἐγὼ δ' ἀκούσας τὴν μαντείαν ἥσθην· ἐνόμιζον γὰρ τὸ ῥᾷστόν μοι αὐτὸν προστάξαντα τὴν εὐδαιμονίαν διδόναι. ἄλλους μὲν γὰρ γιγνώσκειν τοὺς μὲν οἷόν τ' εἶναι τοὺς δ' οὔ· ἑαυτὸν
22 δὲ ὅστις ἐστὶ πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι. καὶ τὸν μετὰ ταῦτα δὴ χρόνον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις· ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ Ἀσσυρίου ἐφ' ὑμᾶς στρατεύεσθαι, εἰς πάντα κίνδυνον ἦλθον· ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών. οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν. ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ θεῷ ἀπῆλθον καὶ αὐτὸς καὶ οἱ σὺν ἐμοί.
23 νῦν δ' αὖ πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος καὶ ὑπὸ τῶν δεομένων μου προστάτην γενέσθαι καὶ ὑπὸ τῶν δώρων ὧν ἐδίδοσάν μοι καὶ ὑπ' ἀνθρώπων, οἵ με κολακεύοντες ἔλεγον ὡς εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο καὶ μέγιστος ἂν εἴην ἀνθρώπων, ὑπὸ τοιούτων δὲ λόγων ἀναφυσώμενος, ὡς εἵλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν

διατελεῖ D. σαυτὸν] ἑαυτὸν D. 21. ἐγὼ] ἐπεὶ A.G. τὸ] τό γε D. οἷόν] οἵους D. δὲ om. D. ἀνθρώπων D. 22. τὸν] τὸ D. corr. χρόνον—εἶχον om. D. ἱκανὸν] ἱκανῶς A.G. corr. s. v. r. ἱκανὸν εἶναι D. 23. θέλοιμι D. ἐμοὶ] μοι G. δὲ] δὴ P.Q.

Luciani Nigrin. c. 6 diximus ad Steph. Thes. v. Οὐδὲ p. 2367 D.

διατελεῖ] Ita cum D. dedi pro διετέλει. Crœsus nondum resciverat vel animadverterat, quod accidisse filio hucusque muto narrat Herodotus 1, 85, filium vocis usum subito in periculo patris capitalis accepisse. SCHN. Διετέλει non obstat quominus Crœsus filium etiam tum mutum putaret, quum hæc loqueretur. Nam refertur ad sequens πιεζόμενος πέμπω.

ἀπώλετο] Atys, de quo Herodotus 1, 34. SCHN.

ἐπερωτῶ] Choricius p. 15 ed. Boiss.: Ὁ αὐτὸς τοίνυν οὗτος θεὸς πρὸς τὸν αὐτὸν ἄνδρα πυθόμενον ὅπως ἂν εὐτυχῶς διέλθοι τὸν βίον, Σαυτὸν, ἔφη, γινώσκων, εὐδαίμων, Κροῖσε, περάσεις.

περάσεις] Vitam, ut Comment. 2, 1, 31: Ἐπιπόνως διὰ γήρως περῶντες.

22. ὑπὸ τοῦ Ἀσσυρίου] 1, 5, 3.

ἐσώθην] 4, 2, 29.

24 στρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιστος γενέσθαι, ἀγνοῶν ἄρα
ἐμαυτόν, ὅτι σοὶ ἀντιπολεμεῖν ἱκανὸς ᾤμην εἶναι, πρῶτον
μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι,
ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι· τῶν δ' ἐμῶν προγό-
νων ἀκούω τὸν πρῶτον βασιλεύσαντα ἅμα τε βασιλέα καὶ
ἐλεύθερον γενέσθαι. ταῦτ' οὖν ἀγνοήσας δικαίως, ἔφη, ἔχω
25 τὴν δίκην. ἀλλὰ νῦν δή, ἔφη, ὦ Κῦρε, γιγνώσκω μὲν
ἐμαυτόν· σὺ δ', ἔφη, δοκεῖς ἔτι ἀληθεύσειν τὸν Ἀπόλλω
ὡς εὐδαίμων ἔσομαι γιγνώσκων ἐμαυτόν; σὲ δὲ ἐρωτῶ διὰ
τοῦτο ὅτι ἄριστ' ἄν μοι δοκεῖς εἰκάσαι τοῦτο ἐν τῷ παρόν-
τι· καὶ γὰρ δύνασαι ποιῆσαι.

26 Καὶ ὁ Κῦρος εἶπε, Βουλήν μοι δὸς περὶ τούτου, ὦ [8]
Κροῖσε· ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν εὐδαιμονίαν οἰ-
κτείρω τέ σε καὶ ἀποδίδωμι ἤδη γυναῖκά τε ἔχειν ἣν εἶχες καὶ
τὰς θυγατέρας, ἀκούω γάρ σοι εἶναι, καὶ τοὺς φίλους καὶ
τοὺς θεράποντας καὶ τράπεζαν σὺν οἵαπερ ἐζῆτε· μάχας δέ
27 σοι καὶ πολέμους ἀφαιρῶ. Μὰ Δία μηδὲν τοίνυν, ἔφη ὁ
Κροῖσος, σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ τῆς ἐμῆς
εὐδαιμονίας· ἐγὼ γὰρ ἤδη σοι λέγω, ἢν ταῦτά μοι ποιήσῃς
ἃ λέγεις, ὅτι ἣν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι
βιοτὴν καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν
28 ἔχων διάξω. καὶ ὁ Κῦρος εἶπε, Τίς δὴ ὁ ἔχων ταύτην τὴν

24. δὲ om. D. δ' ἐκ] ἐκ D. τε post βασιλέα D. δίκην] νίκην G. corr. s. v. r. 25. δὴ] γὰρ δὴ D. γιγνώσκων A.G. pr. ἔσομαι] ομ in lit. et ras. G. ἐρωτῶν A.G. pr. δοκεῖς] εἰ δοκεῖς D. τούτω D. ὅτι om. G. δοκῇς G. corr. 26. γάρ] δέ D. εἶχες] ἔχεις A.G. ἐζῆτε E P.Q. ἐζῶτε A.G. ἔζωτε D. σοι] σε G. 27. ἐμοῦ D. ποιήσαις A.G. corr. λέγεις] σὺ λέγεις D. μακαριστοτάτην D. ἔχων in litura G. 28. δὴ] δ' ἢν D. δὲ G. s.v.r. ἡ ἐμὴ] ἤ'μὴ D.

24. *ἐκ θεῶν*] Gentis enim regiæ Persidarum auctor perhibebatur Perseus, Jovis ex Danaë filius. Conf. supra 1, 2, 1. SCHN. De Cyro autem, quem *λυχνοποιὸν* Astyagis dicit Dio Chrys. Or. 15, vol. 1, p. 453, *ἰδιώτην* Diodor. 13, 22, conf. Wessel. ad l.

διὰ βασιλέων] A longa regum præcedentium serie prognato et orto. SCHN.

ἅμα τε βασιλέα] De Gyge compara Herodotum 1, 7, Platonem Reip. 2, p. 359 C, quem sequitur Cicero Offic. 3, 9, Justinum 1, 7, 17. SCHN.

ταῦτ' οὖν ἀγνοήσας] Repetitur sic post *ἀγνοῶν*, ut *νομίσαντες* post *νομίζοντες* apud Thucyd. 5, 22, 2. Vicissim supra 4, 2, 3, *ἐνθυμουμένοις* repetitur post *ἐννοηθέντες*.

ἔχω τὴν δίκην] Eadem dictio in Plat. Reip. 7, p. 529 C, Lysiæ Epitaphio p. 59. SCHN.

26. Βουλήν] Deliberandi tempus, non, ut vulgo vertitur, Consilium. Herodot. 7, 12: *Νυκτὶ βουλὴν διδοὺς* (sibi) *εὕρισκε*.

εἶχες] Quippe captivam amiserat captivus.

ἀφαιρῶ] V. ad 7, 1, 44.

μακαρίαν βιοτήν; Ἡ ἐμὴ γυνή, εἶπεν, ὦ Κῦρε· ἐκείνη γὰρ τῶν μὲν ἀγαθῶν καὶ τῶν μαλακῶν καὶ εὐφροσυνῶν πασῶν ἐμοὶ τὸ ἴσον μετεῖχε, φροντίδων δὲ ὅπως ταῦτα ἔσται καὶ πολέμου καὶ μάχης οὐ μετῆν αὐτῇ. οὕτω δὴ καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν ὥσπερ ἐγὼ ἣν ἐφίλουν μάλιστα ἀνθρώπων, ὥστε τῷ Ἀπόλλωνι ἄλλα μοι δοκῶ
29 χαριστήρια ὀφειλήσειν. ἀκούσας δ᾽ ὁ Κῦρος τοὺς λόγους αὐτοῦ ἐθαύμασε μὲν τὴν εὐθυμίαν, ἦγε δὲ τὸ λοιπὸν ὅποι καὶ αὐτὸς πορεύοιτο, εἴτε ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος.

ΚΕΦ. Γ.

Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. τῇ δ᾽ ὑστεραίᾳ καλέσας ὁ Κῦρος τοὺς φίλους καὶ τοὺς ἡγεμόνας τοῦ στρατεύματος, τοὺς μὲν αὐτῶν ἔταξε τοὺς θησαυροὺς παραλαμβάνειν, τοὺς δ᾽ ἐκέλευσεν ὁπόσα παραδοίη Κροῖσος χρήματα, πρῶτον μὲν τοῖς θεοῖς ἐξελεῖν ὁποῖ᾽ ἂν οἱ μάγοι ἐξηγῶνται, ἔπειτα τἄλλα χρήματα παραδεχομένους ἐν ζυγάστροις στήσαντας ἐφ᾽ ἁμαξῶν ἐπισκευάσαι καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν ὅποιπερ ἂν αὐτοὶ πορεύωνται, ἵνα ὅπῃ
2 καιρὸς εἴη διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια. οἱ μὲν δὴ ταῦτ᾽ ἐποίουν.

Ὁ δὲ Κῦρος καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν, Εἴπατέ μοι, ἔφη, ἑόρακέ τις ὑμῶν Ἀβραδάταν; θαυμάζω γάρ, ἔφη, ὅτι πρόσθεν θαμίζων ἐφ᾽ ἡμᾶς νῦν οὐδαμοῦ

δὴ] δή μοι D. μοι] μοι ἔφη D. 29. αὐτοὺς G. pr. ὅπη A. ὅπου D. 1. ἐκοιμήθησαν] θη s. v. r. G. χρήματα] κτήματα D. ὁποῖ D. ὁποῖα A.G. τὰ ἄλλα D. τὰ δὲ ἄλλα—ἄξια Suidas v. ζυγ. ἐφ᾽] ἐπ᾽ A.D. ἐφ᾽ in litura G. ἁμαξῶν—τὰς om. A.G. Suidas, hic quidem scribens ἐφ᾽ ἁμάξης (al. ἁμάξας vel ἁμάξαις) κομίζειν, ἵνα ὅπη καιρὸς εἴη δ. ὅπηπερ D. 2. οἱ] ὁ G. pr. ἑώρακε A.G. ἑωράκει D. ἀβραδάταν] ἀβραδάτην D., qui hic mg. ead. m. περὶ τῆς ἀβραδάτου τελευτῆς καὶ τοῦ τάφου. α alterum in ras. G. ἐφ᾽] ἀμφ᾽ A. ε in lit. G.

29. ἦγε] Media forma in eadem narratione utitur Herodotus 1, 153. SCHN. Sed activo 155. Similiter apud Xenophontem ἄγειν et ἄγεσθαι στρατιὰν vel στράτευμα, ut hic medium ἤγετο inferunt Ald. et omisso τὸ Juntina. Μεθ᾽ ἑαυτοῦ περιῆγε dicit Diodor. Exc. Vales. p. 553, 60, σὺν αὐτῷ ἐπήγετο Nicol. Damasc. p. 247 Cor., 409 Müller., quos citat Hutch.

1. χρήματα a θησαυροῖς, id est numis adservatis vel auro et argento cuso, distinguuntur. SCHN.

οὐδαμοῦ φαίνεται] Anab. 1, 10, 10: Ἐθαύμαζον ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο. Et alii ad Thes. Steph. citati v. Οὐδαμοῦ p. 2364 B.

3 φαίνεται. τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο ὅτι Ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι πλὴν τῶν ἑταίρων αὐτοῦ ἐξέκλιναν, ὡς φασιν, ἐπεὶ τὸ στῖφος εἶδον τὸ τῶν Αἰγυ-
4 πτίων. καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ ἀνελομένη τὸν νεκρὸν καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ᾗπερ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐτὸν ἐνθάδε ποι πρὸς τὸν Πα-
5 κτωλὸν ποταμόν. καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται χαμαὶ κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα
6 ἐπὶ τοῖς γόνασι. ταῦτα ἀκούσας ὁ Κῦρος ἐπαίσατο ἄρα [2
τὸν μηρὸν καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον λαβὼν
7 χιλίους ἱππέας ἤλαυνεν ἐπὶ τὸ πάθος. Γαδάταν δὲ καὶ Γωβρύαν ἐκέλευσεν ὅ τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι μεταδιώκειν· καὶ ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας, καὶ βοῦς καὶ ἵππους εἶπε τούτῳ καὶ ἅμα πρόβατα πολλὰ ἐλαύνειν ὅπῃ ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτᾳ.

8 Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει καὶ εἶπε, Φεῦ, ὦ ἀγαθὴ καὶ πιστὴ ψυχή, οἴχει δὴ ἀπολιπὼν ἡμᾶς; καὶ

3. ἀμβαλὼν G. corr. s. v. r. ἐπὶ A. 4. γε om. D.H. φασὶν ὀρύττειν D. τὴν κ.] τήν τε κ. D. 6. ταῦτα ἀκούσας] ἀκούσας δὲ D. ἔπαισεν τὸν D. ἀναπηδήσας] δη s.v. ead. m. D. 7. γωβρύην A.G. ἀνδρὶ om. A.G. mg. r. ἅμα πρόβατα πολλὰ ἐλαύνειν] ἄλλα πρόβατα ἐλαύνειν πολλὰ D. ὅποι A.D. ὅπου Priscian. 18, 284, citans ὅπου—ὄντα. ἑαυτὸν πυνθάνωνται D. αὐτὸν πυνθάνονται vel πυνθάνοιτο libri Prisciani. ἀβραδάτῃ D. 8. ὦ om. D. Libri οἴχῃ, nisi quod οἴχι A.

4. ἡ γυνὴ] Panthea, quam epici carminis argumentum fecerat Soterichus Diocletiani æqualis sec. Suidam in Σωτήριχος. HUTCH.

6. ἐπαίσατο] Dolentis signum. Hom. Il. M, 162, Od. N, 198, Jerem. 31, 19, Ezech. 21, 12. HUTCH.

ἄρα] Conf. 8, 3, 25.

τὸ πάθος] Conf. s. 17; 6, 4, 19, et μάχη de loco pugnæ Anab. 2, 2, 6.

8. Apsines Art. rhetor. p. 108, 1 ed. Bak.: Ἀπὸ τούτου τοῦ τόπου καὶ Ξενοφῶν τὴν Πάνθειαν οἰκτρὰν ἐπέδειξεν, οἶκτόν τινα καὶ ἔλεον περιθεὶς τῷ πάθει. πρῶτον μὲν γὰρ ἠθοποίησε τὸ σχῆμα τῆς γυναικὸς ἱσταμένης ἐπὶ πένθει καὶ δακρυούσης· ἔπειτα τὸν Ἀβραδάτην παρακείμενον αὐτῇ διηγήσατο καὶ πῶς δεξαμένη τὴν χεῖρα ἀποκοπεῖσαν κατεφίλησε. Respiciunt huc Eumathius Ism. 7, p. 258: Αἱ δέ μου χεῖρες κατὰ τὴν Ἀὐραδάτου τῇ κόρῃ συνείποντο. Choricius p. 193 ed. Boiss., Hermogenes in Walzii Rhett. vol. 3, p. 345, 6, Planud. ib. vol. 5, p. 540, 13, ubi male ἐν πέμπτῳ τῆς Κύρου παιδείας· Eustath. Il. p. 911, 2, et ubi καὶ ἡ χεὶρ αὐτῷ ἐπηκολ. Aristid. vol. 2, p. 500.

ψυχὴ—ἀπολιπὼν] Hom. Od. Λ, 90:

ἅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθη-
9 σεν· ἀπεκέκοπτο γὰρ κοπίδι ὑπὸ τῶν Αἰγυπτίων. ὁ δὲ ἰδὼν [3]
πολὺ ἔτι μᾶλλον ἤλγησε· καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο καὶ
δεξαμένη δὴ παρὰ τοῦ Κύρου ἐφίλησέ τε καὶ πάλιν ὡς
10 οἷόν τ᾽ ἦν προσήρμοσε, καὶ εἶπε, Καὶ τἄλλα τοι, ὦ Κῦρε,
οὕτως ἔχει· ἀλλὰ τί δεῖ σε ὁρᾶν; καὶ ταῦτα, ἔφη, οἶδ᾽
ὅτι δι᾽ ἐμὲ οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σὲ, ὦ
Κῦρε, οὐδὲν ἧττον. ἐγώ τε γὰρ ἡ μώρα πολλὰ διεκελευό-
μην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου
φανείη· αὐτός τε οἶδ᾽ ὅτι οὗτος οὐ τοῦτο ἐνενόει ὅ τι πεί-
σοιτο, ἀλλὰ τί ἂν ποιήσας σοι χαρίσαιτο. καὶ γὰρ οὖν,
ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ᾽ ἡ παρακε-
11 λευομένη ζῶσα παρακάθημαι. καὶ ὁ Κῦρος χρόνον μέν [4]
τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο, Ἀλλ᾽
οὗτος μὲν δὴ, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν
γὰρ τετελεύτηκε· σὺ δὲ λαβοῦσα τοῖσδε ἐπικόσμει αὐτὸν
τοῖς παρ᾽ ἐμοῦ· παρῆν δὲ ὁ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν
καὶ καλὸν κόσμον φέροντες· ἔπειτα δ᾽, ἔφη, ἴσθι ὅτι οὐδὲ
τἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν
ἀξίως ἡμῶν καὶ ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ
12 ἀγαθῷ. καὶ σὺ δ᾽, ἔφη, οὐκ ἔρημος ἔσει, ἀλλ᾽ ἐγώ σε καὶ
σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἄλλα τιμήσω
καὶ συστήσω ὅστις ἀποκομιεῖ σε ὅποι ἂν αὐτὴ ἐθέλῃς·
μόνον, ἔφη, δήλωσον πρὸς ἐμὲ πρὸς ὅντινα χρῄζεις κομι-
σθῆναι. καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θάρρει, ἔφη, ὦ Κῦρε,

ἐδεξιώσατο D. ἡ—ἐπηκ. Hermog. vol. 3, p. 345, 8. 9. γ. δὲ] γ. δὴ G. δὴ] τὴν χεῖρα D. τὴν χεῖρα ante καὶ add. G. mg. r. 10. δεῖ] δὴ D. pr. λόγου φανείη] γενήσοιτο D. ἐννενόει G. ὅ τι] τί D. πήσοιτο C. et A. non liquet pr. an corr. σοι ποιήσας D. χαρίσοιτο A.G. ἀπέμπτως G. corr. s. v. r. 11. γωβρίας G. ὁ om. A. γαδάτης D. ὅτι] ὡς G. Libri τὰ ἄλλα. ὑμῶν D. 12. οὐκ ἔρημος G. mg. r. Libri ἔσῃ. ἀποκοσμίσει A. ἀποκομίσει G. αὐτῇ D. pr. χρῄζεις] ἂν χρῄζῃς D. κοσμιθῆναι A. 13. πανθία D.

Ἦλθε δ᾽ ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο χρύσεον σκῆπτρον ἔχων. Soph. Phil. 712: Ὦ μελέα ψυχὰ, ὃς—ἥσθη confert Hertlein.

10. ποιεῖν] Omisso οὕτω supra 6, 3, 18: Ὡς ἂν ἀσφαλέστατα εἰδείην ὁπόσον τὸ στράτευμά ἐστιν ἐποίουν· addito ib. 28: Οὕτω ποίει ὅπως τὰ ζεύγη—ἕψεται. SCHN. Μώρα autem potius quam μωρὰ, ut semper libri Xen., scribendum dixi ad Anab. 7, 6, 21.

ὅ τι πείσοιτο] Anab. 3, 1, 41: Ἢν δέ τις αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται, τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται. HUTCH.

11. σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο] Anab. 1, 3, 2: Πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστὼς—εἶτα δὲ ἔλεξε τοιάδε.

13 οὐ μή σε κρύψω πρὸς ὅντινα βούλομαι ἀφικέσθαι. ὁ μὲν [5]
δὴ ταῦτ᾽ εἰπὼν ἀπῄει, κατοικτείρων τήν τε γυναῖκα οἵου
ἀνδρὸς στέροιτο καὶ τὸν ἄνδρα οἵαν γυναῖκα καταλιπὼν
οὐκέτ᾽ ὄψοιτο. ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν
ἀποστῆναι, ἕως ἄν, ἔφη, τόνδ᾽ ἐγὼ ὀδύρωμαι ὡς βούλομαι·
τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν
ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἑνὶ ἱματίῳ.
14 ἡ δὲ τροφὸς πολλὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν
ἤνυτε καὶ χαλεπαίνουσαν ἑώρα, ἐκάθητο κλάουσα. ἡ δὲ
ἀκινάκην πάλαι παρεσκευασμένη σφάττει ἑαυτὴν καὶ ἐπι-
θεῖσα ἐπὶ τὰ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν ἀπέ-
θνησκεν. ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν
15 ἄμφω ὥσπερ ἡ Πάνθεια ἐπέστειλεν. ὁ δὲ Κῦρος ὡς ᾔσθετο [6]
τὸ ἔργον τῆς γυναικός, ἐκπλαγεὶς ἵεται, εἴ τι δύναιτο βοη-
θῆσαι. οἱ δὲ εὐνοῦχοι ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες
σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας ἀποσφάττονται οὗπερ
17 ἔταξεν αὐτοὺς ἑστηκότες. ὁ δὲ Κῦρος ὡς ἐπλησίασε τῷ
πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος

ὅντινα] ὅντινα ἐγὼ D. 14. ἀπείη D. pr., ut videtur. τήν τε] τὴν L. οἵου—γυναῖκα om. D. στέροιτο] Libri στεροῖτο. οἵαν] οἵα et ν s. v. A. οὐκέτ᾽] καὶ ὃν οὐκέτι D. ἕως ἂν ἐγὼ ἔφη τοῦτον ὀδύρωμαι D. ὡς βούλομαι om. A.M.G. mg. r. αὐτήν τε] αὐτὴν D. ἐν ante ἑνὶ add. A.G. om. D. Tzetzes Hist. 3, 94, Zonaras. ἤνυτε] ἤνυε A.G. ἤνυσε D. χαλεπαίνουσα A. Libri κλαίουσα. ἀκινάκιν D. pr. παρεσκευασμένη C. παρασκευασαμένη A.G., qui hic mg. σφαγὴ πανθείας. παρεσκευασμένον σπασαμένη D. τοῦ ἀνδρὸς post κεφαλὴν G. πανθία D. ἐπέστελλεν A.G., sed hic corr. in ε. 15. ἵεται A.G. ἵετο D. pr. ἵετο D. corr. γεγεννημένον G. καὶ ἐκεῖνοι D. 17. Ante ὁ δὲ κῦρος delevi καὶ νῦν τὸ μνῆμα μέχρι (τοῦ νῦν add. G. mg. r. L.) τῶν εὐνούχων κεχῶσθαι (κεχρῶσθαι D. κεχθῶσθαι L.) λέγεται (λέγουσι P.)· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια (σύρεια A.G.) γράμματα, κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας (καὶ τῶνδε εἶναι τρεῖς στήλας λέγουσι D.) καὶ ἐπιγεγράφθαι σκηπτούχων (εὐνούχων P.).

ἑνὶ] Præpositionem more Byzantino addit Tzetzes Hist. 3, 980: Σῶον ἐφεῦρον τὸν νεκρὸν τῆς γυναικὸς ἐκείνης ἐν ἱματίῳ χρυσεργεῖ συμπεριεσταλμένον, qui hic 794: Ἑνὶ συμπεριστεῖλαί τε καὶ κρύψαι ἱματίῳ. Idem 791 servat ὡς βούλομαι.

ἤνυτε] Alienam a Xenophonte formam ἀνύειν tollunt libri 1, 6, 5.

15. τρεῖς ὄντες] Participii ὢν cum εἷς conjuncti exempla v. in Thes. Steph. v. Εἷς, p. 286 D. Eur. Ion. 518: Χαίρομεν· σὺ δ᾽ εὖ φρόνει γε, καὶ δύ᾽ ὄντ᾽ εὖ πράξομεν. Aristoph. Vesp. 693: Ξυνθέντε τὸ πρᾶγμα δύ᾽ ὄντε ἐσπουδάκατον.

ἔταξεν] Panthea.

17. Absurdum recentioris Græculi additamentum, in quo emendando et in locum aptiorem transferendo frustra laborarunt editores, fortasse ne Zonaras quidem et Tzetzes habuerunt, quorum Zonaras ita: Καὶ οἱ εὐνοῦχοι γνόντες τὸ γεγενημένον τρεῖς ὄντες σπασάμενοι τοὺς ἀκινάκας σφάττονται. ὁ δὲ Κῦρος ὡς ᾔσθετο τὸ ἔργον τῆς γυναικός, ἠγάσθη τε αὐτὴν καὶ κατωλοφύρατο, καὶ μνῆμα αὐτοῖς ἔχωσεν ὑπερμέ-

ἀπῄει· καὶ τούτων μὲν ᾗ εἰκὸς ἐπεμελήθη ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασιν.

ΚΕΦ. Δ.

Ἐκ δὲ τούτου στασιάζοντες οἱ Κᾶρες καὶ πολεμοῦντες πρὸς ἀλλήλους, ἅτε τὰς οἰκήσεις ἔχοντες ἐν ἐχυροῖς χωρίοις, ἑκάτεροι ἐπεκαλοῦντο τὸν Κῦρον. ὁ δὲ Κῦρος αὐτὸς μὲν μένων ἐν Σάρδεσι μηχανὰς ἐποιεῖτο καὶ κριούς, ὡς τῶν μὴ πειθομένων ἐρείψων τὰ τείχη, Ἀδούσιον δὲ ἄνδρα Πέρσην καὶ τἆλλα οὐκ ἄφρονα οὐδ' ἀπόλεμον, καὶ πάνυ δὴ εὔχαριν, πέμπει ἐπὶ τὴν Καρίαν, στράτευμα δούς· καὶ Κίλικες δὲ καὶ Κύπριοι πάνυ προθύμως αὐτῷ συνεστρά-
2 τευσαν. ὧν ἕνεκα οὐδ' ἔπεμψε πώποτε Πέρσην σατράπην οὔτε Κιλίκων οὔτε Κυπρίων, ἀλλ' ἤρκουν αὐτῷ ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες· δασμὸν μέντοι ἐλάμβανε καὶ
3 στρατιὰς ὁπότε δέοιτο ἐπήγγελλεν αὐτοῖς. ὁ δὲ Ἀδούσιος ἄγων τὸ στράτευμα ἐπὶ τὴν Καρίαν ἦλθε, καὶ ἀπ' ἀμφο-

τύχοιεν] τύχοιε G. pr. 1. κᾶρες] περὶ καρῶν D. mg. δὲ] δ' αὖ D. μὲν om. A.G. μὴ om. A. ἐρείψων] καταρίψων D., deleto super τα gravi. καδούσιον A.G. συνεστρατεύσαντο D. 2. οὔτε κιλίκων post κυπρίων D. κυλίκων G. ἤκουν G. pr. αἰεὶ A.G. στρατείας A.G. ἐπήγγελεν D. 3. καδούσιος A.G. hic et infra. ἀπ' om. D.

γεθες θάψας αὐτοὺς μεγαλοπρεπῶς. Qui si consilio verba illa prætermisit, mirum quod eorundem Ioannes Tzetza Histor. 3, 799, non magis rationem habuit: Ἡ δὲ τροφὸς μετ' ὀδυρμῶν συγκρύψασα ἐκείνους καὶ ἑαυτὴν ἀπέσφαξε τῶν δεσποτῶν τῷ πένθει, καὶ τρεῖς εὐνοῦχοι σὺν αὐτῇ πάντες αὐτοχειρίᾳ τὸν βίον ἐξεμέτρησαν αὐτῶν δεσποίνης πόθῳ ἐν ᾧπερ τόπῳ τὸ δεινὸν εἶδον ἐκεῖνο πάθος. μαθὼν δ' ὁ Κῦρος τὸ συμβὰν καὶ παρελθὼν ἐκεῖσε καὶ ἀγασθεὶς τὸ γύναιον καὶ περισσὰ θρηνήσας ἐκόσμησεν οἷς ἔπρεπεν ἐκείνους ἐνταφίοις, θυσίαις καὶ ἀγάλμασι, τεμένεσιν (alius liber σκευάσμασιν) ὡραίοις. Vix autem refert quærere utrum qui illa addidit reapse scripserit ineptum illud μέχρι τῶν εὐνούχων an mendum lateat simile quale 4, 3, 7, notavimus in μέχρι pro μὴ χεῖρον.

σκηπτούχων] Leunclavius Pandect. rer. Turc. c. 173, 199, coram se vidisse ait Cpoli ad portam Osmaneam eunuchos in illius Sultani seraio vere sceptrigeros, more de Persis hoc antiquissimo a Turcis usurpato. Gestant enim sceptra, dignitatis et officiorum insignia, ut apud Romanos fasces, apud Græcos imperatores recentiores baculos. HUTCH. V. infra 8, 1, 38; 3, 15; 4, 2. Anab. 1, 6, 11; 8, 28. Pictos exhibet numus apud Ker Porter *Travels in Georgia, Persia* etc. vol. 2, p. 125, tab. 58, vol. 1, p. 707 inserta.

1. Ἀδούσιον] Conf. 8, 6, 7.

Κᾶρες] Conf. Herodoti 1, 162—177. Carum res obiter tetigit Xenophon; nec urbium nomina ponere ad rem pertinere existimabat. SCHN.

2. δασμὸν] Herodotus 3, 89 s. tributa certa ab Dario Hystaspis demum imperata, qui propterea κάπηλος sit vocatus, sub Cyro et Cambyse δῶρα tantum oblata tradit. ZEUN. Conf. infra 8, 6, 8.

τέρων τῶν Καρῶν παρῆσαν πρὸς αὐτὸν ἕτοιμοι ὄντες
δέχεσθαι εἰς τὰ τείχη ἐπὶ κακῷ τῶν ἀντιστασιαζόντων· ὁ [2]
δὲ Ἀδούσιος πρὸς ἀμφοτέρους ταὐτὰ ἐποίει· δικαιότερά τε
ἔφη λέγειν τούτους ὁποτέροις διαλέγοιτο, λαθεῖν τε ἔφη
δεῖν τοὺς ἐναντίους φίλους σφᾶς γενομένους, ὡς δὴ οὕτως
ἂν μᾶλλον ἐπιπεσὼν ἀπαρασκεύοις τοῖς ἐναντίοις. πιστὰ
δ' ἠξίου γενέσθαι, καὶ τοὺς μὲν Κᾶρας ὀμόσαι ἀδόλως τε
δέξεσθαι εἰς τὰ τείχη σφᾶς καὶ ἐπ' ἀγαθῷ τῷ Κύρου καὶ
Περσῶν· αὐτὸς δὲ ὀμόσαι θέλειν ἀδόλως εἰσιέναι εἰς τὰ
4 τείχη καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. ταῦτα δὲ ποιήσας [3]
ἀμφοτέροις λάθρᾳ ἑκατέρων νύκτα συνέθετο τὴν αὐτήν, καὶ
ἐν ταύτῃ εἰσήλατο εἰς τὰ τείχη καὶ παρέλαβε τὰ ἐρύματα
ἀμφοτέρων. ἅμα δὲ τῇ ἡμέρᾳ καθεζόμενος εἰς τὸ μέσον
σὺν τῇ στρατιᾷ ἐκάλεσεν ἑκατέρων τοὺς ἐπικαιρίους. οἱ δὲ
ἰδόντες ἀλλήλους ἠχθέσθησαν, νομίζοντες ἐξηπατῆσθαι
5 ἀμφότεροι. ὁ μέντοι Ἀδούσιος ἔλεξε τοιάδε· Ἐγὼ ὑμῖν,
ὦ ἄνδρες, ὤμοσα ἀδόλως εἰσιέναι εἰς τὰ τείχη καὶ ἐπ'
ἀγαθῷ τῶν δεχομένων. εἰ μὲν οὖν ἀπολῶ ὁποτέρους ὑμῶν,
νομίζω ἐπὶ κακῷ εἰσεληλυθέναι Καρῶν· ἢν δὲ εἰρήνην ὑμῖν
ποιήσω καὶ ἀσφάλειαν ἐργάζεσθαι ἀμφοτέροις τὴν γῆν,
νομίζω ὑμῖν ἐπ' ἀγαθῷ παρεῖναι. νῦν οὖν χρὴ ἀπὸ τῆσδε
τῆς ἡμέρας ἐπιμίγνυσθαί τε ἀλλήλοις φιλικῶς, ἐργάζεσθαί
τε τὴν γῆν ἀδεῶς, διδόναι τε τέκνα καὶ λαμβάνειν παρ'
ἀλλήλων· ἢν δὲ παρὰ ταῦτα ἀδικεῖν τις ἐπιχειρῇ, τούτοις
6 Κῦρός τε καὶ ἡμεῖς πολέμιοι ἐσόμεθα. ἐκ τούτου πύλαι [4]

ἀντιστ.] ἀντι s. v. ead. m. A. ταῦτα A.G. τὰ αὐτὰ D. Correxit Castalio. τε] δ' D. διελέγετο D., sed αλέγοιτο mg. ead. m. φίλους D. mg. ead. m. οὕτως μᾶλλον A. οὕτω μᾶλλον G. ὁμόσε G. corr. s.v.r. Libri δέξασθαι. σφᾶς post ἀγαθῷ D. τῷ] τοῦ D. et qui τοῦ—ἀγαθῷ mg. r. G., ubi ὁμόσαι spiritu ambiguo et ε s. αι, et ἰέναι pro εἰσιέναι. 4. εἰσήλατο] εἰσῆλθεν D. σὺν τῇ] τῇ om. G. οἱ] ὡς G corr. s. v. νομίσαντες D. 5. καδούσιος A.G. ἔλεξε] εἰς μέσον ἔλεξε D. ὤμοσα ὦ ἄνδρες D. εἰ μὲν οὖν] εἶπεν A.G. pr. εἴπερ οὖν G. corr. καρῶν] καιρῷ A.G. pr. καιρῶν L. pr. οὖν] δὲ s. v. r. G. ἐσόμεθα πολέμιοι G.

3. δέξεσθαι] Quod dixi præf. ad Anab. p. xiii s. aoristos in locis hujusmodi exiguæ vel potius nullius esse fidei, cadit in hunc locum, ubi δέξεσθαι Hertleinius.

ἐπ' ἀγαθῷ τῷ Κύρου] Plato Polit. p. 293 B: Ἂν μόνον ἐπ' ἀγαθῷ τῷ τῶν σωμάτων.

4. εἰσήλατο] Simile hoc Diodori 19, 55: Ἐξεπήδησε μετὰ πεντήκονθ' ἱππέων. Nec dissimile illud Xen. Hist. Gr. 5, 1, 21: Ἦσαν δέ τινες οἳ καὶ ἐκπηδήσαντες εἰς τὸ Δεῖγμα ἐμπόρους τέ τινας καὶ ναυκλήρους εἰς τὰς ναῦς εἰσήνεγκαν.

5. ὁποτέρους] V. ad 3, 2, 22.

μὲν ἀνεῳγμέναι ἦσαν τῶν τειχῶν, μεσταὶ δὲ αἱ ὁδοὶ πο-
ρευομένων παρ' ἀλλήλους, μεστοὶ δὲ οἱ χῶροι ἐργαζο-
μένων· ἑορτὰς δὲ κοινῇ ἦγον, εἰρήνης δὲ καὶ εὐφροσύνης
7 πάντα πλέα ἦν. ἐν δὲ τούτῳ ἧκον οἱ παρὰ Κύρου ἐρωτῶν-
τες εἴ τι στρατιᾶς προσδέοιτο ἢ μηχανημάτων· ὁ δὲ
Ἀδούσιος ἀπεκρίνατο ὅτι καὶ τῇ παρούσῃ ἔχειν ἀλλαχόσε
χρῆσθαι στρατιᾷ· καὶ ἅμα ταῦτα λέγων ἀπῆγε τὸ στρά-
τευμα, φρουροὺς ἐν ταῖς ἄκραις καταλιπών. οἱ δὲ Κᾶρες
ἱκέτευον μένειν αὐτόν· ἐπεὶ δὲ οὐκ ἤθελε, προσέπεμψαν
πρὸς Κῦρον δεόμενοι πέμψαι Ἀδούσιον σφίσι σα-
τράπην.
8 Ὁ δὲ Κῦρος ἐν τούτῳ ἀπεστάλκει Ὑστάσπαν στρά- [5]
τευμα ἄγοντα ἐπὶ Φρυγίαν τὴν περὶ Ἑλλήσποντον. ἐπεὶ
δ' ἧκεν ὁ Ἀδούσιος, μετάγειν αὐτὸν ἐκέλευσεν ᾗπερ ὁ
Ὑστάσπας προῴχετο, ὅπως μᾶλλον πείθοιντο τῷ Ὑστά-
9 σπᾳ, ἀκούσαντες ἄλλο στράτευμα προσιόν. οἱ μὲν οὖν
Ἕλληνες οἱ ἐπὶ θαλάττῃ οἰκοῦντες πολλὰ δόντες δῶρα
διεπράξαντο ὥστε εἰς μὲν τὰ τείχη βαρβάρους μὴ δέ-
χεσθαι, δασμὸν δὲ ἀποφέρειν καὶ στρατεύειν ὅποι Κῦρος
10 ἐπαγγέλλοι. ὁ δὲ τῶν Φρυγῶν βασιλεὺς παρεσκευάζετο
μὲν ὡς καθέξων τὰ ἐρυμνὰ καὶ οὐ πεισόμενος καὶ παρήγ-

6. παρ'] ἐπ' D. πάντα] τὰ πάντα D. 7. ἧκον οἱ παρὰ κύρου] παρὰ κύρῳ ἧκον D. στρατείας A.G. καδούσιος et infra καδούσιον A.G. ἔχειν] ἐξείῃ, ut videtur, D., corr. in litteris post ξ, quæ pr. fortasse fuerunt ηει. ἄλλοσε D. στρατείᾳ A.G. προσέπεμψαν] συνέπεμψαν D. s. v. r. G. πρὸς] πρὸς τὸν D. πέμψαι post σφῖσιν D. σφῖσι A. 8. ὑστάσπην A.D.G. Per α Zonaras p. 163 C. περὶ] ἐπὶ A.G. Zon. δ' om. initio versus D. καδούσιος A.G. ὑστάσπης A.G. et mox ὑστάσπῃ. ἀκούοντες D. 9. πολλὰ δῶρα διδόντες D. ἀποφέρειν Zonaras. Libri ὑποφέρειν. ὅπῃ D. ἐπαγγέλοι A. 10. παρήγγελλεν A.D.

7. ὅτι—ἔχειν] V. ad 2, 4, 15.

ἀλλαχόσε] Improbatum Mœridi p. 11, tanquam recentioris Atticismi, hic ab librariis illatum videtur ut ἀλλαχῇ pro ἄλλῃ in deteriores Anab. 7, 3, 47, quod 5, 3, 59 ex D., qui ἄλλῃ μάχῃ pro ἀλλαχῇ restituendum conjeci supra, quum eo uno loco Xenophontis sit ἄλλοτε ἀλλαχῇ, ceteris omnibus ἄλλῃ. Et quum Anab. 2, 6, 4, ἄλλῃ sit in melioribus pro ἀλλαχοῦ, nihilo certiora sunt cetera harum formarum exempla H. Gr. 2, 3, 20, ubi ἀλλαχοῦ, etsi hoc est apud Soph. Œd. Col. 43, ubi παρ' ἄλλοις ponit Schol., ut etiam ἄλλοισιν locum haberet, Com. 1, 4, 12, ubi ἀλλαχῇ. Nihil enim tale apud Thucydidem, Platonem aliosque illius ætatis.

8. τὴν περὶ Ἑλλήσποντον] τὴν παρ' Ἑλλήσποντον 4, 2, 30: 8, 6, 7, quum πρὸς Ἑλλησπόντῳ 2, 1, 5 sit in melioribus pro παρ' Ἑλλήσποντον. Itaque hoc malim quam περί.

9. στρατεύειν] Nisi hic quoque scribendum συστρατεύειν, ut 3, 1, 10, et sæpe vel apud Xenophontem illatum simplex pro composito. Conf. autem de Græcis, etiam 6, 2, 10 memoratis, Herodot. 1, 169 s.

γειλεν οὕτως· ἐπεὶ δὲ ἀφίσταντο αὐτοῦ οἱ ὕπαρχοι καὶ
ἔρημος ἐγίγνετο, τελευτῶν εἰς χεῖρας ἦλθεν Ὑστάσπᾳ ἐπὶ
τῇ Κύρου δίκῃ. καὶ ὁ Ὑστάσπας καταλιπὼν ἐν ταῖς
ἄκραις ἰσχυρὰς Περσῶν φρουρὰς ἀπῄει ἄγων σὺν τοῖς
11 ἑαυτοῦ καὶ Φρυγῶν πολλοὺς ἱππέας καὶ πελταστάς. ὁ δὲ
Κῦρος ἐπέστελλεν Ἀδουσίῳ συμμίξαντα πρὸς Ὑστάσπαν
τοὺς μὲν ἑλομένους Φρυγῶν τὰ σφέτερα σὺν τοῖς ὅπλοις
ἄγειν, τοὺς δ' ἐπιθυμήσαντας πολεμεῖν τούτων ἀφελο-
μένους τοὺς ἵππους καὶ τὰ ὅπλα σφενδόνας ἔχοντας
πάντας κελεύειν ἕπεσθαι.

12 Οὗτοι μὲν δὴ ταῦτ' ἐποίουν. Κῦρος δὲ ὡρμᾶτο ἐκ [6]
Σάρδεων, φρουρὰν μὲν πεζὴν καταλιπὼν πολλὴν ἐν Σάρ-
δεσι, Κροῖσον δὲ ἔχων, ἄγων δὲ πολλὰς ἁμάξας πολλῶν
καὶ παντοδαπῶν χρημάτων. ἧκε δὲ καὶ ὁ Κροῖσος γε-
γραμμένα ἔχων ἀκριβῶς ὅσα ἐν ἑκάστῃ ἦν τῇ ἁμάξῃ· καὶ
διδοὺς τῷ Κύρῳ τὰ γράμματα εἶπε, Ταῦτ', ἔφη, ἔχων, ὦ
Κῦρε, εἴσει τόν τέ σοι ὀρθῶς ἀποδιδόντα ἃ ἄγει καὶ τὸν
13 μή. καὶ ὁ Κῦρος ἔλεξεν, Ἀλλὰ σὺ μὲν καλῶς ἐποίεις, ὦ
Κροῖσε, προνοῶν· ἔμοιγε μέντοι ἄξουσι τὰ χρήματα οἵπερ
καὶ ἔχειν αὐτὰ ἄξιοί εἰσιν· ὥστε ἤν τι καὶ κλέψωσι, τῶν
ἑαυτῶν κλέψονται. καὶ ἅμα ταῦτα λέγων ἔδωκε τὰ γράμ-
ματα τοῖς φίλοις καὶ τοῖς ἄρχουσιν, ὅπως εἰδεῖεν τῶν ἐπι-
14 τρόπων οἵ τε σᾶ αὐτοῖς ἀποδιδοῖεν οἵ τε μή. ἦγε δὲ καὶ [7]
Λυδῶν οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ ὅπλοις καὶ
ἵπποις καὶ ἅρμασι καὶ πάντα πειρωμένους ποιεῖν ὅ τι ᾤοντο
αὐτῷ χαριεῖσθαι, τούτους μὲν σὺν τοῖς ὅπλοις· οὓς δὲ
ἑώρα ἀχαρίτως ἑπομένους, τοὺς μὲν ἵππους αὐτῶν παρέ-

ἐπεὶ δὲ] ἐπειδὴ A.G. ὑστάσπᾳ Junt. ὑστάσπας A.D.G. ἀπείη D. 11. ἐπέστελλε ἀδουσίῳ D. ἐπέστελλε καδουσίῳ A.G. ὑστάσπην D. κ. πάντας D. 12. ὁ δὲ κῦρος D. πεζὴν] περσικὴν D. m. corr. πολλὴν πεζὴν κ. M. πολλὴν καταλιπὼν D.G. πολλὰς] παπόλλας et μ s. v. ead. m. D. ἀμάξας A.G. et mox ἀμάξῃ A.G. pr. ὁ om. D. εἴσει] εἴσῃ D. ἴσθι A.G. 13. ποιεῖς D. προνοῶν ὦ κροῖσε D. ἐμοίγε D. τῶν] τὰ s. v. r. G. ἑαυτοῦ A.D. οἵτε—οἵτε] εἴτε—εἴτε G. Libri σῶα. 14. δὲ s. v. r. G. καὶ ἵπποις καὶ ὅπλοις D. ἀχαρίστως D.G. s. v. r. Suidas in v. ἑαυτῷ D.

10. ἐπὶ τῇ Κύρου δίκῃ] *Tandem in potestatem Hystaspæ venit, ut judicium esset penes Cyrum,* ut vertit Camerarius. SCHN.

12. ἄγων δὲ] Zonaras p. 163 C: Ὁ δὲ Κῦρος ὡρμᾶτο ἐκ Σάρδεων φρουρὰν μὲν λιπὼν ἐν Σάρδεσι, Κροῖσον δ' ἔχων σὺν ἑαυτῷ ἄγοντα πλείστας ἁμάξας μεστὰς πολλῶν καὶ παντοδαπῶν χρημάτων.

13. σῶα] σᾶ scribendum esse dictum præf. ad Anab. p. ix.

14. πάντα ὅ τι] V. ad 5, 3, 50.

ἀχαρίτως] Suidas: Ἀχαρίστως· Ξε-

δωκε Πέρσαις τοῖς πρώτοις συστρατευομένοις, τὰ δὲ ὅπλα
κατέκαυσε· σφενδόνας δὲ καὶ τούτους ἠνάγκασεν ἔχοντας
15 ἕπεσθαι. καὶ πάντας δὲ τοὺς ἀόπλους τῶν ὑποχειρίων γε-
νομένων σφενδονᾶν ἠνάγκαζε μελετᾶν, νομίζων τοῦτο τὸ
ὅπλον δουλικώτατον εἶναι· σὺν μὲν γὰρ ἄλλῃ δυνάμει
μάλα ἔστιν ἔνθα ἰσχυρῶς ὠφελοῦσι σφενδονῆται παρόν-
τες, αὐτοὶ δὲ καθ' αὑτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται
μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας σὺν ὅπλοις ἀγχε-
μάχοις.
16 Προϊὼν δὲ τὴν ἐπὶ Βαβυλῶνος κατεστρέψατο μὲν Φρύ- [8]
γας τοὺς ἐν τῇ μεγάλῃ Φρυγίᾳ, κατεστρέψατο δὲ Καππα-
δόκας, ὑποχειρίους δ' ἐποιήσατο Ἀραβίους. ἐξέπλησε δὲ
ἀπὸ πάντων τούτων Περσῶν μὲν ἱππέας οὐ μεῖον τετρα-
κισμυρίους, πολλοὺς δὲ ἵππους τῶν αἰχμαλώτων καὶ πᾶσι
τοῖς συμμάχοις διέδωκε· καὶ πρὸς Βαβυλῶνα ἀφίκετο
παμπόλλους μὲν ἱππέας ἔχων, παμπόλλους δὲ τοξότας
καὶ ἀκοντιστὰς, σφενδονήτας δὲ ἀναριθμήτους.

συστρατευσαμένοις D.P. 15. *πάντα* A. *ἠνάγκασεν* D. Suidas v. *Σφενδόνη, ὅτι Κῦρος τοὺς πολλοὺς τῶν Λυδῶν σφενδονᾶν ἐκέλευεν, ὡς τὸ ὅπλον τοῦτο δ. εἶναι νομίζων· σὺν—ἀγχεμάχοις.* *τοῦτο*] *τοῦ* G. pr. *τὸ* om. D. *δουλικώτατον* Pollux 3, 75. *μάλα*] *μᾶλλον* D. *σφενδονηταὶ* D. hic et infra, et pr. *ισ.* *ἑαυτοὺς* G. 16. *προσιὼν* G. *ἐξέπλησε*] *ἐξώπλισε* D.G. s. v. r. Zonaras. *δὲ* om. G. *μεῖον*] *ἢ* add. D.G. s. v. r. *οὐ μείους τετρακισμυρίων* H.P. *οὐ μεῖον τετρακισμυρίων* Zonaras. *παμπόλλους μὲν*] *μάλα πολλοὺς μὲν* D. *πολλοὺς μὲν* Zonaras. *ἀναρίθμους* A.D. Zonaras.

νοφῶν· Κῦρος δὲ ἦγε Λυδῶν αἰχμαλώτους, καὶ οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ πειρωμένους αὐτῷ χαριεῖσθαι, τούτους εἴα σὺν τοῖς ὅπλοις· οὓς δὲ ἑώρα ἀχαρίστως ἐπιμένοντας, τούτων τοὺς ἵππους παρέδωκε τοῖς Πέρσαις, τὰ δὲ ὅπλα κατέκαυσεν. Sed *ἀχαρίτως*, quod hic est *ingratiis*, scripsi, ut præcepi præf. ad Anab. p. xii.

συστρατευομένοις] Recte monuit Weiskius ex Græcis verbis reliquos Persas, quibuscum Cyrus priorem expeditionem susceperat, non minus intelligi quam supplementum quod accesserat. SCHN. Dicitur autem *συστρατευομένοις* ut *παρακελευομένη* 7, 3, 10, neque opus aoristo. De Persis illis v. 1, 5, 5; 5, 4, 32; 6, 2, 7.

15. *δουλικώτατον*] Supra 2, 1, 18, arcus cum jaculo dicuntur *ὅπλα ὑπηρετικά*. Conf. Eustath. ad Il. N, 600. SCHN.

16. *Ἀραβίους*] Arabas Scenitas Mesopotamiæ intelligit, de quibus Anabasis 1, 5, 1, et 7, 8, 25. Strabo 16, p. 514. Ammianus 23, 6. SCHN. V. ad 2, 1, 5.

ἐξέπλησε] Ita 5, 3, 24, *ἱππέας ἐξεπλήρωσεν.* SCHN.

οὐ μεῖον τετρακισμυρίους] Sine *ἢ* meliores etiam 7, 5, 13: *Ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον εἴκοσιν ἐτῶν*, et partim H. Gr. 5, 4, 66: *Γενομένων τῶν πασῶν πλέον ἢ ἑβδομήκοντα.* Anab. 6, 4, 24: *Ἀποκτείνουσι τῶν ἀνδρῶν οὐ μεῖον πεντακοσίους*, ubi nulla est fides additi *ἤ*. Omnes ib. 3: *Ὕψος οὐ μεῖον εἴκοσιν ὀργυιῶν·* 7, 1, 27: *Προσόδου οὔσης οὐ μεῖον χιλίων ταλάντων.* H. Gr. 5, 3, 16; 5, 4. Alia v. in Thes. Steph. v. *Πολὺς*, p. 1431 C.

ΚΕΦ. Ε.

Ἐπεὶ δὲ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιέστησε μὲν
πᾶν τὸ στράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς περιή-
λαυνε τὴν πόλιν σὺν τοῖς φίλοις τε καὶ ἐπικαιρίοις τῶν
2 συμμάχων. ἐπεὶ δὲ κατεθεάσατο τὰ τείχη, ἀπάγειν παρε-
σκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πόλεως· ἐξελθὼν δέ τις
αὐτόμολος εἶπεν ὅτι ἐπιτίθεσθαι μέλλοιεν αὐτῷ, ὁπότε
ἀπάγοι τὸ στράτευμα· καταθεωμένοις γάρ, ἔφη, αὐτοῖς
ἀπὸ τοῦ τείχους ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ. καὶ οὐδὲν
θαυμαστὸν ἦν οὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλου-
μένους ἀνάγκη ἦν ἐπ' ὀλίγων τὸ βάθος γενέσθαι τὴν φά-
3 λαγγα. ἀκούσας οὖν ὁ Κῦρος ταῦτα, στὰς κατὰ μέσον [2]
τῆς αὐτοῦ στρατιᾶς σὺν τοῖς περὶ αὐτὸν παρήγγειλεν ἀπὸ
τοῦ ἄκρου ἑκατέρωθεν τοὺς ὁπλίτας ἀναπτύσσοντας τὴν
φάλαγγα ἀπιέναι παρὰ τὸ ἑστηκὸς τοῦ στρατεύματος, ἕως
γένοιτο ἑκατέρωθεν τὸ ἄκρον κατ' αὐτὸν καὶ κατὰ τὸ
4 μέσον. οὕτως οὖν ποιούντων οἵ τε μένοντες εὐθὺς θαρρα-
λεώτεροι ἐγίγνοντο ἐπὶ διπλασίων τὸ βάθος γιγνόμενοι, οἵ
τ' ἀπιόντες ὡσαύτως θαρραλεώτεροι· εὐθὺς γὰρ οἱ μένον-
τες ἀντ' αὐτῶν πρὸς τοῖς πολεμίοις ἐγίγνοντο. ἐπεὶ δὲ

1. *περὶ*] *πρῶτον περὶ* D.M. *περὶ* in ras. G. 2. *παρεσκευάζετο* D.M. *στρατειὰν* G. *αὐτόμολος*] *αὐτῷ αὐτόμολος* D. *ἀπάγει* A. *καταθεόμενος* G. pr. *εἶναι* om. G.M. *φάλαξ* D. pr. *περὶ*] *πέριξ* D. *ὀλίγων* Hertleinius. Libri *ὀλίγον*. 3. *αὐτοῦ* A.D.G. *στρατείας* A.G. *παρήγγελεν* A. *παρήγγελλεν* D. *ἀναπτύσοντας* G. pr. *καθ' ἑαυτὸν* D. 4. *διπλάσιον* A.G. *ἀντ'* addidit Hertleinius.

2. *ἐπιτίθεσθαι*] Babylonios egressionem ex urbe fecisse, sed prœlio victos refert Herod. 1, 190. SCHN.

περὶ πολὺ τεῖχος] Solinus Polyh. c. 56: "Babylon urbs est 60 millia passuum circuitu patens." Et iisdem fere verbis Plin. 6, 26. Herodotus 1, 178 forma *τετράγωνον* dixit, cujus quodlibet latus 120 stadia, totus ambitus 480 i. e. 60 millia passuum, contineat. Sed Diod. 2, 7, 360 vel 365. Strabo 16, p. 738, 385 ponunt stadia. HUTCH. Conf. Wessel. ad Diod.

3. *ἑκατέρωθεν*] Eadem res paulo post dicitur *ἐπεὶ πορευόμενοι ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα*. SCHN. Conf. autem de omni hoc loco 3—6 annot. ed. Turic. ad Æliani Tact. vol. 2, p. 267 seq., 269 seq.

ἀναπτύσσοντας] Weckherlinus recte admonuit verbum *ἀναπτύσσειν* non esse hic *explicare*, sed *replicare, replier*, *ἀνακάμπτειν*. Et videtur locus in Anab. 1, 10, 9, item de replicatione cornuum esse, non de explicatione. Ita de Equit. 12, 16, thoraci additæ *πτέρυγες ἐν γιγγλύμοις*, i. e. mobiles, exserto et sublato brachio desuper aperiri et replicari, *ἀναπτύσσεσθαι*, contra demisso, descendere et *ἐπικλείεσθαι* dicuntur. SCHN.

πορευόμενοι ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα, ἔστησαν ἰσχυ-
ρότεροι γεγενημένοι, οἵ τε ἀπεληλυθότες διὰ τοὺς ἔμπρο-
σθεν, οἵ τ᾽ ἔμπροσθεν διὰ τοὺς ὄπισθεν προσγεγενημένους.
5 ἀναπτυχθείσης δ᾽ οὕτω τῆς φάλαγγος ἀνάγκη τοὺς πρώ- [3]
τους ἀρίστους εἶναι καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς
κακίστους τετάχθαι· ἡ δ᾽ οὕτως ἔχουσα τάξις καὶ πρὸς τὸ
μάχεσθαι ἐδόκει εὖ παρεσκευάσθαι καὶ πρὸς τὸ μὴ φεύγειν.
καὶ οἱ ἱππεῖς δὲ καὶ οἱ γυμνῆτες οἱ ἀπὸ τῶν κεράτων ἀεὶ
ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος τοσούτῳ ὅσῳ ἡ φάλαγξ
6 βραχυτέρα ἐγίγνετο ἀναδιπλουμένη. ἐπεὶ δὲ οὕτω συνε-
σπειράθησαν, ἀπῇσαν, ἕως μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τοῦ
τείχους, ἐπὶ πόδα· ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, στρα-
φέντες, καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες μετε-
βάλοντο ἐπ᾽ ἀσπίδα καὶ ἵσταντο πρὸς τὸ τεῖχος βλέπον-
τες· ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τόσῳ δὲ μανότερον
μετεβάλλοντο. ἐπεὶ δ᾽ ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, συνεῖ-
ρον ἀπιόντες, ἔστε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο.
7 Ἐπεὶ δὲ κατεστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος [4]
τοὺς ἐπικαιρίους καὶ ἔλεξεν, Ἄνδρες σύμμαχοι, τεθεάμεθα

προσγεγενημένους] γεγενημένους D. 5. δ᾽ add. D. r. οὕτως A. δοκεῖ D. ἱππῆς D. pr. γυμνῆται D. αἰεὶ A.G. οἱ] ὅσῳ D., qui om. post τοσούτῳ. φάλαξ D. pr. G. pr. 6. ἐπεὶ δὲ] ἐπειδὴ A.G. οὕτως A.D. συνεπ. A.G. Libri ἀπῄεσαν. ἐγένετο D. μὲν om. D. μετεβάλλοντο D. hic et infra M. τὸ om. G.M. τόσῳ δὲ] τοσῷδε A.G. ἐπεὶ δ᾽ ἐν] εἰδ᾽ ἐν A. πειδ᾽ ἐν G. pr., addito ε super π et accentu super ει r. συνείρουν D. ξυνεῖρον A.G. ἔστε] ἕως B. ἔστ᾽ D. ἐγίγνοντο D. 7. κατεστρατοπεδεύσατο A.G. pr. κατεστρατοπεδεύθησαν D. ξύμμαχοι G.

5. ἀνάγκη τετάχθαι] De sententia conf. Comment. 3, 1, 8. SCHN. Supra 6, 3, 25. Alia addit Hutch. Conf. ed. Turic. scriptt. milit. vol. 2, part. 2, p. 259.

τοῦ ἄρχοντος] Stantis κατὰ μέσον τῆς αὐτοῦ στρατιᾶς s. 3. ZEUN.

6. στραφέντες—μετεβάλλοντο] Conf. Ælian. Tact. c. 25, p. 382 et annot. ed. Turic. vol. 2, p. 266. Nam ἐπὶ πόδα ἀπιέναι est ore hostibus obverso retro cedere.

τόσῳ δὲ] τοσόσδε, quod sic dici non potuit, pro τόσος vel τόσος δὲ illatum notavi ad Thes. Steph. v. Τόσος, p. 2319 A—C. Unde incertum fit utrum τόσος δὲ an τόσος præstet in locis qualis hic et Thucydidis ibidem allatus 1, 37, ὅσῳ ἀληπτότεροι, τοσῷδε φανερωτέραν, Pausan. 4, 9, 4, ἐν ὅσῳ δὲ, ἐν τοσῷδε. Conf. var. script. supra 1, 6, 26.

μανότερον] De α hujus vocabuli producto v. dicta ad Thes. Steph.

συνεῖρον ἀπιόντες] Sc. τὴν ὁδὸν, seu τὰ βήματα, i. e. recto et continuo itinere pergebant. Ita Venat. 6, 21: καὶ ἀπὸ τούτου συνείρειν, ubi opponitur verbum περιάγειν αὐτὰς κύκλους πολλοὺς καὶ πυκνοὺς ποιούμενον. SCHN.

7. τείχη] V. ad s. 2.

μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δὲ ὅπως μὲν ἄν τις τείχη
οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ προσμαχόμενος ἕλοι οὐκ ἐνορᾶν
μοι δοκῶ· ὅσῳ δὲ πλέονες ἄνθρωποι ἐν τῇ πόλει εἰσὶν,
ἐπείπερ οὐ μάχονται ἐξιόντες, τοσούτῳ ἂν θᾶττον λιμῷ
αὐτοὺς ἡγοῦμαι ἁλῶναι. εἰ μή τιν' οὖν ἄλλον τρόπον
ἔχετε λέγειν, τούτῳ πολιορκητέους φημὶ εἶναι τοὺς ἄν-
8 δρας. καὶ ὁ Χρυσάντας εἶπεν, Ὁ δὲ ποταμὸς, ἔφη, οὗτος [5]
οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ πλάτος ἔχων πλεῖον ἢ ἐπὶ
δύο στάδια; Ναὶ μὰ Δί', ἔφη ὁ Γωβρύας, καὶ βάθος γ'
ὡς οὐδ' ἂν δύο ἄνδρες ὁ ἕτερος ἐπὶ τοῦ ἑτέρου ἑστηκὼς τοῦ
ὕδατος ὑπερέχοιεν· ὥστε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα ἐστὶν
9 ἡ πόλις ἢ τοῖς τείχεσι. καὶ ὁ Κῦρος, Ταῦτα μὲν, ἔφη, ὦ
Χρυσάντα, ἐῶμεν ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως·
διαμετρησαμένους δὲ χρὴ ὡς τάχιστα τὸ μέρος ἑκάστου
ἡμῶν ὀρύττειν τάφρον ὡς πλατυτάτην καὶ βαθυτάτην,
10 ὅπως ὅτι ἐλαχίστων ἡμῖν τῶν φυλάκων δέῃ. οὕτω δὴ [6]
κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρ-
σεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ, ὤρυττεν ἔνθεν καὶ ἔνθεν
τοῦ τείχους τάφρον ὑπερμεγέθη καὶ τὴν γῆν ἀνέβαλλον
11 πρὸς ἑαυτούς. καὶ πρῶτον μὲν πύργους ἐπὶ τῷ ποταμῷ
ᾠκοδόμει, φοίνιξι θεμελιώσας οὐ μεῖον ἢ πλεθριαίοις· [εἰσὶ

ὅπως] ση. ὅπως βαβυλὼν ἑάλω ὑπὸ κύρου mg. D. πλέονες] πλείους D. τοσοῦτο A. τιν'] τι et ν' s. v. G. τινα D. 8. ἔφη οὗτος] οὗτος ἔφη D. πλείω B.H. τῷ] post hoc litteram erasit D. 9. κῦρος] κῦρος εἶπεν D. ἡμῶν] ὑμῶν A.G. βαθυτάτην τε καὶ πλατυτάτην D. ἐλάχιστον D. ὑμῖν A.G. 10. ἀπολιπὼν] καὶ ἀπολιπὼν D. ὤρυσσον A.G. pr. corr. s. v. r. ἔνθεν καὶ om. A.G. mg. r. Tum ἔνθεν] ἐνθένδε A. Suidas v. Τύρσις citans οὕτω δὴ Κῦρος κύκλῳ—ἑαυτούς. ἔνθεν δὲ G. ἔνθα καὶ ἔνθα D. ἑαυτοὺς] αὐτοὺς L. 11. καὶ om. D.

7. πλέονες] πλείους potius quam πλέονες Xenophonteum videri dicetur ad 8, 4, 3.

8. ὁ ποταμός] Euphratem Babylonem mediam perlabentem tradit Herodotus 1, 180. SCHN. V. imaginem apud Ker Porter *Travels in Georgia, Persia* etc. vol. 2, p. 407.

δύο στάδια] Latitudinem unius stadii posuit Strabo 16, p. 738, sed ponti, qui utramque urbis partem jungebat fluvio impositus, stadiorum quinque longitudinem assignat Diodorus 2, 7. SCHN.

10. ὅσον τύρσεσι] Intellige διάστημα ἱκανόν ἐστιν. Zonaras μέτριόν τι τοῦ ποταμοῦ ἀφιστάμενοι. SCHN.

11. πρῶτον μὲν] Respondet ἀνίστη δὲ s. 12.

φοίνιξι] Quippe frequentibus in Babylonia. V. Diodor. 2, 53, Strabo 16, p. 739. HUTCH. Anab. 1, 5, 10; 2, 3, 15.

πλεθριαίοις] Suidas v. πλέθρον: Ξενοφῶν φησι πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι ἢ καὶ μείζονας σταδίου, πηχῶν υ'. Et v. κανθήλιος: Ξενοφῶν λέγει ὅτι ἐν Βαβυλῶνι οἱ φοίνικες οὐ

γὰρ καὶ μείζονες ἢ τοσοῦτοι τὸ μῆκος πεφυκότες·] καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βάρους ἄνω κυρτοῦνται,
12 ὥσπερ οἱ ὄνοι οἱ κανθήλιοι. [τούτους δ' ὑπετίθει τούτου ἕνεκα ὅπως ὅτι μάλιστα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ, ὡς εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι τοὺς πύργους.] ἀνίστη δὲ καὶ ἄλλους πολλοὺς πύρ-

πιεζόμενοι] αὐξόμενοι D. φύσις τῶν φοινίκων δένδρων G. mg. 12. εἵνεκα G. ἐοίκει A. πολιορκοῦσι D. ὡς εἰ] ὡσεὶ G. corr. mg. r. διαφάγοι D. εἰς] ἐκ D. ἂν ἕλοι A. δὲ καὶ] δὲ D.

μεῖον ἢ πλεθριαῖοι τὸ μέγεθος γίνονται· οἳ δὴ πιεζόμενοι ὑπὸ βάρους ἄνω κυρτοῦνται, ὥσπερ ὄνοι κανθήλιοι. Eadem Theophr. H. Pl. 5, 6, ex eo Plinius 13, 4; 16, 42, Strabo 15, p. 731, Plut. Q. S. 8, probl. 4, Q. N. 32, Gellius N. A. 3, 6, Ioannes Sarisber. Polycrat. 5, p. 270. Effectus inde pendere videtur, quod palma ex genere monocotyledonum lignum trunci non circulis increscens, sed ex centro æquali crassitudine folia in fine gerens habet. Circuli lignei trunci cum annis crescentes reliquas arbores distinguunt. SCHN. Ceterum errorem eorum qui πλέθρον redderent Lat. *jugerum*, quum illud sit centum, hoc ducentorum quadraginta pedum, pluribus exagitavit ad h. l. Hutchinsonus. V. dicta ad Thes. Steph.

εἰσὶ—πεφυκότες] Seclusi verba non minus ad sententiam quam ad orationem perversa. Quibus sublatis tollitur etiam moleste interpositum inter præcedentia et sequentia membrum.

καὶ γὰρ δὴ] Hæc alienum in locum immigrasse non dubito, etsi interpretes omnes tacent. Nihil enim præcessit, cujus nunc sit ratio reddenda. Contra post traditum usum trabium palmearum recte subjungetur causa, cur palmeæ fuerint adhibitæ, non alia materies. Igitur post verba ἀνέλοι τοὺς πύργους recte sequentur omnia ista καὶ γὰρ δὴ—κανθήλιοι. SCHN. Addit Weckherlinus commodius etiam ὅπως—παρασκευαζομένῳ s. 11, post ᾠκοδόμει positum iri. Librorum scripturam sequitur Suidas ab Schneidero paullo ante memoratus. Quam qui emendare aut explicare conantur, operam mihi ludere videntur in scholiis duobus ex margine illatis, quæ seclusi.

12. κανθήλιοι] Asini clitellarii, quorum comparationem non satis intelligo, nec scio an spina dorsalis oneri imposito ita cedat, ut surgat potius quam deorsum curvetur. SCHN. Comparari quodammodo potest voc. κανθήλια usus de ξύλοις ἐπικαμπέσι, ab Hesychio notatus. Ipsa autem comparatio similis est iis quas notavi ad Anab. 7, 2, 33, ubi addere licet ib. 5, 7, 26.

διαφύγοι ὁ ποταμὸς] Brodæus addi voluit ἐκχυθείς. Scilicet et illi, ut postea Stephano, merito displicuit verbum διαφύγοι de flumine redundante positum. SCHN. Non minus singularis scriptura διαφάγοι de fluvio perrumpente illud spatium quod s. 10 dixerat inter fluvium et fossam relictum, etsi non dissimilis est usus verbi διαβιβρώσκεσθαι apud schol. Apoll. Rh. 1, 995, ἀμφιρρῶγας explicantem διαβεβρωμένας ὑπὸ τῆς θαλάττης. Neque enim de redundante, ut Schneiderus, agitur. Sed quum ne deleto quidem εἰς ferri possit διαφάγοι, alterum relinquendum est ei qui hæc addidit eoque significare voluit perrumpentem fluvium.

ἀνέλοι] Fluvius si perrupto aggere turrium fundamenta subruat, turres cum terra subsidunt, onere desuper increscente. Verum substructio trabibus palmeis facta turres impedit quominus desidant: trabes enim istæ potius sursum se curvando oneri resistent, quam deorsum cedent. SCHN.

γους ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτή-
13 ρια εἴη. οἱ μὲν δὴ ταῦτ' ἐποίουν· οἱ δ' ἐν τῷ τείχει κατε- [7]
γέλων τῆς πολιορκίας, ὡς ἔχοντες τἀπιτήδεια πλέον εἴκο-
σιν ἐτῶν. ἀκούσας δὲ ταῦτα ὁ Κῦρος τὸ στράτευμα κατέ-
νειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον μέρος
14 φυλάξον. οἱ δ' αὖ Βαβυλώνιοι ἀκούσαντες ταῦτα πολὺ
ἔτι μᾶλλον τούτων κατεγέλων, ἐννοούμενοι εἰ σφᾶς Φρύ-
γες καὶ Λυδοὶ καὶ Ἀράβιοι καὶ Καππαδόκαι φυλάξοιεν,
οὓς σφίσιν ἐνόμιζον πάντας εὐμενεστέρους εἶναι ἢ Πέρ-
σαις.
15 Καὶ αἱ μὲν τάφροι ἤδη ὀρωρυγμέναι ἦσαν. ὁ δὲ Κῦρος
ἐπειδὴ ἑορτὴν ἐν τῇ Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν ᾗ πάντες
Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν, ἐν
ταύτῃ, ἐπειδὴ τάχιστα συνεσκότασε, λαβὼν πολλοὺς ἀν-
16 θρώπους ἀνεστόμωσε τὰς τάφρους πρὸς τὸν ποταμόν. ὡς
δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ
νυκτὶ, ἡ δὲ διὰ τῆς πόλεως τοῦ ποταμοῦ ὁδὸς πορεύσιμος

ἀμβολὰς Pollux 7, 100, Suidas in v., citans *ὁ δὲ Κῦρος πύργους ἐποίει—εἴη.* *ὅτι*] *ἔτι* A.G. pr. 13. *τείχῃ* G. pr. Libri *τὰ ἐπιτήδεια.* *πλέον*] *πλέον ἢ* D. Zonaras. *εἴκοσι* A.D. *ἕκαστον*] *ἕκαστον τὸ* D. 14. *τούτων κατεγέλων* om. D. *εἴ σφας* D. *φρύγιοι* A.G. corr. s. v. r. *λυδοὶ*] *λύκιοι* A.G. *καππαδόκες* A.D. pr. G. *φυλάξειαν* A.G. *σφῖσιν* A. 15. *ἐπεὶ* D., qui etiam *ὠρωρ.* pr. et *ἦσαν* in ras. *a.* *ἑορτὴν*] *ἑορτῇ ἑαυτῶν* (sic) D. *ἤκουσεν εἶναι*] *ἦν* D. *πάντες*] *οἱ* add. D. *ἐπεὶ* D. *ἀνεστώμ.* D. *τάφρους*] *τὰς οὔσας* add. G. mg. r. 16. *τὸ* om. A.G.

φυλακτήρια] Aristoteles Politic. 7, 10, 8, a turribus distinguit: *Τὰ δὲ τείχη διειλῆφθαι φυλακτηρίοις καὶ πύργοις κατὰ τόπους ἐπικαίρους.* Seneca de Beneficiis 6, 15, 6: *Notum est illas turres (in muro) pro securitate publica propugnacula habituras excitaturus faber quid in diem mereat.* Polybius pluribus in locis *φυλακεῖα*, semel *φυλακτήριον* nominavit. Videntur igitur *φυλακτήρια* partes turrium projectæ fuisse. SCHN.

13. *κατεγέλων*] Conf. Herodoti 1, 190. SCHN. Polyæn. 7, 6, 8. Malis autem abesse *τούτων*.

πλέον εἴκοσιν ἐτῶν] V. ad 7, 4, 16.

κατένειμε δώδεκα μέρη] Conf. de hac constructione Heind. ad Phædri §. 74, Valcken. ad Herodoti 7, 121, ad Theocr. 3, 21, Kuster. ad Aristoph. Eq. 765. SCHN. V. ad 1, 2, 5.

14. *ἐννοούμενοι, εἰ*] Paulum diverso sensu Œcon. 18, 9: *Ἐννοῶ ἄρα, εἰ λέληθα καὶ χρυσοχοεῖν—καὶ ζωγραφεῖν ἐπιστάμενος.* SCHN.

Λυδοὶ] Lycii antea (1, 1, 4; 5, 3; 2, 1, 5; 4, 2, 9 s.; 6, 2, 10, etc.) nunquam commemorati. *Λυκίαν* pro *Λυδίαν* illatum 8, 6, 7. ZEUN.

14. *ἑορτὴν*] Festo die captam urbem refert etiam Herodotus 1, 191. Festum fuisse *τὰ Σάκαια* ex Athenæo 14, p. 639 C, conjecit Io. Vorstius Exercit. Academ. 4. ZEUN.

τὰς τάφρους] Sunt fossæ vicinæ fluvio, perfosso solo medio admittentes aquas fluvii. SCHN. Pollux 2, 102: *Ἀναστομῶσαι τὰς τάφρους φησὶν Ἡρόδοτος*, cujus errorem notavit Schweigh. Lex.

17 ἀνθρώποις ἐγίγνετο. ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύ- [8]
νετο, παρηγγύησεν ὁ Κῦρος Πέρσαις χιλιάρχοις καὶ πεζῶν
καὶ ἱππέων εἰς δύο ἄγοντας τὴν χιλιοστὺν παρεῖναι πρὸς
αὐτὸν, τοὺς δ' ἄλλους συμμάχους κατ' οὐρὰν τούτων ἕπε-
18 σθαι ᾗπερ πρόσθεν τεταγμένους. οἱ μὲν δὴ παρῆσαν· ὁ δὲ
καταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας καὶ
πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι εἰ πορεύσιμον εἴη
19 τὸ ἔδαφος τοῦ ποταμοῦ. ἐπεὶ δὲ ἀπήγγειλαν ὅτι πορεύσι-
μον εἴη, ἐνταῦθα δὴ συγκαλέσας τοὺς ἡγεμόνας τῶν
πεζῶν καὶ ἱππέων ἔλεξε τοιάδε.
20 Ἄνδρες, ἔφη, φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παρακεχώρηκε [9]
τῆς εἰς τὴν πόλιν ὁδοῦ· ἡμεῖς δὲ θαρροῦντες εἰσίωμεν
μηδὲν φοβούμενοι εἴσω, ἐννοούμενοι ὅτι οὗτοι ἐφ' οὓς νῦν
πορευσόμεθα ἐκεῖνοί εἰσιν οὓς ἡμεῖς καὶ συμμάχους πρὸς
ἑαυτοῖς ἔχοντας καὶ ἐγρηγορότας ἅπαντας καὶ νήφοντας
21 καὶ ἐξωπλισμένους καὶ συντεταγμένους ἐνικῶμεν· νῦν δ'
ἐπ' αὐτοὺς ἴμεν ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ
δ' αὐτῶν μεθύουσι, πάντες δ' ἀσύντακτοί εἰσιν· ὅταν δὲ
καὶ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἔτι μᾶλλον ἢ νῦν
22 ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. εἰ δέ τις τοῦτο ἐν-
νοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν εἰσιοῦσι,
μὴ ἐπὶ τὰ τέγη ἀναβάντες βάλλωσιν ἔνθεν καὶ ἔνθεν, τοῦτο

ἀνθρώποις πορεύσιμος D. ἐγένετο G. 17. ἐπορσύνετο] ἐπορεύετο A.G. pr. παρεγγύησεν G. χιλιάρχαις A.G. καὶ ἱππέων] καὶ ἵππων A. ἱπέων D. χιλιοστὴν A. πρόσθε D. 18. τοὺς s. v. r. G. καὶ πεζοὺς] πεζοὺς G.M. καὶ ἱππέας] ἱπέας D., ut mox ἱπέων. ἐκέλευεν D. τὸ ἔδαφος—πορεύσιμον εἴη om. A.G. mg. r. 19. τάδε D. 20. μηδὲν] δὴ μηδὲν G. μηδὲν φοβούμενοι om. D. εἴσω ἐννοούμενοι om. A.G. mg. r. νῦν πορευσόμεθα] συμπορευσόμεθα G. corr. s. v. r. ἑαυτοὺς D. ὡπλισμένους D. 21. ἴωμεν A.G. αὐτῶν κυθεύδουσιν] καθεύδουσιν αὐτῶν G.M. δὲ καὶ] δὲ D. πολὺ] πολὺ ἂν A.G. 22. τις] τι D.G. pr. ἐννοεῖτε D. eraso αι super ε. βάλωσιν A.G. τούτῳ D.

16. τὸ ὕδωρ] Aquam per fossas in lacunam ingentem a Nitocri regina factam derivat Zeunius, præeunte Herodoto 1, 185, et 191. E Xenophontis autem narratione flumen in duas partes divisum ex anfractu fossarum, in quas deductum erat, infra urbem alveum suum repetiisse videri animadvertit Weiskius. SCHN. Conf. Polyæn. 7, 6, 5. HUTCH.

20. θαρροῦντες—μηδὲν φοβούμενοι] μηδὲν φοβούμενοι, jam Stephano suspecta, non tutiora quam εἴσω ἐννοούμενοι.

21. πολλοὶ δ' αὐτῶν] "Libri veteres πολλοὶ δ' ἂν μεθύουσι." Muretus, cui repetitum αὐτῶν displicuisse videtur; et merito quidem. SCHN. Aliquid hic turbatum prodit transpositum prius αὐτῶν in G. Supra 5, 2, 2: Πολλοὺς μὲν αὐτῶν εὑρήσομεν ἔτι κλάοντας—, πολλοὺς δ' ἔτι—, πάντας δὲ κ. τ. λ. Et 1, 1, 1, οἱ μὲν αὐτῶν, οἱ δὲ, ut hic alterum potius αὐτῶν, quam quod F. omittit prius, abesse malis.

μάλιστα θαρρεῖτε· ἢν γὰρ ἀναβῶσί τινες ἐπὶ τὰς οἰκίας,
ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον. εὔφλεκτα δὲ τὰ πρό-
θυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι πεποιημέναι, ἀσφάλτῳ
23 δὲ ὑπεκκαύματι κεχριμέναι. ἡμεῖς δ' αὖ πολλὴν μὲν δᾷδα
ἔχομεν, ἣ ταχὺ πολὺ πῦρ τέξεται, πολλὴν δὲ πίτταν καὶ
στυππεῖον, ἃ ταχὺ παρακαλεῖ πολλὴν φλόγα· ὥστε ἀνάγ-
κην εἶναι ἢ φεύγειν ταχὺ τοὺς ἀπὸ τῶν οἰκιῶν ἢ ταχὺ
24 κατακεκαῦσθαι. ἀλλ' ἄγετε λαμβάνετε τὰ ὅπλα· ἡγήσομαι
δὲ ἐγὼ σὺν τοῖς θεοῖς. ὑμεῖς δ', ἔφη, ὦ Γαδάτα καὶ
Γωβρύα, δείκνυτε τὰς ὁδούς· ἴστε γάρ· ὅταν δ' ἐντὸς
25 γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια. Καὶ
μήν, ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, οὐδὲν ἂν εἴη θαυ-
μαστὸν εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλείου εἶεν·
ὡς ἐν κώμῳ δοκεῖ γὰρ ἡ πόλις πᾶσα τῇδε τῇ νυκτί. φυ-

ἀναβῶσιν ἐπὶ τὰς οἰκίας τινες D. σύμμαχον D. πρόθυρα] acc. a corr., qui erasus videtur super υ, et erasum aliquid post ρ, quod pr. fuit υ, G. φοίνικας D. κεχριμέναι E. κεχρισμέναι A.D.G. 23. μὲν om. D. στυπεῖον D.G. πολλὴν παρακαλεῖ D. ἀνάγκη A.G. ἢ τάχει A. 25. εἰ καὶ] εἶναι A.G., sed punctis notans r. ἄκλειστοι] γὰρ add. A.G. et M., qui mg. γρ. εἰ καὶ ἄκλειστοι. εἶεν om. A.G.M., sed habet mg. in γρ. modo memorata. ὡς ἐν κώμῳ δοκεῖ γὰρ] ὡς ἐν κώμῳ· δοκῶ γὰρ A. ὡς ἐν κώμῳ· δοκεῖ γὰρ G.M. κωμοδοκεῖ γὰρ D. κωμωδοκεῖ γὰρ M. mg. πᾶσα ἡ πόλις D.M. mg. τῇδε τῇ] τῇδε A.G. et M., corr. mg.

22. ἀσφάλτῳ] Strabo 16, p. 739: Διὰ τὴν τῆς ὕλης σπάνιν ἐκ φοινικίνων ξύλων αἱ οἰκοδομαὶ συντελοῦνται καὶ δοκοῖς καὶ στύλοις. περὶ δὲ τοὺς στύλους στρέφοντες ἐκ τῆς καλάμης σχοινία περιτιθέασιν, εἶτ' ἐπαλείφοντες χρώμασι καταγράφουσι, τὰς δὲ θύρας ἀσφάλτῳ etc. HUTCH. Huc autem Müllerus referendum conjecit quod Tzetzes ad Lycophr. 704 Xenophontem quoque de lacu Ἀσφαλτίτιδι loquutum fabulatur.

ὑπεκκαύματι] V. de hoc voc. Hemsterh. ad Lucian. Dial. Mar. 11, 2, vol. 1, p. 317.

κεχριμέναι] Alienas ab Atticis formas σ habentes verbi et subst. χρῖμα notavi præf. ad Anab. p. xii. Idem vitium in omnibus 7, 1, 2. V. Cobet. Var. Lect. p. 127.

23. παρακαλεῖ] Futurum.

φεύγειν τοὺς ἀπὸ τῶν οἰκιῶν] Anab. 5, 2, 24: Ἔφευγον οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν. STEPH.

25. ὡς ἐν κώμῳ δοκεῖ γὰρ—νυκτί] Legendum puto: Οὐδὲν ἂν εἴη θ. εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλείου εἶεν, ὡς ἐν κώμῳ· ἐν κώμῳ γὰρ δοκεῖ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί. Convivii hujus mentio est Danielis c. 5 MURETUS. Quum neque γὰρ sic positurus fuisse videatur Xenophon, ut librorum deteriorum scriptura confisus putavit Hemsterh. ad Lucian. D. Mort. 25, 1, vol. 1, p. 432, neque ὡς ἐν κώμῳ aptum sit de iis qui s. 15, πίνειν καὶ κωμάζειν dicti erant, ego olim delendum conjeci γὰρ, similiter illatum paullo ante post ἄκλειστοι in A.G. Sed quum ne hoc quidem stet nisi recepto ex edd. vett. εἶναι post πᾶσα, quod correctoris simile est additamento non minus infelicis quam qui καὶ γὰρ ἄκλειστοι, quod est in iisdem edd. pro εἶναι ἄκλειστοι vel εἰ καὶ ἄκλειστοι posuit, εἶεν autem qui habent, omittant ὡς ἐν, et vicissim εἶεν, qui ὡς ἐν, non improbabilis Stephani conjectura κωμάζει γὰρ ἡ πόλις, deletis quæ ille servabat ὡς ἐν κώμῳ.

λακῇ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα· ἔστι γὰρ ἀεὶ τεταγμένη. Οὐκ ἂν μέλλειν δέοι, ἔφη ὁ Κῦρος, ἀλλ' ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς ἄνδρας.

26 *Ἐπεὶ δὲ ταῦτα ἐρρήθη, ἐπορεύοντο· τῶν δὲ ἀπαντώντων* [10]
οἱ μὲν ἀπέθνησκον παιόμενοι, οἱ δ' ἔφευγον πάλιν εἴσω, οἱ
δ' ἐβόων· οἱ δ' ἀμφὶ τὸν Γωβρύαν συνεβόων αὐτοῖς, ὡς
κωμασταὶ ὄντες καὶ αὐτοί· καὶ ἰόντες ᾗ ἐδύναντο τάχιστα
27 *ἐπὶ τοῖς βασιλείοις ἐγένοντο. καὶ οἱ μὲν σὺν τῷ Γωβρύᾳ*
καὶ Γαδάτᾳ τεταγμένοι κεκλειμένας εὑρίσκουσι τὰς πύλας
τοῦ βασιλείου· οἱ δ' ἐπὶ τοὺς φύλακας ταχθέντες ἐπεισπί-
πτουσιν αὐτοῖς πίνουσι πρὸς φῶς πολύ, καὶ εὐθὺς ὡς
28 *πολεμίοις ἐχρῶντο. ὡς δὲ κραυγὴ καὶ κτύπος ἐγίγνετο,*
αἰσθόμενοι οἱ ἔνδον τοῦ θορύβου, κελεύσαντος τοῦ βασι-
λέως σκέψασθαι τί εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοί-
29 *ξαντες τὰς πύλας. οἱ δ' ἀμφὶ τὸν Γαδάταν ὡς εἶδον τὰς* [11]
πύλας χαλώσας, εἰσπίπτουσι καὶ τοῖς πάλιν φεύγουσιν
εἴσω ἐφεπόμενοι καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βα-
σιλέα· καὶ ἤδη ἑστηκότα αὐτὸν καὶ ἐσπασμένον ὃν εἶχεν

ἔστη G. corr. s.v.r. *αἰεὶ* A.G. *ἂν μέλλειν*] *ἀμελεῖν* A.G.M. *ἂν ἀμελεῖν* D. *μέλλειν* Muretus. *μάλιστα*] *μάλιστα ἂν* A.G. 26. *εἴσω*] *ὀπίσω* D. *τὸν* om. D. *ὄντες αὐτοὶ* A.G. corr. s. v. *καὶ αὐτοὶ ὄντες* D. *τάχιστα* ed. Etonensis a. 1613. Libri *ὡς τάχιστα.* 27. *κεκλειμένας*] *κεκλεισμένας* libri, nisi quod *σ* anguste inserit alia m. D., et Zonaras. *πύλας*] *θύρας* D. *πολέμιοι ἐχρῶντο* A. *πολέμιοι ἐχρῶντο αὐτοῖς* D. 28. *κελεύσαντος*] *καὶ κελεύσαντος* D. 29. *οἱ δ'—χαλώσας* om. A.G. mg. r. *γαδάτην* D. *εἰσπίπτουσι*] *εἰς ἃς εἰσπίπτουσι* A.G. *ἐφαπόμενοι* G., ut videtur, pr., sed *ε* s. v. r. *σπασάμενον* D.

οὐκ ἂν μέλλειν δέοι] Ita *ὥρα ἂν εἴη* 1, 4, 13. V. annot. ad 4, 4, 5. SCHN. Recte autem Muretus *μέλλειν*, quæ confusa s. 76.

26. *ᾗ*] *ὡς* post *ᾗ* similiter illatum Plat. Tim. p. 53 A: *Ἧι δυνατὸν ὡς κάλλιστα*, contuli ad Thes. Steph. v. *Ταχὺ* p. 1901 B, ubi de formula *ᾗ τάχιστα. ὡς ἠδύναντο τάχιστα* Zonaras.

27. *κεκλειμένας*] Hanc unam formam ita probant grammatici ad Steph. Thes. citati, ut ne recentioribus quidem ibidem memoratis, nedum Atticis relinquenda sit. Nullum vero in libris Cyrop. vestigium formæ per *η*, de qua dixi ad Anab. 3, 3, 7.

29. *βασιλέα*] Belsazarem, qui et Nabonedus a Beroso, Labynetus ab Herodoto vocatur. V. Jesai. 13, 14, 15; 21, 2, 3, 4; 14, 1 seq. Dan. 5, 30, Jer. 25, 12, 13, 14; 50, 51 passim. Anno autem M. 3466. J. P. 4176, A. Chr. 538 Babylonicum imperium eversum erat, atque ad Medos et Persas victores translatum. Conf. Beros. ap. Joseph. C. Apion. 1, 20, Euseb. Præp. 9, 40. HUTCH. Et Chron. p. 49. SCHN. Dissensum Abydeni apud Euseb. Præp. l. c., qui postremam Babyloniorum regem vitæ donatum tradit, a Xenophonte et Daniele, qui trucidatum narrant, notavit etiam Wesseling. ad Simsoni Chron. p. 664.

ἐσπασμένον] Strictum gladium tenentem. Contra recte dicitur *σπασάμενος ἀποκτείνει* vel *ἀπέκτεινε.* Ita

ἀκινάκην εὑρίσκουσι. καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ
Γωβρύᾳ πολλοὶ ἐχειροῦντο· καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνη-
σκον, ὁ μὲν προβαλόμενός τι, ὁ δὲ φεύγων, ὁ δέ γε καὶ
31 ἀμυνόμενος ὅτῳ ἐδύνατο. ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν
ἱππέων τάξεις κατὰ τὰς ὁδοὺς καὶ προεῖπεν οὓς μὲν ἔξω
λαμβάνοιεν κατακαίνειν, τοὺς δ' ἐν ταῖς οἰκίαις κηρύττειν
τοὺς συριστὶ ἐπισταμένους ἔνδον μένειν· εἰ δέ τις ἔξω
ληφθείη, ὅτι θανατώσοιτο.

32 Οἱ μὲν δὴ ταῦτ' ἐποίουν. Γαδάτας δὲ καὶ Γωβρύας
ἧκον· καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν, ὅτι τετιμωρη-
μένοι ἦσαν τὸν ἀνόσιον βασιλέα, ἔπειτα δὲ Κύρου κατε-
φίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύοντες ἅμα χαρᾷ
33 καὶ εὐφραινόμενοι. ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ ᾔσθοντο οἱ [12]
τὰς ἄκρας ἔχοντες ἑαλωκυῖάν τε τὴν πόλιν καὶ τὸν βα-
34 σιλέα τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. ὁ δὲ Κῦρος
τὰς μὲν ἄκρας εὐθὺς παρελάμβανε καὶ φρουράρχους τε καὶ
φρουροὺς εἰς ταύτας ἀνέπεμπε, τοὺς δὲ τεθνηκότας θάπτειν
ἐφῆκε τοῖς προσήκουσι· τοὺς δὲ κήρυκας κηρύττειν ἐκέ-
λευσεν ἀποφέρειν πάντας τὰ ὅπλα Βαβυλωνίους· ὅπου δὲ
ληφθείη ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν ὡς πάντες οἱ ἔνδον
ἀποθανοῖντο. οἱ μὲν δὴ ἀπέφερον, ὁ δὲ Κῦρος ταῦτα μὲν
εἰς τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα, εἴ τί ποτε δέοι

30. γαδάτῃ A.D. γωβρύαν A. πολλοὶ om. D. προβαλλόμενος D. τις A.G. pr. καὶ om. M. δύναιτο D. 31. διέπεμπε τάξεις ἱππέων κατὰ D. ληφθήσοιτο D. 32. ἦσαν] εἴησαν D. καὶ χεῖρας] χεῖρας D. 34. θάπτειν om. D. ἐφῆκε] ἀν s. ἐφ r. G. ἀνεφῆκε M. ἐκέλευεν D.G. ληφθεῖεν L.M. λειφθεῖεν A.G. ληφθήσοιτο D. προηγόρευον D. ἀποθάνοιντο D.

Anab. 7, 4, 16, ἐκπηδῶσιν ἐσπασμένοι τὰ ξίφη. Supra 4, 1, 3: Ἀνατεταμένος οὗτος τὴν μάχαιραν (sublatum gladium tenens) ὑπήκουσέ τέ μου εὐθύς. SCHN.

31. τοὺς] τοῖς Reiskius in margine exemplaris sui, ut est 4, 2, 32 et alibi.

32. θεοὺς μὲν πρῶτον] Conf. 8, 5, 8. δακρύοντες ἅμα χαρᾷ] H. Gr. 7, 1, 32: Κοινόν τι ἄρα χαρᾷ καὶ λύπῃ δάκρυά ἐστιν. Sic autem Dio Chr. Or. 2, vol. 1, p. 78: Ἐπὶ τοσοῦτον ἅμα σπουδῇ ἐπαιξάτην. Quod 6, 1, 6 dicitur: Τοιαῦτα ἔπαιζον σπουδῇ πρὸς ἀλλήλους, ubi exspectes ἅμα σπουδῇ.

τὸν ἀνόσιον βασιλέα] Ὁ μὲν οὖν Ξενοφῶν τὰ περὶ τοῦ Κύρου ἱστορῶν τὸ ὄνομα τοῦ ἁλόντος βασιλέως τῶν Ἀσσυρίων οὐ λέγει. ὁ δὲ Ἰώσηπος ἐν τῷ δεκάτῳ λόγῳ τῆς Ἀρχαιολογίας τὸν Βαλτάσαρ τοῦτον εἶναι ἱστορεῖ, ᾧ καὶ ἡ χεὶρ ἐφάνη ἐκ τοῦ τείχους προϊοῦσα καὶ γράφουσα τὰ ἤδη προγραφέντα γράμματα, ὧν τὴν δήλωσιν ἡρμήνευσεν ὁ Δανιήλ. Zonaras p. 165 A.

33. τὰς ἄκρας] Plures ἀκροπόλεις in urbe Babylone adfuisse aliunde non constat: sed potuit ἀκρόπολις habuisse plura castella seu ἐρύματα. SCHN. Sero cognovisse urbem captam qui in extrema ejus parte essent narrat Herodot. 1, 191, Aristot. Polit. 3, 3. ZEUN.

34. ληφθεῖεν] Conf .s. 31. SCHN. De plurali v. ad 5, 4, 8.

35 χρῆσθαι. ἐπεὶ δὲ ταῦτ' ἐπέπρακτο, πρῶτον μὲν τοὺς [13]
μάγους καλέσας, ὡς δοριαλώτου τῆς πόλεως οὔσης ἀκροθίνια τοῖς θεοῖς καὶ τεμένη ἐκέλευσεν ἐξελεῖν· ἐκ τούτου δὲ καὶ οἰκίας διεδίδου καὶ ἀρχεῖα τούτοις οὕσπερ κοινῶνας ἐνόμιζε τῶν καταπεπραγμένων· καὶ οὕτω διένειμεν ὥσπερ ἐδέδοκτο τὰ κράτιστα τοῖς ἀρίστοις. εἰ δέ τις οἴοιτο μεῖον
36 ἔχειν, διδάσκειν προσιόντας ἐκέλευε. προεῖπε δὲ Βαβυλωνίοις μὲν τὴν γῆν ἐργάζεσθαι καὶ τοὺς δασμοὺς ἀποφέρειν καὶ θεραπεύειν τούτους οἷς ἕκαστοι αὐτῶν ἐδόθησαν· Πέρσας δὲ τοὺς κοινῶνας καὶ τῶν συμμάχων ὅσοι μένειν ᾑροῦντο παρ' αὐτῷ ὡς δεσπότας ὧν ἔλαβον προηγόρευε διαλέγεσθαι.

37 Ἐκ δὲ τούτου ἐπιθυμῶν ὁ Κῦρος ἤδη κατασκευάσασθαι [14]

35. δοριαλώτου A.D. pr. G. pr., ut videtur, δορυαλώτου ambo corr. ἀκροθήνια pr., ut videtur, D. ἐκέλευσεν] σε in ras. G., qui pr. fortasse σαν. καὶ οἰκίας] οἰκίας D. οἷσπερ D. κοινωνοὺς A.G. corr. mg. r. ἐνομίζετο A.G. corr. s. v. r. Suidas v. Κοινῶνας citans ἀκροθίνια — ἐξελεῖν et οὕσπερ—καταπ. καὶ οὕτω] οὕτω δὲ D. προσιόντα (πρὸς ἰόντα pr.) διδάσκειν D. 36. τούτοις D. αὐτῶν ἕκαστοι D. πέρσας δὲ τοὺς κοινῶνας] ὡς πέρσας δὲ καὶ τοὺς κοινωνοὺς A. et qui ὡς punctis notat r., ν autem post κοι s. v. r. G.M. πέρσας δὲ τοὺς κοινωνοῦντας D.M. corr. Restitui κοινῶνας. ἑαυτῷ D. ἔλαβεν D. 37. ἐπεθύμει G. s. v. r. ἤδη om. D.

35. ἐδέδοκτο] 2, 2, 17; 3, 1.

36. κοινῶνας] Supra s. 35, κοινωνοὺς τῶν καταπεπραγμένων vocavit eosdem Persas: infra 8, 1, 16, 25, 36, 40. κοινῶνας vel κοινωνοὺς vel κοινωνοῦντας iterum vocat: alibi οἱ περὶ αὐτὸν, οἱ περὶ τὸν βασιλέα. SCHN. Pollux 8, 134: Οἱ κοινῶνες Ξενοφῶντος ἴδιον.

καὶ τῶν συμμάχων] Etiam his, ut Persis, quos κοινῶνας dicit Xenophon, οἰκίας καὶ ἀρχεῖα Cyrus Babylone dederat. De sociis iterum est 8, 4, 28: Ὅσοι αὐτῶν οἰκεῖν ἐβούλοντο παρ' αὐτῷ, τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε. Additur Medos et Hyrcanios maximam partem fuisse. Adhuc de Babylonia terra sermo est. Cyaxari ipsi Babylone erant ἐξῃρημένος οἶκος καὶ ἀρχεῖα, ut est 8, 5, 17. Cum mittere vult Cyrus satrapas in provincias cap. 6, ἐφόροις seu legatis in provincias mittendis extra ordinem similiter χώρας νέμεσθαι καὶ οἴκους in provinciis assignat; quod utrumque munus s. 5. dicit οἴκους καὶ ὑπηκόους κατὰ πάσας τὰς καταστραφείσας χώρας. Satraparum imperio subjicit eos, ὁπόσοι ἂν γῆν καὶ ἀρχεῖα λάβωσι in provinciis 6, 10, eosque aulam satrapæ colere jubet; quos iterum s. 13. intelligere nos voluisse videri possit Xenophon, ubi ait ad satrapas: Οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας μιμεῖσθαι ὑμᾶς διδάσκετε. Ibi enim codices quidam ἀρχεῖα. Verum ita etiam ὑφ' ὑμᾶς esse deberet. Superest ut dispiciamus quæ dicantur ἀρχεῖα. Supra 1, 2, 3. sunt τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα. Ubi ædes regiæ et palatia procerum seu officiorum palatinorum significari videntur. Et 7, 5, 85, est ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, et 8, 1, 5, τόδε τὸ ἀρχεῖον regiam Cyri Babylone vocat, et s. 6, θύρας, paullo vero post τὰς τῶν ἀρχόντων θύρας dicit pro ἀρχεῖα. Alibi dubitari potest quid sit ἀρχεῖον apud Xenophontem, veluti Hist. Gr. 5, 4, 58, ubi v. annot. In Cyrop. locis appositis videtur vocabulum fere ædes et palatia procerum, magistratuum et officiorum palatinorum significare. SCHN.

διαλέγεσθαι] V. ad Anab. 2, 6, 23: Τῶν συνόντων ὡς καταγελῶν διελέγετο.

37. ἐκ δὲ τούτου] Hinc rectius initium libri octavi mihi duci videtur,

καὶ αὐτὸς ὡς βασιλεῖ ἡγεῖτο πρέπειν, ἔδοξεν αὐτῷ τοῦτο
σὺν τῇ τῶν φίλων γνώμῃ ποιῆσαι, ὡς ὅτι ἥκιστα ἂν ἐπι-
φθόνως σπάνιός τε καὶ σεμνὸς φανείη. ὧδε οὖν ἐμηχα-
νᾶτο τοῦτο. ἅμα τῇ ἡμέρᾳ στὰς ὅπου ἐδόκει ἐπιτήδειον
εἶναι προσεδέχετο τὸν βουλόμενον λέγειν τι καὶ ἀποκρι-
38 νάμενος ἀπέπεμπεν. οἱ δ' ἄνθρωποι ὡς ἔγνωσαν ὅτι προσ-
δέχοιτο, ἧκον ἀμήχανοι τὸ πλῆθος· καὶ ὠθουμένων περὶ
39 τοῦ προσελθεῖν μηχανή τε πολλὴ καὶ μάχη ἦν. οἱ δὲ
ὑπηρέται ὡς ἐδύναντο διακρίναντες προσίεσαν. ὁπότε δέ [15]
τις καὶ τῶν φίλων διωσάμενος τὸν ὄχλον προφανείη, προ-
τείνων ὁ Κῦρος τὴν χεῖρα προσήγετο αὐτοὺς καὶ οὕτως
ἔλεγε· Περιμένετε, ἕως τὸν ὄχλον διωσόμεθα. οἱ μὲν δὴ
φίλοι περιέμενον, ὁ δ' ὄχλος πλείων καὶ πλείων ἐπέρρει,
ἕωσπερ ἔφθασεν ἑσπέρα γενομένη πρὶν τοῖς φίλοις αὐτὸν
40 σχολάσαι καὶ συγγενέσθαι. οὕτω δὴ ὁ Κῦρος λέγει, Ὥρα,
ἔφη, ὦ ἄνδρες, διαλυθῆναι· αὔριον δὲ πρῴ ἔλθετε· καὶ γὰρ
ἐγὼ βούλομαι ὑμῖν τι διαλεχθῆναι. ἀκούσαντες ταῦτα οἱ
φίλοι ἄσμενοι ᾤχοντο ἀποθέοντες, δίκην δεδωκότες ὑπὸ
πάντων τῶν ἀναγκαίων. καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν.

ἂν ἐπιφθόνως] *ἀνεπιφθόνως* A.G. *ἀποκρινόμενος* A.G. *μηχανὴ—ἦν*] *πολλὴ μηχανὴ ἦν* D. 38. *προσεδέχοιτο* A. 39. *ἠδύναντο* A.G. *διακρίνοντες* D. *προσίεσαν* Stephanus. *προσήεσαν* A.D.G. *ἔλεγε*] *ἔλεγεν ἄνδρες φίλοι* D. *παραμένετε* A.G. *ὡς—διωσώμεθα* D. Post quod *ἔπειτα δὲ καθ' ἡσυχίαν συγγενησόμεθα* om. A.G. mg. r. *περιέμενον* Stephanus. *παρέμενον* A.D.G. *πλείω καὶ πλείω* A.G. pr. *ἕωσπερ*] *ὥστ'* D. *ἑσπέρα*] *ἑσπέρα τε* A.G. *σχολάσαι αὐτὸν* D. 40. *οὗτως* A. *ὥρα*] *ἄρα* A.G. corr. *ἄρ'* D. *διαλυθῆναι*] Libri *νῦν μὲν διαλυθῆναι.* Libri *πρωί.* *ταῦατ*] *δὲ ταῦτα* D. *ὑπὸ*] *ἀπὸ* D.G. s. v. r. *τῶν* om. A.

ubi bellis finitis pacis artes explicantur. SCHN. Et Stob. Fl. 15, 3, *ἐν τῷ η' τῆς Κ. π.* ponit 7, 5, 82, *οὐ γὰρ—στερηθῆναι.* Sed omnes illas divisiones in libros grammaticorum esse, non scriptorum illius ætatis, dictum præf. ad H. Gr. p. xiii, ad Anab. p. 1.

ἐπιθυμῶν—ἔδοξεν αὐτῷ] Conf. 4, 2, 3; 6, 1, 31. ZEUN.

38. *ἀμήχανοι* ex h. l. transtulisse Suidas in voc. *ἀμηχάνητοι, ἀντὶ τοῦ πολλοὶ, Ξενοφῶν,* corrigendusqne hinc videbatur Kustero. SCHN. Idem fortasse ex h. l. *διωσόμεθα.*

39. *σχολάσαι*] Verbi cum dativo conjuncti exempla multa exhibet Thes. Steph. Ejus autem sequens *καὶ συγγενέσθαι* appendix non minus inutilis quam *ὑπακούειν* 8, 1, 18.

40. *ὥρα—διαλυθῆναι*] Deleto *καιρὸς* Cobetus Mnemos. vol. 5, p. 384 *ἄρα* in *ὥρα* mutat, quod cum *καιρὸς* confusum H. Gr. 7, 2, 13. *Ἀρα* autem cum *ὅρα* vel *ὥρα* supra 5, 4, 33, apud Euseb. Hierocl. p. 45, 50 Gaisf. Sed delendum erat etiam *νῦν μὲν*, quod una cum *καιρὸς* intulit corrector, postquam *ὥρα* in *ἄρα* esset depravatum.

ὑπὸ πάντων τῶν ἀναγκαίων] Ab iis prohibiti: conf. s. 53. Eadem locutio 1, 6, 45, a correctore illata Anab. 4, 4, 14, ubi meliores libri recte *ἀτασθαλίας*, de quo dixi præf. p. xiv.

41 Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Κῦρος παρῆν εἰς τὸ αὐτὸ χωρίον, [16]
ἀνθρώπων δὲ πολὺ πλεῖον πλῆθος περιειστήκει βουλομέ-
νων προσιέναι, καὶ πολὺ πρότερον ἢ οἱ φίλοι παρῆσαν.
ὁ οὖν Κῦρος περιστησάμενος τῶν ξυστοφόρων Περσῶν
κύκλον μέγαν εἶπε μηδένα παριέναι ἢ τοὺς φίλους τε καὶ
42 ἄρχοντας τῶν Περσῶν τε καὶ τῶν συμμάχων. ἐπεὶ δὲ
συνῆλθον οὗτοι, ἔλεξεν ὁ Κῦρος αὐτοῖς τοιάδε. Ἄνδρες [17]
φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς οὐδὲν ἂν ἔχοιμεν μέμ-
ψασθαι τὸ μὴ οὐχὶ μέχρι τοῦδε πάντα ὅσα ηὐχόμεθα κατα-
πεπραχέναι· εἰ μέντοι τοιοῦτον ἔσται τὸ μεγάλα πράττειν
ὥστε μὴ οἷόν τ' εἶναι μήτε ἀμφ' αὑτὸν σχολὴν ἔχειν μήτε
μετὰ τῶν φίλων εὐφρανθῆναι, ἐγὼ μὲν χαίρειν ταύτην τὴν
43 εὐδαιμονίαν κελεύω. ἐνενοήσατε γάρ, ἔφη, καὶ χθὲς δήπου
ὅτι ἕωθεν ἀρξάμενοι ἀκούειν τῶν προσιόντων οὐκ ἐλήξα-
μεν πρόσθεν ἑσπέρας· καὶ νῦν ὁρᾶτε τούτους ἄλλους πλεί-
ονας τῶν χθὲς παρόντας ὡς πράγματα ἡμῖν παρέξοντας.
44 εἰ οὖν τις τούτοις ὑφέξει ἑαυτόν, λογίζομαι μικρὸν μέν τι
ὑμῖν μέρος ἐμοῦ μετεσόμενον, μικρὸν δέ τι ἐμοὶ ὑμῶν·
ἐμαυτοῦ μέντοι σαφῶς οἶδ' ὅτι οὐδ' ὁτιοῦν μοι μετέσται.
45 ἔτι δ', ἔφη, καὶ ἄλλο ὁρῶ γελοῖον πρᾶγμα. ἐγὼ γὰρ δή-
που ὑμῖν μὲν ὥσπερ εἰκὸς διάκειμαι· τούτων δὲ τῶν περι-
εστηκότων ἤ τινα ἢ οὐδένα οἶδα, καὶ οὗτοι πάντες παρε-
σκευασμένοι εἰσὶν ὡς ἢν νικῶσιν ὑμᾶς ὠθοῦντες, πρότεροι

41. περιεστήκει A.G. βουλόμενον D. μέγα D. παριέναι] ἄλλον add. D. ξυμμάχων G. 42. οὗτοι] αὐτοὶ A.G. τοιαῦτα G. ξύμμαχοι G. τοῖς δὲ θεοῖς οὐδὲν ἀνεχοίμην μ. Priscian. 18, 239. ηὐχόμεθα E. εὐχόμεθα A.D.G. ἀμφ'] ὑφ' G. corr. s. v. r. αὐτὸν A.D. 43. ἐννοήσατε A.G. ἔφη om. D. ἐχθὲς δήπουθεν D. ἄλλους] καὶ ἄλλους A.G. ἐχθὲς D. παρόντας D.I. παρόντων A.D.G. 44. ἑαυτὸν] αὐτοῖς A.G. pr. μικρὸν] μείζω A.G. pr. ἐμοῦ om. D. δέ τι] μέν τι A.G. ἐμοὶ om. A.G. s. v. r. ἐμ' αὐτοῦ D. pr. μοι om. A.G. s. v. r. 45. οἶδα] γιγνώσκω D. πάντες] οὕτω add. D.G. mg. r. εἰ νικήσωσιν D. πρότερον A.G.

ἀναγκαίων] ἀναγκαῖα sunt cupido cibi et potus, et si quid præterea natura humana flagitat. Conf. Abresch. Thucyd. p. 301. et infra s. 53. SCHN.

44. μικρὸν μὲν] Librorum meliorum scriptura μείζω fortasse ex μεῖον depravata, ut sæpe peccari solet in libris.

45. ἤ τινα ἢ οὐδένα οἶδα] Formulam Herodoto familiarem et Æliano egregie illustravit Valckenar. ad Herodot. 3, 140, et in hoc Xen. loco Canter. Nov. Lect. 7, 6. SCHN. Alia v. ad Thes. Steph. v. Τίς.

παρεσκευασμένοι εἰσὶν ὡς διαπραξόμενοι] Non minus frequens apud Xenophontem esse παρασκευάζεσθαι sequente ὡς quam οὕτω παρασκευάζεσθαι ostendunt exempla apud Sturzium.

ἃ βούλονται ὑμῶν παρ' ἐμοῦ διαπραξόμενοι. ἐγὼ δὲ ἠξίουν τοὺς τοιούτους, εἴ τίς τι ἐμοῦ δέοιτο, θεραπεύειν ὑμᾶς τοὺς
46 ἐμοὺς φίλους δεομένους προσαγωγῆς. ἴσως ἂν οὖν εἴποι τις, τί δῆτα οὐχ οὕτως ἐξ ἀρχῆς παρεσκευασάμην, ἀλλὰ παρεῖχον ἐν τῷ μέσῳ ἐμαυτόν. ὅτι τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνωσκον ὄντα ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα μήτε τῷ εἰδέναι ἃ δεῖ μήτε τῷ πράττειν ἃ ἂν καιρὸς ᾖ. τοὺς δὲ σπανίους ἰδεῖν στρατηγοὺς πολλὰ ἐνόμιζον ὧν δεῖ
47 πραχθῆναι παριέναι. νῦν δ' ἐπειδὴ καὶ ὁ φιλοπονώτατος πόλεμος ἀναπέπαυται, δοκεῖ μοι καὶ ἡ ἐμὴ ψυχὴ ἀναπαύσεώς τινος ἀξιοῦν τυγχάνειν. ὡς οὖν ἐμοῦ ἀποροῦντος ὅ τι ἂν τύχοιμι ποιῶν ὥστε καλῶς ἔχειν τά τε ἡμέτερα καὶ τὰ τῶν ἄλλων ὧν ἡμᾶς δεῖ ἐπιμέλεσθαι, συμβουλευέτω, ὅ τι τις ὁρᾷ συμφορώτατον.

48 Κῦρος μὲν οὕτως εἶπεν· ἀνίσταται δ' ἐπ' αὐτῷ Ἀρτάβαζος ὁ συγγενής ποτε φήσας εἶναι καὶ εἶπεν, Ἦ καλῶς, ἔφη, ἐποίησας, ὦ Κῦρε, ἄρξας τοῦ λόγου. ἐγὼ γὰρ ἔτι νέου μὲν ὄντος σοῦ πάνυ ἀρξάμενος ἐπεθύμουν φίλος γενέσθαι, ὁρῶν δέ σε οὐδὲν δεόμενον ἐμοῦ κατώκνουν σοι [18]
49 προσιέναι. ἐπεὶ δ' ἔτυχές ποτε καὶ ἐμοῦ δεηθεὶς προθύμως ἐξαγγεῖλαι πρὸς Μήδους τὰ παρὰ Κυαξάρου, ἐλογιζόμην, εἰ ταῦτα προθύμως σοι συλλάβοιμι, ὡς οἰκεῖός τέ σοι ἐσοίμην καὶ ἐξέσοιτό μοι διαλέγεσθαί σοι ὁπόσον χρόνον
50 βουλοίμην. κἀκεῖνα μὲν δὴ ἐπράχθη ὥστε σε ἐπαινεῖν.

διαπραξάμενοι A.G. *τοὺς*] *τούτους τοὺς* A.G. *τι* om. A.D. 46. *κατεσκευασάμην* D. *ἐμαυτὸν ἐν τῷ μέσῳ* D. *γιγνώσκω τοιαῦτα εἶναι* D. *τῷ*] *τὸ* A.G. *τὸ*] *τῷ* D.G. 47. *ἐπεὶ* D. *οὖν* om. D. *συμβουλεύω* G. pr. *ὅ τι τις*] *τις ὅτι* D. Libri *ἐπιμελεῖσθαι*. 48. *μὲν*] *μὲν οὖν* D. *τοῦ*] *τοῦδε τοῦ* H.P. 49. *κυαξάρους* D. *τοῦ κυαξάρους* G. *πρόθυμος* A.G. *σοι* s. v. r. G. *χρόνον*] *ἂν χρόνον* A.G. 50. Libri *καὶ ἐκεῖνα*. *σε* om. A.G. s. v. r.

46. *τί δῆτα*] Conf. 5, 4, 35.
τοιαῦτα ἐγίγνωσκον ὄντα ὡς μὴ ὑστερίζειν δέον] Demosth. p. 28, 5: *Τὰ δὲ πράγματα ὁρῶ εἰς τοῦτο προήκοντα ὥστε σκέψασθαι δέον* confert Hertleinius.

47. *ὁ πόλεμος ἀναπέπαυται*] Plut. Lucull. c. 5: *Πολλῶν αὖθις ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον ἔφη Μάριος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι.*

48. *ποτε*] 1 4, 27; 4, 1, 22.

49. *εἰ—ὡς*] V. ad 2, 3, 3.

ὁπόσον] *ἂν* hic non minus vitiosum quam 5, 5, 1; 8, 2, 3; 8, 3, 38, 48, aut Anab. 2, 4, 26; 3, 2, 38. Nec magis defenditur loco 8, 5, 15: *Τιθέναι τὸ μέρος ἕκαστον ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη*, quam Soph. Trach. 687: *Τὸ φάρμακον σώζειν ἐμὲ ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.* Conf. annot. ad H. Gr. 2, 3, 48, Comment. 4, 4, 17, et var. scr. supra 6, 3, 21; 7, 3, 12.

50. *κἀκεῖνα μὲν δὴ*] Sic H. Gr. 5, 4, 13, et ubi *μέντοι*, ib. 3, 1, 1.

μετὰ τοῦτο Ὑρκάνιοι μὲν πρῶτοι φίλοι ἡμῖν ἐγένοντο καὶ
μάλα πεινῶσι συμμάχων· ὥστε μόνον οὐκ ἐν ταῖς ἀγκά-
λαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες. μετὰ δὲ τοῦτο ἐπεὶ
ἑάλω τὸ πολέμιον στρατόπεδον, οὐκ, οἶμαι, σχολή σοι ἦν
51 ἀμφ' ἐμὲ ἔχειν· καὶ ἐγώ σοι συνεγίγνωσκον. ἐκ δὲ τού-
του Γωβρύας ἡμῖν φίλος ἐγένετο, καὶ ἐγὼ ἔχαιρον· καὶ αὖ-
θις Γαδάτας· καὶ ἤδη ἔργον σου ἦν μεταλαβεῖν. ἐπεί γε
μέντοι καὶ Σάκαι καὶ Καδούσιοι σύμμαχοι ἐγεγένηντο, θερα-
πεύειν εἰκότως ἔδει τούτους· καὶ γὰρ οὗτοι σὲ ἐθεράπευον.
52 ὡς δ' ἤλθομεν πάλιν ἔνθεν ὡρμήθημεν, ὁρῶν σε ἀμφ' ἵπ-
πους ἔχοντα, ἀμφ' ἅρματα, ἀμφὶ μηχανάς, ἡγούμην, ἐπεὶ
ἀπὸ τούτων σχολάσαις, τότε σε καὶ ἀμφ' ἐμὲ ἕξειν σχολήν.
ὥς γε μέντοι ἦλθεν ἡ δεινὴ ἀγγελία τὸ πάντας ἀνθρώπους
ἐφ' ἡμᾶς συλλέγεσθαι, ἐγίγνωσκον ὅτι ταῦτα μέγιστα εἴη·
εἰ δὲ ταῦτα καλῶς γένοιτο, εὖ ἤδη ἐδόκουν εἰδέναι ὅτι πολ-
53 λὴ ἔσοιτο ἀφθονία τῆς ἐμῆς καὶ σῆς συνουσίας. καὶ νῦν δὴ
νενικήκαμέν τε τὴν μεγάλην μάχην καὶ Σάρδεις καὶ Κροῖ-
σον ὑποχείριον ἔχομεν καὶ Βαβυλῶνα ᾑρήκαμεν καὶ πάντα
κατεστράμμεθα, καὶ μὰ τὸν Μίθρην ἐγώ τοι ἐχθές, εἰ μὴ
πολλοῖς διεπύκτευσα, οὐκ ἂν ἐδυνάμην σοι προσελθεῖν.

δὲ post μετὰ om. A.G. pr. ἡμῖν φίλοι D. et mg. ση. ἐπανάληψις τῶν πεπραγμένων. μονονοὺ κἂν ταῖς G. ἀγχάλαις A.G. ἀνάγκαις D. περιφέρομεν A.G. pr. σχολή σοι ἦν I. σχολήν σοι εἶναι A.G. σχολὴ ποιεῖν D. καὶ om. D. 51. αὖθις] πάλιν D. ἤδη] δὴ A.G. καὶ σάκαι] σᾶκαί τε D. ἔδει τούτους εἰκότως D. 52. ὡρμήθην μὲν A.G. corr. s. v. r. σε] σε δ' A.G. ἡγούμην] καὶ ἡγούμην A. et καὶ punctis notans G. τούτων] τούτου A.G. ὥς γε] ὥστε A.G. εἰδέναι] εἶναι A.G. ἐμῆς] ἐμὲ A. σῆς] Libri τῆς σῆς. 53. σάρδις D. πάντας D. χθὲς D.

Ὑρκάνιοι] 4, 2, 1. ἑάλω] 4, 2, 28.

51. μεταλαβεῖν est pro μετέχειν s. 54. SCHN. De Gobrya et Gadata 4, 6; 5, 3, 15. De Sacis ib. 24.

52. ἀγγελία τὸ] Anab. 2, 5, 22: Ὁ ἐμὸς ἔρως τὸ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι. V. autem 6, 2, 9.

τῆς ἐμῆς καὶ σῆς συνουσίας] Duplex articulus non magis ferendus quam si dicas τοῦ ἐμὲ καὶ τοῦ σὲ συνεῖναι. Sic 6, 4, 6: Ἐπομνύω σοὶ τὴν ἐμὴν καὶ σὴν φιλίαν, D. male καὶ τὴν σήν. Delevi jam in ed. a. 1850.

53. νενικήκαμεν—ἔχομεν] 7, 1 et 2.

Μίθρην] Ita solem Persæ vocabant. Strabo 14, p. 732: Τιμῶσι Πέρσαι καὶ ἥλιον, ὃν καλοῦσι Μίθρην. Hesychius: Μίθρας ὁ ἥλιος παρὰ Πέρσαις. Plutarchus De Iside et Osir. p. 369 E, postquam dixerat Zoroastrem medium inter Oromasdem et Arimanium, s. dæmonem bonum et malum, fecisse Μίθρην, addit propterea Μίθρην Persis dici τὸν μεσίτην. Darius apud Plutarchum Alex. c. 30: Εἰπέ μοι σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον. Etiam Artaxerxes Plutarchi c. 4: Νὴ τὸν Μίθραν jurat, et Cyrus minor Xenophontis Œcon. 4, 24. SCHN. Ubi eadem est forma Μίθρην, de qua plura v. in Thes. Steph., apud alios Μίθρας.

διεπύκτευσα] Horat. Serm. 2, 6, 28: Luctandum in turba.

ἐπεί γε μέντοι ἐδεξιώσω με καὶ παρὰ σοὶ ἐκέλευσας μένειν,
ἤδη περίβλεπτος ἦν, ὅτι μετὰ σοῦ ἄσιτος καὶ ἄποτος διη-
54 μέρευον. νῦν οὖν εἰ μὲν ἔσται πῃ ὅπως οἱ πλείστου ἄξιοι
γεγενημένοι πλεῖστόν σου μέρος μεθέξομεν· εἰ δὲ μή, πά-
λιν αὖ ἐγὼ ἐθέλω παρὰ σοῦ ἐξαγγέλλειν ἀπιέναι πάντας
ἀπὸ σοῦ πλὴν ἡμῶν τῶν ἐξ ἀρχῆς φίλων.

55 Ἐπὶ τούτῳ ἐγέλασε μὲν ὁ Κῦρος καὶ ἄλλοι πολλοί· [19]
Χρυσάντας δ' ἀνέστη ὁ Πέρσης καὶ ἔλεξεν ὧδε. Ἀλλὰ
τὸ μὲν πρόσθεν, ὦ Κῦρε, εἰκότως ἐν τῷ φανερῷ σαυτὸν
παρεῖχες, δι' ἅ τε αὐτὸς εἶπας καὶ ὅτι οὐχ ἡμᾶς σοι μά-
λιστα ἦν θεραπευτέον. ἡμεῖς μὲν γὰρ καὶ ἡμῶν αὐτῶν
ἕνεκα παρῆμεν· τὸ δὲ πλῆθος ἔδει ἀνακτᾶσθαι ἐκ παντὸς
τρόπου, ὅπως ὅτι ἥδιστα συμπονεῖν καὶ συγκινδυνεύειν
56 ἡμῖν ἐθέλοιεν. νῦν δ' ἐπεὶ οὐ τοῦτο μόνον ἔχεις, ἀλλὰ καὶ
ἄλλους ἀνακτᾶσθαι δύνασαι οὓς καιρὸς εἴη, ἤδη καὶ οἰκίας
σε τυχεῖν ἄξιον· ἢ τί ἀπολαύσαις ἂν τῆς ἀρχῆς, εἰ μόνος
ἄμοιρος εἴης ἑστίας, οὗ οὔτε ὁσιώτερον χωρίον ἐν ἀνθρώ-
ποις οὔτε ἥδιον οὔτε οἰκειότερόν ἐστιν οὐδέν; ἔπειτα δ',
ἔφη, οὐκ ἂν οἴει καὶ ἡμᾶς αἰσχύνεσθαι, εἰ σὲ μὲν ὁρῷμεν
ἔξω καρτεροῦντα, αὐτοὶ δ' ἐν οἰκίαις εἴημεν καὶ σοῦ δο-
57 κοίημεν πλεονεκτεῖν; ἐπεὶ δὲ Χρυσάντας ταῦτα ἔλεξε,
συνηγόρευον αὐτῷ κατὰ ταὐτὰ πολλοί. ἐκ τούτου δὴ εἰσ- [20]
έρχεται εἰς τὰ βασίλεια, καὶ τὰ ἐκ Σάρδεων χρήματα

ἐδεξιώσω D.G. corr. ἐξεδιώσω A. et fortasse G. pr. 54. ἐξαγγέλειν A.D. pr. G. 55. ἐγέλασεν κῦρος D. εἰκότως ὦ κῦρε D. Libri εἶπες. ὑμᾶς D. 56. νῦν δ' ἐπεὶ οὖν τρόπῳ μόνῳ ἔχεις A.G. ἐπειδὴ οὐχ οὕτω τρόπον μόνον ἔχεις B. mg. G. mg. νῦν δ' ἐπεὶ οὐχ οὕτω τρόπον μόνον ἔχεις D. δύνασαι ἀνακτ. D. ἢ ἀπολαύσαιό γ' ἂν οὐδὲν D. τῆς σῆς ἀρχῆς D. οὗ] ἧς D. οἴη D. καὶ om. D. 57. αὐτῷ] δ' αὐτῷ D. ταὐτὰ Muretus. ταῦτα A.D.G.

ὅτι—διημέρευον] Joco hæc addit, quum *περίβλεπτος* esset non propter hæc, sed quod cum Cyro esset. ZEUN.

54. *εἰ δὲ μή*] Conf. 4, 5, 10, Anab. 7, 1, 31 et annot.

55. *εἶπας*] s. 46.

56. *ἐπεὶ οὐ τοῦτο μόνον ἔχεις*] Refertur ad *πλῆθος*, ad quod conciliandum Cyrus *ἐν τῷ φανερῷ ἑαυτὸν παρέχειν* debuerat. Ei contrarii sunt *ἄλλοι*, qui eum domi suæ convenirent: ut par esset dignas ei ædes obtingere. Malui autem hæc ita corrigere ut fere jam Muretus, qui *οὐ τούτους μόνον*, quam repetere quæ ex librorum mire hic vitiosorum varietatibus exsculpserant editores, *ἐπεὶ οὐχ οὕτω τρόπου μόνον ἔχεις, ἀλλὰ καὶ ἄλλως ἀνακτᾶσθαι δύνασαι*, nihilo meliora ad sententiam quam linguam. Videtur enim vicinum *τρόπου* fefellisse librarium.

οἰκίας σε] Postquam amicis tuis omnibus (s. 35.) domus et *ἀρχεῖα* assignasti, te ipsum nunc etiam decet acquiescere in palatio aliquo. SCHN.

57. *συνηγόρευον*] V. ad 2, 2, 21. SCHN.

ἐνταῦθ' οἱ ἄγοντες ἀπέδοσαν. ἐπεὶ δ' εἰσῆλθε Κῦρος, πρῶ-
τον μὲν Ἑστίᾳ ἔθυσεν, ἔπειτα Διὶ βασιλεῖ, καὶ εἴ τινι
ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦντο.
58 Ποιήσας δὲ ταῦτα τἄλλα ἤδη ἤρχετο διοικεῖν. ἐννοῶν
δὲ τὸ αὑτοῦ πρᾶγμα ὅτι ἐπιχειροίη μὲν ἄρχειν πολλῶν
ἀνθρώπων, παρασκευάζοιτο δὲ οἰκεῖν ἐν πόλει τῇ μεγί-
στῃ τῶν φανερῶν, αὕτη δ' οὕτως ἔχοι αὐτῷ ὡς πολεμιω-
τάτη ἂν γένοιτο, ταῦτα δὴ λογιζόμενος φυλακῆς περὶ
59 τὸ σῶμα ἡγήσατο δεῖσθαι. γνοὺς δ' ὅτι οὐδαμοῦ ἄνθρω-
ποι εὐχειρωτότεροί εἰσιν ἢ ἐν σίτοις καὶ ποτοῖς καὶ λου-
τροῖς καὶ κοίτῃ καὶ ὕπνῳ, ἐσκόπει τίνας ἂν ἐν τούτοις περὶ
ἑαυτὸν πιστοτάτους ἔχοι. ἐνόμισε δὲ μὴ ἂν γενέσθαι ποτὲ [21]
πιστὸν ἄνθρωπον ὅστις ἄλλον μᾶλλον φιλήσοι τοῦ τῆς
60 φυλακῆς δεομένου. τοὺς μὲν οὖν ἔχοντας παῖδας ἢ γυναῖ-
κας συναρμοττούσας ἢ παιδικὰ ἔγνω φύσει ἠναγκάσθαι
ταῦτα μάλιστα φιλεῖν· τοὺς δ' εὐνούχους ὁρῶν πάντων
τούτων στερομένους ἡγήσατο τούτους ἂν περὶ πλείστου

ἐνταῦθα οἱ D. ἐνταυθοῖ G. ἐπεὶ δὲ] ἐπειδὴ A. εἰσῆλθε] εἰσῆλθεν ὁ D. ἔπειτα] ἔπειτα δὲ D. θεῶν D. 58. Libri τὰ ἄλλα. αὐτοῦ codices. παρεσκευάζετο A.G. pr. κατασκευάζοιτο D. πόλει] τῇ πόλει A.G. ἔχει A.H. πολεμιωτάτη ἂν] ἀπολεμωτάτη ἂν A.G. pr. ἂν πολεμιωτάτη D.G. corr. r. γένοιτο] ἀνδρὶ πόλις add. D.G. mg. r. 59. εἰσὶν εὐχ. D. εὐ-χειρότεροι A. εὐχειρώτεροι G. corr. s. v. r. λουτρῷ D. δὲ] δὴ D. φιλήσει D.M. 60. γυναῖκας συναρμοζούσας A.G. γυναῖκα συναρμόζουσαν D. συνηναγκάσθαι D., qui mg. ση. περὶ εὐνούχων, ut G. περὶ τῶν εὐνούχων, litteris κιονηδὸν scriptis ad s. 60–64. στερουμένους D.

Ἑστίᾳ] Nisi mores Græcorum Persis assignavit Xenophon, licebit cum Zeunio de igne sacro Persarum interpretari, præeunte Procopio 1, 24. ubi de igne isto: Τοῦτ' ἔστι τὸ πῦρ, ὅπερ Ἑστίαν ἐκάλουν τε καὶ ἐσέβοντο ἐν τοῖς ἄνω χρόνοις Ῥωμαῖοι. SCHN. Conf. 1, 6, 1.

βασιλεῖ] Regi ipsi deorum et regum tutori. SCHN.

58. τῇ μεγίστῃ] V. Herodot. 1, 178, 179 seqq., 191. Aristot. Polit. 3, 3.

59. εὐχειρωτότεροι] V. ad 1, 6, 36.

κοίτῃ] Quoniam sit nimis affinis lectus somno, coitum interpretari malebat Weiskius. SCHN. Delenda potius καὶ ὕπνῳ. Conf. 2, 3, 1.

περὶ ἑαυτὸν πιστοτάτους] Anab. 1, 8, 1: Ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν.

60. συναρμοζούσας] Nescio quid incommodi verbum adjunctum soli nomini γυναῖκας habere mihi videtur: quare abesse malim. SCHN. Qui non cogitavit huic, non alteri vocabulo tali opus esse epitheto. Scripsi autem per ττ, ut dixi ad 1, 3, 17.

εὐνούχους] Conf. de eunuchis et quas Xenophon iis tribuit virtutibus Chardin *Voyages en Perse* vol. 6, p. 40–5 ed. Langlès.

ἠναγκάσθαι] *Natura cogente ista omnium maxime amare.* Ita supra 6, 1, 31, ἠναγκάσθη λόγους προσφέρειν περὶ συνουσίας, amor vehemens eum coegit consuetudinem mulieris verbis petere. Hieronis 3, 9: Ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖν καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται. SCHN.

ποιεῖσθαι οἵτινες δύνανται πλουτίζειν μάλιστα αὐτοὺς καὶ βοηθεῖν, εἴ τι ἀδικοῖντο, καὶ τιμὰς περιάπτειν αὐτοῖς· τούτους δ' εὐεργετοῦντα ὑπερβάλλειν αὐτὸν οὐδέν' ἂν ἡγεῖτο
61 δύνασθαι. πρὸς δὲ τούτοις ἄδοξοι ὄντες οἱ εὐνοῦχοι παρὰ τοῖς ἄλλοις ἀνθρώποις καὶ διὰ τοῦτο δεσπότου ἐπικούρου προσδέονται· οὐδεὶς γὰρ ἂν ἦν ὅστις οὐκ ἂν ἀξιώσειεν εὐνούχου πλέον ἔχειν ἐν παντὶ, εἰ μή τι ἄλλο κρεῖττον ἀπείργοι· δεσπότῃ δὲ πιστὸν ὄντα οὐδὲν κωλύει πρωτεύειν
62 καὶ τὸν εὐνοῦχον. ὃ δ' ἂν μάλιστά τις οἰηθείη, ἀνάλκιδας [22]
τοὺς εὐνούχους γίγνεσθαι, οὐδὲ τοῦτο ἐφαίνετο αὐτῷ. ἐτεκμαίρετο δὲ καὶ ἐκ τῶν ἄλλων ζῴων ὅτι οἵ τε ὑβρισταὶ ἵπποι ἐκτεμνόμενοι τοῦ μὲν δάκνειν καὶ ὑβρίζειν ἀποπαύονται, πολεμικοὶ δὲ οὐδὲν ἧττον γίγνονται, οἵ τε ταῦροι ἐκτεμνόμενοι τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν ὑφίενται, τοῦ δ' ἰσχύειν καὶ ἐργάζεσθαι οὐ στερίσκονται, καὶ οἱ κύνες δὲ ὡσαύτως τοῦ μὲν ἀπολιπεῖν τοὺς δεσπότας ἀποπαύονται ἐκτεμνόμενοι, φυλάττειν δὲ καὶ εἰς θήραν οὐδὲν
63 κακίους γίγνονται. καὶ οἵ γε ἄνθρωποι ὡσαύτως ἠρεμέστεροι γίγνονται στερισκόμενοι ταύτης τῆς ἐπιθυμίας, οὐ μέντοι ἀμελέστεροί γε τῶν προσταττομένων, οὐδ' ἧττόν τι ἱππικοὶ, οὐδὲ ἧττόν τι ἀκοντιστικοὶ, οὐδὲ ἧττον φιλότι-
64 μοι. κατάδηλοι δὲ γίγνονται καὶ ἐν τοῖς πολέμοις καὶ ἐν [23]
ταῖς θήραις ὅτι ἔσωζον τὸ φιλόνεικον ἐν ταῖς ψυχαῖς. τοῦ δὲ πιστοὶ εἶναι ἐν τῇ φθορᾷ τῶν δεσποτῶν μάλιστα βάσανον ἐδίδοσαν· οὐδένες γὰρ πιστότερα ἔργα ἀπεδείκνυντο
65 ἐν ταῖς δεσποτικαῖς συμφοραῖς τῶν εὐνούχων. εἰ δέ τι

δύναιντο D. εὐεργετοῦντας D. οὐδέν' post Philelphum Schneiderus. οὐδὲν A.D.G. 61. ἂν ἦν] ἀνὴρ D. ἦν G.M. τις ἄλλος κρείττων D. 62. τοὺς] καὶ τοὺς A.G. τοῦ μὲν] τὸ μὲν A.G. ὡς αὔτως D. pr. hic et infra. ἀπολιπεῖν] κύνες ἐκτεμνόμενοι ἀπολιποῦσι τοὺς δεσπότας D. mg. r. καὶ] κἂν A.G. εἰς θήραν] θηρᾶν D. 63. ἠρεμ. D. pr. γίγνονται—ἀμελέστεροι om. D. τῶν] τε τῶν D. προσταχθησομένων B. προστεταγμένων D., sed α s. ε et ο s. αγ ead. m. ἧττον ἀκοντισταὶ D. ἧττόν τι D. 64. κατάλληλοι D. ἐγίγνοντο D. πολεμίοις A.G.

61. ἂν ἦν suspecta. V. ad Anab. 4, 8, 20.

62. ἀνάλκιδας] "Il est assez rare de leur trouver de vrai courage, quoique la Cyropédie dire que les eunuques sont plus fidèles et aussi courageux que les autres hommes." Chardin l. c. p. 44.

ὑβρίζειν] De bestiis i. q. σκιρτᾶν. V. Koen. ad Gregor. p. 542. ZEUN. De genere comparationis v. ad 7, 5, 11.

64. πιστοὶ εἶναι] Eadem Herodotus 8, 105. HUTCH.

βάσανον] I. e. documentum, velut aurum lapidi attritum, dederunt. SCHN.

ἄρα τῆς τοῦ σώματος ἰσχύος μειοῦσθαι δοκοῦσιν, ὁ σίδη-
ρος ἀνισοῖ τοὺς ἀσθενεῖς τοῖς ἰσχυροῖς ἐν τῷ πολέμῳ.
ταῦτα δὴ γιγνώσκων ἀρξάμενος ἀπὸ τῶν θυρωρῶν πάντας
τοὺς περὶ τὸ ἑαυτοῦ σῶμα θεραπευτῆρας ἐποιήσατο εὐ-
νούχους.
66 Ἡγησάμενος δὲ οὐχ ἱκανὴν εἶναι τὴν φυλακὴν ταύτην [24]
πρὸς τὸ πλῆθος τῶν δυσμενῶς ἐχόντων, ἐσκόπει τίνας τῶν
ἄλλων ἂν πιστοτάτους περὶ τὸ βασίλειον φύλακας λάβοι.
67 εἰδὼς οὖν Πέρσας τοὺς οἴκοι κακοβιωτάτους μὲν ὄντας διὰ
πενίαν, ἐπιπονώτατα δὲ ζῶντας διὰ τὴν τῆς χώρας τραχύ-
τητα καὶ διὰ τὸ αὐτουργοὺς εἶναι, τούτους ἐνόμισε μάλιστ'
68 ἂν ἀγαπᾶν τὴν παρ' ἑαυτῷ δίαιταν. λαμβάνει οὖν τούτων
μυρίους δορυφόρους, οἳ κύκλῳ μὲν νυκτὸς καὶ ἡμέρας ἐφύ-
λαττον περὶ τὰ βασίλεια, ὁπότε ἐπὶ χώρας εἴη· ὁπότε δ'
69 ἐξίοι ποι, ἔνθεν καὶ ἔνθεν τεταγμένοι ἐπορεύοντο. νομίσας
δὲ καὶ Βαβυλῶνος ὅλης φύλακας δεῖν εἶναι ἱκανούς, εἴτ'
ἐπιδημῶν αὐτὸς τυγχάνοι εἴτε καὶ ἀποδημῶν, κατέστησε
καὶ ἐν Βαβυλῶνι φρουροὺς ἱκανούς· μισθὸν δὲ καὶ τούτοις
Βαβυλωνίους ἔταξε παρέχειν, βουλόμενος αὐτοὺς ὡς ἀμη-
χανωτάτους εἶναι, ὅπως ὅτι ταπεινότατοι καὶ εὐκαθεκτότα-
τοι εἶεν.
70 Αὕτη μὲν δὴ ἡ περὶ αὐτόν τε φυλακὴ καὶ ἡ ἐν Βαβυ- [25]

65. τῆς τοῦ] ἀπίστου A.G. pr. ἀνισοῖ τοὺς] ἂν εἰσοῖτο A. ἂν ἰσοῖ τοὺς G. ἰσχυροτέροις D. ἀρξάμενος] δεξάμενος A.G. pr. θυρῶν A.G. pr. 66. ἱκανὸν D. αὖ πιστοτάτους ἂν D. 67. αὐτῷ D. αὑτῷ G. 68. νυκτὸς] καὶ νυκτὸς D. ἐπὶ χώρας εἴη] ἔσω ῥαΐσειεν A.G. Libri που. 69. ἱκανοὺς εἶναι D. βαβυλωνίοις D. 70. δὴ ἡ] δὴ A.G.

65. ἐποιήσατο εὐνούχους] Ascivit eunuchos ad ministeria omnia aulæ. SCHN. Male Zonaras p. 165 B: Τοὺς περὶ τὸ ἑαυτοῦ σῶμα θεραπευτῆρας ἐξέτεμε καὶ εὐνούχους πεποίηκε.

67. τραχύτητα] Conf. 1, 3, 2, 3, Herod. 1, 71; 9, 122 cum annot. Wessel. et Valckenarii. SCHN. V. Chardin *Voyages en Perse* vol. 3, p. 288 s. ed. Langlès.

68. δορυφόρους] V. 8, 3, 15. Pictos exhibet Ker Porter, *Travels in Georgia, Persia,* etc. vol. 1. p. 601.

ἐπὶ χώρας εἴη] Pluribus docet Stephanus in Inquis. Autosched. in errores Leuncl. p. 10. verba ἐπὶ χ. εἴη non esse interpretamentum lectionis ἔσω ῥαΐσειεν, imo hanc ex illa ortam esse. SCHN.

που] ποι malim. SCHN. Supra 1, 2, 13: Ἦν δέ που δέῃ στρατεύεσθαι· 1, 3, 3: Εἴ που ἐξελαύνοι. Sed ut H. Gr. 7, 2, 46: Εἴ που στρατεύοιντο, προθύμως ἔχων τὸ ξενικὸν συνηκολούθει, scripsi ποι, ita his quoque locis scribendum puto ποι, ut 5, 1, 24: Ἐὰν δέ που ἐξίῃ Reiskius, 1, 2, 16, Reip. Lac. 6, 3, Heindorfius pro ἰόντα που et ταχύ που βουληθεὶς ἀφικέσθαι. Nec ferendum Hier. 3, 2: Ποθοῦσι δέ, ἂν που ἀπίῃ, aut supra 5, 4, 20, ὅπου, si conjungendum cum ἰέναι.

λῶνι τότε κατασταθεῖσα καὶ νῦν ἔτι οὕτως ἔχουσα διαμένει.
σκοπῶν δ' ὅπως ἂν καὶ ἡ πᾶσα ἀρχὴ κατέχοιτο καὶ ἄλλη
ἔτι προσγίγνοιτο, ἡγήσατο τοὺς μισθοφόρους τούτους οὐ
τοσοῦτον βελτίονας τῶν ὑπηκόων εἶναι ὅσον ἐλάττονας·
τοὺς δὲ ἀγαθοὺς ἄνδρας ἐγίγνωσκε συνεκτέον εἶναι, οἵπερ
σὺν τοῖς θεοῖς τὸ κρατεῖν παρέσχον, καὶ ἐπιμελητέον ὅπως
71 μὴ ἀνήσουσι τὴν τῆς ἀρετῆς ἄσκησιν. ὅπως δὲ μὴ ἐπι-
τάττειν αὐτοῖς δοκοίη, ἀλλὰ γνόντες καὶ αὐτοὶ ταῦτα ἄρι-
στα εἶναι οὕτως ἐμμένοιέν τε καὶ ἐπιμέλοιντο τῆς ἀρετῆς,
συνέλεξε τούς τε ὁμοτίμους καὶ πάντας ὁπόσοι ἐπικαίριοι
ἦσαν καὶ ἀξιοχρεώτατοι ἐδόκουν αὐτῷ κοινωνοὶ εἶναι καὶ
72 πόνων καὶ ἀγαθῶν. ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε.
Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς μεγίστη [26]
χάρις ὅτι ἔδοσαν ἡμῖν τυχεῖν ὧν ἐνομίζομεν ἄξιοι εἶναι.
νῦν μὲν γὰρ δὴ ἔχομεν καὶ γῆν πολλὴν καὶ ἀγαθὴν καὶ
οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς· ἔχομεν δὲ καὶ
73 οἰκίας καὶ ἐν ταύταις κατασκευάς. καὶ μηδείς γε ὑμῶν
ἔχων ταῦτα νομισάτω ἀλλότρια ἔχειν· νόμος γὰρ ἐν πᾶ-
σιν ἀνθρώποις ἀίδιός ἐστιν, ὅταν πολεμούντων πόλις ἁλῷ,
τῶν ἑλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ
χρήματα. οὔκουν ἀδικίᾳ γε ἕξετε ὅ τι ἂν ἔχητε, ἀλλὰ φι-
74 λανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε, ἤν τι ἐᾶτε ἔχειν αὐτούς. τὸ
μέντοι ἐκ τοῦδε οὕτως ἐγὼ γιγνώσκω ὅτι εἰ μὲν τρεψόμεθα
ἐπὶ ῥᾳδιουργίαν καὶ τὴν τῶν κακῶν ἀνθρώπων ἡδυπάθειαν,
οἳ νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἀπόνως βιο-

κατασχεθεῖσα A.G. pr. ἔτι om. G.M. οὕτως D. addit initio versus οὕτω ead. m. δ'] δ' ἂν A.G., sed punctis r. notans ἄν. δ' αὖ H. τοὺς μὲν] μισθοφ. D.P. μὴ ἀνήσουσι Muretus. μηνύσωσι A.D.G. 71. δοκοίη—αὐτοὶ om. D. οὕτως ἐμμένοιεν D. οὕτω συμμένοιεν G. corr. s. v. r. οὕτως συμμένοιεν A.G. Libri ἐπιμελοῖντο. αὐτῷ ἐδόκουν D. 72. ἡμῖν ἔδοσαν D. μὲν om. D. καὶ πόλιν ἀγαθὴν D. ταύτη G. corr. s. v. r. 73. ἀλλοτρίαν A.G. τῶν ἐν] ἐν A.G. pr. οὔκουν] οὐκοῦν οὐκ D. ἤν] ἂν D. 74. οὕτως G. mg. r. προτρεψόμεθα G. οἳ νομίζουσι—ἡδυπάθειαν G. mg. r. ἀθλιότητα D.

70. πᾶσα] Nisi legendum παροῦσα.
τούτους] Persas in satellitium et custodiam Babylonis ascitos s. 69. SCHN. ἐλάττονας autem est numero inferiores.
ἀνήσουσι] Ita infra 75, ἀνῇ τὴν ἄσκησιν. SCHN.
71. ἐμμένοιεν] Verbi sic positi exempla plurima contulimus ad Thes. Steph.

72. μεγίστη χάρις] V. de hac formula ad Anab. 3, 3, 14.
ἀγαθὴν] De agro Babylonio fertilissimo v. Herodot. 1, 193. ZEUN.
73. τὰ σώματα τῶν ἐν τῇ πόλει] Supra 2, 1, 11: Σώματα μὲν ἔχοντες ἀνδρῶν ἥκετε οὐ μεμπτὰ, ut Anab. 4, 6, 10: Ὅπως ὡς ἐλάχιστα σώματα ἀνδρῶν ἀποβάλωμεν.

τεύειν ἡδυπάθειαν, ταχὺ ἡμᾶς φημι ὀλίγου ἀξίους ἡμῖν
αὐτοῖς ἔσεσθαι καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσε-
75 σθαι. οὐ γάρ τοι τὸ ἀγαθοὺς ἄνδρας γενέσθαι τοῦτο
ὥστε ἀρκεῖ καὶ διατελεῖν, ἢν μή τις αὐτοῦ διὰ τέλους
ἐπιμέληται· ἀλλ' ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι
μείονος ἄξιαι γίγνονται καὶ τὰ σώματά γε τὰ εὖ ἔχοντα,
ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονήρως πάλιν ἔχει,
οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἀλκὴ, ὁπό-
ταν τις αὐτῶν ἀνῇ τὴν ἄσκησιν, ἐκ τούτου εἰς τὴν πονη-
76 ρίαν πάλιν τρέπεται. οὔκουν δεῖ ἀμελεῖν οὐδ' ἐπὶ τὸ αὐ-
τίκα ἡδὺ προϊέναι αὐτούς. μέγα μὲν γὰρ, οἶμαι, ἔργον καὶ
τὸ ἀρχὴν καταπρᾶξαι, πολὺ δ' ἔτι μεῖζον τὸ λαβόντα δια-
σώσασθαι. τὸ μὲν γὰρ λαβεῖν πολλάκις τῷ τόλμαν μόνον
παρασχομένῳ ἐγένετο, τὸ δὲ λαβόντα κατέχειν οὐκέτι τοῦτο
ἄνευ σωφροσύνης οὐδ' ἄνευ ἐγκρατείας οὐδ' ἄνευ πολλῆς
77 ἐπιμελείας γίγνεται. ἃ χρὴ γιγνώσκοντας νῦν πολὺ μᾶλ-
λον ἀσκεῖν τὴν ἀρετὴν ἢ πρὶν τάδε τἀγαθὰ κτήσασθαι, εὖ
εἰδότας ὅτι ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι καὶ φθο-
νοῦσι καὶ ἐπιβουλεύουσι καὶ πολέμιοι γίγνονται, ἄλλως τε
κἂν παρ' ἀκόντων τά τε κτήματα καὶ τὴν θεραπείαν ὥσπερ
ἡμεῖς ἔχῃ. τοὺς μὲν οὖν θεοὺς οἴεσθαι χρὴ σὺν ἡμῖν ἔσε-
σθαι· οὐ γὰρ ἐπιβουλεύσαντες ἀδίκως ἔχομεν, ἀλλ' ἐπι-
78 βουλευθέντες ἐτιμωρησάμεθα. τὸ μέντοι μετὰ τοῦτο αὐ-
τοὺς παρασκευαστέον· τοῦτο δ' ἐστὶ τὸ βελτίονας ὄντας

αὐτοῖς D. 75. τοι om. D. ὄντας ἀγαθοὺς post διατελεῖν A.G. mg. r. ἐπιμέληται D. ἐπιμελεῖται A.G. αἱ om. D.G. γε τὰ D.M. corr. γε αὐτὰ A.G., unde γε αὖ τὰ Fischerus. ῥᾳδιουργία A.G. pr. πονηρῶς L. corr. οὕτως A. τὴν πονηρίαν] πονηρίαν D. 76. ἀμελεῖν] μέλει A. μέλειν G., sed in ras., etsi ead. m., nihilque aliud pr. fuisse apparet. αὐτοὺς A.D.G. om. M. ἔργον οἶμαι εἶναι D. ἀρχὴν] ἃ χρῆν D. πολλάκις] εἰ D. τολμᾶν D. μόνῳ B.G. corr. s. v. r. παράσχομεν ὡς ἐγένετο D. 77. γιγνώσκοντα G. Hic D. mg. σημ. ἄξιον ὅλον τοῦτο τὸ χωρίον. πλεῖστοι] τούτῳ add. D. καὶ ἂν D. κἂν G. in ras. ἔχει D. ἀδίκως] ταῦτ' add. D. 78. τοῦτο] τοῦ A. τοῦτο τὸ D. Post τοῦτο delevi κράτιστον. αὐτοὺς] αὐτοῖς A.G. ἡμῖν αὐτοῖς D.G. s. v. r.

75. τοῦτο] Conf. 5, 76, 79. V. ad 3, 3, 45.

ὥσπερ καὶ αἱ ἄλλαι τέχναι] Conf. 8, 2, 5, ubi pariter atque hic plerique articulum omittunt, ut bis in iisdem verbis nonnulli Œcon. 5, 17.

76. προϊέναι] Mihi προΐεσθαι scribendum videtur, fere ut Anab. 5, 8, 14, προϊέμενον ἑαυτὸν τοῖς πολεμίοις. SCHN. Sic alii. Sed etiam activi cum accus. rei vel pers. conjuncti exempla sunt apud Herodot. 1, 24; 3, 137.

78. αὐτοῖς] Deletis librariorum additamentis restitui constructionem de qua G. Dindorfius ad Eurip. Iph. T. 111.

τῶν ἀρχομένων ἄρχειν ἀξιοῦν. θάλπους μὲν οὖν καὶ ψύχους καὶ σίτων καὶ ποτῶν καὶ πόνων καὶ ὕπνου ἀνάγκη καὶ τοῖς δούλοις μεταδιδόναι· μεταδιδόντας γε μέντοι πειρᾶσθαι δεῖ ἐν τούτοις πρῶτον βελτίονας αὐτῶν φαί-
79 νεσθαι. πολεμικῆς δ' ἐπιστήμης καὶ μελέτης παντάπασιν οὐ μεταδοτέον τούτοις, οὕστινας ἐργάτας ἡμετέρους καὶ δασμοφόρους βουλόμεθα καταστήσασθαι, ἀλλ' αὐτοὺς δεῖ τούτοις τοῖς ἀσκήμασι πλεονεκτεῖν, γιγνώσκοντας ὅτι ἐλευθερίας ταῦτα ὄργανα καὶ εὐδαιμονίας οἱ θεοὶ τοῖς ἀνθρώποις ἀπέδειξαν· καὶ ὥσπερ γε ἐκείνους τὰ ὅπλα ἀφῃρήμεθα, οὕτως ἡμᾶς αὐτοὺς δεῖ μήποτ' ἐρήμους ὅπλων γίγνεσθαι, εὖ εἰδότας ὅτι τοῖς ἀεὶ ἐγγυτάτω τῶν ὅπλων οὖσι
80 τούτοις καὶ οἰκειότατά ἐστιν ἃ ἂν βούλωνται. εἰ δέ τις τοιαῦτα ἐννοεῖται, τί δῆτα ἡμῖν ὄφελος καταπρᾶξαι ἃ ἐπεθυμοῦμεν, εἰ ἔτι δεήσει καρτερεῖν καὶ πεινῶντας καὶ διψῶντας καὶ πονοῦντας καὶ ἐπιμελομένους, ἐκεῖνο δεῖ καταμαθεῖν ὅτι τοσούτῳ τἀγαθὰ μᾶλλον εὐφραίνει ὅσῳ ἂν μᾶλλον προπονήσας τις ἐπ' αὐτὰ ἀπίῃ· οἱ γὰρ πόνοι ὄψον τοῖς ἀγαθοῖς· ἄνευ δὲ τοῦ δεόμενον τυγχάνειν τινὸς οὐδὲν
81 οὕτω πολυτελῶς παρασκευασθείη ἂν ὥσθ' ἡδὺ εἶναι. εἰ δὲ ὧν μὲν μάλιστα ἄνθρωποι ἐπιθυμοῦσιν ὁ δαίμων ἡμῖν ταῦτα συμπαρεσκεύακεν, ὡς δ' ἂν ἥδιστα ταῦτα φαίνοιτο αὐτός τις αὑτῷ ταῦτα παρασκευάσει, ὁ τοιοῦτος ἀνὴρ τοσούτῳ πλεονεκτήσει τῶν ἐνδεεστέρων βίου ὡς πεινήσας τῶν ἡδίστων σίτων τεύξεται καὶ διψήσας τῶν ἡδίστων ποτῶν ἀπολαύσεται καὶ δεηθεὶς ἀναπαύσεως ἥδιστον ἀνα-
82 παύσεται. ὧν ἕνεκά φημι χρῆναι νῦν ἐπιταθῆναι ἡμᾶς εἰς

σιτῶν D. 79. ἐργάτας] ἐργάτας τε D. δεῖ] δὴ A. καταστήσασθαι] κτη G. s. v. r. τοῖς om. D. ἀσκήσασι G. pr. ἐκείνοις G. pr., ut videtur. 80. καταπράξασθαι B. ἐπιθυμοῦμεν G. εἰ ἔτι] ἢ τί D. δεήσῃ D. pr. ἐπιμελομένους M. ἐπιμελουμένους A.D.G. ἀπίῃ Heindorfius. ἀπίοι A.G. εἴη D., qui hic mg. γνώμη διόλου χρήσιμος. οἱ] οὐ A. δεομένους D. 81. μάλιστα μὲν G.M. ὡς] ὧν D. αὐτῷ A.D.G. ὡς] ὡς ὁ D. ὅσῳ G. s. v. r. πεινάσας G. corr. s. v. r. τῶν om. A.G. s. v. r. σίτων G. mg. r. ἀναπαύεσθαι ὡς ἥδιστόν ἐστιν ἀναπαύεσθαι D. 82. φησιν D.

79. πολεμικῆς] Hæc fuit Lacedæmoniorum disciplina, uti refert Xen. de Rep. Laced. 7, 2; 12, 4. Compara etiam de Lydis Herodotum 1, 155. Apparet hinc quod fuerit Xenophontis judicium de republica optime constituenda, quod ille nostris temporibus nimis eheu approbavit. SCHN. Conf. Polyæn. 7, 4, Dionys. Ant. Rom. 7, 9. HUTCH.

80. ὄψον] V. ad 1, 5, 12.

ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν ᾗ ἄριστον καὶ ἥδιστον ἀπολαύσωμεν καὶ ὅπως τοῦ πάντων χαλεπωτάτου ἄπειροι γενώμεθα. οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω γε χαλεπὸν
83 *ὥσπερ τὸ λαβόντα στερηθῆναι λυπηρόν. ἐννοήσατε δὲ κἀκεῖνο τίνα πρόφασιν ἔχοντες ἂν προσιοίμεθα κακίονες ἢ πρόσθεν γενέσθαι. πότερον ὅτι ἄρχομεν; ἀλλ' οὐ δήπου τὸν ἄρχοντα τῶν ἀρχομένων πονηρότερον προσήκει εἶναι. ἀλλ' ὅτι εὐδαιμονέστεροι δοκοῦμεν νῦν ἢ πρότερον εἶναι; ἔπειτα τῇ εὐδαιμονίᾳ φήσει τις τὴν κακίαν ἐπιπρέπειν; ἀλλ' ὅτι ἐπεὶ κεκτήμεθα δούλους, τούτους κολάσομεν, ἢν πονηροὶ ὦσι; καὶ τί προσήκει αὐτὸν ὄντα πονηρὸν πονη-*
84 *ρίας ἕνεκα ἢ βλακείας ἄλλους κολάζειν; ἐννοεῖτε δὲ καὶ τοῦτο ὅτι τρέφειν μὲν παρεσκευάσμεθα πολλοὺς καὶ τῶν ἡμετέρων οἴκων φύλακας καὶ τῶν σωμάτων· αἰσχρὸν δὲ πῶς οὐκ ἂν εἴη, εἰ δι' ἄλλους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δὲ ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν; καὶ μὴν εὖ γε δεῖ εἰδέναι ὅτι οὐκ ἔστιν ἄλλη φυλακὴ τοιαύτη οἵα αὐτόν τινα καλὸν κἀγαθὸν ὑπάρχειν· τοῦτο γὰρ δεῖ συμπαρομαρτεῖν· τῷ δ' ἀρετῆς ἐρήμῳ*
85 *οὐδὲ ἄλλο καλῶς ἔχειν οὐδὲν προσήκει. τί οὖν φημι χρῆναι ποιεῖν καὶ ποῦ τὴν ἀρετὴν ἀσκεῖν καὶ ποῦ τὴν μελέτην ποιεῖσθαι; οὐδὲν καινόν, ὦ ἄνδρες, ἐρῶ· ἀλλ' ὥσπερ ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, οὕτω καὶ ἡμᾶς φημι χρῆναι ἐνθάδε ὄντας τοὺς ἐντίμους πάντα ἅπερ*

τὰ ἀγαθὰ G. *γε* om. D. *ὡς* D. 83. *προσιέμεθα* A.G. *προειλόμεθα* D.P. *προσιοίμεθα* Schneiderus. *φήσει τις*] *τίς φησὶ* D. *ἐπιπρέπειν* Castalio. *ἐπιτρέπειν* A.D.G. *ἀλλ' ὅτι*] *ἀλλότι* D. *κολάσωμεν* A.D.G. *ἕνεκα*] *ἕνεκεν* G. *ἢ*] *καὶ* D. *ἄλλους*] *ἄλλ* in ras. G. 84. *δὲ*] *δ' ἔτι* D. *καὶ* om. G. *τῶν οἰκιῶν τῶν ἡμετέρων* D. *αἴσχιον* A.G. *δι'* D.I.M. *δὴ* A.G. *οἰησώμεθα* D. pr. *χρῆν* A.G. *αὐτοῖς* D. corr., ut videtur, sicut 86. *δορυφορήσωμεν* D. *γε*] *τε* A.G. pr. *δεῖ*] *δὴ* D. *οὐδὲ*] *οὐδὲν* G. *ἄλλο*] *ἄλλω* D. 85. *ποῦ τὴν ἀρετὴν*] *ποῖ τὴν ἀρετὴν* D. *ὦ* om. G.M. *οὕτως* A.D. *ὑμᾶς* A.D.G. corr., qui pr. fortasse *ἡμᾶς*. *ἐντίμους*] *ὁμοτίμους* D.G. mg. r. *γε*] *τε* D. *ἐμὲ*] *ἐμοὶ* A.G. pr. *εἰ* om. A. *διδάξω* G. mg. r.

82. *οὐ γὰρ*] Conf. 3, 1, 29. ZEUN. Thuc. 2, 44.

83. *προσιοίμεθα*] Conf. Anab. 5, 5, 3.

κολάσομεν] Sic Reip. Athen. 1, 9, *κολάσομεν*, et apud alios nonnullos. Sed H. Gr. 1, 7, 19, *κολάσεσθε*, ut solent Attici etiam in præsenti variare inter activum et medium.

85. *ἐπὶ τοῖς ἀρχείοις*] Conf. 1, 2, 4, seqq. Qui hic sunt *ὁμότιμοι*, iidem in Anab. 1, 9, 2, *ἄριστοι* vocantur, ubi eadem narratio est de pueris Persarum nobilium. SCHN.

ἡμᾶς—ἐντίμους] *ὑμᾶς—ἐντίμους* G., ut 8, 1, 6. Verum hoc loco se ceteris Persis æquiparans Cyrus deinde distinguit *ὑμᾶς γε—ἐγώ τε*. SCHN.

πάντας] Suspicor scriptum fuisse *πάντα*. STEPH. Quod restitui.

κἀκεῖ ἐπιτηδεύειν, καὶ ὑμᾶς γε ἐμὲ ὁρῶντας κατανοεῖν παρόντας εἰ ἐπιμελόμενος ὧν δεῖ διάξω, ἐγώ τε ὑμᾶς κατανοῶν θεάσομαι, καὶ οὓς ἂν ὁρῶ τὰ καλὰ καὶ τἀγαθὰ ἐπι-
86 τηδεύοντας, τούτους τιμήσω. καὶ τοὺς παῖδας δὲ, οἷς ἂν ἡμῶν γίγνωνται, ἐνθάδε παιδεύωμεν· αὐτοί τε γὰρ βελτίονες ἐσόμεθα, βουλόμενοι τοῖς παισὶν ὡς βέλτιστα παραδείγματα ἡμᾶς αὐτοὺς παρέχειν, οἵ τε παῖδες οὐδ' ἂν εἰ βούλοιντο ῥᾳδίως πονηροὶ γίγνοιντο, αἰσχρὸν μὲν μηδὲν μήτε ὁρῶντες μήτε ἀκούοντες, ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες.

Libri καὶ ἐκεῖ. ἂν om. D. καλὰ κἀγαθὰ D. 86. δὲ om. D. οἳ D.G. corr. παιδεύομεν D. pr. G. αὑτοὺς D. corr. οὐδ' ἂν ἠβούλοιντο D. pr., corr. in accentibus. γένοιντο A.D. καὶ ἀγαθοῖς D.

κἀκεῖ] 'Sic H. Gr. 1, 2, 9. Estque hæc crasis in ἐκεῖ et ceteris hujus stirpis vocabulis, ubi articulus aut καὶ præcedit, constanter restituenda Xenophonti ceterisque Atticis, ut dixi ad 6, 2, 2; 7, 5, 50, quamvis sæpe abolita in libris, ut apud Thuc. 7, 12, supra 1, 4, 19, et H. Gr. 1, 6, 14, ubi τὸ κείνου rectius in τοὐκείνου quam in τὸ ἐκείνου mutavit Leonclavius. Idem dicendum de καὶ ante pronomen ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμὲ, posito et modo κἀ– modo καὶ ἐ– scripto in libris, ut 7, 5, 51 et alibi sæpe.

86. παῖδες] Eadem narrat Anab. 1, 9, 2. SCHN.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΚΕΦ. Α.

Κῦρος μὲν οὕτως εἶπεν· ἀνέστη δ' ἐπ' αὐτῷ Χρυσάντας καὶ εἶπεν ὧδε. Ἀλλὰ πολλάκις μὲν δή, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ· οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει, Κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν ἀφ' ὧν μάλιστ' ἂν εὐδαιμονοῦντες διατελοῖμεν· ὃ δέ μοι δοκεῖ ἐνδεέστερον ἢ ὡς ἐχρῆν δηλῶσαι, τοῦτο ἐγὼ πειράσομαι τοὺς μὴ εἰδότας διδάξαι.
2 ἐννοήσατε γὰρ δὴ τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη· τίς δ' ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη· ποῖον δ' ἂν ἀπειθούντων στράτευμα νίκης τύχοι· πῶς δ' ἂν μᾶλλον ἐν μάχαις ἡττῷντο ἄνθρωποι ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς σωτηρίας βουλεύεσθαι· τί δ' ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ μὴ πειθομένων· ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν· ἢ ποῖοι οἶκοι σωθείησαν· πῶς

1. μὲν] μὲν οὖν D.G. ἐπιλείψῃ A.D. Stob. Fl. 46, 108, citans πολλάκις—διατ. ἂν μάλιστα D. et qui διατελοίημεν Stob. ἐχρῆν] χρὴ D. 2. δὴ] ἔφη D. om. Stob. Fl. 33, 148, citans ἐνν.—3. ἄρχοντι, et εἰ τοίνυν—ἀγαθόν ἐστιν. ἀπειθοῦν Stob. πῶς δ' ἄλλως (ἂν Stob.) μᾶλλον ἡττῶνται ἐν μάχαις D. Stob. ἢ om. A.G. pr. ἄρξονται G. τῆς om. Stob. μὴ] τῶν μὴ G. s. v. r. πειθομένων] τοῖς κρείττοσι add. D.G. mg. r. ἢ ποῖοι] ποῖοι δ' D. Stob.

1. Initium libri capiendum esse ab 7, 5, 37, suspicatus sum in annotatione ad eum locum. SCHN. Ubi v. annot. Ad μὲν et μὲν οὖν conf. 7. 5, 48.

πατρὸς] Conf. Hom. Od. B, 47; E, 12, Dionys. Ant. Rom. 4, 36. HUTCH.

διατελοῖμεν] Raro consensu tuentur libri excepto Stobæo formam prope abolitam apud Xenophontem, sed ei constanter restituendam. V. ad 5, 3, 31; Anab. 2, 5, 14.

2. οἰκήσειαν] Usum activi approbabunt loci Hist. Gr. 4, 8, 5; 7, 5, 5.

3 δ' ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο· ἡμεῖς δὲ ἃ νῦν ἀγαθὰ ἔχομεν διὰ τί ἄλλο μᾶλλον κατεπράξαμεν ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι; διὰ τοῦτο γὰρ καὶ νυκτὸς καὶ ἡμέρας ταχὺ μὲν ὅποι ἔδει παρεγιγνόμεθα, ἀθρόοι δὲ τῷ ἄρχοντι ἑπόμενοι ἀνυπόστατοι ἦμεν, τῶν δ' ἐπιταχθέντων οὐδὲν ἡμιτελὲς κατελείπομεν. εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τἀγαθά, οὕτως εὖ ἴστε ὅτι αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν ἃ δεῖ μέγιστον ἀγαθόν

4 ἐστι. καὶ πρόσθεν μὲν δὴ πολλοὶ ἡμῶν ἦρχον μὲν οὐδενός, ἤρχοντο δέ· νῦν δὲ κατεσκεύασθε οὕτω πάντες οἱ παρόντες ὥστε ἄρχετε οἱ μὲν πλειόνων, οἱ δὲ μειόνων. ὥσπερ τοίνυν αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ' ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα οἷς ἂν ἡμᾶς καθήκῃ. τοσοῦτον δὲ διαφέρειν δεῖ τῶν δούλων ὅσον οἱ μὲν δοῦλοι ἄκοντες τοῖς δεσπόταις ὑπηρετοῦσιν, ἡμᾶς δ', εἴπερ ἀξιοῦμεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν ὃ πλείστου ἄξιον φαίνεται εἶναι. εὑρήσετε δ', ἔφη, καὶ ἔνθα ἄνευ μοναρχίας πόλις οἰκεῖται, τὴν μάλιστα τοῖς ἄρχουσιν ἐθέλουσαν πείθεσθαι ταύτην

5 ἥκιστα τῶν πολεμίων ἀναγκαζομένην ὑπακούειν. παρῶμέν τε οὖν, ὥσπερ Κῦρος κελεύει, ἐπὶ τόδε τὸ ἀρχεῖον, ἀσκῶμέν τε δι' ὧν μάλιστα δυνησόμεθα κατέχειν ἃ δεῖ, παρέ-

3. ἔχομεν ἀγαθὰ D. διὰ τί] δι' D. pr., τί s. v. ead. m. μᾶλλον initio versus add. D. ead. m. G. mg. r. ὅπου D. παρεγιγνώμεθα D. mg. r. ἀθρόοι D. κατελίπομεν A.D. pr. G.M. τἀγαθὰ A. τὰ ἀγαθὰ D.G. Stob. οὕτως om. D. Stob. αὐτὸ] τὸ αὐτὸ D. Stob., cujus A. καὶ αὐτὸ, omisso mox καί. δισώζειν D. 4. μὲν δὴ] δὴ G. ἦρχον—ἤρχοντο δέ] ἦρχον. οὐδενὸς δὲ ἤρχομεν A.G. ὑφ'] ἐφ' D. αὐτοὶ] αὐτοὶ ἡμεῖς D. πειθόμεθα D. ἡμᾶς] ὑμᾶς A. καὶ ἡμᾶς D. καθήκῃ Poppo. καθήκει A.G. καθήκοι D. δεῖ] ἡμᾶς δεῖ D. ἄξιον φαίνεται εἶναι] φαίνεται ἄξιον D. ἥκιστα] ἥκιστατα D. οὐ μάλιστα G. corr. mg. r. 5. μάλι A. δεῖν D. παρέχομεν D.G.

Sunt etiam Platonis loci multi similes, veluti Reip. 4, p. 421 A: Ὁρᾷς ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύασι, καὶ αὖ τοῦ εὖ οἰκεῖν καὶ εὐδαιμονεῖν μόνοι τὸν καιρὸν ἔχωσιν, et p. 423 A: Ἕως ἂν ἡ πόλις σοι οἰκῇ σωφρόνως. SCHN. V. ad Anab. 5, 1, 13, et de usu activi ad Thes. Steph.

σωθείησαν] Idem de hac forma dicendum quod de σωθείημεν et σωθείητε 7, 1, 42, de εἴητε 6, 3, 10, non magis ferenda quam εἴησαν 8, 2, 23, etsi utrumque habuit jam Stobæus. Sed εἴησαν, quod est etiam 1, 2, 13, cum εἶεν jam antiquitus confusum Anab. 1, 1, 5, Comment. 1, 5, 19, cum eodem alternat in libris Herodoti, Thucydidis et aliorum, de quibus ad Thes. Steph. v. Εἰμὶ, vol. 3, p. 261 A, ut φαίησαν est ap. Thuc. 3, 61, 1, φαῖεν in loco gemino 3, 68, 1, γνοίησαν et εἰδείησαν ap. Demosth. p. 897, 7; 909, 20, παραδοίησαν semel perperam in melioribus Anab. 2, 1, 10. V. Kidd. ad Dawes. p. 452 s.

3. μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν] Conf. Æsch. Sept. 230. HUTCH.

4. ἄνευ μοναρχίας] Tangit Athenas.

χωμέν τε ἡμᾶς αὐτοὺς χρῆσθαι Κύρῳ ὅ τι ἂν δέῃ. καὶ
τοῦτο γὰρ εὖ εἰδέναι χρὴ ὅτι οὐ μὴ δυνήσεται Κῦρος εὑ-
ρεῖν ὅ τι αὑτῷ μὲν ἐπ' ἀγαθῷ χρήσεται, ἡμῖν δὲ οὔ, ἐπεί-
περ τά γε αὐτὰ ἡμῖν συμφέρει καὶ οἱ αὐτοί εἰσιν ἡμῖν
πολέμιοι.
6 Ἐπεὶ δὲ ταῦτα εἶπε Χρυσάντας, οὕτω δὴ καὶ ἄλλοι [2]
ἀνίσταντο πολλοὶ καὶ Περσῶν καὶ τῶν συμμάχων συνε-
ροῦντες· καὶ ἔδοξε τοὺς ἐντίμους ἀεὶ παρεῖναι ἐπὶ θύρας
καὶ παρέχειν αὐτοὺς χρῆσθαι ὅ τι ἂν βούληται, ἕως ἀφείη
Κῦρος. ὡς δὲ τότε ἔδοξεν, οὕτω καὶ νῦν ἔτι ποιοῦσιν οἱ
κατὰ τὴν Ἀσίαν ὑπὸ βασιλεῖ ὄντες, θεραπεύουσι τὰς τῶν
7 ἀρχόντων θύρας. ὡς δ' ἐν τῷ λόγῳ δεδήλωται Κῦρος
καταστησάμενος εἰς τὸ διαφυλάττειν αὑτῷ τε καὶ Πέρσαις
τὴν ἀρχήν, ταὐτὰ καὶ οἱ μετ' ἐκεῖνον βασιλεῖς νόμιμα ἔτι
8 καὶ νῦν διατελοῦσι ποιοῦντες. οὕτω δ' ἔχει καὶ ταῦτα
ὥσπερ καὶ τἆλλα· ὅταν μὲν ὁ ἐπιστάτης βελτίων γένηται,
καθαρώτερον τὰ νόμιμα πράττεται· ὅταν δὲ χείρων, φαυ-
λότερον. ἐφοίτων μὲν οὖν ἐπὶ τὰς θύρας Κύρου οἱ ἔντιμοι
σὺν τοῖς ἵπποις καὶ ταῖς αἰχμαῖς, συνδόξαν πᾶσι τοῖς ἀρι-
στοις τῶν συγκαταστρεψαμένων τὴν ἀρχήν.

δύνηται A.D. αὐτῷ A.D. χρῆται D. τά γε] τὰ D. ξυμφέρει G. 6. ἄλλοι] οἱ ἄλλοι A.D.G. s. v. r. τῶν] τῶν ἄλλων D. αὐτοὺς A.D. pr. G. αὐτοῖς G. s. v. r. ἂν om. A. ἀφείη A.G.M. ἂν ἀφίῃ D. τότε] τόδε A. τοῦτο D. βασιλέα D. 7. αὑτῷ] αὐτῷ A.G. pr. ἑαυτῷ D.G. corr. ταὐτὰ] ταῦτα A.G. τὰ αὐτὰ D. νόμιμα] ὡς νόμιμα D. 8. τὰ ἄλλα D. βελτίω A. τὰς κύρου θύρας D. σὺν ταῖς αἰχμαῖς καὶ τοῖς ἵπποις D.

5. δυνήσεται] Οὐ μὴ cum conjunctivo præsentis, ut hic in nonnullis, junctum, recte Porsonus ad Aristoph. Thesm. 660, p. 217, sustulit Anab. 2, 2, 12, ubi jam Weiskius οὐκέτι μὴ δυνήσεται pro δύνηται, neque οὐ μὴ δύνωνται Hieron. 11, 15, ferendum. Librorum quam exigua sit fides multis ostendit exemplis Kidd. ad Dawes. p. 409, cujus de Anab. 4, 8, 13: Οὐδεὶς μηκέτι μείνῃ, conjecturam μενεῖ confirmat cod. Medic., qui μένει. Nec difficilior correctio ib. 7, 3, 26: Οὐ μὴ δείσῃς τὸν πολέμιον, ubi liber unus Athenæi δήσεις, quod propius abest a δείσει. Quæ si scripsit Xenophon, etiam supra 3, 2, 8 δέξονται recipiendum ex B., quamvis casu positum pro δέξωνται, ut A. cum ceteris, quippe sæpe vocales permutante nulliusque, ubi ab A. discedit, fidei. Nihilo plus tribuendum exemplis Platonicis a Kiddio l. c. memoratis et correctis, ut neque Xenophonti neque Platoni concedenda sint quæ aliena sunt ab antiquioribus.

6. οὕτω ποιοῦσι—θεραπεύουσι] V. ad 3, 3, 26, Anab. 7, 3, 22.

7. ἐν τῷ λόγῳ] 7, 5, 72. De formula v. ad 4, 5, 26.

ὡς κατεστήσατο] Conf. 8, 6, 9. SCHN.

8. καθαρώτερον] *Accuratius.* Lennep. ad Phalar. Ep. 79, p. 230 confert Valck.

9 Κῦρος δ' ἐπὶ μὲν τἆλλα καθίστη ἄλλους ἐπιμελητάς, [3]
καὶ ἦσαν αὐτῷ καὶ προσόδων ἀποδεκτῆρες καὶ δαπανημά-
των δοτῆρες καὶ ἔργων ἐπιστάται καὶ κτημάτων φύλακες
καὶ τῶν εἰς τὴν δίαιταν ἐπιτηδείων ἐπιμεληταί· καὶ ἵππων
δὲ καὶ κυνῶν ἐπιμελητὰς καθίστη οὓς ἐνόμιζε καὶ ταῦτα τὰ
10 βοσκήματα βέλτιστ' ἂν παρέχειν αὐτῷ χρῆσθαι. οὓς δὲ
συμφύλακας τῆς εὐδαιμονίας οἱ ᾤετο χρῆναι ἔχειν, τούτους
ὅπως ὡς βέλτιστοι ἔσοιντο οὐκέτι τούτου τὴν ἐπιμέ-
λειαν ἄλλοις προσέταττεν, ἀλλ' αὑτοῦ ἐνόμιζε τοῦτο
ἔργον εἶναι. ᾔδει γὰρ ὅτι, εἴ τι μάχης ποτὲ δεήσοι, ἐκ
τούτων αὐτῷ καὶ παραστάτας καὶ ἐπιστάτας ληπτέον
εἴη, σὺν οἷσπερ οἱ μέγιστοι κίνδυνοι· καὶ ταξιάρχους
δὲ καὶ πεζῶν καὶ ἱππέων ἐγίγνωσκεν ἐκ τούτων κατα-
11 στατέον εἶναι. εἰ δὲ δέοι καὶ στρατηγῶν που ἄνευ αὐτοῦ,
ᾔδει ὅτι ἐκ τούτων πεμπτέον εἴη· καὶ πόλεων δὲ καὶ ὅλων [4]
ἐθνῶν φύλαξι καὶ σατράπαις ᾔδει ὅτι τούτων τισὶν εἴη
χρηστέον καὶ πρέσβεις γε τούτων τινὰς πεμπτέον, ὅπερ ἐν
τοῖς μεγίστοις ἡγεῖτο εἶναι εἰς τὸ ἄνευ πολέμου τυγχάνειν
12 ὧν δέοιτο. μὴ ὄντων μὲν οὖν οἵων δεῖ δι' ὧν αἱ μέγισται
καὶ πλεῖσται πράξεις ἔμελλον εἶναι, κακῶς ἡγεῖτο τὰ αὑτοῦ
ἕξειν. εἰ δ' οὗτοι εἶεν οἵους δέοι, πάντα ἐνόμιζε καλῶς
ἔσεσθαι. ἐνέδυ μὲν οὖν οὕτω γνοὺς εἰς ταύτην τὴν ἐπιμέ-
λειαν· ἐνόμιζε δὲ τὴν αὐτὴν καὶ αὑτῷ ἄσκησιν εἶναι τῆς
ἀρετῆς. οὐ γὰρ ᾤετο οἷόν τε εἶναι μὴ αὐτόν τινα ὄντα οἷον
13 δεῖ ἄλλους παρορμᾶν ἐπὶ τὰ καλὰ καὶ τἀγαθὰ ἔργα. ὡς δὲ

9. πρόσοδον A. ἐνόμιζε καὶ] ἐνόμιζεν D. αὐτῷ A.G. ἑαυτῷ D. 10. τῆς om. A. οἱ om. D. ὅπως om. D., qui post ἔσοιντο addit solus αὐτὸς ἐσκόπει καί. αὑτοῦ A.G. ἑαυτοῦ D. τοῦτον A. εἴτε D. μάχη A.G. εἴη om. D. καὶ πεζῶν] καὶ G. mg. r. καταστέον G. 11. εἰ δὲ δέοι D. εἰ δέοι A.G. pr. εἰ δέοι δὲ G. s. v. r. ἑαυτοῦ D. ᾔδει ὅτι] ἤδιόν τι A.G. πεμπέον G. pr. τισιν εἴη] τισὶν ἦν (sic) D. ὅπερ] ὅτιπερ G. δέοιντο A.G. 12. ἤμελλον A.G. κακῶν A. τὰ αὐτοῦ] τ' αὐτοῦ A. τὰ αὐτοῦ G. τὰ ἑαυτοῦ D. ἐνόμιζε] ἐλογίζετο D. οὖν om. D. ἐνόμισε D. αὐτῷ A.G. ἑαυτῷ D. τἀγαθὰ καὶ καλὰ ἔργα D.

9. βοσκήματα] Schol. Aristoph. Ach. 811: Ἐπὶ χοίρων δὲ καλεῖται τὸ βόσκημα· Ξ. δὲ ἐν ζ' καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν.

βέλτιστα χρῆσθαι jungenda sunt. SCHN.

10. συμφύλακας] Eosdem κοινῶνας dicit §. 16. SCHN. Cum dat. etiam 8, 6, 11.

τούτους, quod non cepit corrector D., positum ut 2, 1, 5: Τοὺς μέντοι Ἕλληνας—οὐδέν πω σαφὲς λέγεται εἰ ἕπονται. quod aliud verbum cogitaret quam propter interposita infertur. Conf. ad 7, 2, 17. Σκοπεῖν cum accus. sic jungit Comment. 3, 9, 8: Φθόνον σκοπῶν τί εἴη· 9: Σχολὴν σκοπῶν τί εἴη.

12. τὰ καλὰ καὶ τἀγαθὰ ἔργα] Conf.

ταῦτα διενοήθη, ἡγήσατο σχολῆς πρῶτον δεῖν, εἰ μέλλοι
δυνήσεσθαι τῶν κρατίστων ἐπιμέλεσθαι. τὸ μὲν οὖν προσ-
όδων ἀμελεῖν οὐχ οἷόν τε ἐνόμιζεν εἶναι, προνοῶν ὅτι πολ-
λὰ καὶ τελεῖν ἀνάγκη ἔσοιτο εἰς μεγάλην ἀρχήν· τὸ δ' αὖ [5]
πολλῶν κτημάτων ὄντων ἀμφὶ ταῦτα αὐτὸν ἀεὶ ἔχειν ᾔδει
ὅτι ἀσχολίαν παρέξοι τῆς τῶν ὅλων σωτηρίας ἐπιμέλεσθαι.
14 οὕτω δὴ σκοπῶν, ὅπως ἂν τά τε οἰκονομικὰ καλῶς ἔχοι
καὶ ἡ σχολὴ γένοιτο, κατενόησέ πως τὴν στρατιωτικὴν
σύνταξιν. ὡς γὰρ τὰ πολλὰ δεκάδαρχοι μὲν δεκάδων ἐπι-
μέλονται, λοχαγοὶ δὲ δεκαδάρχων, χιλίαρχοι δὲ λοχαγῶν,
μυρίαρχοι δὲ χιλιάρχων, καὶ οὕτως οὐδεὶς ἀτημέλητος γί-
γνεται, οὐδ' ἢν πάνυ πολλαὶ μυριάδες ἀνθρώπων ὦσι, καὶ
ὅταν ὁ στρατηγὸς βούληταί τι τῇ στρατιᾷ χρήσασθαι,
15 ἀρκεῖ ἢν τοῖς μυριάρχοις παραγγείλῃ· ὥσπερ οὖν ταῦτ'
ἔχει, οὕτω καὶ ὁ Κῦρος συνεκεφαλαιώσατο τὰς οἰκονομικὰς
πράξεις· ὥστε καὶ τῷ Κύρῳ ἐγένετο ὀλίγοις διαλεγομένῳ
μηδὲν τῶν οἰκείων ἀτημελήτως ἔχειν· καὶ ἐκ τούτου ἤδη
σχολὴν ἦγε πλείω ἢ ἄλλος μιᾶς οἰκίας καὶ μιᾶς νεὼς ἐπι-
μελόμενος. οὕτω δὴ καταστησάμενος τὰ αὑτοῦ ἐδίδαξε καὶ
τοὺς περὶ αὑτὸν ταύτῃ τῇ καταστάσει χρῆσθαι.
16 Τὴν μὲν δὴ σχολὴν οὕτω κατεσκευάσατο αὑτῷ τε καὶ
τοῖς περὶ αὑτὸν, ἤρχετο δ' ἐπιστατεῖν τοῦ εἶναι οἵους δεῖ [6]
τοὺς κοινῶνας. πρῶτον μὲν ὁπόσοι ὄντες ἱκανοὶ ἄλλων
ἐργαζομένων τρέφεσθαι μὴ παρεῖεν ἐπὶ τὰς θύρας, τούτους

13. Libri ἐπιμελεῖσθαι hic et infra. προόδων D. pr., ut videtur, qui s s. v. r. αὐτὸν ἀεὶ] ἑαυτὸν D. ἀσχολείαν A. παρέξει A.D. 14. οὕτω] ὅτω G. pr. ὅπως ἂν om. D. δεκάδων] δέκα δὲ ὧν D. ἐπιμελοῦνται A. corr. ἀτιμ. hic et infra G. μυρίαρχοι δὲ χιλιάρχων om. A.G. mg. r. οὐδὲ εἷς D. οὐδ' ἢν] οὐδ' ἂν ἡ D. πάνυ] πάλιν D. παραγέλῃ, ut videtur, D. pr. 15. οὕτω] οὗτος D. μηδὲν O. μηδὲ A.D.G. ἐπιμελούμενος A.G. δὴ] δὲ D. αὐτοῦ A.G. ἑαυτοῦ D. ἐδίδασκεν D. αὐτὸν D. 16. οὕτως A.D. παρεσκευάσατο A. αὐτῷ G. pr., οὕτω A. ἑαυτῷ D. τε om. D. ἦρχε. τὸ A. οἵους δεῖ εἶναι τοὺς D. κοινῶνας A.G. mg. κοινωνοὺς D. κοινωνοῦντας G. μὴ παρεῖεν] καὶ μὴ περιέναι A. et μὴ s. v. r. ponens, καὶ autem punctis notans G. pr., qui corr. παρεῖεν.

7, 5, 85; 2, 1, 17. Comment. 1, 2, 23: Πάντα ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι. Ubi scrib. τἀγαθά.

13. τῶν κρατίστων] I. e. τῆς τῶν ὅλων σωτηρίας, quod statim sequitur, id est summæ rei. Ceterum narratio, quæ hic parenthesi diffinditur, repetitur infra §. 16. SCHN.

14. δεκάδων] Δεκαδέων D., qui δέκα δὲ ὧν, voluisse videri animadvertit Schneiderus, qui recepit quod etiam 2, 2, 30 cum altero est confusum. Ceterum inter χιλιάρχους et λοχαγοὺς deesse ταξιάρχους animadvertit Bornemannus.

ἐπεζήτει, νομίζων τοὺς μὲν παρόντας οὐκ ἂν ἐθέλειν οὔτε
κακὸν οὔτε αἰσχρὸν οὐδὲν πράττειν καὶ διὰ τὸ παρὰ ἄρ-
χοντι εἶναι καὶ διὰ τὸ εἰδέναι ὅτι ὁρῷντ' ἂν ὅ τι πράττοιεν
ὑπὸ τῶν βελτίστων· οἳ δὲ μὴ παρεῖεν, τούτους ἡγεῖτο ἢ
17 ἀκρατείᾳ τινὶ ἢ ἀδικίᾳ ἢ ἀμελείᾳ ἀπεῖναι. τοῦτο οὖν πρῶ-
τον διηγησόμεθα ὡς προσηνάγκαζε τοὺς τοιούτους παρεῖ-
ναι. τῶν παρ' ἑαυτῷ μάλιστα φίλων ἐκέλευσεν ἄν τινα
λαβεῖν τὰ τοῦ μὴ φοιτῶντος, φάσκοντα λαμβάνειν τὰ
ἑαυτοῦ. ἐπεὶ οὖν τοῦτο γένοιτο, ἧκον ἂν εὐθὺς οἱ στερόμε-
18 νοι ὡς ἠδικημένοι. ὁ δὲ Κῦρος πολὺν μὲν χρόνον οὐκ [7]
ἐσχόλαζε τοῖς τοιούτοις ὑπακούειν· ἐπεὶ δὲ ἀκούσειεν αὐ-
τῶν, πολὺν χρόνον ἀνεβάλλετο τὴν διαδικασιαν. ταῦτα
δὲ ποιῶν ἡγεῖτο προσεθίζειν αὐτοὺς θεραπεύειν, ἧττον δὲ
19 ἐχθρῶς ἢ εἰ αὐτὸς κολάζων ἠνάγκαζε παρεῖναι. εἷς μὲν
τρόπος διδασκαλίας ἦν αὐτῷ οὗτος τοῦ παρεῖναι· ἄλλος
δὲ τὸ τὰ ῥᾷστα καὶ κερδαλεώτατα τοῖς παροῦσι προστάτ-
20 τειν· ἄλλος δὲ τὸ μηδέν ποτε τοῖς ἀποῦσι νέμειν· ὁ δὲ δὴ
μέγιστος τρόπος τῆς ἀνάγκης ἦν, εἴ τούτων μηδενὸς ὑπα-
κούοι, ἀφελόμενος ἂν τοῦτον ἃ ἔχοι ἄλλῳ ἐδίδου ὃν ᾤετο
δύνασθαι ἂν ἐν τῷ δέοντι παρεῖναι· καὶ οὕτως ἐγίγνετο
αὐτῷ φίλος χρήσιμος ἀντὶ ἀχρήστου. ἐπιζητεῖ δὲ καὶ ὁ
νῦν βασιλεὺς, ἤν τις ἀπῇ οἷς παρεῖναι καθήκει.
21 Τοῖς μὲν δὴ μὴ παροῦσιν οὕτω προσεφέρετο. τοὺς δὲ [8]
παρέχοντας ἑαυτοὺς ἐνόμισε μάλιστ' ἂν ἐπὶ τὰ καλὰ κά-

κακὸν οὔτε αἰσχρὸν] αἰσχρὸν οὔτε κακὸν G.M. οὐδὲν] οὐδὲν ἂν A.G. παρ' in fine et ρ' ἄρχοντι initio versus D. παρὰ τῷ ἄρχοντι H. καὶ διὰ τὸ εἰδέναι om. A.G. mg. r. ὁρῷντ' ἂν N. ὁρῶ in fine et τ' ἂν initio versus D. ὁρῶνται A.G. βελτιόνων D., sed mg. ead. m. τίστων, M. corr. s. v. ἢ ἀκρατείᾳ] ἀκρατίᾳ D. ἀδικίᾳ τινὶ A.G. 17. διηγησόμεθα ὡς A.G. pr. et qui ἡγησόμεθα D. ἡγησάμενος G. corr. προσηκάζετε D., sed η in ras. προσηναγκάζετο G. παρ'] γὰρ D., quod s. v. r. add. G. ἑαυτοῦ A.D. οἱ στ. εὐθὺς D. 18. ἀκούσειεν] μὲν add. D. ἐχθροὺς G. s. v. r. 19. οὗτος post τρόπος D. ἄλλως D. τῶ D. τὰ ῥᾷστα] τἀρεστὰ A.G. corr. mg. r. 20. δὲ] μὲν G. εἰ] εἴ τις Junt. et Ald. ὑπακούειν A. ὑπακούοι τις H. ἐν τῷ] αὐτῷ G. corr. s. v. r. δόντι fortasse G. pr., qui ο cum acc. in ras. 21. οὕτως A. κἀγαθὰ] καὶ ἀγαθὰ A.G.

17. προσηνάγκαζε] Est: necessitate aliqua inducebat et adsuefaciebat; quod deinceps προσεθίζειν leniore vocabulo dicitur. SCHN.

18. θεραπεύειν] Frequentare τὰς θύρας, ut est s. 6, παρεῖναι ἐπὶ τὰς θύρας, ut est s. 16. SCHN.

20. ὁ—μέγιστος τρόπος ἦν,—ἐδίδου] V. ad Anab. 6, 1, 8: Ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν, ὁ μὲν—σπείρει.

εἰ ὑπακούοι] Quod post εἰ vel ὑπακούοι addunt nonnulli τις, correctoris videtur durum putantis ὑπακούοι referri ad sequens τοῦτον.

γαθὰ ἐπαίρειν, ἐπείπερ ἄρχων αὐτῶν ἐνόμιζε δικαίως εἶναι,
εἰ αὐτὸς ἑαυτὸν ἐπιδεικνύειν πειρῷτο τοῖς ἀρχομένοις πάν-
22 *των μάλιστα κεκοσμημένον τῇ ἀρετῇ. αἰσθάνεσθαι μὲν*
γὰρ ἐδόκει καὶ διὰ τοὺς γραφομένους νόμους βελτίους
γιγνομένους ἀνθρώπους· τὸν δὲ ἀγαθὸν ἄρχοντα βλέποντα
νόμον ἀνθρώποις ἐνόμισεν, ὅτι καὶ τάττειν ἱκανός ἐστι καὶ
23 *ὁρᾶν τὸν ἀτακτοῦντα καὶ κολάζειν. οὕτω δὴ γιγνώσκων*
πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς μᾶλλον ἐκπονοῦντα ἐπε-
δείκνυ ἑαυτὸν ἐν τούτῳ τῷ χρόνῳ, ἐπεὶ εὐδαιμονέστερος
ἦν. καὶ τότε πρῶτον κατεστάθησαν οἱ μάγοι, ὕμνει τε ἀεὶ
ἅμα τῇ ἡμέρᾳ τοὺς θεοὺς καὶ ἔθυεν ἀν' ἑκάστην ἡμέραν οἷς
24 *οἱ μάγοι θεοῖς εἴποιεν. οὕτω δὴ τὰ τότε κατασταθέντα ἔτι*
καὶ νῦν διαμένει παρὰ τῷ ἀεὶ ὄντι βασιλεῖ. ταῦτ' οὖν
πρῶτον ἐμιμοῦντο αὐτὸν καὶ οἱ ἄλλοι Πέρσαι, *νομίζοντες*
καὶ αὐτοὶ εὐδαιμονέστεροι ἔσεσθαι, ἢν θεραπεύωσι τοὺς
θεούς, ὥσπερ ὁ εὐδαιμονέστατός τε ὢν καὶ ἄρχων· καὶ
25 Κύρῳ *δ' ἂν ἡγοῦντο ταῦτα ποιοῦντες ἀρέσκειν. ὁ δὲ* [9]
Κῦρος *τὴν τῶν μεθ' αὑτοῦ εὐσέβειαν καὶ ἑαυτῷ ἀγαθὸν*
ἐνόμιζε, λογιζόμενος ὥσπερ οἱ πλεῖν αἱρούμενοι μετὰ τῶν
εὐσεβῶν μᾶλλον ἢ μετὰ τῶν ἠσεβηκέναι τι δοκούντων.
πρὸς δὲ τούτοις ἐλογίζετο ὡς εἰ πάντες οἱ κοινῶνες θεοσε-
βεῖς εἶεν, ἧττον ἂν αὐτοὺς ἐθέλειν περί τε ἀλλήλους ἀνό-
σιόν τι ποιεῖν καὶ περὶ ἑαυτόν, εὐεργέτης νομίζων εἶναι τῶν

ἐπαίρειν] *παρορμᾶν ἔργα* G. mg. et qui *παρορμᾶν* post *μάλιστ' ἄν, ἔργα* post *ἐπαίρειν* ponit D. *ἄρχων ἦν αὐτῶν* D. *ἐνόμιζε—εἶναι* om. D.H. *ἑαυτοῦ* D. *κεκοσμημένος* D. *νόμον*] *τί διαφέρει ὁ νόμος τοῦ βασιλέως* G. mg. 23. Libri *ἐπεδείκνυεν.* *ὑμνεῖν—τοὺς θεοὺς ἅπαντας καὶ θύειν* D. *ἀν'* A.G. corr. *ἂν* D.G. pr. *εἶπον* D. 24. *τὰ* om. D. 25. *μετ' αὐτοῦ* D. *ἀγαθὴν* G. s.v. r. M. *ἧττον ἂν*] *ἧττονα* A.G.

21. *ἐπείπερ—εἶναι*] Mihi totum hoc colon ab aliena manu hoc certe in loco esse videtur, quippe a loci sententia alienum. SCHN. Suspecta reddit etiam var. scr.

22. *βλέποντα νόμον*] Conf. Cic. de Leg. 3, 13. HUTCH.

23. *ἐπεὶ εὐδαιμονέστερος ἦν* est: postquam felicitatem majorem erat assecutus. Conf. s. 24. Verba *καὶ τότε—οἱ μάγοι*, nisi sint aut loco suo mota aut e scholio nata, ita defendebat Zeunius, ut magos nunc demum apud Assyrios institutos esse dicat Xenophon. Apud Persas enim magorum religiones memorari 4, 5, 51; 6, 11; 7, 3, 1; 5, 35. Sed loci positi a viro docto sunt de Medis, a quibus religiones istas primum sub imperio Cyri translatas ad Persas fuisse ex hoc Xenophontis loco collegit Heeren *Ideen* etc. vol. 2, p. 425. SCHN. Neque hic de Assyriis nec reliquis locis de Medis potius quam de Persis loquitur Xenophon, ut omnia illa *ἐν τούτῳ—οἱ μάγοι* ex sequentibus conflata videantur.

25. *οἱ πλεῖν αἱρούμενοι*] Conf. Æsch. Sept. 602, Horat. Carm. 3, 2. HUTCH.

ὡς—ἐθέλειν] V. ad 2, 4, 15.

26 κοινώνων. ἐμφανίζων δὲ καὶ τοῦτο ὅτι περὶ πολλοῦ ἐποι-
εῖτο μηδένα μήτε φίλον ἀδικεῖν μήτε σύμμαχον, ἀλλὰ τὸ
δίκαιον ἰσχυρῶς ὁρῶν, μᾶλλον καὶ τοὺς ἄλλους ᾤετ' ἂν
τῶν μὲν αἰσχρῶν κερδέων ἀπέχεσθαι, διὰ τοῦ δικαίου δ'
27 ἐθέλειν πορίζεσθαι. καὶ αἰδοῦς δ' ἂν ἡγεῖτο μᾶλλον πάντας
ἐμπιμπλάναι, εἰ αὐτὸς φανερὸς εἴη πάντας οὕτως αἰδούμενος
28 ὡς μήτ' εἰπεῖν ἂν μήτε ποιῆσαι μηδὲν αἰσχρόν. ἐτεκμαί- [10]
ρετο δὲ τοῦτο οὕτως ἕξειν ἐκ τοῦδε· μὴ γὰρ ὅτι ἄρχοντα,
ἀλλὰ καὶ οὓς οὐ φοβοῦνται, μᾶλλον τοὺς αἰδουμένους αἰ-
δοῦνται τῶν ἀναιδῶν οἱ ἄνθρωποι· καὶ γυναῖκας δὲ ἃς ἂν
αἰδουμένας αἰσθάνωνται, ἀνταιδεῖσθαι μᾶλλον ἐθέλουσιν
29 ὁρῶντες. τὸ δ' αὖ πείθεσθαι οὕτω μάλιστ' ἂν ᾤετο ἔμμο-
νον εἶναι τοῖς περὶ αὐτόν, εἰ τοὺς ἀπροφασίστως πειθομέ-
νους φανερὸς εἴη μᾶλλον τιμῶν τῶν τὰς μεγίστας ἀρετὰς
30 καὶ ἐπιπονωτάτας δοκούντων παρέχεσθαι. γιγνώσκων δ'
οὕτω καὶ ποιῶν διετέλει. καὶ σωφροσύνην δ' αὐτοῦ ἐπι- [11]
δεικνὺς μᾶλλον ἐποίει καὶ ταύτην πάντας ἀσκεῖν. ὅταν
γὰρ ὁρῶσιν, ᾧ μάλιστα ἔξεστιν ὑβρίζειν, τοῦτον σωφρο-
νοῦντα, οὕτω μᾶλλον οἵ γε ἀσθενέστεροι ἐθέλουσιν οὐδὲν
31 ὑβριστικὸν ποιοῦντες φανεροὶ εἶναι. διῄρει δὲ αἰδῶ καὶ
σωφροσύνην τῇδε, ὡς τοὺς μὲν αἰδουμένους τὰ ἐν τῷ φα-
νερῷ αἰσχρὰ φεύγοντας, τοὺς δὲ σώφρονας καὶ τὰ ἐν τῷ
32 ἀφανεῖ. καὶ ἐγκράτειαν δὲ οὕτω μάλιστ' ἂν ᾤετο ἀσκεῖ-
σθαι, εἰ αὐτὸς ἐπιδεικνύοι ἑαυτὸν μὴ ὑπὸ τῶν παραυτίκα
ἡδονῶν ἑλκόμενον ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ προπονεῖν ἐθέ-
33 λοντα πρῶτον σὺν τῷ καλῷ τῶν εὐφροσυνῶν. τοιγαροῦν
τοιοῦτος ὢν ἐποίησεν ἐπὶ ταῖς θύραις πολλὴν μὲν τῶν
χειρόνων εὐταξίαν, ὑπεικόντων τοῖς ἀμείνοσι, πολλὴν δ'

κοινωνῶν A.D.G. 26. μηθένα D. ὁρῶν] ἀθρῶν D. Libri κερ-
δῶν. πορεύεσθαι D. 27. ἐμπιπλάναι B.D.G. οὕτως om. D.
28. δ' οὕτως τοῦτο D. οὐ om. D. δὲ] γε D. οἱ ὁρῶντες D.
29. οὕτως D. ἔμμονον] μόνον A. ἔμ. s. v. r. G., et mox εἰς pr. φανερῶς D.
30. αὐτοῦ A.D.G. ἀσκεῖν] λέγειν D. τοῦτον] τούτῳ D. οὐ μάλα οἵ γε σ.
οὐ θέλουσιν D. 31. αἰδ. τὰ] αἰδ. ἴσως τὰ D. 32. καὶ om. D.
ἐπιδεικνύει G. ἑαυτὸν] αὐτὸν D.

26. κερδῶν] Quum κερδέων sit in libris H. Gr. 2, 4, 21, 40, nisi quod κέρδεων optimi duo, et supra 4, 2, 45, κερδῶν in pejoribus, vacillante tamen librario etiam in G., κερδῶν hic et Comment. 1, 2, 22, nihilo verius habui quam ὀρέων 3, 2, 1.

33. ἐπὶ ταῖς θύραις] In aula sua et aulæ ministris. SCHN. V. ad Anab. 1, 9, 3.

αἰδῶ καὶ εὐκοσμίαν πρὸς ἀλλήλους. ἐπέγνως δ' ἂν ἐκεῖ
οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ οὔτε χαίροντα ὑβρι-
στικῶς γέλωτι, ἀλλὰ ἰδὼν ἂν αὐτοὺς ἡγήσω τῷ ὄντι εἰς
κάλλος ζῆν.
34 Τοιαῦτα μὲν δὴ ποιοῦντες καὶ ὁρῶντες ἐπὶ θύραις
διῆγον. τῆς πολεμικῆς δ' ἕνεκα ἀσκήσεως ἐπὶ θήραν [12]
ἐξῆγεν οὕσπερ ἀσκεῖν ταῦτα ᾤετο χρῆναι, ταύτην ἡγού-
μενος καὶ ὅλως ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι, καὶ
35 ἱππικῆς δὲ ἀληθεστάτην. καὶ γὰρ ἐπόχους ἐν παντοδαποῖς
χωρίοις αὕτη μάλιστα ἀποδείκνυσι διὰ τὸ θηρίοις φεύγου-
σιν ἐφέπεσθαι, καὶ ἀπὸ τῶν ἵππων ἐνεργοὺς αὕτη μάλιστα
ἀπεργάζεται διὰ τὴν τοῦ λαμβάνειν φιλοτιμίαν καὶ ἐπιθυ-
36 μίαν· καὶ τὴν ἐγκράτειαν δὲ καὶ πόνους καὶ ψύχη καὶ
θάλπη καὶ λιμὸν καὶ δίψος δύνασθαι φέρειν ἐνταῦθα μά-
λιστα προσείθιζε τοὺς κοινῶνας. καὶ νῦν δ' ἔτι βασιλεὺς
καὶ οἱ ἄλλοι οἱ περὶ βασιλέα ταῦτα ποιοῦντες διατελοῦσιν.
37 ὅτι μὲν οὖν οὐκ ᾤετο προσήκειν οὐδενὶ ἀρχῆς ὅστις μὴ [13]
βελτίων εἴη τῶν ἀρχομένων καὶ τοῖς προειρημένοις πᾶσι
δῆλον, καὶ ὅτι οὕτως ἀσκῶν τοὺς περὶ αὐτὸν πολὺ μά-
λιστα αὐτὸς ἐξεπόνει καὶ τὴν ἐγκράτειαν καὶ τὰς πολεμι-
38 κὰς τέχνας καὶ τὰς μελέτας. καὶ γὰρ ἐπὶ θήραν τοὺς μὲν
ἄλλους ἐξῆγεν, ὁπότε μὴ μένειν ἀνάγκη τις εἴη· αὐτὸς δὲ
ὁπότε ἀνάγκη εἴη, οἴκοι ἐθήρα τὰ ἐν τοῖς παραδείσοις
θηρία τρεφόμενα· καὶ οὔτ' αὐτός ποτε πρὶν ἱδρῶσαι

33. ἐπέγνωσαν D. ὑβριστικῷ D.M. 34. διῆκον A.G. ταύτην] ταύτην αὖ A. ταύτην οὖν G., qui hic mg. θήρας ἔπαινος M. ἀρίστην ἄσκησιν] ἀρετὴν A.G. corr. mg. r. αὐτὴ A.G. τοῦ om. A. 36. ἐπικράτησιν A.G. corr. mg. r. πόνους] πρὸς πόνους D. λιμὸν] πρὸς τὸ λιμὸν D. δῖψος G. θάλπει D. pr. ἐνταῦθα] ἔτι τ' αὖ A.G. pr. 37. οὐδὲν A.G. νὶ s. v. r. οὐδὲν erasis 2 litt. L. τοὺς] πάντας τοὺς D. 38. θήρας G. μένειν] μένειν οἴκοι D. δὲ—ἐθήρα] ad hæc D. mg. ead. m. εἴη, etsi non deest in textu.

εἰς κάλλος] I. e. καλῶς. SCHN. Conf. de εἰς sic posito Steph. Thes. v. Εἰς, p. 296 A, B, ubi Aristid. vol. 1, p. 508: Ὅπως εἰς κάλλος βιώσονται, citavimus.

36. ἐγκράτειαν ad προσείθιζε, πόνους—δίψος ad φέρειν referuntur, quo fere modo est 7, 5, 62, φυλάττειν καὶ εἰς θήραν οὐδὲν κακίους. Paullo quidem planior est oratio in D. et constructio ut Plat. Defin. p. 412 A: Ἀνδρεία ἐγκράτεια ψυχῆς πρὸς τὰ δεινά. Sed in eadem prope supervacua πρὸς τὸ et δύνασθαι φέρειν.

38. μένειν] Sic 1, 2, 12.

τὰ ἐν τοῖς παραδείσοις θηρία τρεφόμενα] Anab. 5, 3, 4: Τὸ ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον γενόμενον. Supra 6, 1, 18.

παραδείσοις] V. 1, 3, 14.

πρὶν ἱδρῶσαι] Stob. Fl. 29, 73, tanquam Xenophontis ponit: Κῦρός ἐστι

δεῖπνον ᾑρεῖτο οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλλε·
συμπαρεκάλει δὲ καὶ εἰς ταύτην τὴν θήραν τοὺς περὶ αὐτὸν
39 σκηπτούχους. τοιγαροῦν πολὺ μὲν αὐτὸς διέφερεν ἐν πᾶσι
τοῖς καλοῖς ἔργοις, πολὺ δὲ οἱ περὶ ἐκεῖνον, διὰ τὴν ἀεὶ
μελέτην. παράδειγμα μὲν δὴ τοιόνδε ἑαυτὸν παρείχετο.
πρὸς δὲ τούτῳ καὶ τῶν ἄλλων οὕστινας μάλιστα ὁρῴη τὰ
καλὰ διώκοντας, τούτους καὶ δώροις καὶ ἀρχαῖς καὶ
ἕδραις καὶ πάσαις τιμαῖς ἐγέραιρεν· ὥστε πολλὴν πᾶσι
φιλοτιμίαν ἐνέβαλλεν ὅπως ἕκαστος ἄριστος φανείη τῷ
40 Κύρῳ.

Καταμαθεῖν δὲ τοῦ Κύρου δοκοῦμεν ὡς οὐ τούτῳ μόνῳ [14]
ἐνόμιζε χρῆναι τοὺς ἄρχοντας τῶν ἀρχομένων διαφέρειν
τῷ βελτίονας αὐτῶν εἶναι, ἀλλὰ καὶ καταγοητεύειν ᾤετο
χρῆναι αὐτούς. στολήν τε γοῦν εἵλετο τὴν Μηδικὴν αὐτός
τε φορεῖν καὶ τοὺς κοινῶνας ταύτην ἔπεισεν ἐνδύεσθαι·
αὕτη γὰρ αὐτῷ συγκρύπτειν ἐδόκει εἴ τίς τι ἐν τῷ σώματι
ἐνδεὲς ἔχοι, καὶ καλλίστους καὶ μεγίστους ἐπιδεικνύναι
41 τοὺς φοροῦντας. καὶ γὰρ τὰ ὑποδήματα τοιαῦτα ἔχουσιν
ἐν οἷς μάλιστα λαθεῖν ἔστι καὶ ὑποτιθεμένους τι, ὥστε
δοκεῖν μείζους εἶναι ἢ εἰσι. καὶ ὑποχρίεσθαι δὲ τοὺς
ὀφθαλμοὺς προσίετο, ὡς εὐοφθαλμότεροι φαίνοιντο ἢ
εἰσὶ, καὶ ἐντρίβεσθαι, ὡς εὐχροώτεροι ὁρῷντο ἢ πεφύ-
42 κασιν. ἐμελέτησε δὲ καὶ ὡς μήτε πτύοντες μήτε ἀπο-
μυττόμενοι φανεροὶ εἶεν, μηδὲ μεταστρεφόμενοι ἐπὶ θέαν

δὲ] δὲ καὶ D. ἑαυτὸν D. 39. τοιοῦτον D. τούτοις D. ἐνέβαλεν A. ἄριστος] ὅτι ἄριστος D. φανήσοιτο κύρῳ D. 40. τοῦτο μόνον ἐνόμισε D. κοινῶνας] μουσαφίριδες mg. E. συγκρύπτειν] συγκρύπτειν τε D. 41. λανθάνειν D. εὐοφθ.] Pollux 2, 51. εἰσὶ καὶ] εἰσίν D. 42. ἐμελέτησαν A.G. μὴ πτύοντες D. Aut hoc aut, ut 8, 8, 8, μήτε—μήτε malis, quod restitui pro μηδὲ—μηδέ. Conf. var. scr. 43.

βασιλέως καὶ ἀδελφὸς καὶ υἱὸς καὶ ἄρχει πολλῆς χώρας, κἀκεῖνος οὔτ᾽ ἂν ἀριστήσειεν οὔτε δειπνήσειεν πρὶν ἱδρῶσαι, spectans Œcon. 4, 24.

σκηπτούχους] V. ad 7, 3, 16.

39. ἕδραις] V. 8, 4, 3.

40. Καταμαθεῖν δὲ τοῦ Κύρου] 5, 2, 18: Ἐνενόησε δὲ αὐτῶν καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα. SCHN.

αὐτούς] τοὺς ἀρχομένους. SCHN.

στολήν τε] Respondet s. 41, καὶ ὑποχρίεσθαι δέ.

Μηδικὴν] Idem testatur Herodotus 1, 135, Strabo 11, p. 525. Conf. Ammiani 23, 6. ZEUN.

41. ὑποδήματα τοιαῦτα ἔχουσιν] Strabo 15, p. 734, Persis tribuit ὑπόδημα κοῖλον διπλοῦν. Infra c. 3, 14, Cyrus in pompa major apparet assistente auriga, qui dicitur μείων ἐκείνου εἴτε καὶ τῷ ὄντι εἴτε καὶ ὁπωσοῦν· μείζων δὲ πολὺ Κῦρος. SCHN.

ὑποχρίεσθαι—ἐντρίβεσθαι] V. 1, 3, 2. SCHN.

42. πτύοντες] Conf. supra 1, 2, 16. SCHN.

μηδενὸς, ὡς οὐδὲν θαυμάζοντες. πάντα δὲ ταῦτα ᾤετο
φέρειν τι εἰς τὸ δυσκαταφρονητοτέρους φαίνεσθαι τοῖς
ἀρχομένοις.

43 Οὓς μὲν δὴ ἄρχειν ᾤετο χρῆναι, δι' ἑαυτοῦ οὕτω κατε- [15]
σκεύασε καὶ μελέτῃ καὶ τῷ σεμνῶς προεστάναι αὐτῶν· οὓς
δ' αὖ κατεσκεύαζεν εἰς τὸ δουλεύειν, τούτους οὔτε μελετᾶν
τῶν ἐλευθερίων πόνων οὐδένα παρώρμα οὔθ' ὅπλα κεκτῆ-
σθαι ἐπέτρεπεν· ἐπεμέλετο δὲ ὅπως μήτε ἄσιτοι μήτε ἄπο-
44 τοί ποτε ἔσοιντο ἐλευθερίων ἕνεκα μελετημάτων. καὶ γὰρ
ὁπότε ἐλαύνοιεν τὰ θηρία τοῖς ἱππεῦσιν εἰς τὰ πεδία, φέ-
ρεσθαι σῖτον εἰς θήραν τούτοις ἐπέτρεπε, τῶν δὲ ἐλευθέρων
οὐδενί· καὶ ὁπότε πορεία εἴη, ἦγεν αὐτοὺς πρὸς τὰ ὕδατα
ὥσπερ τὰ ὑποζύγια. καὶ ὁπότε δὲ ὥρα εἴη ἀρίστου, ἀνέμε-
νεν αὐτοὺς ἔστε ἐμφάγοιέν τι, ὡς μὴ βουλιμιῷεν· ὥστε
καὶ οὗτοι αὐτὸν ὥσπερ οἱ ἄριστοι πατέρα ἐκάλουν, ὅτι
ἐπεμέλετο αὐτῶν ὅπως ἀναμφιλόγως ἀεὶ ἀνδράποδα δια-
τελοῖεν.

45 Τῇ μὲν δὴ ὅλῃ Περσῶν ἀρχῇ οὕτω τὴν ἀσφάλειαν [16]
κατεσκεύαζεν. ἑαυτῷ δὲ ὅτι μὲν οὐχ ὑπὸ τῶν καταστρα-
φέντων κίνδυνος εἴη παθεῖν τι ἰσχυρῶς ἐθάρρει· καὶ γὰρ
ἀνάλκιδας ἡγεῖτο εἶναι αὐτοὺς καὶ ἀσυντάκτους ὄντας
ἑώρα, καὶ πρὸς τούτοις οὐδ' ἐπλησίαζε τούτων οὐδεὶς αὐτῷ

τι] τε A.G. pr. 43. καὶ μελέτῃ καὶ] καὶ μεμελέτηται, ut videtur, D. mg. r. κατεσκεύασεν D. οὔτε] οὐδὲ G. ἐπεμελεῖτο A.G. ὅπως] ὅμως G. corr. s. v. r. μήτε—μήτε] μὴ—μηδὲ D. 44. ὁπόταν A.G. θήραν] τὴν θήραν D. ἐλευθερίων D. πρὸς] εἰς G. ὁπότε δὲ] ὁπότε D. πολέμου ante ἀρίστου delet D. ἔστε G. ἀναμφιλόγως] ἀναμφιβόλως M. 45. οὕτως A. κατεσκεύασεν A.D. αὐτῷ D. ἂν ante ἀνάλκιδας delet D. εἶναι ἡγεῖτο D. ὄντας om. D. οὐδὲν A. αὐτῶν A.

φέρειν] Comment. 4, 2, 31: *Ποτὰ καὶ βρωτὰ τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα ἀγαθὰ, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά.*

43. *ἄρχειν δι' ἑαυτοῦ, οὕτω*] Quid significat *δι' ἑαυτοῦ*? *ejus vice? per eum?* Ita potius dicendum fuisset *δι' ὧν μὲν δὴ ἄρχειν ᾤετο χρῆναι.* Itaque monente Fischero incisum removi et post *χρῆναι* posui. Ipse suo exemplo et exercitatione et modo imperandi eos assuefecit imperio et artes imperandi docuit. SCHN.

44. *ἔστε ἐμφάγοιέν τι*] Idem verbum cum celeritatis nota adhibet supra 7, 1, 1, Hist. Gr. 4, 5, 8, Anab. 4, 2, 1; 5, 7. SCHN.

πατέρα] Testatur Herodotus 3, 89, ubi v. Valck., Themistius Or. 19, p. 233, Julian. Orat. 1, p. 9, ubi v. Spanhem., quos citat Hutch. Sequentia sunt ex judicio Xenophontis, non Persarum interpretanda. SCHN. Delet Cobet. Var. Lect. p. 65. *Ἀναμφιλόγως* incertum an ex hoc loco tanquam Xenophonteum citat Pollux 2, 122. Est idem in Œcon. et Ages.

ἀσυντάκτους] Ipse deinceps interpretatur per opposita *ὡπλισμένους καὶ ἀθρόους ὄντας.* SCHN.

46 οὔτε νυκτὸς οὔτε ἡμέρας. οὓς δὲ κρατίστους τε ἡγεῖτο καὶ ὡπλισμένους καὶ ἀθρόους ὄντας ἑώρα, καὶ τοὺς μὲν αὐτῶν ἱππέων ἡγεμόνας ὄντας, τοὺς δὲ πεζῶν· πολλοὺς δὲ αὐτῶν καὶ φρονήματα ἔχοντας ᾐσθάνετο ὡς ἱκανοὺς ὄντας ἄρχειν· καὶ τοῖς φύλαξι δὲ αὐτοῦ οὗτοι μάλιστα ἐπλησίαζον, καὶ αὐτῷ δὲ τῷ Κύρῳ τούτων πολλοὶ πολλάκις συνεμίγνυσαν· ἀνάγκη γὰρ ἦν, εἴ τι καὶ χρῆσθαι ἔμελλεν αὐτοῖς· ὑπὸ τούτων οὖν καὶ κίνδυνος ἦν αὐτὸν μάλιστα
47 παθεῖν τι κατὰ πολλοὺς τρόπους. σκοπῶν οὖν ὅπως ἂν αὐτῷ καὶ τὰ ἀπὸ τούτων ἀκίνδυνα γένοιτο, τὸ μὲν περιελέσθαι αὐτῶν τὰ ὅπλα καὶ ἀπολέμους ποιῆσαι ἀπεδοκίμασε, καὶ ἄδικον ἡγούμενος καὶ κατάλυσιν τῆς ἀρχῆς ταύτην νομίζων· τὸ δ' αὖ μὴ προσίεσθαι αὐτοὺς καὶ τὸ
48 ἀπιστοῦντα φανερὸν εἶναι ἀρχὴν ἡγήσατο πολέμου· ἓν δὲ ἀντὶ πάντων τούτων ἔγνω καὶ κράτιστον εἶναι πρὸς τὴν ἑαυτοῦ ἀσφάλειαν καὶ κάλλιστον, εἰ δύναιτο ποιῆσαι τοὺς κρατίστους ἑαυτῷ μᾶλλον φίλους ἢ ἀλλήλοις. ὡς οὖν ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι.

ΚΕΦ. Β.

Πρῶτον μὲν γὰρ διὰ παντὸς ἀεὶ τοῦ χρόνου φιλανθρωπίαν τῆς ψυχῆς ὡς ἐδύνατο μάλιστα ἐνεφάνιζεν, ἡγούμενος, ὥσπερ οὐ ῥᾴδιόν ἐστι φιλεῖν τοὺς μισεῖν δοκοῦντας οὐδ' εὐνοεῖν τοῖς κακόνοις, οὕτω καὶ τοὺς γνωσθέντας ὡς φιλοῦσι καὶ εὐνοοῦσιν, οὐκ ἂν δύνασθαι μισεῖσθαι ὑπὸ
2 τῶν φιλεῖσθαι ἡγουμένων. ἕως μὲν οὖν χρήμασιν ἀδυνατώτερος ἦν εὐεργετεῖν, τῷ τε προνοεῖν τῶν συνόντων καὶ τῷ προπονεῖν καὶ τῷ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμενος δ' ἐπὶ τοῖς κακοῖς, τούτοις

46. τε om. D. in ras. L. ᾔδει post αὐτῶν om. A.G. s. v. r. ἤδη M. δὲ αὐτοῦ οὗτοι] δ' αὐτοῦ· οὗτοι γὰρ D. εἴ] ὅ D.G. s. v. r. καὶ χρῆσθαι] κεχρῆσθαι D. ἔμελ˜ D. αὐτῷ D. παθεῖν τι κατὰ om. D. 47. σκοπεῖν ὅπως D. τὸ μὲν γὰρ παρελέσθαι D. ποιῆσαι] τὰ ὅπλα post hoc punctis notat G. πολέμου] ἀντὶ πολέμου A.G. 48. φιλεῖσθαι] φείδεσθαι D. ἡμῖν δοκεῖ D. 1. γὰρ om. D. ἠδύνατο A.G. ἐννοεῖν fortasse G. pr., qui hic mg. r. ὡραῖον ὧδε. κακόνοις E.Q. κακονόοις A.D.G. οὕτως D. μισεῖσθαι] σεῖ in ras. G. 2. τὸ προνοεῖν—καὶ τὸ προπονεῖν D.

46. οὓς] Respondet ὑπὸ τούτων. ἑώρα, referenda καὶ—ὄντας. Deleto ᾔδει ad prius ὄντας, non ad

1. κακόνοις] V. ad 6,4,15. H.Gr. 2,1,2.

ἐπειρᾶτο θηρεύειν· ἐπειδὴ δὲ ἐγένετο αὐτῷ ὥστε χρήμασιν [2]
εὐεργετεῖν, δοκεῖ ἡμῖν γνῶναι πρῶτον μὲν ὡς εὐεργέτημα
ἀνθρώποις πρὸς ἀλλήλους οὐδέν ἐστιν ἀπὸ τῆς αὐτῆς
δαπάνης ἐπιχαριτώτερον ἢ σίτων καὶ ποτῶν μετάδοσις·
3 τοῦτο δ' οὕτω νομίσας πρῶτον μὲν ἐπὶ τὴν αὑτοῦ τράπε-
ζαν συνέταξεν ὅπως οἷς αὐτὸς σιτοῖτο σίτοις, τούτοις
ὅμοια ἀεὶ παρατίθοιτο αὐτῷ ἱκανὰ παμπόλλοις ἀνθρώποις·
ὅσα δὲ παρατεθείη, ταῦτα πάντα, πλὴν οἷς αὐτὸς καὶ οἱ
σύνδειπνοι χρήσαιντο, διεδίδου οἷς βούλοιτο τῶν φίλων
μνήμην ἐνδείκνυσθαι ἢ φιλοφροσύνην. διέπεμπε δὲ καὶ
τούτοις οὓς ἀγασθείη ἢ ἐν φυλακαῖς ἢ ἐν θεραπείαις ἢ ἐν
αἱστισινοῦν πράξεσιν, ἐνσημαινόμενος τοῦτο ὅτι οὐκ ἂν
4 λανθάνοιεν χαρίζεσθαι βουλόμενοι. ἐτίμα δὲ καὶ τῶν οἰκε- [3]
τῶν ἀπὸ τῆς τραπέζης ὁπότε τινὰ ἐπαινέσειε· καὶ τὸν
πάντα δὲ σῖτον τῶν οἰκετῶν ἐπὶ τὴν αὑτοῦ τράπεζαν ἐπε-
τίθετο, οἰόμενος ὥσπερ καὶ τοῖς κυσὶν ἐμποιεῖν τινα καὶ
τοῦτο εὔνοιαν. εἰ δὲ καὶ θεραπεύεσθαί τινα βούλοιτο τῶν
φίλων ὑπὸ πολλῶν, καὶ τούτοις ἔπεμπεν ἀπὸ τραπέζης·
καὶ νῦν γὰρ ἔτι οἷς ἂν ὁρῶσι πεμπόμενα ἀπὸ τῆς βασιλέως
τραπέζης, τούτους πάντες θεραπεύουσι μᾶλλον, νομίζοντες
αὐτοὺς ἐντίμους εἶναι καὶ ἱκανοὺς διαπράττειν, ἤν τι δέων-

θηρεύειν] τὴν φιλίαν add. D. 3. οὕτως D. αὐτοῦ A.G. αὐτὸς] αὐτοῖς A.G. pr. οἷς] οἷς ἂν A.E.G.M.V. οἷς δὴ D. βούλοιντο A.G. οὓς] οἷς G. αἱστισινοῦν] ἄλλαις τισὶ D. οὐκ ἂν] οὐχὶ D. 4. τῆς om. D. αὐτοῦ A.D. καὶ τοῖς—τινα om. D. κυσὶν] παι s. κυ r. G. βούλοιτό τινας D. βασιλέων G. τούτους] τούτοις G. pr. μᾶλλον θ. D.

2. θηρεύειν] Sæpe Xenophon θηρᾶν etc. de capiendis et deliniendis hominibus dixit, ut nihil opus sit correctoris additamento τὴν φιλίαν.

3. ἐπὶ τὴν αὑτοῦ τράπεζαν—παρατίθοιτο] Eadem locutio Anab. 4, 5, 31.

διεδίδου] Plut. Symp. 7, 4, p. 703 E: Τοὺς Περσῶν βασιλεῖς φασιν οὐ μόνον φίλοις καὶ ἡγεμόσι καὶ σωματοφύλαξιν ἀποπέμπειν ἀεὶ μερίδας, ἀλλὰ καὶ τὸ δούλων καὶ τὸ τῶν κυνῶν ἀεὶ δεῖπνον ἐπὶ τῆς ἐκείνων προτίθεσθαι τραπέζης.—ἡμεροῦνται γὰρ τῇ τῆς τροφῆς μεταδόσει καὶ τὰ σκυθρωπότατα τῶν θηρίων. Heraclides ap. Athen. 2, p. 48 E. ZEUN. Conf. infra 8, 4, 6, Anab. 1, 9, 25 s.

οἷς] Delere malui ἂν, de quo v. ad 7, 5, 49, quod cum δὴ, ut sæpe, confusum videtur in D., quam ἀεὶ asciscere ex Juntina, quod cum δὴ confusum in D. infra 8, 3, 50.

4. ὥσπερ καὶ τοῖς κυσὶν] Similes comparationes notavi ad Anab. 7, 2, 33, et supra 7, 5, 11, ubi præter hunc locum add. Cyr. 8, 1, 44. H. Gr. 3, 2, 20: Ὥσπερ ὑπὸ ἑσμοῦ μελιττῶν ὁ ἡγεμών.

ἔπεμπεν ἀπὸ τραπέζης] Cum articulo paullo ante, ubi omittit D., et infra 8, 4, 7. Qui nisi excidit, dicitur ut ἐπὶ τραπέζῃ, inter mensam, qua de formula v. Thes. Steph.

καὶ νῦν γὰρ ἔτι] Hodie quoque summi favoris testimonium haberi sicui rex bibendum dederit quod ipse gustaverit narrat Morier *A second Journey through Persia*, p. 387.

ται. ἔτι δὲ καὶ οὐ τούτων μόνον ἕνεκα τῶν εἰρημένων εὐφραίνει τὰ πεμπόμενα παρὰ βασιλέως, ἀλλὰ τῷ ὄντι καὶ ἡδονῇ πολὺ διαφέρει τὰ ἀπὸ τῆς βασιλέως τραπέζης. καὶ [4]
τοῦτο μέντοι οὕτως ἔχειν οὐδέν τι θαυμαστόν· ὥσπερ γὰρ καὶ αἱ ἄλλαι τέχναι διαφερόντως ἐν ταῖς μεγάλαις πόλεσιν ἐξειργασμέναι εἰσὶ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ παρὰ βασιλεῖ σῖτα πολὺ διαφερόντως ἐκπεπόνηται. ἐν μὲν γὰρ ταῖς μικραῖς πόλεσιν οἱ αὐτοὶ ποιοῦσι κλίνην, θύραν, ἄροτρον, τράπεζαν, πολλάκις δ' ὁ αὐτὸς οὗτος καὶ οἰκοδομεῖ, καὶ ἀγαπᾷ ἢν καὶ οὕτως ἱκανοὺς αὐτὸν τρέφειν ἐργοδότας λαμβάνῃ· ἀδύνατον οὖν πολλὰ τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν. ἐν δὲ ταῖς μεγάλαις πόλεσι διὰ τὸ πολλοὺς ἑκάστου δεῖσθαι ἀρκεῖ καὶ μία ἑκάστῳ τέχνη εἰς τὸ τρέφεσθαι· πολλάκις δὲ οὐδ' ὅλη μία· ἀλλ' ὑποδήματα ποιεῖ ὁ μὲν ἀνδρεῖα, ὁ δὲ γυναικεῖα· ἔστι δὲ ἔνθα καὶ ὑποδήματα ὁ μὲν νευρορραφῶν μόνον τρέφεται, ὁ δὲ σχίζων,

μόνων G. πολὺ] πάνυ D. 5. μέντο D. αἱ om. A.G. μικραῖς] αὐταῖς A.G. pr. κλίνην, θύραν] θύραν, καινὴν, ut videtur, D. pr., qui corr. καιʋννιν. οἰκονομεῖ A.G. corr. s. v. r. λαμβάνει D.L. pr., ut videtur. ἅπαντα D. ἀρκεῖ ἑκάστῳ μία D. ποιεῖν G. ἔστι δ' ἔνθα ὑπόδημα—σχίζων Pollux 7, 81. μὲν] μὲν δὴ D. εὐροιραφῶν A. νευροραφῶν D.G.

ἡδονῇ] De sapore jucundo etiam Anab. 2, 3, 16, τὴν ἰδιότητα τῆς ἡδονῆς.

5. καὶ αἱ ἄλλαι τέχναι] V. ad 7, 5, 75.

ἐργοδότας] E Xenophonte citat Pollux 7, 182, quod Phrynichus Ecl. p. 344 οὐ κεῖσθαι dicit. Recentiorum exempla nonnulla v. ap. Lobeck. et in Thes. Steph.

νευρορραφῶν] Simplex ρ etiam apud Pollucem 7, 81, 154, nunc mutatum in duplex, ut apud Aristophanem et Platonem. Simplex in talibus, ut supra in τετράρρυμος et ὀκτάρρυμος, frequens in libris et inscriptionibus (v. ad Hist. Gr. 1, 6, 19), probante Dawesio Misc. p. 288, qui duplicis ρ usum recentiorum imperitiæ tribuit, nescientium ρ simplicis apud Atticos præcedentem syllabam producendi vim.

σχίζων, ὁ δὲ χιτῶνας—συντέμνων] Diversum est σχίζειν a συντέμνειν, et significat aliquid artificii in calceis usurpatum; unde σχισταὶ dicuntur calcei muliebris genus. Ἀργείας σχιστὰς ex Eupolide commemoravit Ammonius. Conf. Pollux 5, 87. Quod sequitur χιτῶνας συντέμνων, vix alio potest quam ad eundem calceorum fabricatorem referri, ut recte vidit et monuit H. Stephanus, cui vocabulum χιτῶνας fuit suspectum, quod Fischerus auctore Casaubono ad Trebell. Pollion. p. 210, ed. Paris. obstragula calceorum interpretatur. Sed ipsum vocabulum *obstragulis* apud Plinium 9, 35, dubiæ est significationis. Vocabulum χιτὼν pro parte calcei nominatur ab Aristotele Rhet. 2, 19, 10: Εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν γενέσθαι δύναται, καὶ ὑποδήματα δύναται· καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτών. quo in loco incredibilis audacia fuit nuperi editoris ὑπενδύματα reponentis, cum nesciret partes calceorum esse, quas ille vestimentorum existimavit. Πρόσχημα ibi dant edd. veteres, ut in

ὁ δὲ χιτῶνας μόνον συντέμνων, ὁ δέ γε τούτων οὐδὲν
ποιῶν, ἀλλὰ συντιθεὶς ταῦτα. ἀνάγκη οὖν τὸν ἐν βραχυ-
τάτῳ διατρίβοντα τοῦτον καὶ ἄριστα διηναγκάσθαι τοῦ-
6 το ποιεῖν. τὸ αὐτὸ δὲ τοῦτο πέπονθε καὶ τὰ ἀμφὶ τὴν [5]
δίαιταν. ᾧ μὲν γὰρ ὁ αὐτὸς κλίνην στρώννυσι, τράπεζαν
κοσμεῖ, μάττει, ὄψα ἄλλοτε ἀλλοῖα ποιεῖ, ἀνάγκη, οἶμαι,
τούτῳ, ὡς ἂν ἕκαστον προχωρῇ, οὕτως ἔχειν· ὅπου δὲ
ἱκανὸν ἔργον ἑνὶ ἕψειν κρέα, ἄλλῳ ὀπτᾶν, ἄλλῳ δὲ ἰχθῦν
ἕψειν, ἄλλῳ ὀπτᾶν, ἄλλῳ ἄρτους ποιεῖν, καὶ μηδὲ τούτους
παντοδαποὺς, ἀλλ' ἀρκεῖ ἐὰν ἓν εἶδος εὐδοκιμοῦν παράσχῃ,
ἀνάγκη, οἶμαι, ταῦτα οὕτω ποιούμενα πολὺ διαφερόντως
ἐξειργάσθαι ἕκαστον.

διατρ.] ἔργῳ add. D.G. mg. r. τοῦτον] τούτων D. corr. καὶ ἄριστα] ἄριστα D. διηναγκάσθαι τοῦτο ποιεῖν] διενέγκασθαι D. ποιεῖν τοῦτο G.M. 6. ὁ om. L. μάττει] μάττει, πέττει D. ἀλλοῖα] ἄλλα D. τούτῳ] τούτων G. pr. ἑνὶ] ἓν G. corr. mg. r. ἑψεῖν D. ἄλλῳ δὲ—ὀπτᾶν om. D. ἰχθὺν D. ἐὰν] ἂν A.G. παρέχῃ D. ταῦτα] καὶ ταῦτα D. οὕτως D. ἐξεργάσασθαι D.

Probl. 30, 8, quem locum jam Victorius laudaverat et emendaverat. Ibi est: Οἷον ἡ σκυτικὴ ὑπόδημα ἐκ προσχίσματος. Hesychius προσχίσματα (vulgo est προσχήματα) interpretatur εἶδος ὑποδήματος ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν. Photii Lexicon eandem interpretationem auctoritate Aristophanis firmare conatur. Pollux 7, 91: Ὑπόσχισμα ἀνδρεῖον ὑπόδημα μάλα εὐτελὲς ait esse, καὶ πρόσχισμα (editur πρόσχημα) πρεσβυτικόν. De interpretatione merito dubitamus propter gravissimam Aristotelis auctoritatem, qui cujusvis calcei partem facit πρόσχισμα. Sed in speciebus diversis potuerunt esse varietates, quas signarunt vocabula περισχιδὴς, λεπτοσχιδὴς, πολυσχιδής. Ita Hesychius περισχιδεῖς εἶδος ὑποδήματος εὐτελὲς interpretatur; sed inter lautiores calceos sunt, et quidem sacerdotum apud Ephippum Athenæi 12, p. 537, σανδάλια λεπτοσχιδῆ Cephisodori apud Pollucem 7, 87, πολυσχιδῆ Hippiæ Erythræi apud Athenæum 6, p. 259. [Galen. vol. 12, p. 435: Ἐσφίγχθαι δ' ἀδύνατον (τὸ ὑπόδημα) μὴ πολυσχιδὲς γενόμενον. Et ibidem ubi Getica describit: Ἔστι δ' ἱκανῶς ὑπ' αὐτοῦ πολυσχιδές τι δέρμα καθ' ἑκάτερον τὸ μέρος ἀριστερόν τε καὶ δεξιὸν ἴσον ἐντεταμένον. L. D.] Verbum *συντέμνειν* interpretantur vulgo *concidere ad tunicas conficiendas.* Significat quidem concidere, dividere, in Platonis Politico §. 5, plerumque tamen præcidere et in brevius contrahere, breviter dicere. De vestibus quidem et tunicis recte hic usurpari non potuit. Nam vestes, togæ et tunicæ perfectæ e tela descendebant, nisi quod ῥαφῇ aut πόρπῃ conjungebantur aut connectebantur. Nostrum morem vestium ex concisis pannis conficiendarum veteribus nemo peritus assignabit. SCHN.

ταῦτα] Intellige singulas calceorum partes antea nominatas. SCHN.

ἀνάγκη — διηναγκάσθαι] Abundantius dictum ut προσήκει δεῖν, ἀνάγκη δεῖν et similia. Plato Criton. p. 51 D: Ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ—ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βούληται. Verbo non alibi usus est Xenophon, sed Plato aliquoties.

ἐν βραχυτάτῳ] Aliter supra 1, 2, 15: Νῦν ἐν βραχυτάτῳ ἂν δηλωθείη. Sed nihil ne hic quidem opus est substantivo Thuc. 1, 140: Περὶ βραχέος πολεμεῖν.

6. παντοδαποὺς] V. de variis ἄρτοις Pollux 6, 32, 33. Anab. 4, 5, 31; 7, 3, 21.

7 Τῇ μὲν δὴ τῶν σίτων θεραπείᾳ τοιαῦτα ποιῶν πολὺ
ὑπερεβάλλετο πάντας· ὡς δὲ καὶ τοῖς ἄλλοις πᾶσι θερα- [6]
πεύων πολὺ ἐκράτει, τοῦτο νῦν διηγήσομαι· πολὺ γὰρ
διενεγκὼν ἀνθρώπων τῷ πλείστας προσόδους λαμβάνειν
πολὺ ἔτι πλέον διήνεγκε τῷ πλεῖστα ἀνθρώπων δωρεῖσθαι.
κατῆρξε μὲν οὖν τούτου Κῦρος, διαμένει δ' ἔτι καὶ νῦν
8 τοῖς βασιλεῦσιν ἡ πολυδωρία. τίνι μὲν γὰρ φίλοι πλου-
σιώτεροι ὄντες φανεροὶ ἢ Περσῶν βασιλεῖ; τίς δὲ κοσμῶν
κάλλιον φαίνεται στολαῖς τοὺς περὶ αὐτὸν ἢ βασιλεύς;
τίνος δὲ δῶρα γιγνώσκεται ὥσπερ ἔνια τῶν βασιλέως,
ψέλια καὶ στρεπτοὶ καὶ ἵπποι χρυσοχάλινοι; οὐ γὰρ δὴ
9 ἔξεστιν ἐκεῖ ταῦτα ἔχειν ᾧ ἂν μὴ βασιλεὺς δῷ. τίς δ'
ἄλλος λέγεται δώρων μεγέθει ποιεῖν αἱρεῖσθαι αὐτὸν καὶ
ἀντ' ἀδελφῶν καὶ ἀντὶ πατέρων καὶ ἀντὶ παίδων; τίς δ'
ἄλλος ἐδυνάσθη ἐχθροὺς ἀπέχοντας πολλῶν μηνῶν ὁδὸν
τιμωρεῖσθαι ὡς Περσῶν βασιλεύς; τίς δ' ἄλλος κατα-
στρεψάμενος ἀρχὴν ὑπὸ τῶν ἀρχομένων πατὴρ καλούμενος
ἀπέθανεν ἢ Κῦρος; τοῦτο δὲ τοὔνομα δῆλον ὅτι εὐεργε-
10 τοῦντός ἐστι μᾶλλον ἢ ἀφαιρουμένου. κατεμάθομεν δὲ ὡς [7]
καὶ τοὺς βασιλέως καλουμένους ὀφθαλμοὺς καὶ τὰ βασι-
λέως ὦτα οὐκ ἄλλως ἐκτήσατο ἢ τῷ δωρεῖσθαί τε καὶ
τιμᾶν· τοὺς γὰρ ἀπαγγείλαντας ὅσα καιρὸς αὐτῷ εἴη
πεπύσθαι μεγάλως εὐεργετῶν πολλοὺς ἐποίησεν ἀνθρώ-
πους καὶ ὠτακουστεῖν καὶ διοπτεύειν τί ἂν ἀγγείλαντες
11 ὠφελήσειαν βασιλέα. ἐκ τούτου δὴ καὶ πολλοὶ ἐνομίσθη-

7. γὰρ] γὰρ δὴ D. ἔτι] ἐπὶ A. 8. φίλοι πλείους ἢ τῷ περσῶν β. et κοσμῶν φαίνεται ἀεὶ τοὺς Alexander Walz. Rhett. vol. 8, p. 473, 9, citans τίνι —βασιλέως. αὐτὸν A.D.G. αὐτὸν μᾶλλον ἢ ὁ β. Alexander. τίνος] τὰ τίνος D. γινώσκεται μᾶλλον ἢ τὰ βασιλέως Alex. ψέλλια G. 9. αὐτὸν] ἑαυτὸν D. καὶ ante αὐτὸν add. A. punctis notat G. et post αὐτὸν s. v. r. ἠδυνήθη H. μηνῶν] ἡμερῶν H. 10. κατέμαθον D. ἄλλως] ῳ s. v. r. G. διοπτεύειν] κατοπτεύειν D.G. s. v. r. ἂν om. A.G. s. v. r. ἀπαγγείλαντες D. ὠφελήσειεν A.

8. τῶν βασιλέως] Conf. Anab. 1, 2, 27. SCHN.

ᾧ ἂν μὴ βασιλεὺς δῷ] Procopius Pers. 1, 17, p. 49 D: Ἐνταῦθα γὰρ οὔτε δακτυλίῳ χρυσῷ οὔτε ζώνῃ οὔτε περόνῃ χρῆσθαι οὔτε ἄλλῳ ὁτῳοῦν θέμις, ὅτι μὴ ἐκ βασιλέως ἀξιωθέντι. ZEUN.

9. πατὴρ] V. ad 8, 1, 44.

10. ὀφθαλμοὺς—ὦτα] Suidas: Ὀφθαλμὸς βασιλέως ἀντὶ τοῦ μέγα δυνάμενος παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ, ὡς βασιλέως ὦτα τοὺς ὠτακουστὰς, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ. Non dissimilem vocabulo ὀφθαλμὸς usum hodierni ejusdem significationis v. apud Olivier. *Voyage dans l'Empire Othoman*, vol. 1, p. 311.

σαν βασιλέως ὀφθαλμοὶ καὶ πολλὰ ὦτα. εἰ δέ τις οἴεται
ἕνα αἱρετὸν εἶναι ὀφθαλμὸν βασιλεῖ, οὐκ ὀρθῶς οἴεται·
ὀλίγα γὰρ εἷς γ' ἂν ἴδοι καὶ εἷς ἀκούσειε· καὶ τοῖς ἄλ-
λοις ὥσπερ ἀμελεῖν ἂν παραγγελλόμενον εἴη, εἰ ἑνὶ τοῦτο
προστεταγμένον εἴη· πρὸς δὲ καὶ ὅντινα γιγνώσκοιεν
ὀφθαλμὸν ὄντα, τοῦτον ἂν εἰδεῖεν ὅτι φυλάττεσθαι δεῖ.
ἀλλ' οὐχ οὕτως ἔχει, ἀλλὰ τοῦ φάσκοντος ἀκοῦσαί τι ἢ
12 ἰδεῖν ἄξιον ἐπιμελείας παντὸς βασιλεὺς ἀκούει. οὕτω δὴ
πολλὰ μὲν βασιλέως ὦτα, πολλοὶ δ' ὀφθαλμοὶ νομίζονται·
καὶ φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ,
ὥσπερ αὐτοῦ ἀκούοντος, καὶ ποιεῖν ἃ μὴ σύμφορα, ὥσπερ
αὐτοῦ παρόντος. οὔκουν ὅπως μνησθῆναι ἄν τις ἐτόλμησε
πρός τινα περὶ Κύρου φλαῦρόν τι, ἀλλ' ὡς ἐν ὀφθαλμοῖς
πᾶσι καὶ ὠσὶ βασιλέως τοῖς ἀεὶ παροῦσιν οὕτως ἕκαστος
διέκειτο. τοῦ δὲ οὕτω διακεῖσθαι τοὺς ἀνθρώπους πρὸς αὐ-
τὸν ἐγὼ μὲν οὐκ οἶδα ὅ τι ἄν τις αἰτιάσαιτο μᾶλλον ἢ ὅτι
μεγάλα ἤθελεν ἀντὶ μικρῶν εὐεργετεῖν.
13 Καὶ τὸ μὲν δὴ μεγέθει δώρων ὑπερβάλλειν πλουσιώ- [8]
τατον ὄντα οὐ θαυμαστόν· τὸ δὲ τῇ θεραπείᾳ καὶ τῇ ἐπι-
μελείᾳ τῶν φίλων βασιλεύοντα περιγίγνεσθαι, τοῦτο ἀξιο-
λογώτερον. ἐκεῖνος τοίνυν λέγεται κατάδηλος εἶναι μηδενὶ
14 ἂν οὕτως αἰσχυνθεὶς ἡττώμενος ὡς φίλων θεραπείᾳ· καὶ

11. τινες ᾤοντο—οἴονται D. παραγγελόμενον D. εἰ—εἴη om. A.G. mg. r. τοῦτο] τούτῳ G. εἰδεῖεν] ἴδοιεν D. πάντως D. 12. οὕτως A. πολλοὶ μὲν βασιλέως ὀφθαλμοὶ, πολλὰ δὲ βασιλέως ὦτα νομίζεται D. λέγειν] λέγειν τε D. ἃ μὴ om. D. τοῦ δὲ] τὸ δ' D. οὕτως A. οἶδα] οἶμαι D. 13. τὸ] τῷ A.G. ὑπερβαλέσθαι D. τὸ δὲ τῇ] τῇ A. τῇ δὲ G. κατάδηλος] κατάλληλος A.G. pr. πᾶσι κατάδηλος D. 14. καὶ om. D.

11. *ἕνα αἱρετὸν*] Locos scriptorum posuit Brissonius p. 126. Conf. infra 8, 6, 16. SCHN. *Αἱρετὸν* autem significat *electum*.

παντὸς ἀκούει] Conf. Themist. Or. 1, p. 17 C. ZEUN.

παραγγελλόμενον] Præstat fortasse *παρηγγελμένον*, ut Diodori 11, 4, *κατεπηγγελμένοι δ' ἦσαν* restitui pro *κατεπαγγελόμενοι*, et *προσταττόμενον* hic præbet E. pro sequenti *προστεταγμένον*, sive hæc sunt Xenophontis et propter duplex *εἴη* neglecta in melioribus, ut alia s. 14 et alibi, sive ad explicanda quæ præcesserunt ascripta.

12. *τοῦ δὲ οὕτω διακεῖσθαι—αἰτιάσαιτο*] Exempla hujus structuræ sunt in Ages. 1, 33, Œcon. 3, 11. Tamen in Hist. Gr. 7, 5, 12, est *τό γε μὴν ἐντεῦθεν γενόμενον ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι*. SCHN.

τὸ μὲν—ὑπερβάλλειν—οὐ θαυμαστὸν] Anab. 1, 9, 24: *Καὶ τὸ μὲν τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα οὐδὲν θαυμαστὸν, ἐπειδή γε καὶ δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα μᾶλλον ἔμοιγε δοκεῖ ἀγαστὰ εἶναι*. SCHN.

λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται ὡς λέγοι παραπλήσια
ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ βασιλέως ἀγαθοῦ· τόν τε
γὰρ νομέα χρῆναι ἔφη εὐδαίμονα τὰ κτήνη ποιοῦντα χρῆ-
σθαι αὐτοῖς, ᾗ δὴ προβάτων εὐδαιμονία, τόν τε βασιλέα
ὡσαύτως εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα χρῆ-
σθαι αὐτοῖς. οὐδὲν οὖν θαυμαστὸν, εἴπερ ταύτην εἶχε τὴν
γνώμην, τὸ φιλονείκως ἔχειν πάντων ἀνθρώπων θεραπείᾳ
15 περιγίγνεσθαι. καλὸν δ' ἐπίδειγμα καὶ τοῦτο λέγεται [9]
Κῦρος ἐπιδεῖξαι Κροίσῳ, ὅτε ἐνουθέτει αὐτὸν ὡς διὰ τὸ
πολλὰ διδόναι πένης ἔσοιτο, ἐξὸν αὐτῷ θησαυροὺς χρυσοῦ
πλείστους ἑνί γε ἀνδρὶ ἐν τῷ οἴκῳ καταθέσθαι· καὶ τὸν
Κῦρον λέγεται ἐρέσθαι, Καὶ πόσα ἂν ἤδη οἴει μοι χρή-
ματα εἶναι, εἰ συνέλεγον χρυσίον ὥσπερ σὺ κελεύεις ἐξ
16 ὅτου ἐν τῇ ἀρχῇ εἰμι; καὶ τὸν Κροῖσον εἰπεῖν πολύν τινα
ἀριθμόν. καὶ τὸν Κῦρον πρὸς ταῦτα, Ἄγε δή, φάναι,
ὦ Κροῖσε, σύμπεμψον ἄνδρα σὺν Ὑστάσπᾳ τούτῳ ὅτῳ
σὺ πιστεύεις μάλιστα. σὺ δέ, ὦ Ὑστάσπα, ἔφη, περιελ-
θὼν πρὸς τοὺς φίλους λέγε αὐτοῖς ὅτι δέομαι χρυσίου
πρὸς πρᾶξίν τινα· καὶ γὰρ τῷ ὄντι προσδέομαι· καὶ κέλευε
αὐτοὺς ὁπόσα ἕκαστος δύναιτο πορίσαι μοι χρήματα·
γράψαντας δὲ καὶ κατασημηναμένους δοῦναι τὴν ἐπιστολὴν
17 τῷ Κροίσου θεράποντι φέρειν. ταῦτα δὲ ὅσα ἔλεγε καὶ [10]
γράψας καὶ σημηνάμενος ἐδίδου τῷ Ὑστάσπᾳ φέρειν
πρὸς τοὺς φίλους· ἐνέγραψε δὲ πρὸς πάντας καὶ Ὑστά-

λέγοι] δέ τοι A.G. pr. καὶ ante παραπλ. punctis notat G. καὶ β. ἀγ. om. A.G. mg. r. χρῆναι] χρῆναι ἄρα D. Stob. Fl. 48, 60, citans καὶ λόγος δὲ —ἀνθρώπους ποιοῦντα χρῆσθαι αὐτοῖς. ποιοῦντα τὰ κτήνη Stob. ἤδη προβάτων A. ἤδη προβάτοις G. corr. mg. r. ἤδη etiam Stob. et qui προβάτων εὐδαιμονία omittens εὐτραφῆ pro εὐδαίμονα ponit Zonaras. ὡς αὔτως D. εἶχε] ἔχει A.G. θ. πάντων ἀ. D. 15. τὸ] τὰ A. αὐτῷ] αὖ τοὺς A.G. pr. οἴει ἤδη D. ὅσου A.G. pr. 16. καὶ τὸν] τὸν δὲ D. σύμπεμψον] σὺ πέμψον D. σύμπεψον G. corr. s. v. r. τούτῳ om. L., σὺ M. περιελθὼν] ἔφατο ἄρα ἐλθὼν D. δέομαι] προσδεήσομαι D. αὐτοῖς D. corr. ὁπόσα] Libri et Zonaras ὁπόσα ἄν. δύναιτο] δύνηται H.Q. δὲ addit Aldina. om. A.D.G. 17. ταῦτα—φέρειν D. mg. ead., ut videtur, manu. προσενέγραφε D.

14. λόγος—ὡς λέγοι] Anab. 1, 9, 11: *Εὐχήν τινες αὐτοῦ ἐξέφερον ὡς εὔχοιτο.*

ᾗ δὴ προβάτων εὐδαιμονία, quæ Zonaras ex parte omittit, Schneiderus aptiora putabat post *εὐδαίμονα* posita. V. ad 2, 2, 13.

16. *ὁπόσα ἕκαστος δύναιτο*] Malui delere *ἄν*, de quo sæpissime post relativa ante optativum interposito dixi ad 7, 5, 49, quam *δύνηται* recipere ex H. exiguæ auctoritatis libro. Nam ita prorsus 1, 4, 14: *Ἄφες τοὺς κατ' ἐμὲ πάντας διώκειν καὶ διαγωνίζεσθαι ὅπως ἕκαστος κράτιστα δύναιτο*, ubi v. annot.

σπαν ὡς φίλον αὐτοῦ δέχεσθαι. ἐπεὶ δὲ περιῆλθε καὶ
ἤνεγκεν ὁ Κροίσου θεράπων τὰς ἐπιστολάς, ὁ δὴ Ὑστά-
σπας εἶπεν, Ὦ Κῦρε βασιλεῦ, καὶ ἐμοὶ ἤδη χρὴ ὡς
πλουσίῳ χρῆσθαι· πάμπολλα γὰρ ἔχων πάρειμι δῶρα διὰ
18 τὰ σὰ γράμματα. καὶ ὁ Κῦρος εἶπεν, Εἷς μὲν τοίνυν καὶ
οὗτος ἤδη θησαυρὸς ἡμῖν, ὦ Κροῖσε· τοὺς δ' ἄλλους κα-
ταθεῶ καὶ λόγισαι πόσα ἐστὶν ἕτοιμα χρήματα, ἤν τι δέω-
μαι χρῆσθαι. λέγεται δὴ λογιζόμενος ὁ Κροῖσος πολλα-
πλάσια εὑρεῖν ἢ ἔφη Κύρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς
19 ἤδη, εἰ συνέλεγεν. ἐπεὶ δὲ τοῦτο φανερὸν ἐγένετο, εἰπεῖν
λέγεται ὁ Κῦρος, Ὁρᾷς, φάναι, ὦ Κροῖσε, ὡς εἰσὶ καὶ [11]
ἐμοὶ θησαυροί; ἀλλὰ σὺ μὲν κελεύεις με παρ' ἐμοὶ αὐ-
τοὺς συλλέγοντα φθονεῖσθαί τε δι' αὐτοὺς καὶ μισεῖσθαι,
καὶ φύλακας αὐτοῖς ἐφιστάντα μισθοφόρους τούτοις πι-
στεύειν· ἐγὼ δὲ τοὺς φίλους πλουσίους ποιῶν τούτους μοι
νομίζω θησαυροὺς καὶ φύλακας ἅμα ἐμοῦ τε καὶ τῶν ἡμε-
τέρων ἀγαθῶν πιστοτέρους εἶναι ἢ εἰ φρουροὺς μισθοφό-
20 ρους ἐπεστησάμην. καὶ ἄλλο δέ σοι ἐρῶ· ἐγὼ γάρ, ὦ
Κροῖσε, ὃ μὲν οἱ θεοὶ δόντες εἰς τὰς ψυχὰς τοῖς ἀνθρώποις
ἐποίησαν ὁμοίως πάντας πένητας, τούτου μὲν οὐδ' αὐτὸς
δύναμαι περιγενέσθαι, ἀλλ' εἰμὶ ἄπληστος κἀγὼ ὥσπερ οἱ
21 ἄλλοι χρημάτων· τῇδέ γε μέντοι διαφέρειν μοι δοκῶ τῶν
πλείστων ὅτι οἱ μὲν ἐπειδὰν τῶν ἀρκούντων περιττὰ κτή-
σωνται, τὰ μὲν αὐτῶν αὖ κατορύττουσι, τὰ τὲ κατασή-
πουσι, τὰ δὲ ἀριθμοῦντες καὶ μετροῦντες καὶ ἱστάντες καὶ
διαψύχοντες καὶ φυλάττοντες πράγματα ἔχουσι, καὶ ὅμως

αὐτοῦ] ἑ s. v. ead. m. D. ἐπεὶ] ἐπειδὴ D. ὁ δὴ] ὁ μὲν δὴ D. ὁ Zonaras. χρὴ om. D. γράμματα] πράγματα G. s. v. r. 18. μὲν] μὲν δὴ D. δέομαι A. λογισάμενος D. 19. τούτους] τούτοις G. pr. τε] γε A. 20. ἄλλα A.G. ὃ] ἃ D. πάντας ὁμοίως D. καὶ ἐγὼ D. 21. αὖ om. D. τὰ δὲ] ἃ δὲ D. καὶ ἱστάντες καὶ μετροῦντες D.

19. *θησαυροὺς*] Theo Progymn. c. 5, p. 73 ed. Scheffer.: Ἀλέξανδρος ἐρωτηθεὶς ὑπό τινος ποῦ ἔχει τοὺς θησαυρούς, Ἐν τούτοις, ἔφη, δείξας τοὺς φίλους. HUTCH. Plura hinc Tzetzes Hist. 3, 630 s.

ἐπεστησάμην] Rarum medii usum notavi ad Steph. vol. 3, p. 2580 A. Multo frequentius activum, quod præcedit.

20. *ὃ*] Dicit Xenophon habendi cupiditatem naturæ humanæ insitam. SCHN.

21. *διαψύχοντες*] Quasi ventilantes: copiose de hoc verbo dixit Hemsterh. ad Luciani Contempl. c. 23, vol. 3, p. 408 ed. Bip.

ἔνδον ἔχοντες τοσαῦτα οὔτε ἐσθίουσι πλείω ἢ δύνανται φέρειν, διαρραγεῖεν γὰρ ἄν, οὔτ' ἀμφιέννυνται πλείω ἢ δύνανται φέρειν, ἀποπνιγεῖεν γὰρ ἄν, ἀλλὰ τὰ περιττὰ
22 χρήματα πράγματα ἔχουσιν. ἐγὼ δ' ὑπηρετῶ μὲν τοῖς θεοῖς καὶ ὀρέγομαι ἀεὶ πλειόνων· ἐπειδὰν δὲ κτήσωμαι, ἃ ἂν ἴδω περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων, τούτοις τάς τ' ἐνδείας τῶν φίλων ἐξακοῦμαι καὶ πλουτίζων καὶ εὐεργετῶν ἀνθρώπους εὔνοιαν ἐξ αὐτῶν κτῶμαι καὶ φιλίαν, καὶ ἐκ τούτων καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν· ἃ οὔτε κατασήπεται οὔτε ὑπερπληροῦντα λυμαίνεται, ἀλλὰ ἡ εὔκλεια ὅσῳ ἂν πλείων ᾖ, τοσούτῳ καὶ μείζων καὶ καλλίων καὶ κουφοτέρα φέρειν γίγνεται, πολλάκις δὲ καὶ τοὺς φέροντας
23 αὐτὴν κουφοτέρους παρέχεται. ὅπως δὲ καὶ τοῦτο εἰδῇς, ἔφη, ὦ Κροῖσε, ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι· οἱ γὰρ τὰ τείχη φυλάττοντες οὕτως ἂν εὐδαιμονέστατοι εἴησαν· πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν· ἀλλ' ὃς ἂν κτᾶσθαί τε πλεῖστα δύνηται σὺν τῷ δικαίῳ, χρῆσθαί τε πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω [καὶ τὰ χρήματα]. καὶ ταῦτα μὲν δὴ φανερὸς ἦν ὥσπερ καὶ ἔλεγε πράττων.

24 Πρὸς δὲ τούτοις κατανοήσας τοὺς πολλοὺς τῶν ἀνθρώ- [

τοσαῦτα] αὐτὰ D. πλεῖον—πλεῖον A.G. ἀμφέννυνται A. 22. ἴδω Juntina. εἰδῶ A.D.G. ἐξαρκοῦμαι A.G. ὑπερπληροῦν G. τα s. v. r. ἀλλ' ἡ μὲν εὔκλεια D. πλείω A.G. τοσοῦτον καὶ μείζων A. τοσούτῳ μείζων G. corr. in ων, et pr. fortasse ω M. κουφωτέρα G., φέρειν mg. r. 23. εἰδείης D. Stob. Fl. 16, 25, citans ὅπως—νομίζω κατὰ χρήματα. ἐγὼ γὰρ Stob. τὰ om. D. οὕτως] οὕτω γ' D. οὗτοι Stob. κτᾶσθαί τις πλεῖστα A.G. πλεῖστα κτᾶσθαί τε D. Stob. κεχρῆσθαί τε A.G. καὶ χρῆσθαι D. Stob. et nescio an servato τε M. χρῆσθαι P. καὶ τὰ] κατὰ Stob. Hic autem ση. ὅλον G. mg.

22. ὑπερπληροῦντα λυμαίνεται] Vertit Camerarius *neque lædunt vel maximo pondere copiæ suæ*. SCHN.

κουφοτέρους] Significat leviores agilioresque et ad res gerendas aptiores; quorum corpus non est veluti nimia ciborum copia ingesta grave, languidum et labori ineptum redditum. SCHN. Rectius Weiskius confert 1, 6, 25: Ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι.

κεχρῆσθαι] Eadem forma Eq. 4, 5. Ubi Curerii correctionem χρῆσθαι confirmat librorum optimorum Comm. 1, 2, 9, pro eodem illo κεχρῆσθαι scriptura χρῆσθαι. Sic 1, 2, 9, Zonaras vol. 1, p. 147 A. κεχρῆσθαι pro χρῆσθαι.

23. καὶ τὰ χρήματα] Mihi verba hæc aliena a sententia et a manu glossatoris esse videntur; igitur seclusi. Idem visum fuit Weiskio. SCHN.

ἔλεγε, πράττων] Plene dicere solet οὕτω καὶ πράττων. Conf. supra 8, 1, 8, H. Gr. 2, 4, 9; 3, 4, 5, Conv. 2, 25. SCHN.

πων ὅτι ἢν μὲν ὑγιαίνοντες διατελῶσι, παρασκευάζονται ὅπως ἕξουσι τἀπιτήδεια καὶ κατατίθενται τὰ χρήσιμα εἰς τὴν τῶν ὑγιαινόντων δίαιταν· ὅπως δὲ ἢν ἀσθενήσωσι τὰ σύμφορα παρέσται, τούτου οὐ πάνυ ἐπιμελυμένους ἑώρα· ἔδοξεν οὖν καὶ ταῦτα ἐκπονῆσαι αὐτῷ, τούς τε ἰατροὺς τοὺς ἀρίστους συνεκομίσατο πρὸς αὑτὸν τῷ τελεῖν ἐθέλειν, καὶ ὁπόσα ἢ ὄργανα χρήσιμα ἔφη τις ἂν αὐτῶν γενέσθαι ἢ φάρμακα ἢ σῖτα ἢ ποτὰ, οὐδὲν τούτων ὅ τι οὐχὶ
25 παρασκευάσας ἐθησαύριζε παρ' αὑτῷ. καὶ ὁπότε δέ τις ἀσθενήσειε τῶν θεραπεύεσθαι ἐπικαιρίων, ἐπεσκόπει καὶ παρεῖχε πάντα ὅτου ἔδει. καὶ τοῖς ἰατροῖς δὲ χάριν ᾔδει, ὁπότε τις ἰάσαιτό τινα τοῖς παρ' ἐκείνου λαμβάνων.
26 Ταῦτα μὲν δὴ καὶ τοιαῦτα πολλὰ ἐμηχανᾶτο πρὸς τὸ πρωτεύειν παρ' οἷς ἐβούλετο ἑαυτὸν φιλεῖσθαι. ὧν δὲ [13]
προηγόρευέ τε ἀγῶνας καὶ ἆθλα προυτίθει, φιλονεικίας

24. μὲν] μὴ G. s. v. r. Libri τὰ ἐπιτήδεια. ἐὰν δὲ ἀσθενήσωσιν ὅπως τὰ σ. D. πάνυ] πάντας A.G. corr. mg. r. ἐπιμελουμένους D.G. αὐτῷ] αὖ A.G. corr. mg. r. τούς τε ἰατροὺς] καὶ ἰατρούς τε D.M. ἐνεκομίσατο D. αὑτὸν] αὐτὸν A.G. ἑαυτὸν D. τῷ] τότε A. τὸ D. τε, et τῷ s. v. r., G. τελεῖν] λέγειν A.G. ὁπόσα τε ὄργανα ἔφη τις ἂν αὐτῷ χρήσιμα γενέσθαι D. ἐθησαύρισε D. αὑτῷ] αὐτῷ A.G. ἑαυτῷ D. 25. τῶν] τῷ A.G. ἔδει] ἐδόκει D. τοῖς] τῶν D. 26. ἀγῶνα D. προετίθει D.

24. τούς τε ἰατροὺς] De part. τε hæc cum prioribus jungente v. ad Anab. 1, 8, 3. Medicum autem Ægyptium a Cyro arcessitum v. Herod. 3, 1.

συνεκομίσατο] Supra 4, 3, 18: Πάντα ταῦτα συγκομίζομαι πρὸς ἐμαυτὸν ἱππεὺς γενόμενος, h. e. hæc omnia complectar et possidebo una. Proprio sensu est 1, 5, 12, κάλλιστον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε. SCHN.

25. ἐπικαιρίων] In Cyropædia, Historia Græca et Anabasi ἐπικαιρίους principes viros copiarum suarum, præcipue duces prudentissimos rebusque gerendis aptos vocat Xenophon. Atque ita in Œcon. 15, 11, est οἱ τεχνῖται ἀποκρύπτονται τὰ ἐπικαιριώτατα ἧς ἕκαστος ἔχει τέχνης, celant artifices excellentissimas et præcipuas artis suæ partes et quasi capita. Hinc omnes res, quarum in tempore aliquo certo maximus aut præcipuus est usus, ἐπικαίρια dicuntur, veluti χωρία ἐπικαίρια Hieronis 10, 5, in libro Brodæi, ubi ἐπίκαιρα editur, ut Œcon. 20, 9, loca opportuna dicunt Latini. Hinc utilis vel necessarius verti potest, ut Comment. 3, 6, 10, ὁπόσαι φυλακαὶ ἐπίκαιροί εἰσι καὶ ὅσαι μή. Ubi paulo post αἱ περιτταὶ opponuntur. In libro de re equestri 12, 7, ἐν τῷ ἐπικαιροτάτῳ ἀφύλακτον ἔσται, in loco vulneribus letalibus maxime omnium obnoxio. Ubi ἐπικαιριωτάτῳ malim, uti vulnus ipsum καίριον et πληγὴ καιρία dicitur. Hinc Œcon. 5, 4: Καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. *Opera enim rustica et urbana, quibus summa rei domesticæ continetur, suum quæque tempus ad agendum opportunum habent, quod si omittatur, res cum occasione dilabitur.* SCHN.

ἐπεσκόπει] ἐπὶ νοσοῦντος dictum hic et alibi Xen. notat Poll. 3, 108.

πάντα ὅτου] V. ad 5, 3, 50.

τοῖς] Refertur ad verbum ἰάσαιτο, et plene ita dicendum fuerat: Ὁπότε τις ἰάσαιτό τινα τοῖς φαρμάκοις, ἃ παρ' ἐκείνου λαμβάνοι. SCHN. Sic s. 26, παρ' οἷς pro παρὰ τούτοις ὑφ' ὧν.

ἐμποιεῖν βουλόμενος περὶ τῶν καλῶν καὶ ἀγαθῶν ἔργων, ταῦτα τῷ μὲν Κύρῳ ἔπαινον παρεῖχεν ὅτι ἐπεμέλετο ὅπως ἀσκοῖτο ἡ ἀρετή· τοῖς μέντοι ἀρίστοις οἱ ἀγῶνες οὗτοι πρὸς ἀλλήλους καὶ ἔριδας καὶ φιλονεικίας ἐνέβαλλον.
27 πρὸς δὲ τούτοις ὥσπερ νόμον κατεστήσατο ὁ Κῦρος, ὅσα διακρίσεως δέοιτο εἴτε δίκῃ εἴτε ἀγωνίσματι, τοὺς δεομένους διακρίσεως συντρέχειν τοῖς κριταῖς. δῆλον οὖν ὅτι ἐστοχάζοντο μὲν οἱ ἀνταγωνιζόμενοί τι ἀμφότεροι τῶν κρατίστων καὶ τῶν μάλιστα φίλων κριτῶν· ὁ δὲ μὴ νικῶν τοῖς μὲν νικῶσιν ἐφθόνει, τοὺς δὲ μὴ ἑαυτὸν κρίνοντας ἐμίσει· ὁ δ' αὖ νικῶν τῷ δικαίῳ προσεποιεῖτο νικᾶν, ὥστε
28 χάριν οὐδενὶ ἡγεῖτο ὀφείλειν. καὶ οἱ πρωτεύειν δὲ βουλόμενοι φιλίᾳ παρὰ Κύρῳ, ὥσπερ ἄλλοι ἐν πόλεσι, καὶ οὗτοι ἐπιφθόνως πρὸς ἀλλήλους εἶχον, ὥσθ' οἱ πλείονες ἐκποδὼν ἐβούλοντο ὁ ἕτερος τὸν ἕτερον γενέσθαι μᾶλλον ἢ συνέπραξαν ἄν τι ἀλλήλοις ἀγαθόν. καὶ ταῦτα μὲν δεδήλωται ὡς ἐμηχανᾶτο τοὺς κρατίστους αὐτὸν μᾶλλον πάντας φιλεῖν ἢ ἀλλήλους.

ΚΕΦ. Γ.

Νῦν δὲ ἤδη διηγησόμεθα ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων· καὶ γὰρ αὐτῆς τῆς ἐξελάσεως ἡ σεμνότης ἡμῖν δοκεῖ μία τῶν τεχνῶν εἶναι τῶν μεμηχανημένων τὴν ἀρχὴν μὴ εὐκαταφρόνητον εἶναι. πρῶτον μὲν οὖν πρὸ

τῷ μὲν] μὲν τῷ A.G. ἐνέβαλον A. 27. ἐδιχάζοντο G. pr. μὲν οἱ] οἱ D. ἀγωνιζ. A.G. corr. s. v. r. κριτῶν] κρεῖττον A.G. corr. mg. r. ἑαυτῶν G. 28. ὥστε καὶ οἱ D. πλέονες A. ἐκποδῶν D. ἑαυτὸν D. πάντας μᾶλλον D. 1. αὐτῆς] ἐξαυτῆς D. δοκεῖ ἡμῖν D.

26. πρωτεύειν] Conf. 8, 1 extr.

27. ἀγωνίσματι] Usu Xenophonteo ἀγώνισμα est certamen publicum, ut sunt πολεμικά, ἱππικὰ apud Xenophontem, quorum κριταὶ sunt et dicuntur, ut in judiciis publicis et privatis. SCHN.

συντρέχειν] Intell. ἑαυτοῖς, in judicibus eligendis.

κρατίστων] Optimatum s. principum.

ἐμίσει] Idem fere præsidium formæ civitatis monarchicæ servandæ commemorat Aristot. Polit. 5, 11: Δεῖ τὰς μὲν τιμὰς ἀπονέμειν αὐτόν, τὰς δὲ κολάσεις δι' ἑτέρων ἀρχόντων καὶ δικαστηρίων. ZEUN. Frequens autem κρίνειν sic pro κρίνειν νικᾶν. V. Thes. Steph. p. 1970.

28. ἐν πόλεσι] In democratiis. Camerarii versio *civitates* nominat, et annotat, quæ a Xenophonte tradantur de eunuchis propter diffidentiam, de armis ademtis et dissidio inter proceres, ea ab Aristotele Polit. 5, 11, tanquam tyrannica instituta commemorari. SCHN.

τῆς ἐξελάσεως εἰσκαλέσας πρὸς αὐτὸν τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων συμμάχων διέδωκεν αὐτοῖς τὰς Μηδικὰς στολάς· καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνέδυσαν· διαδιδούς τε ἅμα τάδε ἔλεγεν αὐτοῖς ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ τοῖς θεοῖς
2 ἐξῃρημένα καὶ θῦσαι μετ' ἐκείνων. Πάρεστε οὖν, ἔφη, ἐπὶ τὰς θύρας κοσμηθέντες ταῖς στολαῖς ταύταις πρὶν ἥλιον ἀνατέλλειν, καὶ καθίστασθε ὡς ἂν ὑμῖν Φεραύλας ὁ Πέρσης ἐξαγγείλῃ παρ' ἐμοῦ· καὶ ἐπειδὰν, ἔφη, ἐγὼ ἡγῶμαι, ἕπεσθε ἐν τῇ ῥηθείσῃ χώρᾳ. ἢν δ' ἄρα τινὶ δοκῇ ὑμῶν ἄλλῃ κάλλιον εἶναι ἢ ὡς ἂν νῦν ἐλαύνωμεν, ἐπειδὰν πάλιν ἔλθωμεν, διδασκέτω με· ὅπῃ γὰρ ἂν κάλλιστον καὶ ἄριστον ὑμῖν δοκῇ εἶναι, ταύτῃ ἕκαστα δεῖ καταστήσα-
3 σθαι. ἐπεὶ δὲ τοῖς κρατίστοις διέδωκε τὰς καλλίστας [2]
στολὰς, ἐξέφερε δὴ καὶ ἄλλας Μηδικὰς στολὰς, παμπόλλας γὰρ παρεσκευάσατο, οὐδὲν φειδόμενος οὔτε πορφυρίδων οὔτε ὀρφνίνων οὔτε φοινικίδων οὔτε καρυκίνων ἱματίων· νείμας δὲ τούτων τὸ μέρος ἑκάστῳ τῶν ἡγεμόνων ἐκέλευσεν αὐτοὺς τούτοις κοσμεῖν τοὺς αὐτῶν φίλους,
4 ὥσπερ, ἔφη, ἐγὼ ὑμᾶς κοσμῶ. καί τις τῶν παρόντων ἐπήρετο αὐτὸν, Σὺ δὲ, ὦ Κῦρε, ἔφη, πότε κοσμήσει; ὁ δ' ἀπεκρίνατο, Οὐ γὰρ νῦν, ἔφη, δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι ὑμᾶς κοσμῶν; ἀμέλει, ἔφη, ἢν δύνωμαι ὑμᾶς τοὺς φίλους εὖ ποιεῖν, ὁποίαν ἂν ἔχων τυγχάνω στολὴν, ἐν
5 ταύτῃ καλὸς φανοῦμαι. οὕτω δὴ οἱ μὲν ἀπελθόντες μετα- [3]

αὐτὸν A.G. ἑαυτὸν D. τῶν om. D. συμμάχων om. A.G. διαδιδούς] διδούς D. βουλήσοιτο D. 2. ἔφη] αὔριον D. καθίστατε A.G. ἐξαγγέλλῃ A.M. ἐξαγγέλλειν G. ῃ s. ειν r. ἐξαγγέλῃ L. καὶ om. D. ἕπεσθαι G. corr. s.v. r. ἐὰν D. τινὶ post δοκῇ D. δοκεῖ G. νῦν ἐλαύνωμεν] δύνῃ ἐλαύνωμαι A.G. pr. fortasse pro νυνί. ἐμὲ D. ἡμῖν A.G. δοκεῖ A.D.G. δοκῇ post ἂν M. 3. στολὰς] ὅρα τὴν τοῦ κύρου ἐξέλασιν mg. D. ὀρφανίνων A. αὐτῶν D.G. 4. κοσμήσει B. pr. κοσμήσῃ A.B. corr. D.G. νῦν om. D. ἂν om. D. καλῶς A.D. corr. s.v.

1. ἄλλων] συμμάχων commendant 8, 1, 6; 3, 10. Nisi indidem ductum, ut s.

2. αὔριον ex s. 6.

3. ὀρφνίνων] Conf. ad Pollucem 7, 69: Τὰ δὲ μέλανα ἱμάτια ὄρφνινα ἐκάλουν. Mixtum ex rubro, albo et nigro combustis colorem, ubi tamen nigredo prævaleat, docet Platonis Timæus p. 68 C. Conf. etiam Aristoteles de Coloribus c. 2. SCHN.

καρυκίνων] A καρύκη, quam αἱματώδη τὴν χρόαν habere ait Erotianus in Glossario. Brodæus et Camerarius a καρύοις derivare malebant et genus coloris viridis obscurioris ac nigrantis interpretari. SCHN. Male. V. Thes. Steph. Hæc autem compilans Tzetzes Hist. 3, 633—639 habet καλῶς s. 4.

πεμπόμενοι τοὺς φίλους ἐκόσμουν ταῖς στολαῖς. ὁ δὲ
Κῦρος νομίζων Φεραύλαν τὸν ἐκ τῶν δημοτῶν καὶ συνετὸν
εἶναι καὶ φιλόκαλον καὶ εὔτακτον καὶ τοῦ χαρίζεσθαι αὐτῷ
οὐκ ἀμελῆ, ὅς ποτε καὶ περὶ τοῦ τιμᾶσθαι ἕκαστον κατὰ
τὴν ἀξίαν συνεῖπε, τοῦτον δὴ καλέσας συνεβουλεύετο
αὐτῷ πῶς ἂν τοῖς μὲν εὔνοις κάλλιστα ἰδεῖν ποιοῖτο τὴν
6 ἐξέλασιν, τοῖς δὲ δυσμενέσι φοβερώτατα. ἐπεὶ δὲ σκοποῦν-
τοιν αὐτοῖν ταὐτὰ συνέδοξεν, ἐκέλευσε τὸν Φεραύλαν ἐπι-
μεληθῆναι ὅπως ἂν οὕτω γένηται αὔριον ἡ ἐξέλασις ὥσπερ
ἔδοξε καλῶς ἔχειν. Εἴρηκα δέ, ἔφη, ἐγὼ πάντας πεί-
θεσθαί σοι περὶ τῆς ἐν τῇ ἐξελάσει τάξεως· ὅπως δ' ἂν
ἥδιον παραγγέλλοντός σου ἀκούωσι, φέρε λαβών, ἔφη,
χιτῶνας μὲν τουτουσὶ τοῖς τῶν δορυφόρων ἡγεμόσι, κασᾶς
δὲ τούσδε τοὺς ἐφιππίους τοῖς τῶν ἱππέων ἡγεμόσι δός,
7 καὶ τῶν ἁρμάτων τοῖς ἡγεμόσιν ἄλλους τούσδε χιτῶνας. ὁ [4
μὲν δὴ ἔφερε λαβών· οἱ δὲ ἡγεμόνες ἐπεὶ ἴδοιεν αὐτόν,
ἔλεγον, Μέγας δὴ σύγε, ὦ Φεραύλα, ὁπότε γε καὶ ἡμῖν
τάξεις ἃ ἂν δέῃ ποιεῖν. Οὐ μὰ Δί', ἔφη ὁ Φεραύλας, οὐ
μόνον γε, ὡς ἔοικεν, ἀλλὰ καὶ σκευοφορήσω· νῦν γοῦν
φέρω τώδε δύο κασᾶ, τὸν μὲν σοί, τὸν δὲ ἄλλῳ· σὺ μέν-
8 τοι τούτων λαβὲ ὁπότερον βούλει. ἐκ τούτου δὴ ὁ μὲν
λαμβάνων τὸν κασᾶν τοῦ μὲν φθόνου ἐπελέληστο, εὐθὺς δὲ
συνεβουλεύετο αὐτῷ ὁπότερον λαμβάνοι· ὁ δὲ συμβου-

5. τὸν] τῶν D. αὐτῷ] ἑαυτῷ D. ἀμελῆ] ἠμέλει A. ἀμελεῖν G. ὅς] ὥς D. κατὰξίαν (sic) D. ὡς κάλλιστα ποιοῖτο D. 6. αὐτοῖν om. A. τ' αὐτὰ A. ταῦτα D. τὰ αὐτὰ B.G. ἐκέλευε D. ἡ om. D. ἔφη om. A.G. post ἐγὼ add. G. mg. r. δ' om. A.G. s. v. r. σοῦ παραγγ. D. ἀκούσωσι D. ἔφη χιτῶνας om. A.G. mg. r. μὲν om. A.G. τουτοσὶ G. pr. κασᾶς] Libri καλέσας. Correxit Brodæus. τούσδε om. A.G. ἐφίππους A.G. ἡγεμόσι—τοῖς om. A.G. mg. r. δὸς καὶ] δὸς δὲ καὶ D. 7. δὴ ἔφερε] διέφερε G. σύγε] σὺ G. τάξεις ἃ] τὰ ἴσα A.G. pr. τάσσεις B. s. v. συσκευοφορήσω D.G. s. v. r. γοῦν] οὖν G. φερέτω D. δύω A.G. κάσα A.G. τὸν] τῶν A.G. pr. σοι] τοι A.G. pr. τὸν δὲ—τούτων om. A.G. mg. r., qui τοῦτον. λαβὲ] Libri λάβε. βούλῃ D. corr. 8. μὲν om. D. κάσαν A.G. συνεβουλεύσατο D. συνεβούλευτο G.

5. ποτε] 2, 3, 7.

6. κασᾶς] Pollux 7, 68: Κάσσας δὲ ἱππικοὺς Ξενοφῶν εἴρηκεν ἐν τῇ Παιδείᾳ· οἱ δ' εἰσὶν ἐσθῆτες εἰλιταί (πιληταί). Salmasius Exercit. Plin. p. 678. maluit κασᾶς, auctore Arcadio p. 24, 12: Τὸ μέντοι κασῆς τὸ πιλωτὸν ἱμάτιον περισπᾶται. SCHN. Agatharchides Photii Bibl. cod. 250, p. 445, 34: Στολὰς αὐτοῖς τε καὶ τοῖς ἵπποις ἀνέδωκε πιλητάς, ἃς οἱ κατὰ τὴν χώραν ἐκείνην προσαγορεύουσι κάσας, ὥστε πᾶν κρύπτειν τὸ σῶμα πλὴν τῶν ὀφθαλμῶν.

λεύσας ἂν ὁπότερος βελτίων εἴη καὶ εἰπών, Ἤν μου κατηγορήσῃς ὅτι αἵρεσίν σοι ἔδωκα, εἰς αὖθις ὅταν διακονῶ, ἑτέρῳ μοι χρήσει διακόνῳ, ὁ μὲν δὴ Φεραύλας οὕτω διαδοὺς ᾗ ἐτάχθη εὐθὺς ἐπεμέλετο τῶν εἰς τὴν ἐξέλασιν ὅπως ὡς κάλλιστα ἕκαστα ἕξει.

9 Ἡνίκα δ' ἡ ὑστεραία ἧκε, καθαρὰ μὲν ἦν πάντα πρὸ [5]
ἡμέρας, στοῖχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ, ὥσπερ καὶ νῦν ἔτι ἵστανται ᾗ ἂν βασιλεὺς μέλλῃ ἐλαύνειν· ὧν ἐντὸς οὐδενὶ ἔστιν εἰσιέναι τῶν μὴ τετιμημένων· μαστιγοφόροι δὲ καθέστασαν οἳ ἔπαιον, εἴ τις ἐνοχλοίη. ἕστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλίους ἔμπροσθεν τῶν πυλῶν εἰς τέτταρας, δισχίλιοι δ' ἑκα-
10 τέρωθεν τῶν πυλῶν. καὶ οἱ ἱππεῖς δὲ πάντες παρῆσαν καταβεβηκότες ἀπὸ τῶν ἵππων, καὶ διειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων, ὥσπερ καὶ νῦν ἔτι διείρουσιν, ὅταν ὁρᾷ βασιλεύς. ἕστασαν δὲ Πέρσαι μὲν ἐκ δεξιᾶς, οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ, καὶ τὰ ἅρματα ὡσαύτως
11 τὰ ἡμίσεα ἑκατέρωθεν. ἐπεὶ δ' ἀνεπετάννυντο αἱ τοῦ βασι- [6]
λείου πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διὶ ταῦροι πάγκαλοι εἰς τέτταρας καὶ οἷς τῶν ἄλλων θεῶν οἱ μάγοι ἐξηγοῦντο· πολὺ γὰρ οἴονται Πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μαλ-
12 λον τεχνίταις χρῆσθαι ἢ περὶ τἄλλα. μετὰ δὲ τοὺς βοῦς

ὁπότερον A.G. pr. ἑτέρῳ] ἐνῷ vel ἐρῷ D. μοι post χρήσῃ A. Libri χρήσῃ. διαδιδοὺς D.G. ἐπεμελεῖτο A.G. κάλλιστα ἕκαστα] κάλιστα D. ἕξοι A. 9. ἡ om. A. καθαρὰ μὲν ἦν] καθηράμενοι A.G. στίχοι A.G. ἑστήκεσαν A.G. corr. s. v. r. ἔτι om. D. μέλλει D. οὐδέν G. pr. ἔστασαν A.D. ἔμπροσθεν] δὲ add. A.G. τέτταρας] τταρας G., sed τε s. v. r. 10. καὶ om. D. ἱππῆς D. corr., pr. ἱππεῖς. διειρκότες P. διηρκότες A.D. corr., qui pr. διηρκόντες, G. διείρουσιν P. διειροῦσιν A.D.G. ἔστασαν A.D.G. ἅρματα] δὲ add. D. ὡς αὔτως D. ἡμίσεα] ι et ε in lit. L. 11. πάγγαλοι A. πάγκαλλοι G. οἷς] τοῖς A.G. τῶν ἄλλων] ἄλλοις D. θεοῖς G. πολλοὶ A.G.

8. ὁ μὲν—ἐτάχθη abesse debebant, quum cœpta illis ὁ δὲ συμβουλεύσας oratio absolvatur per ἐπεμέλετο. Simile anacoluthon 8, 2, 24.

9. στοῖχοι] Thuc. 4, 47: Διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων.

εἰς τέτταρας] Dicitur ut s. 11 de altitudine. V. autem de his doryphoris s. 15.

10. διειρκότες] Hoc dicit, in candyas manus inseruisse eos in quos rex oculos conjiciebat. H. Gr. 2, 1, 8: Κῦρος ἀπέκτεινεν Αὐτοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας τῆς Δαρειαίου ἀδελφῆς τῆς τοῦ Ξέρξου τοῦ Δαρείου πατρὸς, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας, ὃ ποιοῦσι βασιλεῖ μόνον· ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρὶς, ἐν ᾗ τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύναιτο ποιῆσαι. HUTCH. V. ad s. 14.

11. ταῦροι] Conf. Macrobii Saturn. 3, 10. Spanhem. ad Callim. Apoll. 79. SCHN. Ker Porter ad s. 12 cit. p. 590.

εἰς τέτταρας] V. ad s. 9.

ἵπποι ἤγοντο θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο
ἅρμα λευκὸν χρυσόζυγον ἐστεμμένον Διὸς ἱερόν· μετὰ δὲ
τοῦτο Ἡλίου ἅρμα λευκόν, καὶ τοῦτο ἐστεμμένον ὥσπερ
τὸ πρόσθεν· μετὰ δὲ τοῦτο ἄλλο τρίτον ἅρμα ἐξήγετο,
φοινικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ
13 ἐπ' ἐσχάρας μεγάλης ἄνδρες εἵποντο φέροντες. ἐπὶ δὲ τού- [7
τοις ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προυφαίνετο ὁ Κῦρος ἐφ'
ἅρματος ὀρθὴν ἔχων τὴν τιάραν καὶ χιτῶνα πορφυροῦν

12. θύματα D. δὲ τοῦτο ἡλίου] δὲ τὸ A.G. pr., qui δὲ s. το, cujus accentus est a corr., et mg. ἡλίου. δὲ in ras. et lit. D. 13. τούτοις] τοῖς A.G.

12. ἵπποι] De equis Soli immolatis apud Persas aliasque gentes Herodotus 1. extr., Ovid. Fast. 1, 385, Xen. Anab. 4, 5, 24, 35, Strabo 11, p. 513, Pausan. 3, 20, 4, Justin. 1, 10. ZEUN.

ἅρμα λευκὸν Διὸς ἱερὸν] Currus equis albis junctus est etiam apud Curtium 3, 3, et Herodotum 7, 40, in Xerxis exitu e Sardibus, ubi currus Jovis octojugis Xerxem in exercitu præcedit. SCHN. Eur. Phoen. 173: Ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς. Diodor. 14, 44: Λευκὸν τέθριππον· 117: Ἐπὶ λευκοῦ τεθρίππου. Similia Ernestus ad Callim. Dian. 113.

Ἡλίου ἅρμα] Hesychius: Ἀστέρων τέθριππος, τὸ ἅρμα ἡλίου, nisi alio pertineat. SCHN. Dio Chrys. Or. 36, vol. 2, p. 92: Ἕτερος δὲ μῦθος ἐν ἀπορρήτοις τελεταῖς ὑπὸ μάγων ἀνδρῶν ᾄδεται θαυμαζόμενος, οἳ τὸν θεὸν τοῦτον ὑμνοῦσιν ὡς τέλειόν τε καὶ πρῶτον ἡνίοχον τοῦ τελειοτάτου ἅρματος. τὸ γὰρ Ἡλίου ἅρμα νεώτερόν φασιν εἶναι πρὸς ἐκεῖνο κρινόμενον, φανερὸν δὲ τοῖς πολλοῖς, ἅτε προδήλου γιγνομένης τῆς φορᾶς. ὅθεν κοινῆς φήμης τυγχάνειν, ὡς ἔοικεν, ἀπὸ πρώτων σχεδόν τι ποιητῶν ἀνατολὰς καὶ δύσεις ἑκάστοτε λεγόντων κατὰ ταὐτὰ πάντων ἐξηγουμένων ζευγνυμένους τε τοὺς ἵππους καὶ τὸν Ἥλιον αὐτὸν ἐπιβαίνοντα τοῦ δίφρου. Et post alia de magis Persarum: Ἐκεῖνοι δὲ τά τε ἄλλα δρῶσι κατὰ λόγους ἱεροὺς καὶ δὴ τῷ Διὶ τρέφουσιν ἅρμα Νισαίων ἵππων· οἱ δέ εἰσι κάλλιστοι καὶ μέγιστοι τῶν κατὰ τὴν Ἀσίαν· τῷ δέ γε Ἡλίῳ ἕνα ἵππον. Quo de ritu multa addit in sequentibus.

πῦρ] Herodot. 3, 16: Πέρσαι θεὸν νομίζουσι εἶναι τὸ πῦρ. Sed in hac pompa ignem non tanquam deum traductum opinatus Ker Porter *Travels in Georgia, Persia* etc. vol. 1, p. 568: "I would deem it probable that when the mountain-altars or other high places were open to the air, as they certainly were in the time of Cyrus, that the sacred fire was not an object of adoration in itself, but only considered holy as an element first kindled by the sun, and by whose consuming agency the sacrifices were offered to that orb, or rather to the Divine Intelligence it contained. In this view we find the fire borne to the sacrificial altars in the processions recorded by Xen. in the eighth book of the Cyrop. But when Zoroaster (or Zerdusht) pretended to bring the sacred flame direct from the presence of God, then what was before only sanctified, became divine," etc. Conf. Chardin *Voyages en Perse*, vol. 8, p. 267 ad imagines in ruinis Persepolis inventas.

ἐσχάρας] Altaria vocat Curtius l. c., foculos Ammianus 23, 6, ubi de igni Persarum sacro, qui præierit quondam Asiaticis regibus. SCHN.

13. ὀρθὴν] Quippe rex. Anab. 2, 5, 23: Τὴν ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν. SCHN. Ubi dictum de forma tiaræ, de qua disserit Ker Porter l. modo cit. p. 602 s. Dio Chrys. Or. 14, vol. 1, p. 444: Ὁ Περσῶν βασιλεὺς ὅπως μὲν ἕξει μόνος ὀρθὴν τὴν τιάραν ἐφρόντιζε καὶ εἴ τις ἄλλος τοῦτο ἐποίησεν, εὐθὺς ἐκέλευσεν ἀποθνήσκειν αὐτόν, ὡς οὐκ ἐνὸν οὐδὲ συμφέρον ἐν τοσαύταις μυριάσιν ἀνθρώπων δύο εἶναι φοροῦντας τιάρας ὀρθάς κ. τ. λ. Arrian. Anab. 3, 25, 5: Ἤγγελλον Βῆσσον τήν τε τιάραν ὀρθὴν ἔχειν καὶ τὴν Περσικὴν στολὴν φοροῦντα Ἀρταξέρξην τε καλεῖσθαι ἀντὶ Βήσ-

μεσόλευκον, ἄλλῳ δ' οὐκ ἔξεστι μεσόλευκον ἔχειν, καὶ
περὶ τοῖς σκέλεσιν ἀναξυρίδας ὑσγινοβαφεῖς, καὶ κάνδυν
ὁλοπόρφυρον. εἶχε δὲ καὶ διάδημα περὶ τῇ τιάρᾳ· καὶ οἱ
συγγενεῖς δὲ αὐτοῦ τὸ αὐτὸ δὴ τοῦτο σημεῖον εἶχον, καὶ
14 νῦν τὸ αὐτὸ τοῦτο ἔχουσι. τὰς δὲ χεῖρας ἔξω τῶν χειρί-
δων εἶχε. παρωχεῖτο δὲ αὐτῷ ἡνίοχος μέγας μὲν, μείων δ'
ἐκείνου εἴτε καὶ τῷ ὄντι εἴτε καὶ ὁπωσοῦν· μείζων δ' ἐφάνη
πολὺ Κῦρος. ἰδόντες δὲ πάντες προσεκύνησαν, εἴτε καὶ
ἄρξαι τινὲς κεκελευσμένοι εἴτε καὶ ἐκπλαγέντες τῇ παρα-
σκευῇ καὶ τῷ δόξαι μέγαν τε καὶ καλὸν φανῆναι τὸν Κῦ-
15 ρον. πρόσθεν δὲ Περσῶν οὐδεὶς Κῦρον προσεκύνει. ἐπεὶ [8]
δὲ προῄει τὸ τοῦ Κύρου ἅρμα, προηγοῦντο μὲν οἱ τετρα-
κισχίλιοι δορυφόροι, παρείποντο δὲ οἱ δισχίλιοι ἑκατέρωθεν
τοῦ ἅρματος· ἐφείποντο δὲ οἱ περὶ αὐτὸν σκηπτοῦχοι ἐφ'

βυσσινοβαφεῖς A. κυσσινοβαφεῖς G. κάνδυν ὁλ. Pollux 7, 63, et ὁλ. 10, 43. δὴ om. D. 14. χειρίδων] θυ s. χει G. r. ἐφαίνετο D. 15. ἐπειδὴ δὲ D. ἐπειδὴ G. ἐφείποντο—τριακοσίους om. A.G.

σου καὶ βασιλέα φάσκειν εἶναι τῆς Ἀσίας. Conf. Aristoph. Av. 487, Joseph. Ant. Jud. 20, 3, 2.

μεσόλευκον] Curtius 3, 3, 28, tunicam purpuream, cui medium album intextum erat. Plutarchus Alex. c. 51, διάλευκον dixit; proprio nomine σάραπιν Hesychius et Pollux 7, 61. SCHN. Diodor. 17, 77, de Alexandro: Τό τε Περσικὸν διάδημα περιέθετο καὶ τὸν διάλευκον ἐνεδύσατο χιτῶνα καὶ τὴν Περσικὴν ζώνην καὶ τἄλλα πλὴν τῶν ἀναξυρίδων καὶ τοῦ κάνδυος. V. Müller. ad fragm. Ctesiæ p. 73, n. 43.

ἄλλῳ δ' οὐκ ἔξεστι] "Doubtless no other than the sovereign personage; because *white* was sacred to the sun; and he derived his descent from that orb." Ker Porter, p. 555.

ὑσγινοβαφεῖς] De hysgino colore a coccino purpureoque s. Tyrio mixto, et dicto ab ὕσγη herba tingendis lanis adhiberi solita, viri docti ad Plinii 9, c. 41. SCHN.

κάνδυν] Pallam Curtius dicit. SCHN. V. ad 1, 3, 2.

διάδημα] Curtius 3, 3, 19: Cidarim Persæ regium capitis vocabant insigne: hoc cœrulea fascia albo distincta circumibat. SCHN. Quam Arrian. Anab. 4, 7, κίδαριν Περσικὴν vocat, Diodorus 17, 77, Περσικὸν διάδημα dicit. HUTCH.

14. χειρίδων] Strabo 15, p. 734, Persis assignat χιτῶνα χειριδωτὸν διπλοῦν ἕως γόνατος, ita ut ὑπενδύτης (interior) sit albus, superior violacei coloris. Sed eodem in loco Strabo: Ἐσθὴς δὲ τοῖς ἡγεμόσι μὲν ἀναξυρὶς τριπλῆ. quæ vereor ut sana et integra sint. Certe Xenophon Anab. 1, 5, 8, de Persis: Ῥίψαντες τοὺς πορφυροῦς κάνδυς ἵεντο—ἔχοντες τούτους τε τοὺς πολυτελεῖς χιτῶνας καὶ τὰς ποικίλας ἀναξυρίδας. Unde suspicor apud Strabonem scribendum ἐσθὴς δὲ τοῖς ἡγεμόσι μὲν τριπλῆ, κάνδυς μὲν πορφυροῦς, χιτὼν δὲ χειριδωτὸς—ἀνθινὸν, καὶ ἀναξυρίς· τιάραι etc. Male Hesychius, κάνδυς, χιτὼν Περσικὸς, ὃν ἐμπορποῦνται οἱ στρατιῶται. SCHN. "A covering over the hand is regarded in most countries of the east as a mark of subjection. Cyrus had then arrived at the full possession of the empire, in the united kingdoms of Media and Persia," etc. Ker Porter ib. V. ad s. 9.

Περσῶν οὐδεὶς] Arriani Anab. 4, 11. SCHN.

15. δορυφόροι] De doryphoris his Curtius l. c. SCHN. Et supra 7, 5, 68. V. autem s. 9.

σκηπτοῦχοι] V. 8, 1, 38.

ἵππων κεκοσμημένοι σὺν τοῖς παλτοῖς ἀμφὶ τοὺς τριακο-
16 σίους. οἱ δ' αὖ τῷ Κύρῳ τρεφόμενοι ἵπποι παρήγοντο
χρυσοχάλινοι, ῥαβδωτοῖς ἱματίοις καταπεπταμένοι, ἀμφὶ
τοὺς διακοσίους· ἐπὶ δὲ τούτοις δισχίλιοι ξυστοφόροι· ἐπὶ
δὲ τούτοις ἱππεῖς οἱ πρῶτοι γενόμενοι μύριοι, εἰς ἑκατὸν
17 πανταχῇ τεταγμένοι· ἡγεῖτο δ' αὐτῶν Χρυσάντας. ἐπὶ δὲ
τούτοις μύριοι ἄλλοι Περσῶν ἱππεῖς τεταγμένοι ὡσ-
αύτως, ἡγεῖτο δὲ αὐτῶν Ὑστάσπας· ἐπὶ δὲ τούτοις ἄλ-
λοι μύριοι ὡσαύτως, ἡγεῖτο δ' αὐτῶν Δατάμας· ἐπὶ δὲ
18 τούτοις ἄλλοι, ἡγεῖτο δ' αὐτῶν Γαδάτας· ἐπὶ δὲ τούτοις
Μῆδοι ἱππεῖς, ἐπὶ δὲ τούτοις Ἀρμένιοι, μετὰ δὲ τούτους
Ὑρκάνιοι, μετὰ δὲ τούτους Καδούσιοι, ἐπὶ δὲ τούτοις Σά-
και· μετὰ δὲ τοὺς ἱππέας ἅρματα ἐπὶ τεττάρων τεταγμένα,
ἡγεῖτο δὲ αὐτῶν Ἀρταβάτας Πέρσης.
19 Πορευομένου δὲ αὐτοῦ πάμπολλοι ἄνθρωποι παρείποντο [9
ἔξω τῶν σημείων, δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως.
πέμψας οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινάς, οἳ πα-
ρείποντο αὐτῷ τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ τούτου
ἕνεκα τοῦ διαγγέλλειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ τίς τι
αὐτοῦ δέοιτο, διδάσκειν τῶν ἱππάρχων τινὰ ὅ τι τις βού-
λοιτο, ἐκείνους δ' ἔφη πρὸς αὐτὸν ἐρεῖν. οἱ μὲν δὴ ἀπιόν-
τες εὐθὺς κατὰ τοὺς ἱππέας ἐπορεύοντο καὶ ἐβουλεύοντο
20 τίνι ἕκαστος προσίοι. ὁ δὲ Κῦρος οὓς ἐβούλετο μάλιστα
θεραπεύεσθαι τῶν φίλων ὑπὸ τῶν ἀνθρώπων, τούτους
πέμπων τινὰ πρὸς αὐτὸν ἐκάλει καθ' ἕνα ἕκαστον καὶ ἔλε-

16. αὖ τῷ] αὐτῷ D.G. ῥαβωτοῖς G. pr. ἱππῆς D. pr. hic et 17, 18. πανταχῇ εἰς ἑκατὸν D. 17. μυρίοι D. acc. a corr. δὲ] δὴ A. ὡσαῦτως D. ἱστάσπας A. ὡσαύτως τεταγμένοι D. ἡγεῖτο—ἄλλοι om. A.G. δ' αὐτῶν] δ' ἐπ' αὐτῶν A.G. 18. μετὰ δὲ τούτους ὑρκάνιοι om. A.G. mg. r. ἐπὶ δὲ τούτοις σάκαι om. A.G. ἀρταβάτας E. ἀρταβάτης A.D.G. 19. παρείποντο post αὐτοῦ G. τοῦ G. s. v. r. διαγγέλειν D. ἱππάρχων Fischerus. Libri ὑπάρχων. 20. ὑπὸ] ἐπὶ G. corr. s. v. r. αὑτὸν A.D. pr., ut videtur, G. ἐκαλεῖτο D.

16. ῥαβδωτοῖς] *Virgatis sagulis* Virgilii comparat Brodæus. SCHN. Pollux 7, 53: Αἱ ἐν τοῖς χιτῶσι πορφυραῖ ῥάβδοι παρυφαὶ καλοῦνται. ZEUN.

ἱππεῖς οἱ πρῶτοι γ.] 6, 2, 7; 7, 4, 14. ZEUN.

πανταχῇ] Tam in altitudinem quam in latitudinem, agmine quadrato militum centum centies sive decem millium. ZEUN. Conf. 6, 3, 20.

18. Ἀρταβάτας] Infra 8, 6, 7, Ἀρταβάτας omnes. Ἀρταπάτης quidam Cyri minoris satelles est in Anabasi 1, 6, 11; 8, 28.

19. ἱππάρχων poscit sequens κατὰ τοὺς ἱππέας. Conf. var. scr. 8, 4, 1.

οἱ μὲν δὴ] Flagitatores. SCHN.

γεν αὐτοῖς, Ἤν τις ὑμᾶς διδάσκῃ τι τούτων τῶν παρε-
πομένων, ὃς μὲν ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέ-
χετε αὐτῷ τὸν νοῦν· ὃς δ' ἂν δικαίων δεῖσθαι δοκῇ, εἰσαγ-
γέλλετε πρὸς ἐμέ, ἵνα κοινῇ βουλευόμενοι διαπράττωμεν
21 αὐτοῖς. οἱ μὲν δὴ ἄλλοι, ἐπεὶ καλέσειεν, ἀνὰ κράτος ἐλαύ- [10]
νοντες ὑπήκουον, συναύξοντες τὴν ἀρχὴν τῷ Κύρῳ καὶ
ἐνδεικνύμενοι ὅτι σφόδρα πείθοιντο· Δαϊφέρνης δέ τις ἦν
σολοικότερος ἄνθρωπος τῷ τρόπῳ, ὃς ᾤετο, εἰ μὴ ταχὺ
22 ὑπακούοι, ἐλευθερώτερος ἂν φαίνεσθαι. αἰσθόμενος οὖν ὁ
Κῦρος τοῦτο, πρὶν προσελθεῖν αὐτὸν καὶ διαλεχθῆναι αὐ-
τῷ ὑποπέμψας τινὰ τῶν σκηπτούχων εἰπεῖν ἐκέλευσε πρὸς
23 αὐτὸν ὅτι οὐδὲν ἔτι δέοιτο· καὶ τὸ λοιπὸν οὐκ ἐκάλει. Ὡς
δ' ὁ ὕστερον κληθεὶς αὐτοῦ πρότερος αὐτῷ προσήλασεν, ὁ
Κῦρος καὶ ἵππον αὐτῷ ἔδωκε τῶν παρεπομένων καὶ ἐκέ-
λευσε τῶν σκηπτούχων τινὰ συναπαγαγεῖν αὐτῷ ὅποι
κελεύσειε. τοῖς δὲ ἰδοῦσιν ἔντιμόν τι τοῦτο ἔδοξεν εἶναι,
καὶ πολὺ πλείονες ἐκ τούτου αὐτὸν ἐθεράπευον ἀνθρώπων.
24 Ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διὶ καὶ [11]
ὠλοκαύτησαν τοὺς ταύρους· ἔπειτα τῷ Ἡλίῳ καὶ ὠλο-
καύτησαν τοὺς ἵππους· ἔπειτα Γῇ σφάξαντες ὡς ἐξηγή-
σαντο οἱ μάγοι ἐποίησαν· ἔπειτα δὲ ἥρωσι τοῖς Συρίαν
25 ἔχουσι. μετὰ δὲ ταῦτα καλοῦ ὄντος τοῦ χωρίου ἔδειξε
τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε κατὰ φῦλα

αὐτοῖς] αὐτοῖς οὕτως D. τῶν om. D. εἰσαγγέλλετε] εἰσάγετε D. 21. ἀνακράτως D. δαϊφάρνης G. δάτινις D. δαϊφέρης E. δατίνης N. τὸν τρόπον D. εἰ ταχὺ ὑπακούοιεν D. 23. ὡς δ' ὁ] ὁ δὲ D. M. mg. ὕστερος D. προσήλασεν] ὑπήκουσε, προσήλασεν A.G. ὁ] καὶ ὁ D.M. mg. καὶ om. M. mg. τῶν] τὸν A. Libri ὅπου. τοῦτο om. G.M. πολὺ ἢ πλείονες τούτου D. ἐκ τούτου G. mg. r. ἄνθρωποι D. 24. ἔθυσαν τῷ] εὐθὺς αὐτῷ D. ὠλοκαύτησαν D. hic et infra. ὠλοκαύτωσαν A.G. ἐξηγοῦντο D. 25. ἱπποδρ°) hic D. mg. καλοῦ ὄντος—32. πρὸς σὲ Apostolius Prov. 20, 18. ἔδειξε—χωρίου G. mg. r. κατὰ φῦλα] κατὰ φυλὰς A. καὶ τὰς φυλὰς G.

21. Δαϊφέρνης] Hanc formam, etiam a Philelpho positam, commendant Ἀρταφέρνης, Ἰνταφέρνης, Μεγαφέρνης, Ὁλοφέρνης, Σατιφέρνης, Τισσαφέρνης, Φραταφέρνης. Contra dicitur Φαρνάβαζος, Φαρνοῦχος.

τῷ τρόπῳ] De dat. et accus. v. ad Thes. Steph.

23. ὑπήκουσε, προσήλασεν] Recte hoc repudiavit Camerarius. Nam nullo modo est verosimile Cyrum ipsum ex tanta pompa deflexisse et homini occurrisse. SCHN.

τῶν παρεπομένων] s. 16.

24. ὠλοκαύτησαν] De sacrificiorum ritu absque igne peragendorum Herodotus 1, 132, contradicit. SCHN. Restitui autem formam librorum Anab. 7, 8, 4, 5 omnium in ὁλοκαυτεῖν et ὠλοκαύτει consensu firmatam, de qua sola a Phrynicho Bekk. p. 56, 13, agnita et alibi quoque in alteram depravata dixi ad Thes. Steph.

Συρίαν] I. e. Assyriam. ZEUN.

25. σταδίων χωρίου] Alterum hoc χωρίου supervacuum est; si tamen

ἀνὰ κράτος ἐνταῦθα ἀφεῖναι τοὺς ἵππους· σὺν μὲν οὖν τοῖς
Πέρσαις αὐτὸς ἤλασε καὶ ἐνίκα πολύ· μάλιστα γὰρ ἐμε-
μελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρτάβαζος ἐνίκα· Κῦ-
ρος γὰρ αὐτῷ τὸν ἵππον ἐδεδώκει· Σύρων δὲ ὁ προστα-
τῶν· Ἀρμενίων δὲ Τιγράνης· Ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ἱπ-
πάρχου· Σακῶν δὲ ἰδιώτης ἀνὴρ ἀπέλιπεν ἄρα τῷ ἵππῳ
26 *τοὺς ἄλλους ἵππους ἐγγὺς τῷ ἡμίσει τοῦ δρόμου. ἔνθα δὴ* [1
λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον εἰ δέξαιτ' ἂν βασι-
λείαν ἀντὶ τοῦ ἵππου. τὸν δ' ἀποκρίνασθαι ὅτι Βασιλείαν
μὲν οὐκ ἂν δεξαίμην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ καταθέσθαι
27 *δεξαίμην ἄν. καὶ ὁ Κῦρος εἶπε, Καὶ μὴν ἐγὼ δεῖξαί σοι ἐθέ-*
λω ἔνθα κἂν μύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ.

ἀφεῖναι] *ἀφιέναι* D. Apostol. *πολύ· μάλιστα* D. *πολὺ μάλιστα* A.G. *ἱππικῆς*] *ἵππου* A.G. *ἀρταβάτης* A.G. *αὐτῷ* post *ἐδ.* Apostol. *ὁ προστατῶν*] *τῶν πάντων γαδάτας* D.M. Apostol. *ἀρμ.—ὑρκ. δὲ* om. Apostol. *ἀπέλειπεν* A.G. *ἀπέλιπε δὲ τῷ* Apostol. et mox *ἱππεῖς* et *τὸ ἥμισυ.* 26. *ἔρεσθαι* D. *ἀντὶ τοῦ*] *ἀντὶ* G. *δεξαίμην ἂν*] *δέξαιμι ἂν* D. pr. Apostol. 27. *σοι δεῖξαι* D. Apostol. *ἐθέλω* H. *θέλω* A.D.G. *μύων*] *καμμύων* D. *βάλλῃς* D. *ἁμάρτης* A.D. corr. s. v.

toleretur, articulum rectius addideris *τοῦ.* SCHN. Exspectes *τέρμα ὡς πέντε σταδίων.*

Ἀρτάβαζος] Hoc nomen alteri *Ἀρταβάτης,* quod Persæ erat s. 18, substituit etiam Apostolius. Conf. ad c. 4, 24. SCHN.

ὁ προστατῶν] Ejus nomen nullum finxit Xenophon: nam Schneiderus quod ex c. 4, 1 ductum inseruit *Γωβρύας,* hunc ne intelligendum quidem esse persuadet ætas viri senilis. Quæ autem c. 4 initio narrantur Gobryæ nihil prosunt: nam ibidem et Hyrcanus hipparchus memoratur; hic filius ejus; et Cadusius Rhathines omittitur, qui victor dicitur hujus c. s. 32. Cum scriptura *Σύρων δὲ τῶν πάντων Γαδάτας* conferri licet *πάντας Σύρους* supra 1, 5, 2, quanquam is locus ab hoc multum differt. Schneiderus sic: "*Σύρων δὲ ὁ προστατῶν·*] Multa sunt, quæ hanc vulgarem scripturam convincant falsam, certe mancam. Quid enim causæ esse dicamus, cur solus Syrorum vel Assyriorum dux vel præfectus non nominetur inter victores, cum e Sacis privatus homo adeo paulo postea nominatus sit. Deinde Brodæus scripturam *Σύρων δὲ τῶν πάντων Γαδάτας* laudavit, nescio e libris suis, an ex Apostolio, an e versione Philelphi. Glossema id esse visum est Zeunio, cujus rationem probare non possum. Si falsam eam scripturam dixisset, assentirer. Nam de Gadata constat e capitis 4, s. 2, eunuchis eum fuisse præfectum: *Γαδάτας δὲ τῶν σκηπτούχων ἦρχεν αὐτῷ.* Igitur vere hic *Σύρων προστατῶν* dici hic non potuit. Postea ubi Cyrus victoriam suam festo celebrat infra c. 4, par est inter reliquos victores ad cœnam ab eo vocatos nominari etiam hunc Syrum vel Assyrium victorem. Nominantur autem ibi eodem fere ordine Artabazus Medus, Tigranes Armenius, Hyrcanius hipparchus, et Gobryas sine dignitatis titulo. Hunc igitur Gobryam esse puto eum, quem libri scripti hic omiserunt, cujusque in locum subjecerunt alii Gadatam. De verbis *τῶν πάντων,* quorum loco alii libri *ὁ προστατῶν* habent, difficile est judicium: quanquam prior scriptura *τῶν πάντων* multo minorem veri speciem habet. Quid enim eo additamento opus erat, ubi unus nominatur? Igitur *ὁ προστατῶν* veteri in possessione reliqui et nomen *Γωβρύας* addidi." Aliud potius in illis quæras.

ἄρα] Conf. 7, 3, 6.

26. *ἔνθα δὴ*] Narratio hic abrupta repetitur demum s. 32. SCHN.

Πάντως τοίνυν, ὁ Σάκας ἔφη, δεῖξόν μοι· ὡς βαλῶ γε
28 ταύτῃ τῇ βώλῳ, ἔφη ἀνελόμενος. καὶ ὁ μὲν Κῦρος δεικνύ-
σιν αὐτῷ ὅπου ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων
ἵησι τῇ βώλῳ καὶ παρελαύνοντος Φεραύλα τυγχάνει· ἔτυ-
χε γὰρ ὁ Φεραύλας παραγγέλλων τι τακτὸς παρὰ τοῦ
Κύρου· βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ᾽ ᾤχετο ἐφ᾽ ὅπερ
29 ἐτάχθη. ἀναβλέψας δὲ ὁ Σάκας ἐρωτᾷ τίνος ἔτυχεν. Οὐ
μὰ τὸν Δί᾽, ἔφη, οὐδενὸς τῶν παρόντων. Ἀλλ᾽ οὐ μέν-
τοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων. Ναὶ μὰ Δί᾽, ἔφη
ὁ Κῦρος, σύγε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύνον-
30 τος τὸν ἵππον. Καὶ πῶς, ἔφη, οὐ μεταστρέφεται; καὶ ὁ
Κῦρος ἔφη, Μαινόμενος γάρ τίς ἐστιν, ὡς ἔοικεν. ἀκού- [13]
σας ὁ νεανίσκος ᾤχετο σκεψόμενος τίς εἴη· καὶ εὑρίσκει
τὸν Φεραύλαν γῆς τε κατάπλεων τὸ γένειον καὶ αἵματος·
31 ἐρρύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι. ἐπεὶ δὲ προσῆλ-
θεν, ἤρετο αὐτὸν εἰ βληθείη. ὁ δὲ ἀπεκρίνατο, Ὡς ὁρᾷς.
Δίδωμι τοίνυν σοι, ἔφη, τοῦτον τὸν ἵππον. ὁ δ᾽ ἐπήρετο,
Ἀντὶ τοῦ; ἐκ τούτου δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα, καὶ
τέλος εἶπε, Καὶ οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ.
32 καὶ ὁ Φεραύλας εἶπεν, Ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ
ἐσωφρόνεις, ἢ ἐμοὶ ἐδίδους· νῦν δὲ κἀγὼ δέξομαι. ἐπεύ-
χομαι δέ, ἔφη, τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι ὑπὸ
σοῦ, δοῦναί μοι ποιῆσαι μὴ μεταμέλειν σοι τῆς ἐμῆς δω-
ρεᾶς. καὶ νῦν μέν, ἔφη, ἀπέλα, ἀναβὰς ἐπὶ τὸν ἐμὸν ἵπ-
πον· αὖθις δ᾽ ἐγὼ παρέσομαι πρὸς σέ. οἱ μὲν δὴ οὕτω
33 διηλλάξαντο. Καδουσίων δ᾽ ἐνίκα Ῥαθίνης. ἀφίει δὲ καὶ [14]

τοίνυν om. Apostol. *σακᾶς* D. *ἔφη*] *ἀνελόμενος* add. A.G. *ταύτῃ* om. A.G. mg. r. *ἔφη*] *ἀνελὼν* A.G. om. Apostol. 28. *ἦσαν* om. Apostol. *ἵησι* D. *παραγγέλων τινὶ τακτικὸν ὑπὸ κύρου* D. *παραγγέλλων τι τακτικὸν ὑπὸ κύρου* Apostol. 29. *ἐρωτᾷ ὁ σακᾶς* D. *ἔτυχες* A.G. pr. *ἔφη ὁ κῦρος* D. Apostol. *μέντι* G. *σύγε*] *σὺ δὲ* D. 30. *οὐ*] *οὐδὲ* D. Apostol. *οὐ μ. ἔφη* M. *ἐρρύει* A.D. 31. *συνῆλθεν* Apostol. et *ἀπεκρίνετο*. *τουτονὶ* D. *τούτου*] *τοῦ* A.G. *καὶ οἶμαι*] *οἶμαι* Apostol. 32. *ὁ* om. D. Apostol. *ἔφη*] *πᾶσι* D. Apostol. *καταμέλειν* G. pr., sed *με* s. v. et, ut videtur, circumfl. r. *μεταμελήσειν* M. *ἀπέλασον* Apostol. *τὸν*] *τόνδε τὸν* D. Apostol. *αὖτις* D. *εὐθὺς* Apostol. *οἱ*] *οὗτοι* D. *νικᾷ* D. *ῥαθίνης* L. et mg. M., qui in textu *ῥαδίνης*, ut A.G. *ῥαθίης* D.

28. *τακτὸς*] Ex Thucydide *τακτὸν σῖτον*, ex Xenoph. H. Gr. 5, 2, 36, *τακτὸν ἀργύριον* laudari video. SCHN.

32. *τῆς ἐμῆς*] Ita 3, 1, 28, *φιλίᾳ τῇ ἐμῇ* i. e. *τῇ εἰς ἐμέ*. Platonis Gorgias *εὐνοίᾳ τῇ σῇ* habet similiter; *desiderio tuo* ex Terentii Heaut. 2, 2, 26, *odio tuo* Phorm. 5, 8, 27, *tua observantia* ex Ciceronis Epist. 10, 24. laudavit Weiskius. SCHN. Cum *ἀπέλα* conf. *ἐλᾶν* H. Gr. 2, 4, 32.

Ῥαθίνης] Persa cognominis est A-

τὰ ἅρματα καθʼ ἕκαστον· τοῖς δὲ νικῶσι πᾶσιν ἐδίδου βοῦς
τε, ὅπως ἂν θύσαντες ἑστιῷντο, καὶ ἐκπώματα. τὸν μὲν
οὖν βοῦν ἔλαβε καὶ αὐτὸς τὸ νικητήριον· τῶν δʼ ἐκπωμά-
των τὸ αὑτοῦ μέρος Φεραύλᾳ ἔδωκεν, ὅτι καλῶς ἔδοξεν
34 αὐτοῦ τὴν ἐκ τοῦ βασιλείου ἔλασιν διατάξαι. οὕτω δὴ ἡ
τότε ὑπὸ Κύρου κατασταθεῖσα ἔλασις οὕτως ἔτι καὶ νῦν
διαμένει ἡ βασιλέως ἔλασις, πλὴν τὰ ἱερὰ ἄπεστιν, ὅταν
μὴ θύῃ. ὡς δὲ ταῦτα τέλος εἶχεν, ἀφικνοῦνται πάλιν εἰς
τὴν πόλιν, καὶ ἐσκήνησαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατʼ
οἰκίας, οἷς δὲ μή, ἐν τάξει.

35 Καλέσας δὲ καὶ ὁ Φεραύλας τὸν Σάκαν τὸν δόντα τὸν
ἵππον ἐξένιζε, καὶ τἄλλα τε παρεῖχεν ἔκπλεω, καὶ ἐπεὶ ἐδε-
δειπνήκεσαν, τὰ ἐκπώματα αὐτῷ ἃ ἔλαβε παρὰ Κύρου
36 ἐμπιμπλὰς προύπινε καὶ ἐδωρεῖτο. καὶ ὁ Σάκας ὁρῶν πολ-
λὴν μὲν καὶ καλὴν στρωμνήν, πολλὴν δὲ καὶ καλὴν κατα-
σκευήν, καὶ οἰκέτας δὲ πολλούς, Εἰπέ μοι, ἔφη, ὦ Φε-
37 ραύλα, ἦ καὶ οἴκοι τῶν πλουσίων ἦσθα; καὶ ὁ Φεραύλας
εἶπε, Ποίων πλουσίων; τῶν μὲν οὖν σαφῶς ἀποχειρο-
βιώτων. ἐμὲ γάρ τοι ὁ πατὴρ τὴν μὲν τῶν παίδων παι-
δείαν γλίσχρως αὐτὸς ἐργαζόμενος καὶ τρέφων ἐπαίδευεν·
ἐπεὶ δὲ μειράκιον ἐγενόμην, οὐ δυνάμενος τρέφειν ἀργόν, εἰς

33. ἐδίδου om. D. ὅπως] ω in ras. et ς s. v. r. G. ἂν om. D. αὑτοῦ A.G. ἑαυτοῦ D. αὐτοῦ] αὐτῷ D. διαταγεῦσαι D. 34. ἡ ante ἔλασις D. οὕτω A. οὕτως post νῦν D. οὕτως—ἔλασις G. mg. r. νῦν] εἰς ἐμὲ E. ἡ β. ἔλασις om. E. εἰς τὴν πόλιν om. A.G. s. v. r. ἐσκήνωσαν D.G. s. v. r. 35. σακᾶν D. et sic semper. ἐκπιμπλὰς A.G. ἐμπιπλὰς D. 37. ἀποχειροβιότων D. ἐγενόμην B.D. ἐγιγνόμην A.G.

nab. 6, 5, 7; H. Gr. 3, 4, 13. Simile nomen Persicum Ἀσπαθίνης apud Herodotum.

διατάξαι] Ad διαταγεῦσαι Schneider.: Est quidem in H. Gr. 6, 1, verbum ταγεύειν, sed diversa notione; ταγεύειν ἄνδρας dixit Æschylus Theb. 58.

34. οὕτω δὴ — ἔλασις] ἡ β. ἔλασις, omissa in E., nullius fidei libro, quominus abjiciantur obstat sequens θύῃ: collocatio autem verborum ἡ τότε κατασταθεῖσα ἔλασις stabilitur loco 8, 1, 24, οὕτω δὴ τὰ τότε κατασταθέντα ἔτι καὶ νῦν διαμένει. Similis repetitio inelegans Anab. 6, 4, 2: Οὓς ἂν λάβωσι τῶν Ἑλλήνων ἐκπίπτοντας δεινὰ ὑβρίζειν λέγονται τοὺς Ἕλληνας. Aliæ supra 7, 2, 11: infra 8, 5, 13. Prius ἡ et ἔλασις secluserat Schneiderus, malebatque abesse etiam alterum οὕτως.

ἱερὰ] Victimæ si dicuntur, exspectes ἱερεῖα.

35. ἐμπιμπλὰς] V. ad 4, 2, 41.

προύπινε καὶ ἐδωρεῖτο] Conf. Anab. 7, 3, 26.

37. τῶν πλουσίων] Idem argumentum quod in seqq., tractat Conviv. 4, 29 seqq. ZEUN.

ἀποχειροβ.] Utitur vocabulo etiam Herodotus 3. 42, fortasse ex usu plebis ducto. SCHN. E Xen. citat Pollux 2, 150.

τὴν τῶν παίδων παιδείαν] V. 1, 2, 15. ZEUN.

38 ἀγρὸν ἀπαγαγὼν ἐκέλευσεν ἐργάζεσθαι. ἔνθα δὴ ἐγὼ ἀν-
τέτρεφον ἐκεῖνον, ἕως ἔζη, αὐτὸς σκάπτων καὶ σπείρων καὶ
μάλα μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων
δικαιότατον· ὅ τι γὰρ λάβοι σπέρμα, καλῶς καὶ δικαίως
ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν· ἤδη δέ ποτε
ὑπὸ γενναιότητος καὶ διπλάσια ἀπέδωκεν ὧν ἔλαβεν. οἴκοι
μὲν οὖν οὕτως ἔγωγε ἔζων· νῦν δὲ ταῦτα πάντα ἃ ὁρᾷς
39 Κῦρός μοι ἔδωκε. καὶ ὁ Σάκας εἶπεν, Ὦ μακάριε σὺ τά τε [16]
ἄλλα καὶ αὐτὸ τοῦτο ὅτι ἐκ πένητος πλούσιος γεγένησαι·
πολὺ γὰρ οἶμαί σε καὶ διὰ τοῦτο ἥδιον πλουτεῖν ὅτι πεινή-
40 σας χρημάτων πεπλούτηκας. καὶ ὁ Φεραύλας εἶπεν, Ἦ
γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις ὡς ἐγὼ νῦν τοσούτῳ
ἥδιον ζῶ ὅσῳ πλείω κέκτημαι; οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω
μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν νῦν ἥδιον ἢ τότε ὅτε
πένης ἦν. ὅτι δὲ ταῦτα πολλά ἐστι, τοσοῦτον κερδαίνω,
πλείω μὲν φυλάττειν δεῖ, πλείω δὲ ἄλλοις διανέμειν,
41 πλειόνων δὲ ἐπιμελόμενον πράγματα ἔχειν. νῦν γὰρ δὴ
ἐμὲ πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι, πολλοὶ δὲ πιεῖν,
πολλοὶ δὲ ἱμάτια· οἱ δὲ ἰατρῶν δέονται· ἥκει δέ τις ἢ τῶν
προβάτων λελυκωμένα φέρων ἢ τῶν βοῶν κατακεκρημνι-
σμένα ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστε

38. ἀντέτρεφον] ἦν τρέφων D. Libri γήδιον. λάβοι D. et cujus A. λάβῃ Stob. Fl. 57, 11, citans σκάπτω καὶ σπείρω—ὧν ἔλαβε. ἂν λάβοι A.G. οὖν] δὴ D. ἔγωγε οὕτως D. 39. Libri οἴομαι. καὶ s. v. r. G. 40. ἡδίων ὁ τῶν πενήτων βίος hic mg. G. οὕτως ὦ σάκα οὕτως A.G. pr. ὅσα A. G. corr. s. v. r. πλείονα D. Stob. Fl. 97, 32, citans ἦ γὰρ—46. μετέχειν. ἥδιον νῦν D. Stob. τότε om. B.D. Stob. πολλὰ ταῦτα D. Stob. τοσοῦτο D. πλειόνων C.D. Stob. πλείονα A.G. ἐπιμελόμενον D. Stob. ἐπιμελούμενον A.G. 41. πολλοὶ δὲ πιεῖν om. A.G. mg. r. ὥστ' ἔμοιγε D. Stob.

38. *δικαίως ἀπεδίδου*] Menander apud Stob. Fl. 57, 5: *Κριθὰς δ' ἐὰν σπείρω, πάνυ δίκαιος ὢν ἀπέδωχ' ὅσας ἂν καταβάλω.* DOBR. Pollux 1, 227: *Γῆ δ' ἐρεῖς εὔφορος—δικαία, Μένανδρος δίκαιον γήδιον καλεῖ τὸ μηδὲν πλέον τοῦ σπέρματος ἐκφέρον*, confundens, ut videtur, Xenophontem cum Menandro. *Γήδιον* autem præcipit Etym. M. Ceterum conf. Œcon. 5, 12.

39. *οἶμαι*] Alienam a prosa Atticorum videri formam *οἴομαι* dixi præf. ad Anab. p. xii.

40. *πλειόνων*] Scripturam *πλείονα* post *πλείω* conferre licet cum *μείονα*—*μείω* 6, 3, 17. *Πλειόνων ἐπιμελόμενον* est 8, 3, 50. *Πράγματα ἔχειν* 8, 2, 21.

41. *λελυκωμένα*] Hesychius *λυκόσπαστα* interpretatur. Deinceps Stephanus *κατακεκρημνισμένους* malebat legi, in Thesauro—*νισμένων*; vulgatum defendit Abresch. Thucyd. p. 282, non ego. SCHN. Similia contulit Schæfer. ad schol. Apoll. Rh. p. 235, in his Aristot. H. A. 5, 14 extr.: *Τὰς φωνὰς τὰ ἐκτεμνόμενα μεταβάλλουσιν ἐναντίως· εἰς τὸ θῆλυ γὰρ μεταβάλλουσι τὰ ἐκτεμνόμενα*, ubi ipse intelligit *τῶν βοῶν*, sed Aristoteles *ζῷα* cogitabat.

μοι δοκῶ, ἔφη ὁ Φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω
42 λυπεῖσθαι ἢ πρόσθεν διὰ τὸ ὀλίγα ἔχειν. καὶ ὁ Σάκας,
Ἀλλὰ ναὶ μὰ Δί', ἔφη, ὅταν σᾶ ᾖ, πολλὰ ὁρῶν πολλα-
πλάσια ἐμοῦ εὐφραίνει. καὶ ὁ Φεραύλας εἶπεν, Οὔτοι, ὦ
Σάκα, ἡδύ ἐστι τὸ ἔχειν χρήματα ὡς ἀνιαρὸν τὸ ἀποβάλ-
λειν. γνώσει δ' ὅτι ἐγὼ ἀληθῆ λέγω· τῶν μὲν γὰρ πλου-
τούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς ἀγρυπνεῖν, τῶν δὲ
ἀποβαλλόντων τι ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ
43 λύπης. Μὰ Δί', ἔφη ὁ Σάκας, οὐδέ γε τῶν λαμβανόντων
44 τι νυστάζοντα οὐδένα ἂν ἴδοις ὑφ' ἡδονῆς. Ἀληθῆ, ἔφη,
λέγεις· εἰ γάρ τοι τὸ ἔχειν οὕτως ὥσπερ τὸ λαμβάνειν ἡδὺ
ἦν, πολὺ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων.
καὶ ἀνάγκη δέ τοί ἐστιν, ἔφη, ὦ Σάκα, τὸν πολλὰ ἔχοντα
πολλὰ καὶ δαπανᾶν καὶ εἰς θεοὺς καὶ εἰς φίλους καὶ εἰς
ξένους· ὅστις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦ-
45 τον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. Μὰ Δί', ἔφη ὁ
Σάκας· ἀλλ' οὐκ ἐγὼ τούτων εἰμὶ, ἀλλὰ καὶ εὐδαιμονίαν
46 τοῦτο νομίζω τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. Τί
οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὁ Φεραύλας, οὐχὶ σύγε αὐτίκα
μάλα εὐδαίμων ἐγένου καὶ ἐμὲ εὐδαίμονα ἐποίησας; λα-
βὼν γὰρ, ἔφη, ταῦτα πάντα κέκτησο, καὶ χρῶ ὅπως βού-
λει αὐτοῖς· ἐμὲ δὲ μηδὲν ἄλλο ἢ ὥσπερ ξένον τρέφε, καὶ
ἔτι εὐτελέστερον ἢ ξένον· ἀρκέσει γάρ μοι ὅ τι ἂν καὶ σὺ
47 ἔχῃς τούτων μετέχειν. Παίζεις, ἔφη ὁ Σάκας. καὶ ὁ Φε-
ραύλας ὀμόσας εἶπεν ἦ μὴν σπουδῇ λέγειν. καὶ ἄλλα γέ
σοι, ὦ Σάκα, προσδιαπράξομαι παρὰ Κύρου, μήτε θύρας
τὰς Κύρου θεραπεύειν μήτε στρατεύεσθαι· ἀλλὰ σὺ μὲν
πλουτῶν οἴκοι μένε· ἐγὼ δὲ ταῦτα ποιήσω καὶ ὑπὲρ σοῦ

42. σακᾶς εἶπεν D. Stob. τὸν δί' Stob. Libri σωᾶ. εὐφραίνει B. εὐφραίνῃ A.D.G. οὕτως ante ἡδὺ D.P. Stob. post χρήματα G. s. v. r. M. ὡς] ὥσπερ D. Stob. ἀποβαλεῖν D. Stob. γνώσει B. pr. γνώσῃ A.B. corr. D.G. ἐγὼ om. D. τἀληθῆ Stob. μὲν om. D. ὄψη D. pr. 43. οὐδέ τι A.G. οὐδ' ἔτι B. τι om. D. Stob. 44. ἀληθῆ ἔφη λέγεις] ἀληθῆ δοκεῖς λέγειν G. ὦ om. D. ἴσθι] Post hoc erasit aliquid D. Spatium capiat ὅτι. 45. εὐδαιμονίαν—δαπανᾶν negligentius Stob. Fl. 103, 16. 46. εὐδαιμονῶν A.G. καὶ ἐμὲ] κἀμὲ Stob. χρῶ] χρῶ τε A.G. ὥσπερ D. Stob. βούλῃ D. ἄλλο ἢ] ἄλλο D. ἔχεις D. τούτου Stob. 47. σπουδῇ] πουδὴ G. μένε] μενεῖς D.

42. σῶα] σᾶ scribendum esse ut σῷ pro σῶοι, dixi præf. ad Anab. p. ix.

ἀποβαλλόντων] Muretus malebat ἀποβαλόντων; at enim ita etiam s. 43. λαβόντων oportebat. SCHN.

καὶ ὑπὲρ ἐμοῦ· καὶ ἐάν τι ἀγαθὸν προσλαμβάνω διὰ τὴν Κύρου θεραπείαν ἢ καὶ ἀπὸ στρατείας τινὸς, οἴσω πρὸς σὲ, ἵνα ἔτι πλειόνων ἄρχῃς· μόνον, ἔφη, ἐμὲ ἀπόλυσον ταύτης τῆς ἐπιμελείας· ἢν γὰρ ἐγὼ σχολὴν ἄγω ἀπὸ τούτων, ἐμοί τέ σε οἶμαι πολλὰ καὶ Κύρῳ χρήσιμον ἔσεσθαι.
48 τούτων οὕτω ῥηθέντων ταῦτα συνέθεντο καὶ ταῦτα ἐποίουν. καὶ ὁ μὲν ἡγεῖτο εὐδαίμων γεγενῆσθαι, ὅτι πολλῶν ἦρχε χρημάτων· ὁ δ' αὖ ἐνόμιζε μακαριώτατος εἶναι, ὅτι ἐπίτροπον ἕξοι, σχολὴν παρέχοντα πράττειν ὅ τι ἂν αὐτῷ ἡδὺ ᾖ.
49 Ἦν δὲ τοῦ Φεραύλα ὁ τρόπος φιλέταιρός τε καὶ θεραπεύειν οὐδὲν ἡδὺ αὐτῷ οὕτως ἐδόκει εἶναι οὐδ' ὠφέλιμον ὡς ἀνθρώπους. καὶ γὰρ βέλτιστον πάντων τῶν ζῴων ἡγεῖτο ἄνθρωπον εἶναι καὶ εὐχαριστότατον, ὅτι ἑώρα τούς τε ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως τοῖς τε χαριζομένοις πειρωμένους ἀντιχαρίζεσθαι, καὶ οὓς γνοῖεν εὐνοϊκῶς ἔχοντας, τούτοις ἀντευνοοῦντας, καὶ οὓς εἰδεῖεν φιλοῦντας αὐτοὺς, τούτους μισεῖν οὐ δυναμένους, καὶ γονέας δὲ πολὺ μᾶλλον ἀντιθεραπεύειν πάντων τῶν ζῴων ἐθέλοντας καὶ ζῶντας καὶ τελευτήσαντας· τὰ δ' ἄλλα πάντα ζῷα καὶ ἀχαριστότερα καὶ ἀγνωμονέστερα ἀνθρώπων
50 ἐγίγνωσκεν εἶναι. οὕτω δὴ ὅ τε Φεραύλας ὑπερήδετο ὅτι [20]
ἐξέσοιτο αὐτῷ ἀπαλλαγέντι τῆς τῶν ἄλλων κτημάτων ἐπιμελείας ἀμφὶ τοὺς φίλους ἔχειν, ὅ τε Σάκας ὅτι ἔμελλε πολλὰ ἔχων πολλοῖς χρήσεσθαι. ἐφίλει δὲ ὁ μὲν Σάκας τὸν Φεραύλαν, ὅτι προσέφερέ τι ἀεί· ὁ δὲ τὸν Σάκαν, ὅτι

ἐμοῦ] ἐμαυτοῦ D. ἂν D. ἔτι] ἐπὶ D. οἶμαι] Libri οἴομαι. 48. εὐδαίμων] εὐδαιμονῶν A. εὐδαιμονίαν G. ἕξοι] ει s. v. r. G. παρέξοντα D. ᾖ D. εἴη A.G. 49. τε om. H. θεραπεύειν] τὸ θεραπεύειν D. τε om. D. ἐπαινουμένους] ἐπαινομένους A. ἐπαίνους fortasse G. pr., qui accentum super ι erasit et ου ex ο r. fecit addiditque μένους. καὶ ζῶντας om. A.G. καὶ ἀχ. καὶ ἀγν.] ἀγν. καὶ ἀχ. D. 50. φίλους] ἄλλους φίλους D. ἤμελλεν D.

47. ἐμοῦ] Usitatius ἐμαυτοῦ quam ἐμοῦ pro reflexivo positum, de quo agens Antiatt. Bekk. An. p. 92, 16, ponit exemplum Anaxandridis: Ὑπὲρ σεαυτοῦ πρᾶτθ' ὅ τι ἂν σοι δοκῇ, ἐγὼ δ' ὑπὲρ ἐμοῦ. Vicissim ἐμοῦ pro ἐμαυτοῦ nonnulli 1, 6, 15; 5, 4, 38; 6, 1, 47, et σοὶ pro σαυτῷ 1, 6, 20. Sed Œcon. 7, 11 omnes: Βουλευόμενος ἔγωγε (scrib. ἐγώ τε) ὑπὲρ ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ.

οἶμαι] V. ad s. 39.

48. ταῦτα—ταῦτα] Sic Anab. 5, 7, 11. Nisi libri fallunt, ut H. Gr. 2, 3, 49.

ὅ τι ἂν αὐτῷ ἡδὺ ᾖ] Vitiosum εἴη, nunc ex codice a me correctum, notavi ad 7, 5, 49.

49. βέλτιστον πάντων τῶν ζῴων] Conf. Themist. Or. 22, p. 273 B. ZEUN.

*παραλαμβάνειν πάντα ἤθελε καὶ ἀεὶ πλειόνων ἐπιμελόμε-
νος οὐδὲν μᾶλλον αὐτῷ ἀσχολίαν παρεῖχε. καὶ οὗτοι μὲν
δὴ οὕτω διῆγον.*

ΚΕΦ. Δ.

*Θύσας δὲ ὁ Κῦρος καὶ νικητήρια ἑστιῶν ἐκάλεσε τῶν
φίλων οἳ μάλιστ᾽ αὐτὸν αὔξειν τε βουλόμενοι φανεροὶ
ἦσαν καὶ τιμῶντες εὐνοϊκώτατα. συνεκάλεσε δὲ αὐτοῖς
καὶ Ἀρτάβαζον τὸν Μῆδον καὶ Τιγράνην τὸν Ἀρμένιον
2 καὶ τὸν Ὑρκάνιον ἵππαρχον καὶ Γωβρύαν. Γαδάτας δὲ
τῶν σκηπτούχων ἦρχεν αὐτῷ, καὶ ᾗ ἐκεῖνος διεκόσμησεν ἡ
πᾶσα ἔνδον δίαιτα καθειστήκει· καὶ ὁπότε μὲν συνδειπνοῖέν
τινες, οὐδ᾽ ἐκάθιζε Γαδάτας, ἀλλ᾽ ἐπεμέλετο· ὁπότε δὲ αὐ-
τοὶ εἶεν, καὶ συνεδείπνει· ἥδετο γὰρ αὐτῷ συνών· ἀντὶ δὲ
τούτων πολλοῖς καὶ μεγάλοις ἐτιμᾶτο ὑπὸ τοῦ Κύρου, διὰ
3 δὲ Κῦρον καὶ ὑπ᾽ ἄλλων. ὡς δ᾽ ἦλθον οἱ κληθέντες ἐπὶ
τὸ δεῖπνον, οὐχ ὅπου ἔτυχεν ἕκαστον ἐκάθιζεν, ἀλλ᾽ ὃν* [2
*μὲν μάλιστα ἐτίμα, παρὰ τὴν ἀριστερὰν χεῖρα, ὡς εὐεπι-
βουλευτοτέρας ταύτης οὔσης ἢ τῆς δεξιᾶς, τὸν δὲ δεύτερον
παρὰ τὴν δεξιάν, τὸν δὲ τρίτον πάλιν παρὰ τὴν ἀριστε-
ράν, τὸν δὲ τέταρτον παρὰ τὴν δεξιάν· καὶ ἢν πλείονες*

καὶ ἀεὶ] *καὶ δὴ* D. *ἐπιμελούμενος* A.G. *αὐτοὶ* A.G. *μὲν δὴ*] *μὲν* D. 1. *θύσας δὲ ὁ κῦρος καὶ νικητήρια* C. *θύσας δὲ καὶ ὁ κῦρος νικητήρια* A.D.G. *ἑστιῶν*] *ἑστινῶν* A. *μῆδον*] *καὶ τιγράνην τὸν μῆδον* add. A. punctis notat G. *ὑρκανίων* D. *ὕπαρχον* A.G. 2. *ᾗ*] *ἣ* D. *ὅπῃ* G. mg. r. *αὐτῷ*] *ν* s. *ῶ* r. D. *αὐτῶν* M. Libri *ἐπεμελεῖτο*. *αὐτοὶ*] *μὴ αὐτοὶ* A.G. *καὶ* om. M. *ξυνών* A.G. *μεγάλοις*] *δώροις* add. C.D. *ἐτιμᾶτο*] *ἐτετίμητο* C.D. *ἐτίμα τοῦτον ὁ κῦρος* M. 3. *ὅποι* A.G. *εὐ* om. B.G. s. v. r. *αὐτῆς* D. *πλείονες* C. *πλέονες* A.D.G.

1. *νικητήρια ἑστιῶν*] Plut. Phoc. c. 20: *Νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια.* HUTCH. Sic alii *ἑστιᾶν τὰ ἐπινίκια* et similia.

τὸν Ὑρκάνιον ἵππαρχον] *Ὑρκανίων* Weiskius. Supra c. 3, 23, est *Ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ἱππάρχου.* SCHN.

2. *αὐτοὶ*] *Soli.* Margo C. *μόνοι δίχα ἑτέρων.*

ἐκάθιζεν] Medium inter duos convivas locum apud Persas honoratissimum memorat Plutarchus Q. S. 1, 3. SCHN. Cœnam regis Persarum describit Heraclides Cumæus apud Athen. 4, p. 145 B.

3. *ἢν πλείονες ὦσιν*] Necessario dicendum fuisset *εἰ πλείονες εἶεν*, si quod tunc egit Cyrus tantum spectaretur: nunc reges Persarum in universum dicuntur, ut ostendit s. 5. extr. et locus Plutarchi. Conf. 8, 1, 24. Male autem plerique *πλείονες*, quæ forma tollenda H. Gr. 2, 3, 24; 4, 3, 15; 7, 5, 12. *Πλέονες ἢ μύριοι* pro *πλεῖν ἢ μύριοι* rejicit Moeris p. 294.

4 ὦσιν, ὡσαύτως. σαφηνίζεσθαι δὲ ὡς ἕκαστον ἐτίμα διὰ
τοῦτο ἐδόκει αὐτῷ ἀγαθὸν εἶναι, ὅτι ὅπου μὲν οἴονται οἱ
ἄνθρωποι τὸν κρατιστεύοντα μήτε κηρυχθήσεσθαι μήτε
ἆθλα λήψεσθαι, δῆλοί εἰσιν ἐνταῦθα οὐ φιλονείκως πρὸς
ἀλλήλους ἔχοντες· ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κρά-
τιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγω-
5 νιζόμενοι πάντες. καὶ ὁ Κῦρος δὲ οὕτως ἐσαφήνιζε μὲν [3]
τοὺς κρατιστεύοντας παρ' ἑαυτῷ, εὐθὺς ἀρξάμενος ἐξ ἕδρας
καὶ παραστάσεως. οὐ μέντοι ἀθάνατον τὴν ταχθεῖσαν
ἕδραν κατεστήσατο, ἀλλὰ νόμιμον ἐποιήσατο καὶ ἀγαθοῖς
ἔργοις προβῆναι εἰς τὴν τιμιωτέραν ἕδραν, καὶ εἴ τις ῥᾳ-
διουργοίη, ἀναχωρῆσαι εἰς τὴν ἀτιμοτέραν. τὸν δὲ πρω-
τεύοντα ἐν ἕδρᾳ ᾐσχύνετο μὴ οὐ πλεῖστα καὶ ἀγαθὰ ἔχον-
τα παρ' αὐτοῦ φαίνεσθαι. καὶ ταῦτα δὲ ἐπὶ Κύρου γενό-
μενα οὕτως ἔτι καὶ νῦν διαμένοντα αἰσθανόμεθα.
6 Ἐπεὶ δὲ ἐδείπνουν, ἐδόκει τῷ Γωβρύᾳ τὸ μὲν πολλὰ [4]
ἕκαστα εἶναι οὐδέν τι θαυμαστὸν παρ' ἀνδρὶ πολλῶν ἄρ-
χοντι· τὸ δὲ τὸν Κῦρον οὕτω μεγάλα πράττοντα, εἴ τι
ἡδὺ δόξειε λαβεῖν, μηδὲν τούτων μόνον καταδαπανᾶν, ἀλλ'
ἔργον ἔχειν δεόμενον τούτου κοινωνεῖν τοὺς παρόντας· πολ-
λάκις δὲ καὶ τῶν ἀπόντων φίλων ἔστιν οἷς ἑώρα πέμποντα
7 ταῦτα αὐτὸν οἷς ἥσθεὶς τύχοι· ὥστε ἐπεὶ ἐδεδειπνήκεσαν
καὶ τὰ πάντα πολλὰ ὄντα διεπεπόμφει ὁ Κῦρος ἀπὸ τῆς
τραπέζης, εἶπεν ἄρα ὁ Γωβρύας, Ἀλλ' ἐγὼ, ὦ Κῦρε,
πρόσθεν μὲν ἡγούμην τούτῳ σε πλεῖστον διαφέρειν ἀνθρώ-
πων τῷ στρατηγικώτατον εἶναι· νῦν δὲ θεοὺς ὄμνυμι ἦ
μὴν ἐμοὶ δοκεῖν πλέον σε διαφέρειν φιλανθρωπίᾳ ἢ στρα-

4. Addidi διά. ὅτι ὅπου] ὅπου ἔτι A.G. οἱ om. C.D. προθυμότατα C.D. φρονιμώτατα A.G. εἰσὶ πάντες ἀγ. C.D. 5. δὲ] μὲν δὴ C. δὴ D. παρ'] μὲν παρ' D. κατεστήσαντο D. pr., ut videtur. ἐποιήσαντο C. τιμιωτάτην A.G. τις] τι A.G. ἀτιμωτ. D. pr. G. pr. ἐν ἕδρᾳ] ἕδραις C.D. μὴ οὐ] μὴ A.G. καὶ om. C. αὐτοῦ] αὐτῷ G. corr. s. v. r. ἐπὶ] ὑπὸ C.D. 6. ἐπεὶ—γωβρύᾳ om. A. δὲ] δὴ C. οὕτως C.D. δεόμενον] τὸν δεόμενον C.D.M. ἁπάντων D. 7. τὰ πάντα πολλὰ Stephanus. πάντα τὰ πολλὰ A.G. τὰ πάντα πάμπολλα D.M. διαπεπόμφει A.G. πρόσθεν μὲν] πρόσθε μὲν A. πρόσθεν D. πλείστων G. νῦν] τοὺς A.G. ἦ μὴν] ὑμῖν ἦ μὴν D. δοκεῖ A.G. corr. s. v. r., qui hic mg. μέγιστος τοῦ κύρου ἔπαινος.

4. ὅπου οἴονται] Conf. 2, 2, 17. ZEUN.

5. ᾐσχύνετο μὴ οὐ—φαίνεσθαι] Anab. 2, 3, 11: Ὥστε πᾶσιν αἰσχύνην εἶναι μὴ οὐ συσπουδάζειν. Reip. Laced. 6, 2: Αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν.

6. πέμποντα] Conf. ad 8, 2, 4.

7. τὰ πάντα πολλὰ ὄντα] S. 6 est πολλὰ ἕκαστα. SCHN.

8 τηγίᾳ. Νὴ Δί', ἔφη ὁ Κῦρος· καὶ μὲν δὴ καὶ ἐπιδείκνυμαι
τὰ ἔργα πολὺ ἥδιον φιλανθρωπίας ἢ στρατηγίας. Πῶς
δή; ἔφη ὁ Γωβρύας. Ὅτι, ἔφη, τὰ μὲν κακῶς ποιοῦντα
9 ἀνθρώπους δεῖ ἐπιδείκνυσθαι, τὰ δὲ εὖ. ἐκ τούτου δὴ ἐπεὶ [5]
ὑπέπινον, ἤρετο ὁ Ὑστάσπας τὸν Κῦρον, Ἆρ' ἂν, ἔφη, ὦ
Κῦρε, ἀχθεσθείης μοι, εἴ σε ἐροίμην ὃ βούλομαί σου πυθέ-
σθαι; Ἀλλὰ ναὶ μὰ τοὺς θεοὺς, ἔφη, τοὐναντίον τούτου
ἀχθοίμην ἄν σοι, εἰ αἰσθοίμην σιωπῶντα ἃ βούλοιο ἐρέ-
σθαι. Λέγε δή μοι, ἔφη, ἤδη πώποτε καλέσαντός σου οὐκ
ἦλθον; Εὐφήμει, ἔφη ὁ Κῦρος. Ἀλλ' ὑπακούων σχολῇ
ὑπήκουσα; Οὐδὲ τοῦτο. Προσταχθὲν δέ τι ἤδη σοι οὐκ
ἔπραξα; Οὐκ αἰτιῶμαι, ἔφη. Ὃ δὲ πράττοιμι, ἔστιν ὅ τι
πώποτε οὐ προθύμως ἢ οὐχ ἡδομένως πράττοντά με κατέ-
10 γνως; Τοῦτο δὴ πάντων ἥκιστα, ἔφη ὁ Κῦρος. Τίνος
μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ Κῦρε, Χρυσάνταν
ἔγραψας ὥστε εἰς τὴν τιμιωτέραν ἐμοῦ χώραν ἱδρυθῆναι;
Ἦ λέγω; ἔφη ὁ Κῦρος. Πάντως, ἔφη ὁ Ὑστάσπας.
11 Καὶ σὺ αὖ οὐκ ἀχθέσει μοι ἀκούων τἀληθῆ; Ἡσθήσομαι
μὲν οὖν, ἔφη, ἢν εἰδῶ ὅτι οὐκ ἀδικοῦμαι. Χρυσάντας τοί- [6]
νυν, ἔφη, οὑτοσὶ πρῶτον μὲν οὐ κλῆσιν ἀνέμενεν, ἀλλὰ
πρὶν καλεῖσθαι παρῆν τῶν ἡμετέρων ἕνεκα· ἔπειτα δὲ οὐ
τὸ κελευόμενον μόνον, ἀλλὰ καὶ ὅ τι αὐτὸς γνοίη ἄμεινον
εἶναι πεπραγμένον ἡμῖν τοῦτο ἔπραττεν. ὁπότε δ' εἰπεῖν
τι δέοι εἰς τοὺς συμμάχους, ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέ-
γειν ἐμοὶ συνεβούλευεν· ἃ δὲ ἐμὲ αἴσθοιτο βουλόμενον μὲν
εἰδέναι τοὺς συμμάχους, αὐτὸν δέ με αἰσχυνόμενον περὶ
ἐμαυτοῦ λέγειν, ταῦτα οὗτος λέγων ὡς ἑαυτοῦ γνώμην

8. καὶ ἐπιδείκνυμαι] ἐπιδείκνυμαί γε D. δὴ] M. δὲ A.D. om. D.G., qui s. v. r. πῶς—γ. 9. δὴ] δῆτα Stephaniana. ἐπήρετο D. ἆρ' ἂν] ἆρα D. ἔρεσθαι D. σχολῇ] ἔφη σχολῇ D. δέ τι ἤδη] δέ μοι ἤδη τι D. ὃ] ἃ D. προθύμως οὐδὲ ἡδέως E. 10. ἔφη ἕνεκα D., sed β a s. v. χρυσάνταν ἔγραψας] χρυσάντας σε ἔρεψεν A.G. corr. mg. r. ἐμοῦ χώραν] ἕδραν ἐμοῦ D. ἱδρυνθῆναι D. ἀχθέσει] ἀχθήσῃ E. ἀχθεσθήσει D. ἀχθεσθήσῃ A.G. 11. σῃ. τὸν ἔπαινον χρυσ. D. mg. ἔργα φίλου G. mg. δέον D. δὲ ἐμὲ] δέ με E. δέ με] δὲ D.

8. ἐπιδείκνυμαι] Verbum adhibet, quod ostentationem cum delectatione conjunctam significat: alias ἀποδείκνυσθαι ἔργα solemne est. SCHN.

9. ὑπέπινον] Alia verbi exempla, ut apud Lat. subbibere, de largius bibentibus, sunt ap. Xen. et alios in Thes. Steph. citatos.

10. ἔγραψας] ἔρεψας in ἔτρεψας mutat P. et Stephaniana. Ἔγραψας significat ordinem scriptum.

ἀχθέσει] Piersoni ad Moerin p. 21 de forma ἀχθεσθήσομαι judicium quodammodo confirmat E.

11. ταῦτα οὗτος λέγων] Velut 7, 5, 55; 8, 1, 1. ZEUN.

ἀπεφαίνετο· ὥστ' ἔν γε τούτοις τί κωλύει αὐτὸν καὶ ἐμοῦ
ἐμοὶ κρείττονα εἶναι; καὶ ἑαυτῷ μὲν ἀεί φησι πάντα τὰ
παρόντα ἀρκεῖν, ἐμοὶ δὲ ἀεὶ φανερός ἐστι σκοπῶν τί ἂν
προσγενόμενον ὀνήσειεν, ἐπί τε τοῖς ἐμοῖς καλοῖς μᾶλλον
12 ἐμοῦ ἀγάλλεται καὶ ἥδεται. πρὸς ταῦτα ὁ Ὑστάσπας εἶπε,
Νὴ τὴν Ἥραν, ὦ Κῦρε, ἥδομαί γε ταῦτά σε ἐρωτήσας.
Τί μάλιστα; ἔφη ὁ Κῦρος. Ὅτι κἀγὼ πειράσομαι ταῦτα
ποιεῖν· ἓν μόνον, ἔφη, ἀγνοῶ, πῶς ἂν εἴην δῆλος χαίρων
ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πότερον κροτεῖν δεῖ τὼ χεῖρε ἢ γε-
λᾶν ἢ τί ποιεῖν. καὶ ὁ Ἀρτάβαζος εἶπεν, Ὀρχεῖσθαι δεῖ
τὸ Περσικόν. ἐπὶ τούτοις μὲν δὴ γέλως ἐγένετο.
13 Προϊόντος δὲ τοῦ συμποσίου ὁ Κῦρος τὸν Γωβρύαν [7]
ἐπήρετο, Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν δοκεῖς ἥδιον
τῶνδέ τῳ τὴν θυγατέρα δοῦναι ἢ ὅτε τὸ πρῶτον ἡμῖν
συνεγένου; Οὐκοῦν, ἔφη ὁ Γωβρύας, κἀγὼ τἀληθῆ λέγω;
Νὴ Δί', ἔφη ὁ Κῦρος, ὡς ψεύδους γε οὐδεμία ἐρώτησις
δεῖται. Εὖ τοίνυν, ἔφη, ἴσθι ὅτι νῦν ἂν πολὺ ἥδιον. Ἦ
14 καὶ ἔχοις ἄν, ἔφη ὁ Κῦρος, εἰπεῖν διότι; Ἔγωγε. Λέγε
δή. Ὅτι τότε μὲν ἑώρων τοὺς πόνους καὶ τοὺς κινδύνους
εὐθύμως αὐτοὺς φέροντας, νῦν δὲ ὁρῶ αὐτοὺς τἀγαθὰ σω-
φρόνως φέροντας. δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον
εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα ἢ τὰ κακά· τὰ
μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶ-
15 σιν ἐμποιεῖ. καὶ ὁ Κῦρος εἶπεν, Ἤκουσας, ὦ Ὑστάσπα, [8]

τούτοις] τοῖς τοιούτοις D. ἑαυτὸν A.G. τοῖς A. τοῖς ἐμοῖς D.G. s. v. r. μᾶλλον] πολὺ μᾶλλον D. 12. ἥραν] ἔφη add. D. ἡμέραν B., et mg. ὅρκος νὴ τὴν ἡμέραν. δεῖ] ἔφη δεῖ D. 13. ὁ] καὶ ὁ D.M. δοκοίης A.G. τῶνδέ τῳ] τῶ δε eraso ν D. τῷδε etiam A.G. pr. ἢ καὶ om. A.G. mg. r. ἂν om. A.G. ὁ] γωβρύας post ὁ delet D. 14. νῦν—φέροντας om. D. δὲ s. v. r. G. καλῶς] σωφρόνως D. φέροντα post κακὰ Stob. Fl. 22, 45. ὡραῖον ἅπαν hic mg. G.

τοῖς ἐμοῖς καλοῖς] Suspectum pronomen, quod est quidem s. 12 et alibi, sed non est 8, 2, 2, etsi ibi συνήδεσθαι, hic ἥδεται.

12. τὸ Περσικόν] Sc. ὄρχημα, etiam ὄκλασμα dictum, auctore Polluce 4, 100, et Xenoph. Anab. 6, 1, 5. SCHN. Ubi v. annot. Duris ap. Athen. 10, p. 434 E: Ἐν μόνῃ τῶν ἑορτῶν τῶν ἀγομένων ὑπὸ Περσῶν τῷ Μίθρῃ βασιλεὺς μεθύσκεται καὶ τὸ Περσικὸν ὀρχεῖται· τῶν δὲ λοιπῶν οὐδεὶς κατὰ τὴν Ἀσίαν, ἀλλὰ πάντες ἀπέχονται κατὰ τὴν ἡμέραν ταύτην τῆς ὀρχήσεως. Πέρσαι γὰρ, ὥσπερ ἱππεύειν, οὕτω καὶ ὀρχεῖσθαι μανθάνουσι· καὶ νομίζουσι τὴν ἐκ τῆς ἐργασίας ταύτης κίνησιν ἐμμελῆ τινα λαμβάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης.

13. τὸ πρῶτον] 5, 2, 15.

κἀγὼ] Respicit s. 10.

ὡς ψεύδους—δεῖται] Qui quærit ex altero, verum quærit, non falsum vel mendacium. SCHN.

Γωβρύου τὸ ῥῆμα; Ναὶ μὰ Δί', ἔφη· καὶ ἐὰν πολλὰ
τοιαῦτά γε λέγῃ, πολὺ μᾶλλόν με τῆς θυγατρὸς μνηστῆρα
16 λήψεται ἢ ἐὰν ἐκπώματα πολλὰ ἐπιδεικνύῃ. Ἦ μήν, ἔφη
ὁ Γωβρύας, πολλά γέ μοί ἐστι τοιαῦτα συγγεγραμμένα,
ὧν ἐγώ σοι οὐ φθονήσω, ἢν τὴν θυγατέρα μου γυναῖκα
λαμβάνῃς· τὰ δ' ἐκπώματα, ἔφη, ἐπειδὴ οὐκ ἀνέχεσθαί μοι
φαίνει, οὐκ οἶδ' εἰ Χρυσάντᾳ τούτῳ δῶ, ἐπεὶ καὶ τὴν ἕδραν
17 σου ὑφήρπασε. Καὶ μὲν δή, ἔφη ὁ Κῦρος, ὦ Ὑστάσπα,
καὶ οἱ ἄλλοι δὲ οἱ παρόντες, ἢν ἐμοὶ λέγητε, ὅταν τις ὑμῶν
γαμεῖν ἐπιχειρήσῃ, γνώσεσθε ὁποῖός τις κἀγὼ συνεργὸς
18 ὑμῖν ἔσομαι. καὶ ὁ Γωβρύας εἶπεν, Ἢν δέ τις ἐκδοῦναι [9
βούληται θυγατέρα, πρὸς τίνα δεῖ λέγειν; Πρὸς ἐμέ, ἔφη
ὁ Κῦρος, καὶ τοῦτο· πάνυ γάρ, ἔφη, δεινός εἰμι ταύτην τὴν
19 τέχνην. Ποίαν; ἔφη ὁ Χρυσάντας. Τὸ γνῶναι ὁποῖος
ἂν γάμος ἑκάστῳ συναρμόσειε. καὶ ὁ Χρυσάντας ἔφη,
Λέγε δὴ πρὸς τῶν θεῶν ποίαν τινά μοι γυναῖκα οἴει συν-
20 αρμόσειν κάλλιστα. Πρῶτον μέν, ἔφη, μικράν· μικρὸς
γὰρ καὶ αὐτὸς εἶ· εἰ δὲ μεγάλην γαμεῖς, ἤν ποτε βούλῃ
αὐτὴν ὀρθὴν φιλῆσαι, προσάλλεσθαί σε δεήσει ὥσπερ τὰ
κυνάρια. Τοῦτο μὲν δή, ἔφη, ὀρθῶς προνοεῖς· καὶ γὰρ οὐδ'

15. *πολλά γε τοιαῦτα λέγει* D. *με* s. v. r. G. *πολλά μοι* D. 16. *γ' ἐμοί ἐστι* G. *λάβῃς* M. *φαίνῃ* D. *δῶ*] *δῶς* G. corr. *ἐπεὶ*] *δὲ* addit punctis notans G. 17. *οἱ ἄλλοι*] *ἄλλοι* D. *γαμεῖν ἐπιχειρήσῃ*] *ἐπιθυμεῖ* (vel *ῆ* in ras.) *γαμίσειν*, sed *ι* in *η* mutato, D. *ἔσομαι*] *γενήσομαι* D. 18. *θυγατέρα* post *τις* D. 19. *συναρμόσαι* D. *τινὰ οἴῃ γ. μοι σ.* D. corr. in *η*. *οἴει* om. A.G. mg. r. 20. *μὲν*] *μὲν γὰρ* D. *εἰ*] *ἢν* G. *γαμήσειας* A.G. *ἐάν* D. *βούλει* A.G. *προσάλεσθαι* D. pr. *ὥσπερ*] *ὡς* A.G. *ἀστεῖον ὅλον τόδε* mg. G. *τούτου* D.

15. *τὸ ῥῆμα*] I. e. *τὸν λόγον*, ut Lucæ 2, 50: Καὶ *αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα·* 20, 20, ubi λόγος, 26, *ῥῆμα*. Sic apud Latinos *verbum* de integro sæpe sermone. HUTCH.

ἐκπώματα] V. 5, 2, 7.

16. *συγγεγραμμένα*] V. s. 25.

20. *μικρὸς*] V. 2, 3, 6.

γαμεῖς] *γαμήσειας*, quod in libros tantum non omnes intulit librariorum imperitia, constat barbarum esse apud Atticos. V. Steph. Thes.

ὡς τὰ κυνάρια] *ὥσπερ* potius dicere in talibus Xenophontem ostendunt exempla ad Anab. 7, 2, 33 collata. Quibus add. 1, 4, 11, 21. Formam *κυνάριον* etsi non improbat Phrynichus Bekk. p. 49, 14: Κυνάριον *καὶ κυνίδιον δόκιμα*, idem tamen in Ecl. p. 180: Κυνίδιον, *λέγε*. Θεόπομπος *δὲ ὁ κωμικὸς ἅπαξ που κυνάριον εἶπε*. Cui addit Antiatt. p. 104, 30: Κυνάριον, *οὐ μόνον κυνίδιον*, Ἀλκαῖος *κωμικός*. Κυνίδια Œcon. 13, 8, ut Aristophanes et Plato Euthyd. p. 298 A,E, etsi ib. D,E bis est *κυνάριον*. Nihilominus nemo affirmet libros non fallere apud Xenoph. et Platonem, quum utraque forma certe conjuncta videatur apud Anon. in *Notices et Extraits*, vol. 14, p. 195, 8: Μείωσις *δὲ ὅταν σμικρύνων τι λέγῃς, ὡς* Ἀριστοφάνης, *οἷον τριηρίτη* (*τριήριον* conjeci ad Steph. Thes. in v.), *βοιδάριον, κυναρίδιον*, ubi legendum *κυνάριον* vel *κυνίδιον*, neque Aristophanes quidem dixerat *κυνάριον*, ut

21 ὁπωστιοῦν ἀλτικός εἰμι. Ἔπειτα δ', ἔφη, σιμὴ ἂν σοι ἰσχυρῶς συμφέροι. Πρὸς τί δὴ αὖ τοῦτο; Ὅτι, ἔφη, σὺ γρυπὸς εἶ· πρὸς οὖν τὴν σιμότητα σάφ' ἴσθι ὅτι ἡ γρυπότης ἄριστ' ἂν προσαρμόσειε. Λέγεις σύ, ἔφη, ὡς καὶ τῷ εὖ δεδειπνηκότι ὥσπερ καὶ ἐγὼ νῦν ἄδειπνος ἂν συναρμόττοι. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος· τῶν μὲν γὰρ μεστῶν

22 γρυπὴ ἡ γαστὴρ γίγνεται, τῶν δὲ ἀδείπνων σιμή. καὶ ὁ [10] Χρυσάντας ἔφη, Ψυχρῷ δ' ἂν βασιλεῖ πρὸς τῶν θεῶν ἔχοις ἂν εἰπεῖν ποία τις συνοίσει; ἐνταῦθα μὲν δὴ ὅ τε

23 Κῦρος ἐξεγέλασε καὶ οἱ ἄλλοι ὁμοίως. γελώντων δὲ ἅμα εἶπεν ὁ Ὑστάσπας, Πολύ γ', ἔφη, μάλιστα τούτου σε, ὦ Κῦρε, ζηλῶ ἐν τῇ βασιλείᾳ. Τίνος; ἔφη ὁ Κῦρος. Ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν. καὶ ὁ Κῦρος εἶπεν, Ἔπειτ' οὐκ ἂν πρίαιό γε παμπόλλου ὥστε σοὶ ταῦτ' εἰρῆσθαι, καὶ ἀπαγγελθῆναι παρ' ᾗ εὐδοκιμεῖν βούλει ὅτι ἀστεῖος εἶ; καὶ ταῦτα μὲν δὴ οὕτω διεσκώπτετο.

24 Μετὰ δὲ ταῦτα Τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κόσ- [11] μον, καὶ ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνεστρατεύετο τῷ ἀνδρί, Ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα, τῷ δ' Ὑρκανίῳ ἵππον καὶ ἄλλα πολλὰ καὶ καλὰ ἐδωρήσατο.

21. σιμὴν A. δὴ om. D. τι s. v. r. G. συναρμόσειεν D. τῷ s. v. r. G. Libri συναρμόζοι. 22. δ' s. v. r. G. ἂν πρὸς τῶν θεῶν βασιλεῖ A. et qui ἔφη βασιλεῖ D., qui in mg. ὅτι κῦρος ψυχρὸς ἦν. τε s.v. D. 23. τοῦτό σε ἐγὼ κῦρε D. δύνασαι] ἔφη add. D. ἔπειτ'] ἐπεὶ A.G. παρευδοκιμεῖν D. βούλῃ D. pr. οὕτως A.D. διεσκώπτοντο G.M.

βοιδάριον, etsi Lobeckius ad Phryn. etiam in aliis diminutivis variatum fuisse animadvertit inter utramque formam. Ipsa autem comparatio ejusdem est generis quod tetigi ad 7, 5, 11. Huic quodammodo similis 1, 4, 4: Τὸ σκυλακῶδες, τὸ πᾶσιν ὁμοίως προσπίπτειν, si postrema sunt Xenophontis.

21. συναρμόζοι] V. ad 1, 3, 17.

σιμή] Respexit Plutarchus Q. Symp. 11, 1. SCHN.

22. ψυχρῷ] Satis frigida est ventris nasique simi et adunci comparatio et conjunctio ad connubium inde inveniendum. Verum nimis stomachosus videtur Chrysantas regi ingerens dicti frigus: nisi forte ambiguitas in ψυχρῷ latet aliqua, quæ effecit ut omnes atque ipse Cyrus in risum effunderentur. Deinde mirum mihi accidit cur non ipse Chrysantas stomachabundus persequatur dictum sed Hystaspas verbo non lacessitus antea suscipiat quasi contumeliam a Chrysanta cœptam et augeat. Sed hominem severum jam supra s. 12, vidimus; quem fere cerebrosum nobis hic Xenophon propinat, si rem ex nostris moribus, nec ex urbanitate democratiæ Atticæ æstimes. SCHN. Conf. ψυχρὰ λέγειν Conv. 6, 7, et similia apud alios de dictis jocisque frigidis. De homine Plato Euthyd. p. 284 E. Cyrum sic vocantem Chrysantam rident convivæ.

23. σοὶ ταῦτα εἰρῆσθαι] *Hæc* (quæ ego dixi) *a te dicta esse.* WEISK.

24. συνεστρατεύετο] V. 3, 1, 43.

25 Σοὶ δὲ, ἔφη, ὦ Γωβρύα, δώσω ἄνδρα τῇ θυγατρί. Οὐκοῦν
ἐμὲ, ἔφη ὁ Ὑστάσπας, δώσεις, ἵνα καὶ τὰ συγγράμματα
λάβω. Ἦ καὶ ἔστι σοι, ἔφη ὁ Κῦρος, οὐσία ἀξία τῶν τῆς
παιδός; Νὴ Δί', ἔφη, πολλαπλασίων μὲν οὖν χρημάτων.
Καὶ ποῦ, ἔφη ὁ Κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία; Ἐνταῦθα,
ἔφη, ὅπουπερ καὶ σὺ κάθησαι φίλος ὢν ἐμοί. Ἀρκεῖ μοι,
ἔφη ὁ Γωβρύας· καὶ εὐθὺς ἐκτείνας τὴν δεξιὰν Δίδου, ἔφη,
26 ὦ Κῦρε· δέχομαι γάρ. καὶ ὁ Κῦρος λαβὼν τὴν τοῦ Ὑστά- [1
σπου δεξιὰν ἔδωκε τῷ Γωβρύᾳ, ὁ δ' ἐδέξατο. ἐκ δὲ τούτου
πολλὰ καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστάσπᾳ, ὅπως τῇ παιδὶ
27 πέμψειε· Χρυσάνταν δ' ἐφίλησε προσαγαγόμενος. καὶ ὁ
Ἀρτάβαζος εἶπε, Μὰ Δί', ἔφη, ὦ Κῦρε, οὐχ ὁμοίου γε
χρυσοῦ ἐμοί τε τὸ ἔκπωμα δέδωκας καὶ Χρυσάντᾳ τὸ δῶ-
ρον. Ἀλλὰ καὶ σοὶ, ἔφη, δώσω. ἐπήρετο ἐκεῖνος Πότε;
Εἰς τριακοστὸν, ἔφη, ἔτος. Ὡς ἀναμενοῦντος, ἔφη, καὶ οὐκ
ἀποθανουμένου οὕτω παρασκευάζου. καὶ τότε μὲν δὴ οὕ-
τως ἔληξεν ἡ σκηνή· ἐξανισταμένων δ' αὐτῶν ἐξανέστη
καὶ ὁ Κῦρος καὶ συμπρούπεμψεν αὐτοὺς ἐπὶ τὰς θύρας.
28 Τῇ δ' ὑστεραίᾳ τοὺς ἐθελουσίους συμμάχους γενομένους [13
ἀπέπεμπεν οἴκαδε ἑκάστους, πλὴν ὅσοι αὐτῶν οἰκεῖν ἐβού-
λοντο παρ' αὐτῷ· τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε, καὶ
νῦν ἔτι ἔχουσιν οἱ τῶν καταμεινάντων τούτων τότε ἀπόγο-
νοι. πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων· τοῖς δ' ἀπιοῦσι
δωρησάμενος πολλὰ καὶ ἀμέμπτους ποιησάμενος καὶ ἄρ-
29 χοντας καὶ στρατιώτας ἀπεπέμψατο. ἐκ τούτου δὲ διέδωκε
καὶ τοῖς περὶ ἑαυτὸν στρατιώταις τὰ χρήματα ὅσα ἐκ Σάρ-
δεων ἔλαβε· καὶ τοῖς μὲν μυριάρχοις καὶ τοῖς περὶ αὑτὸν
ὑπηρέταις ἐξαίρετα ἐδίδου πρὸς τὴν ἀξίαν ἑκάστῳ, τὰ δ'
ἄλλα διένειμε· καὶ τὸ μέρος ἑκάστῳ δοὺς τῶν μυριάρχων
ἐπέτρεψεν αὐτοῖς διανέμειν ὥσπερ αὐτὸς ἐκείνοις διένειμεν.

24. σὺ A.G. pr. 25. αὔτη ἐστί σοι D. κάθισαι D. pr. G. pr. 26. καὶ καλὰ] γρ. μεγάλα G. mg., sine signo in textu, M. 27. σοὶ] σὺ G. pr. δώσω om. D. ὁ δ' εἶπεν εἰς τρ. ἔτος D. ἀναμένοντος D. ἀποθανομένου G.M. παρεσκευάζου G. pr. συνεξανέστη D. ξυμπρ. A.G. 28. ἑαυτῷ D. καὶ] τε καὶ D. τούτων om. D.M.O. 29. περὶ ἑαυτὸν] παρ' ἑαυτοῦ D. αὑτὸν] αὐτὸν A.D. ἑαυτὸν G. ἑκάστου D. αὐτοῖς] αὐτῷ D.

25. τὰ συγγράμματα] V. s. 16.
27. εἰς τριακοστὸν ἔτος] Usitatum in multis triginta dierum spatium ad annos traducit, ut animadvertit Dorvillius ad Charit. 5, 3, extr. Conf. 5, 3, 6.

30 ἔδοσαν δὲ τὰ μὲν ἄλλα χρήματα ἄρχων ἄρχοντας τοὺς ὑφ᾽ ἑαυτῷ δοκιμάζων· τὰ δὲ τελευταῖα οἱ ἐξάδαρχοι τοὺς ὑφ᾽ ἑαυτοὺς ἰδιώτας δοκιμάσαντες πρὸς τὴν ἀξίαν ἑκάστῳ ἔδο-
31 σαν· καὶ οὕτω πάντες εἰλήφεσαν τὸ δίκαιον μέρος. ἐπεὶ δὲ [14]
εἰλήφεσαν τὰ τότε δοθέντα, οἱ μέν τινες ἔλεγον περὶ τοῦ Κύρου τοιάδε· Ἦπου αὐτός γε πολλὰ ἔχει, ὅπου γε καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν· οἱ δέ τινες αὐτῶν ἔλεγον, Ποῖα πολλὰ ἔχει; οὐχ ὁ Κύρου τρόπος τοιοῦτος οἷος χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον ἢ κτώμενος ἥδεται.

32 Αἰσθανόμενος δὲ ὁ Κῦρος τούτους τοὺς λόγους καὶ τὰς δόξας τὰς περὶ αὐτοῦ συνέλεξε τούς φίλους τε καὶ τοὺς ἐπικαιρίους ἅπαντας καὶ ἔλεξεν ὧδε.

Ὦ ἄνδρες φίλοι, ἑόρακα μὲν ἤδη ἀνθρώπους οἳ βούλον- [15]
ται δοκεῖν πλείω κεκτῆσθαι ἢ ἔχουσιν, ἐλευθεριώτεροι ἂν οἰόμενοι οὕτω φαίνεσθαι· ἐμοὶ δὲ δοκοῦσιν, ἔφη, οὗτοι τοὔμπαλιν οὗ βούλονται ἐφέλκεσθαι· τὸ γὰρ πολλὰ δοκοῦντα ἔχειν μὴ κατ᾽ ἀξίαν τῆς οὐσίας φαίνεσθαι ὠφελοῦντα τοὺς φίλους ἀνελευθερίαν ἔμοιγε δοκεῖ περιάπτειν·
33 εἰσὶ δ᾽ αὖ, ἔφη, οἳ λεληθέναι βούλονται ὅσα ἂν ἔχωσι· πονηροὶ οὖν καὶ οὗτοι τοῖς φίλοις ἔμοιγε δοκοῦσιν εἶναι· διὰ γὰρ τὸ μὴ εἰδέναι τὰ ὄντα πολλάκις δεόμενοι οὐκ ἐπαγγέλλουσιν οἱ φίλοι τοῖς ἑταίροις, ἀλλὰ τητῶνται.
34 ἁπλουστάτου δέ μοι, ἔφη, δοκεῖ εἶναι τὸ τὴν δύναμιν φανερὰν ποιήσαντα ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκἀγαθίας. κἀγὼ οὖν, ἔφη, βούλομαι ὑμῖν ὅσα μὲν οἷόν τ᾽ ἐστὶν ἰδεῖν τῶν ἐμοὶ ὄντων δεῖξαι, ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διη-
35 γήσασθαι. ταῦτα εἰπὼν τὰ μὲν ἐδείκνυ πολλὰ καὶ καλὰ [16]

30. ἐδίδοσαν D. ἑαυτῷ] αὐτῷ G. ἑαυτοὺς] ἑαυτοῖς D. δοκιμάζοντες, ut videtur, G. pr. ἔδοσαν] διέδοσαν D. οὕτως D. 31. ἐπειδὴ δὲ D. διειλήφεσαν D. ἡμῖν D. οἷος] ὅλος A.G. pr. ὅλως G. corr. 32. αἰσθόμενος D. Zonaras. αὐτοῦ] αὑτοῦ A.G., qui mox ad s. 32–36. in mg. ἐλευθερίως. πάντας D. Libri ἑώρακα. ἤδη] ἤδη, ἔφη D. τοὔμπαλιν] τοῦ μὴ πάλιν D. 33. ἀλλὰ τητῶνται] ἀλλὰ ἡττῶνται A.G. ἀλλ᾽ ἀπατῶνται D.G. mg. r. 34. δοκεῖ ἔφη D. 35. ἐδείκνυ Zonaras. Libri ἐδείκνυε.

30. ἐξάδαρχοι] Iidem sunt 3, 3, 11. SCHN.

31. διδοὺς—ἥδεται] V. Lennep. ad Phalar. p. 14. VALCK.

33. ἀλλὰ τητῶνται] *Egent.* Aliter Plato Leg. 7, p. 810 B: Συγγράμματα τητώμενα ῥυθμοῦ τε καὶ ἁρμονίας. Aristot. Eth. Nic. 1, 9 fin.: Ἐνίων δὲ τητώμενοι ῥυπαίνουσι τὸ μακάριον, ubi est varietas ἡττώμενοι, ut alibi. Xenophon autem fortasse cogitabat Hesiodi Op. 406: Μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ᾽ ἀρνῆται, σὺ δὲ τητᾷ.

κτήματα· τὰ δὲ κείμενα ὡς μὴ ῥᾴδιον εἶναι ἰδεῖν διηγεῖτο·
36 τέλος δ᾽ εἶπεν ὧδε· Ταῦτα, ἔφη, ὦ ἄνδρες, ἅπαντα δεῖ ὑμᾶς
οὐδὲν μᾶλλον ἐμὰ ἡγεῖσθαι ἢ καὶ ὑμέτερα· ἐγὼ, γὰρ, ἔφη,
ταῦτα ἀθροίζω οὐθ᾽ ὅπως αὐτὸς καταδαπανήσω οὐθ᾽ ὅπως
αὐτὸς κατατρίψω· οὐ γὰρ ἂν δυναίμην· ἀλλ᾽ ὅπως ἔχω τῷ
τε ἀεὶ καλόν τι ὑμῶν ποιοῦντι διδόναι καὶ ὅπως, ἤν τις
ὑμῶν τινος ἐνδεῖσθαι νομίσῃ, πρὸς ἐμὲ ἐλθὼν λάβῃ οὗ ἂν
ἐνδεὴς τυγχάνῃ ὤν. καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.

ΚΕΦ. Ε.

Ἡνίκα δὲ ἤδη αὐτῷ ἐδόκει καλῶς ἔχειν τὰ ἐν Βαβυλῶνι
ὡς καὶ ἀποδημεῖν, συνεσκευάζετο τὴν εἰς Πέρσας πορείαν
καὶ τοῖς ἄλλοις παρήγγειλεν· ἐπεὶ δ᾽ ἐνόμισεν ἱκανὰ ἔχειν
2 ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυ. διηγησόμεθα δὲ καὶ
ταῦτα ὡς πολὺς στόλος ὢν εὐτάκτως μὲν κατεσκευάζετο καὶ
πάλιν ἀνεσκευάζετο, ταχὺ δὲ κατεχωρίζετο ὅπου δέοι. ὅπου
γὰρ ἂν στρατοπεδεύηται βασιλεὺς, σκηνὰς μὲν δὴ ἔχοντες
πάντες οἱ ἀμφὶ βασιλέα στρατεύονται καὶ θέρους καὶ χει-
3 μῶνος. εὐθὺς δὲ τοῦτο ἐνόμιζε Κῦρος, πρὸς ἕω βλέπουσαν [
ἵστασθαι τὴν σκηνήν· ἔπειτα ἔταξε πρῶτον μὲν πόσον δεῖ
ἀπολιπόντας σκηνοῦν τοὺς δορυφόρους τῆς βασιλικῆς σκη-
νῆς· ἔπειτα σιτοποιοῖς μὲν χώραν ἀπέδειξε τὴν δεξιὰν,
ὀψοποιοῖς δὲ τὴν ἀριστερὰν, ἵπποις δὲ τὴν δεξιὰν, ὑποζυ-
γίοις δὲ τοῖς ἄλλοις τὴν ἀριστεράν· καὶ τἆλλα δὲ διετέ-
τακτο ὥστε εἰδέναι ἕκαστον τὴν ἑαυτοῦ χώραν καὶ μέτρῳ
4 καὶ τόπῳ. ὅταν δὲ ἀνασκευάζωνται, συντίθησι μὲν ἕκα- [3
στος σκεύη οἷσπερ τέτακται χρῆσθαι, ἀνατίθενται δ᾽ αὖ

ῥᾴδιον E. ῥᾴδια A.D.G. διηγεῖτο· τέλος δὲ om. A.G. mg. r. εἰπεῖν G. pr. 36. ἐμὰ D. mg. ead. m. ἁθροίζω D. καταδ.—αὐτὸς om. A.G. mg. r. τε ἀεὶ] τέλει D. α super ἀεὶ, γ s. καλόντι, β s. ὑμῶν G. r. τινος ὑμῶν τις D. οὗ] οὗ δ᾽ D. ἂν om. A.G. s. v. r. τυγχάνοι D. μὲν] μὲν δὴ D. 1. ἤδη] τὰ ἤθη A.G., sed corr. δ. δὴ D. αὐτῶν ἐδόκει A.G. ἐδόκει αὐτῷ D.M. ἀποδημεῖν ἑαυτῷ D. τὴν om. A.G. s. v. r. παρήγγειλλεν D. ὧν] ὅσων D. Libri ἀνεζεύγνυε. 2. δὲ] δὲ ἤδη D. πολύστολος A.D.G.M. πολὺς στόλος Stephaniana. καὶ πάλιν ἀν. om. D. κατεχ. δὲ ταχὺ G. δέοιτο D. στρατοπεδεύητο A. 3. πόσον] ὁπόσον D. τἄλλα δὲ] τὰ ἄλλα δὴ D. διέτακτο A.

1. Absoluta rerum bellicarum narratione intempestive mihi Xenophon cœptam de pacis artibus a Cyro institutis narrationem interpellare videtur inserta demonstratione satis putida de re castrensi et rebus minutis, quæ Polybium historicum magis decent SCHN.

ἄλλοι ἐπὶ τὰ ὑποζύγια· ὥσθ' ἅμα μὲν πάντες ἔρχονται οἱ
σκευαγωγοὶ ἐπὶ τὰ τεταγμένα ἄγειν, ἅμα δὲ πάντες ἀνατι-
θέασιν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος. οὕτω δὴ ὁ αὐτὸς χρόνος
5 ἀρκεῖ μιᾷ τε σκηνῇ καὶ πάσαις ἀνῃρῆσθαι. ὡσαύτως οὕ-
τως ἔχει καὶ περὶ κατασκευῆς. καὶ περὶ τοῦ πεποιῆσθαι δὲ
τἀπιτήδεια πάντα ἐν καιρῷ ὡσαύτως διατέτακται ἑκάστοις
τὰ ποιητέα· καὶ διὰ τοῦτο ὁ αὐτὸς χρόνος ἀρκεῖ ἑνί τε μέ-
6 ρει καὶ πᾶσι πεποιῆσθαι. ὥσπερ δὲ οἱ περὶ τἀπιτήδεια
θεράποντες χώραν εἶχον τὴν προσήκουσαν ἕκαστοι, οὕτω
καὶ οἱ ὁπλοφόροι αὐτῷ ἐν τῇ στρατοπεδεύσει χώραν τε εἶ-
χον τὴν τῇ ὁπλίσει ἑκάστῃ ἐπιτηδείαν, καὶ ᾔδεσαν ταύτην
ὁποία ἦν, καὶ ἐπ' ἀναμφισβήτητον πάντες κατεχωρίζοντο.
7 καλὸν μὲν γὰρ ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτή- [4]
δευμα τὴν εὐθημοσύνην· ὅταν γάρ τίς του δέηται, δῆλόν
ἐστιν ὅπου δεῖ ἐλθόντα λαβεῖν· πολὺ δ' ἔτι κάλλιον ἐνό-
μιζε τὴν τῶν στρατιωτικῶν φύλων εὐθημοσύνην εἶναι, ὅσῳ
τε ὀξύτεροι οἱ καιροὶ τῶν εἰς τὰ πολεμικὰ χρήσεων καὶ
μείζω τὰ σφάλματα ἀπὸ τῶν ὑστεριζόντων ἐν αὐτοῖς· ἀπὸ
δὲ τῶν ἐν καιρῷ παραγιγνομένων πλείστου ἄξια τὰ κτή-
ματα ἑώρα γιγνόμενα ἐν τοῖς πολεμικοῖς· διὰ ταῦτα οὖν
8 καὶ ἐπεμέλετο ταύτης τῆς εὐθημοσύνης μάλιστα. καὶ αὐ- [5]

4. ἄγειν] ἐξάγειν D. ἐπιτιθέασιν D. 5. οὕτως] δὲ οὕτως D. Libri τὰ ἐπιτήδεια hic et s. 6. 6. ὥσπερ δὲ καὶ D. οὕτως D. τὴν] τῇ ἐν D. corr. s. v. ead. m. ᾔδεισαν D. fortasse pr. ἐπ'] εἰς D. et s. v. M. 7. γὰρ] οὖν Suidas v. Εὐθημοσύνη citans καλὸν—λαβεῖν. εὐθυμοσύνην A.D. G. hic et infra. ὅταν γάρ] ὅτι ἂν D. φυλῶν A.G. εἶναι εὐθ. D. τὰ] ταῦτα D. et C. mg. ἐπεμελεῖτο D.

4. τὰ τεταγμένα ἄγειν] Jumenta ad vehendum parata.

5. πεποιῆσθαι τὰ ἐπιτήδεια] De commeatu s. cibo parando dictum, ut supra 4, 5, 1, σῖτος. ZEUN.

7. εὐθημοσύνην] Laudat etiam Hesiod. Op. 471. HUTCH. Conf. Œcon. 8, 4 seqq. ZEUN.

ὅπου] ὅπου, etiam ab Suida repetitum v. Εὐθημοσύνη, hic, ut 6, 1, 14: Τἀπιτήδεια ὅπου μὲν ἡμεῖς ἐληλύθαμεν ὑφ' ἡμῶν ἀνήλωται, ubi ὅπῃ diserte ex *aliis codicibus* annotavit Brodæus, quod pro sequenti ibi ὅποι est in nonnullis, corrigendum esse ὅποι persuadet Anab. 5, 5, 16: Ὅποι δ' ἂν ἐλθόντες ἀγορὰν μὴ ἔχωμεν, ubi sequitur ἄν τε εἰς βάρβαρον γῆν ἄν τε εἰς Ἑλληνίδα.

φύλων] Conf. 8, 3, 25, et infra s. 14, ubi nonnulli addunt τὰ φῦλα.

κτήματα] *Atque ab iis, quæ præsto essent in tempore, videbat in rebus bellicis plurimi facienda bona evenire* vertit Camerarius. Mihi vocabulum κτήματα vitiosum esse videtur, quæ γίγνεσθαι Græce dici posse non videntur. Quid si πλεονεκτήματα fuisse scriptum suspicer? SCHN. Huic satis apte responderet σφάλματα. Et est Hipparch. 5, 11: Καὶ ἐνθυμούμενος δ' ἂν τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα. Sed ita, ut illic, τὰ πλεῖστα potius quam πλείστου ἄξια τὰ desideres.

τὸς μὲν δὴ πρῶτον ἑαυτὸν ἐν μέσῳ κατετίθετο τοῦ στρα-
τοπέδου, ὡς ταύτης τῆς χώρας ἐχυρωτάτης οὔσης· ἔπειτα
δὲ τοὺς μὲν πιστοτάτους ὥσπερ εἰώθει περὶ ἑαυτὸν εἶχε,
τούτων δ' ἐν κύκλῳ ἐχομένους ἱππέας τ' εἶχε καὶ ἁρματη-
9 λάτας. καὶ γὰρ τούτους ἐχυρᾶς ἐνόμιζε χώρας δεῖσθαι, ὅτι
οἷς μάχονται ὅπλοις οὐδὲν πρόχειρον ἔχοντες τούτων στρα-
τοπεδεύονται, ἀλλὰ πολλοῦ χρόνου δέονται εἰς τὴν ἐξό-
10 πλισιν, εἰ μέλλουσι χρησίμως ἕξειν. ἐν δεξιᾷ δὲ καὶ ἐν
ἀριστερᾷ αὐτοῦ τε καὶ τῶν ἱππέων πελτασταῖς χώρα ἦν·
τοξοτῶν δ' αὖ χώρα ἡ πρόσθεν ἦν καὶ ὄπισθεν αὐτοῦ τε
11 καὶ τῶν ἱππέων. ὁπλίτας δὲ καὶ τοὺς τὰ μεγάλα γέρρα [6
ἔχοντας κύκλῳ πάντων εἶχεν ὥσπερ τεῖχος, ὅπως καὶ εἰ
δέοι τι ἐνσκευάζεσθαι τοὺς ἱππέας, οἱ μονιμώτατοι πρόσθεν
12 ὄντες παρέχοιεν αὐτοῖς ἀσφαλῆ τὴν καθόπλισιν. ἐκάθευ-
δον δὲ αὐτῷ ἐν τάξει ὥσπερ οἱ ὁπλῖται, οὕτω δὲ καὶ οἱ πελ-
τασταὶ καὶ οἱ τοξόται, ὅπως καὶ ἐκ νυκτῶν, εἰ δέοι τι,
ὥσπερ καὶ οἱ ὁπλῖται παρεσκευασμένοι εἰσὶ παίειν τὸν εἰς
χεῖρας ἰόντα, οὕτω καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταὶ, εἴ
τινες προσίοιεν, ἐξ ἑτοίμου ἀκοντίζοιεν καὶ τοξεύοιεν ὑπὲρ
13 τῶν ὁπλιτῶν. εἶχον δὲ καὶ σημεῖα πάντες οἱ ἄρχοντες ἐπὶ
ταῖς σκηναῖς· οἱ δ' ὑπηρέται, ὥσπερ καὶ ἐν ταῖς πόλεσιν [7
οἱ σώφρονες ἴσασι μὲν καὶ τῶν πλείστων τὰς οἰκήσεις,
μάλιστα δὲ τῶν ἐπικαιρίων, οὕτω καὶ τῶν ἐν τοῖς στρατο-
πέδοις τάς τε χώρας τὰς τῶν ἡγεμόνων ἠπίσταντο οἱ Κύ-
ρου ὑπηρέται καὶ τὰ σημεῖα ἐγίγνωσκον ἃ ἑκάστοις ἦν·
ὥστε ὅτου δέοιτο Κῦρος, οὐκ ἐζήτουν, ἀλλὰ τὴν συντομω-
14 τάτην ἐφ' ἕκαστον ἔθεον. καὶ διὰ τὸ εἰλικρινῆ ἕκαστα εἶναι
πολὺ μᾶλλον ἦν δῆλα καὶ ὁπότε τις εὐτακτοίη καὶ εἴ τις

8. *πρῶτος ἐν μέσῳ ἑαυτὸν* A. *οὔσης ἐχ.* D. *εἰώθη* D. pr. *ἐχομένως* D. 9. *οἷς*] *σὺν* G. s. v. r. *σὺν οἷς* D. *ἐξόπλησιν* A.G. pr. *χρησίμως*] *προθύμως* M., corr. mg. *ἕξειν*] *ἐξοίσειν* A.G. 10. *ἐν ἀριστερᾷ*] *ἀριστερᾷ* G. *ἀρ. ἑαυτοῦ* D. *ἵππων. ὁπλίτας* A.G. 11. *ὅπως καὶ*] *ὅπως* D. *πρόσθεν ὄντες*] *προσιόντες* A.G. *ἐξόπλισιν* D. 12. *ὥσπερ καὶ οἱ ὁπλῖται, οὕτως καὶ* D. *δέοι τι*] *δέοιτο* D. *οὕτως* D. *καὶ οἱ τ.* om. A.G. *προΐοιεν* A.G. corr. s. v. r. 13. *καὶ ἐν*] *καὶ οἱ ἐν* D. *οὕτως* D. *ἐπίσταντο* A. *οἱ κύρου*] *καὶ οἱ κύρου* D. *σημεῖα*] *σημεῖα δ'* D. *ἑκάστῳ* D. 14. *εἰλικρινῆ* D. corr. G. *εἶναι*] *εἶναι τὰ φῦλα* D.M.V.

8. *κατετίθετο*] Eodem modo s. 15, dicitur *τιθέναι*.

ἐχυρωτάτης] Conf. Anab. 1. 8, 22. ZEUN.

9. *ἐχυρᾶς*] Conf. 3, 2, 26 seq. ZEUN.

13. *οἱ ὑπηρέται—οἱ Κύρου ὑπηρέται*] Conf. ad 7, 2, 11. ZEUN.

μὴ πράττοι τὸ προσταττόμενον. οὕτω δὴ ἐχόντων ἡγεῖτο,
εἴ τις καὶ ἐπίθοιτο νυκτὸς ἢ ἡμέρας, ὥσπερ ἂν εἰς ἐνέδραν
15 εἰς τὸ στρατόπεδον τοὺς ἐπιτιθεμένους ἐμπίπτειν. καὶ τὸ [8]
τακτικὸν δὲ εἶναι οὐ τοῦτο μόνον ἡγεῖτο εἴ τις ἐκτεῖναι φά-
λαγγα εὐπόρως δύναιτο ἢ βαθῦναι ἢ ἐκ κέρατος εἰς φά-
λαγγα καταστῆσαι ἢ ἐκ δεξιᾶς ἢ ἀριστερᾶς ἢ ὄπισθεν
ἐπιφανέντων πολεμίων ὀρθῶς ἐξελίξαι, ἀλλὰ καὶ τὸ δια-
σπᾶν ὁπότε δέοι τακτικὸν ἡγεῖτο, καὶ τὸ τιθέναι γε τὸ μέ-
ρος ἕκαστον ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη, καὶ τὸ
ταχύνειν δὲ ὅπου φθάσαι δέοι, πάντα ταῦτα καὶ τὰ τοιαῦτα
τακτικοῦ ἀνδρὸς ἐνόμιζεν εἶναι καὶ ἐπεμέλετο τούτων πάν-
16 των ὁμοίως. καὶ ἐν μὲν ταῖς πορείαις πρὸς τὸ συμπῖπτον
ἀεὶ διατάττων ἐπορεύετο, ἐν δὲ τῇ στρατοπεδεύσει ὡς τὰ
πολλὰ ὥσπερ εἴρηται κατεχώριζεν.
17 Ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικήν, τρέ- [9]
πεται ὁ Κῦρος πρὸς Κυαξάρην. ἐπεὶ δὲ ἠσπάσαντο ἀλλή-
λους, πρῶτον μὲν δὴ ὁ Κῦρος εἶπε τῷ Κυαξάρῃ ὅτι οἶκος
αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι καὶ ἀρχεῖα, ὅπως ἔχῃ
καὶ ὅταν ἐκεῖσε ἔλθῃ εἰς οἰκεῖα κατάγεσθαι· ἔπειτα δὲ καὶ
18 ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολλὰ καὶ καλά. ὁ δὲ Κυαξάρης
ταῦτα μὲν ἐδέχετο, προσέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα
στέφανόν τε χρυσοῦν καὶ ψέλια φέρουσαν καὶ στρεπτὸν
19 καὶ στολὴν Μηδικὴν ὡς δυνατὸν καλλίστην. καὶ ἡ μὲν δὴ

ἐπίθοιτο] πείθοιτο A.G. ἔνεδραν G. ἐμπίπτειν τοὺς ἐπιθεμένους εἰς τὸ στρ. D. 15. μόνον τοῦτο D. φάλαγγας A.G. ἀριστερᾶς] ἐξ ἀριστερᾶς D. τὸ διασπᾶν] διασπᾶν A.G. γε om. D. ἂν om. D. πρακτικοῦ G.M. Libri ἐπεμελεῖτο. 16. διάττων D. ὡς om. D. 17. ἐπεὶ] ἐπειδὴ D. ἐγίγνοντο D. ἐπεὶ] ἐπειδὴ D. μὲν δὴ] μὲν D. κυαξάρει A.G. εἴη αὐτῷ ἐξ. D. οἰκεῖα] οἰκίαν D. 18. ἐδέξατο D.

15. ἐξελίξαι] Usum verbi de acie tota convertenda vel ex tergo ad frontem vel ex fronte ad tergum, subductis militibus et mutatis ordinibus hosti opponendis, explicat Schneider. ad Remp. Laced. 11, 8. Conf. Rüstow et Koechly *Geschichte des griech. Kriegswesens* p. 114 seqq., Ælian. Tact. c. 27 seqq. Hodie dicitur *counter-march.*

τακτικοῦ ἀνδρὸς] Eos antiqui vocabant τακτικοὺς qui ea quæ ad acierum instruendarum scientiam pertinent vel scriptis tradebant vel usu ipso alios edocebant. V. Casaub. ad inscr. Æneæ Tactici et Arcer. ad præf. Æliani Tacticorum. HUTCH.

16. πρὸς τὸ συμπῖπτον] Velut 2, 4, 3; 5, 3, 15, 35; 5, 4, 45; 6, 2, 36; 7, 5, 2. ZEUN.

17. οἶκος videtur esse domus regia, ἀρχεῖα officia palatina. SCHN. Huc vel ad 6, 20 respiciens Suidas v. Ἀρχεῖα addit ἢ ἀρχαῖα, ὡς Ξ. Ἱστοριῶν η', Bekk. An. p. 449, 8, in ἀρχαίως corruptum, ἢ αἱ ἀρχαὶ ὡς Ξ. Crameri Anecd. Paris. vol. 4, p. 166, 21.

εἰς οἰκεῖα] Infra 6, 4: Ὅπως ὅταν ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα ἔχωσι κατάγεσθαι.

παῖς ἐστεφάνου τὸν Κῦρον, ὁ δὲ Κυαξάρης εἶπε, Δίδωμι [10
δέ σοι, ἔφη, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα, ἐμὴν οὖσαν θυγατέρα· καὶ ὁ σὸς δὲ πατὴρ ἔγημε τὴν τοῦ ἐμοῦ πατρὸς θυγατέρα, ἐξ ἧς σὺ ἐγένου· αὕτη δ' ἔστιν ἣν σὺ πολλάκις παῖς ὢν ὅτε παρ' ἡμῖν ἦσθα ἐτιθηνήσω· καὶ ὁπότε τις ἐρωτῴη αὐτὴν τίνι γαμοῖτο, ἔλεγεν ὅτι Κύρῳ· ἐπιδίδωμι δὲ αὐτῇ ἐγὼ καὶ φερνὴν Μηδίαν τὴν πᾶσαν· οὐδὲ γὰρ ἔστι μοι ἄρρην παῖς γνήσιος. ὁ μὲν οὕτως εἶπεν·
20 ὁ δὲ Κῦρος ἀπεκρίνατο, Ἀλλ', ὦ Κυαξάρη, τό τε γένος ἐπαινῶ καὶ τὴν παῖδα καὶ τὰ δῶρα· βούλομαι δέ, ἔφη, σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς ταῦτά σοι συναινέσαι. εἶπε μὲν οὖν οὕτως ὁ Κῦρος, ὅμως δὲ τῇ παιδὶ πάντα ἐδωρήσατο ὁπόσα ᾤετο Κυαξάρῃ χαριεῖσθαι. ταῦτα δὲ ποιήσας εἰς Πέρσας ἐπορεύετο.

21 Ἐπεὶ δ' ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμενος, τὸ [11
μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο, ἱερεῖα μὲν ἄγων ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑστιᾶσθαι· δῶρα δ' ἦγεν οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἄλλοις φίλοις, οἷα δ' ἔπρεπεν ἀρχαῖς καὶ γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν· ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις καὶ Περσίσιν ὅσαπερ καὶ νῦν ἔτι δίδωσιν ὅτανπερ ἀφίκηται βασιλεὺς εἰς Πέρ-
22 σας. ἐκ δὲ τούτου συνέλεξε Καμβύσης τοὺς γεραιτέρους Περσῶν καὶ τὰς ἀρχάς, οἵπερ τῶν μεγίστων κύριοί εἰσι· παρεκάλεσε δὲ καὶ Κῦρον, καὶ ἔλεξε τοιάδε.

19. πολλάκις σὺ D. ἐτιθηνήσω] ἐπὶ δηνήσω A. αὐτῇ ἐγὼ] ἐγὼ αὐτὴν D. τὴν πᾶσαν] πᾶσαν D. 20. τὰ om. A.G. γνώμῃ post μητρὸς D. οὖν om. D.G. κυαξάρει A.G. καὶ τῷ κυαξάρῃ D. χαρίζεσθαι A.G. 21. ἐπορεύετο] Post hoc ἐπεὶ δὲ ἐπὶ τοῖς περσῶν—πόλιν ἐπορεύετο repetit punctis infra notans G. τοῖς φίλοις ἄλλοις G. ἀρχαῖς] ταῖς ἀρχαῖς D. γεραιτέροις] τοῖς γεραιτέροις D. καὶ πᾶσι] πᾶσι D. 22. τοὺς] τούς τε D.

19. καὶ αὐτὴν] Intellige ταῦτα τὰ δῶρα, munera a filia allata, et ipsam filiam meam. SCHN.

21. εἰς τὴν πόλιν] Pasargadas, ut interpretatur Ker Porter, *Travels in Georgia, Persia, &c.* vol. 1, p. 577. Conf, 2, 1, 1; 8, 3, 34.

ὡς] ὅσα Schneiderus, quamvis ὡς non apte defendens: nam ab ἱκανά non posse suspendi, quo loco collocatum est, apparet. Abstinere debebat comparatione locorum dissimillimorum 2, 1, 30; 8, 6, 11.

ἔτι δίδωσιν] Contra adventanti regi munera etiam Persæ singuli offerebant, narrante Æliano V. H. 1, 31, 32, 33. SCHN.

ἀφίκηται—εἰς Πέρσας] Regiam enim Babylone sedem frequentius habitabat, quam pro anni tempestatibus cum Susis et Ecbatanis permutabat rex Persarum. SCHN. V. 8, 6, 22.

Ἄνδρες Πέρσαι καὶ σύ, ὦ Κῦρε, ἐγὼ ἀμφοτέροις ὑμῖν [12]
εἰκότως εὔνους εἰμί· ὑμῶν μὲν γὰρ βασιλεύω, σὺ δέ, ὦ
Κῦρε, παῖς ἐμὸς εἶ. δίκαιος οὖν εἰμι, ὅσα γιγνώσκειν δοκῶ
23 ἀγαθὰ ἀμφοτέροις, ταῦτα εἰς τὸ μέσον λέγειν. τὰ μὲν γὰρ
παρελθόντα ὑμεῖς μὲν Κῦρον ηὐξήσατε στράτευμα δόντες
καὶ ἄρχοντα τούτου αὐτὸν καταστήσαντες, Κῦρος δὲ ἡγού-
μενος τούτου σὺν θεοῖς εὐκλεεῖς μὲν ὑμᾶς, ὦ Πέρσαι, ἐν
πᾶσιν ἀνθρώποις ἐποίησεν, ἐντίμους δ' ἐν τῇ Ἀσίᾳ πάσῃ·
τῶν δὲ συστρατευσαμένων τοὺς μὲν ἀρίστους καὶ πεπλού-
τικε, τοῖς δὲ πολλοῖς μισθὸν καὶ τροφὴν παρεσκεύακεν·
ἱππικὸν δὲ καταστήσας Περσῶν πεποίηκε Πέρσαις καὶ πε-
24 δίων εἶναι μετουσίαν. ἢν μὲν οὖν καὶ τὸ λοιπὸν οὕτω
γιγνώσκητε, πολλῶν καὶ ἀγαθῶν αἴτιοι ἀλλήλοις ἔσεσθε·
εἰ δὲ ἢ σύ, ὦ Κῦρε, ἐπαρθεὶς ταῖς παρούσαις τύχαις ἐπι-
χειρήσεις καὶ Περσῶν ἄρχειν ἐπὶ πλεονεξίᾳ ὥσπερ τῶν
ἄλλων, ἢ ὑμεῖς, ὦ πολῖται, φθονήσαντες τούτῳ τῆς δυνά-
μεως καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, εὖ ἴστε ὅτι
25 ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε. ὡς οὖν
μὴ ταῦτα γίγνηται, ἀλλὰ τἀγαθά, ἐμοὶ δοκεῖ, ἔφη, θύσαν-
τας ὑμᾶς κοινῇ καὶ θεοὺς ἐπιμαρτυραμένους συνθέσθαι, σὲ
μέν, ὦ Κῦρε, ἤν τις ἐπιστρατεύηται χώρᾳ Περσίδι ἢ Περ-
σῶν νόμους διασπᾶν πειρᾶται, βοηθήσειν παντὶ σθένει,
ὑμᾶς δέ, ὦ Πέρσαι, ἤν τις ἢ ἀρχῆς Κῦρον ἐπιχειρῇ κατα-

σὺ ὦ] σὺ ὦ παῖ D.V. 23. μὲν] μὲν γὰρ D. θεοῖς] τοῖς θεοῖς D. συστρατ.] αὐτῶν add. D., ortum ex συστρατευσάντων, ut M., corr. in mg. πεπλούτηκε A.G., ut videtur, D. δὲ om. D. 24. ὦ om. D. ὥσπερ] ὥσπερ καὶ D. ἐμποδῶν A.D. 25. οὖν G. s. v. r. ἡμᾶς A.D. ἐπιμαρτυρομένους D. σὺ D. ἐπιστρ.] ἐπιστρ. ἢ A.G. ἀνασπᾶν D.

23. *ἄρχοντα—καταστήσαντες*] 1, 5, 5.
μετουσίαν] Equitatus campos desiderat: Persia autem montuosa equitatum seu *ἱπποτροφίαν* non admittebat. Ad possessionem igitur et dominium campestrium imperii Persici regionum admissi Persæ recte dicuntur a Cyro, qui primus equitatum Persarum instituit. SCHN.

24. *ἐπὶ πλεονεξίᾳ*] Ut sis meliore conditione, ut solus imperes Persis, neglecta auctoritate *τῶν γεραιτέρων καὶ ἀρχῶν*, de quibus s. 22, loquitur. Xen. Comment. 1, 6, 12: *Οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ.* Hist. Gr. 3, 5, 15: *Ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς.* SCHN.

25. *συνθέσθαι*] Exemplum ejusmodi pacti jurati inter Ephoros nomine civitatis et reges Lacedæmoniorum quovis mense facti ex Republ. Laced. 15, 7, posuit Zeunius. SCHN. Thuc. 5, 47, 3: *Βοηθεῖν Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας Ἀθήναζε καθ' ὅ τι ἂν ἐπαγγέλλωσιν Ἀθηναῖοι.*

νόμους διασπᾶν ductum est ex phrasi *τὸ ὀχύρωμα διασπᾶν*, vallo perrupto exire, quo utitur Hist. Gr. 3, 2, 3, et 4, 4, 10. Polybius 2, 69, *τὰ προτειχίσματα δ.* dixit. SCHN.

παύειν ἢ ἀφίστασθαί τις τῶν ὑποχειρίων, βοηθήσειν καὶ
26 *ὑμῖν αὐτοῖς καὶ Κύρῳ καθ᾽ ὅ τι ἂν ἐπαγγέλλῃ. καὶ ἕως*
μὲν ἂν ἐγὼ ζῶ, ἐμὴ γίγνεται ἡ ἐν Πέρσαις βασιλεία· ὅταν
δ᾽ ἐγὼ τελευτήσω, δῆλον ὅτι Κύρου, ἐὰν ζῇ. καὶ ὅταν μὲν
οὗτος ἀφίκηται εἰς Πέρσας, ὁσίως ἂν ὑμῖν ἔχοι τοῦτον
θύειν τὰ ἱερὰ ὑπὲρ ὑμῶν ἅπερ νῦν ἐγὼ θύω· ὅταν δ᾽ οὗτος
ἔκδημος ᾖ, καλῶς ἂν οἶμαι ὑμῖν ἔχειν εἰ ἐκ τοῦ γένους ὃς
ἂν δοκῇ ὑμῖν ἄριστος εἶναι, οὗτος τὰ τῶν θεῶν ἀποτελοίη.
27 *ταῦτα εἰπόντος Καμβύσου συνέδοξε Κύρῳ τε καὶ τοῖς Περ-* [
σῶν τέλεσι· καὶ συνθέμενοι ταῦτα τότε καὶ θεοὺς ἐπιμαρ-
τυράμενοι οὕτω καὶ νῦν ἔτι διαμένουσι ποιοῦντες πρὸς ἀλ-
λήλους Πέρσαι τε καὶ βασιλεύς. τούτων δὲ πραχθέντων
ἀπῄει ὁ Κῦρος.
28 *Ὡς δ᾽ ἀπιὼν ἐγένετο ἐν Μήδοις, συνδόξαν τῷ πατρὶ καὶ*
τῇ μητρὶ γαμεῖ τὴν Κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν
λόγος ὡς παγκάλης γενομένης. γήμας δ᾽ εὐθὺς ἔχων
ἀνεζεύγνυ.

ΚΕΦ. ϛ.

Ἐπεὶ δ᾽ ἐν Βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σατράπας ἤδη

ἐπαγγέλλῃ] *οὗτος ἐπαγγέλλῃ* D. 26. *γίγνεται* E. *γίγνηται* A.D.G. *οὗτος* om. D. *ἔχειν* D. *εἰ* om. D. *ἐπιτελοίη* D. 27. *τότε ταῦτα* D. *οὕτως* D. *δὲ*] *τότε* D. 28. *καὶ τῇ μητρὶ* om. A.G. *κυαξάρους* D. *ἦν* A. *λόγος*] *ὁ λόγος* D. *παγκάλης* D.E.H. *παγγάλου* A. *παγκάλλου* G. *παγκά-λου* L. Hic autem A.G. mg. *γάμος κύρου.* Post *γενομένης* libri addunt: *Ἔνιοι δὲ τῶν λογοποιῶν λέγουσιν ὡς τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημεν· ἀλλὰ γραῦς* (*γραὺς* D.) *ἂν καὶ* (*καὶ* om. D.) *παντάπασιν ἦν ἡ παῖς.* Libri *ἀνεζεύγνυε.*

27. *καὶ νῦν ἔτι*] Ideo rex semel saltem proficiscebatur in Persiam: quod tamen facere neglexit Ochus, narrante Plutarcho in Alexandro. SCHN.

28. *τῇ μητρὶ*] Conf. s. 20. ZEUN.

παγκάλης] Inter formas feminini variatur etiam H. Gr. 3, 2, 10, Aristoph. Pl. 1018, sed ut meliores præbeant quæ etiam apud Platonem constanter est *παγκάλη*.

ἔνιοι — ἡ παῖς] Ad verba ab me ejecta hæ sunt annotationes Schneideri: "*λογοποιῶν*] Sunt historici, ut monet etiam Harpocration. Dissensum Ctesiæ apud Photium et Herodoti 2, 1, 3, 2, annotavit Zeunius. Mallem annotationem hanc omisisset Xenophon. Quod si de conjugio Cyri dubitatum fuit, qua veri specie potuit Xenophon tanquam vera nobis et certa venditare quæ hucusque narravit? Fortasse hæc ex annotatione Grammatici immigrarunt in orationem Xenophontis.—*ἀδελφὴν*] Amytin Astyagis filiam Spitamæ cuidam nuptam, narrante Ctesia.—*ἡ παῖς*] Est in comparatione *ἡ παῖς* cum antecedente *γραῦς* oxymorum, quod dubito an quæsierit Xenophon." Nihil ineptius fingi potest toto hoc additamento, cui similia duo ejeci supra 6, 1, 51; 7, 3, 16. Cum *λογοποιῶν* autem conferendum *λογοποιοῦντες* in verbis quæ supposita judicavi 2, 2, 13.

1. *σατράπας*] Herodotus 3, 39, a Dario Hystaspis viginti satrapias in-

πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη. τοὺς μέντοι ἐν ταῖς ἄκραις φρουράρχους καὶ τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώραν φυλακῶν οὐκ ἄλλου ἢ ἑαυτοῦ ἐβούλετο ἀκούειν· ταῦτα δὲ προεωρᾶτο ἐννοῶν ὅπως εἴ τις τῶν σατραπῶν ὑπὸ πλούτου καὶ πλήθους ἀνθρώπων ἐξυβρίσειε καὶ ἐπιχειρήσειε μὴ πείθεσθαι, εὐθὺς ἀντιπάλους ἔχοι ἐν τῇ χώρᾳ.
2 ταῦτ᾽ οὖν βουλόμενος πρᾶξαι ἔγνω συγκαλέσαι πρῶτον τοὺς ἐπικαιρίους καὶ προειπεῖν, ὅπως εἰδεῖεν ἐφ᾽ οἷς ἴασιν οἱ ἰόντες· ἐνόμιζε γὰρ οὕτω ῥᾷον φέρειν ἂν αὐτούς· ἐπεὶ δὲ κατασταίη τις ἄρχων καὶ αἰσθάνοιτο ταῦτα, χαλεπῶς ἂν ἐδόκουν αὐτῷ φέρειν, νομίζοντες δι᾽ ἑαυτῶν ἀπιστίαν ταῦτα
3 γενέσθαι. οὕτω δὴ συλλέξας λέγει αὐτοῖς τοιάδε. [2]

Ἄνδρες φίλοι, εἰσὶν ἡμῖν ἐν ταῖς κατεστραμμέναις πόλεσι φρουροὶ καὶ φρούραρχοι, οὓς τότε κατελίπομεν· καὶ τούτοις ἐγὼ προστάξας ἀπῆλθον ἄλλο μὲν μηδὲν πολυπραγμονεῖν, τὰ δὲ τείχη διασώζειν. τούτους μὲν οὖν οὐ παύσω τῆς ἀρχῆς, ἐπεὶ καλῶς διαπεφυλάχασι τὰ προστα-

φυλάκων D. χιλιάρχους] χ in ras. et ι alterum a corr., quasi pr. φιλάρχους, G. αὐτοῦ D. ἀντίπαλα D. ἀντιπάλοις G. pr. ἐν τῇ χώρᾳ ἔχοι D. 2. ἴσασιν D. ἰᾶσιν G. οἱ om. D. ῥᾴδιον A.G. οὕτως ἂν ῥᾷον φ. αὐτοὺς D. δι᾽ αὐτὴν αὐτῶν ἀπ. D. διὰ τὴν ἑαυτῶν ἀπ. M. γίγνεσθαι D. 3. πόλεσι φρουροὶ καὶ om. D. μηδὲν] om. D. οὐδὲν G. διαπεφυλάχασι Buttmannus Gram. v. Φυλάσσω. διαπεφύκασι A.G. pr. διαπεφυλάκασιν D.

stitutas fuisse et rem tributariam descriptam narrat. SCHN.

3. *ἄλλους—σατράπας*] Alios nomine et munere satraparum ornatos mittam. SCHN.

οἵτινες ἄρξουσι] Officia satraparum et *ὑπάρχων* seu *οἰκονόμων* diu separata manserunt, demum in cognatis et consanguineis regiis conjuncta sæpe. Conf. Heeren Ideen etc. t. 2, p. 469. Nempe hic Xenophon non tam accurate distinxit officia satraparum quam in Œconomico c. 4, ubi primum munera *φρουράρχων* et *χιλιάρχων* s. 5–8, describit. Sequuntur inde *οἰκονόμοι* regii, quos ita designat: *Καὶ εἰσὶ δ᾽ αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ᾽ ἑκάτερον οὐχ οἱ αὐτοὶ, ἀλλ᾽ οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν· οἱ δ᾽ ἄρχουσι τῶν ὡπλισμένων φρουρῶν.* Hi satrapis paruisse videntur, cum *φρούραρχοι* et *χιλίαρχοι* soli regi parerent. Sed nescio quomodo interpreter, quod ibidem s. 11, additur: *Ὅπου δ᾽ ἂν σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.* Dubium enim est, num intelligendum sit satrapas curam et rei militaris et œconomicæ gessisse, nec alios fuisse ibi vel *οἰκονόμους* regios vel *φρουράρχους*, an potius voluerit significare, satrapam inspicere et observare *φρουράρχους* et *οἰκονόμους* regios, et curare ut uterque officio suo satisfaciat. Sed dictio *ἀμφοτέρων τούτων ἐπιμελεῖται* posteriorem hanc interpretationem admittere non videtur. Certe illud apparet e loco Œconomici satrapas non habuisse tum quasdam provincias, quum Xenophon ista scriberet. SCHN.

τελέσουσιν] Recte Cobetum Var. Lect. p. 242 librorum qui hic putabatur consensui in forma soluta nihilo plus tribuisse quam ego in *ἐλάσω* pro *ἐλῶ* ad Anab. 7, 7, 55, ostendit D., in contrariam partem vitiosus 1, 6, 3.

χθέντα· ἄλλους δὲ σατράπας πέμψαι μοι δοκεῖ, οἵτινες
ἄρξουσι τῶν ἐνοικούντων καὶ τὸν δασμὸν λαμβάνοντες
τοῖς τε φρουροῖς δώσουσι μισθὸν καὶ ἄλλο τελοῦσιν ὅ τ
4 ἂν δέῃ. δοκεῖ δέ μοι καὶ τῶν ἐνθάδε μενόντων ὑμῶν, οἷς
ἂν ἐγὼ πράγματα παρέχω πέμπων πράξοντάς τι ἐπὶ ταῦτα
τὰ ἔθνη, χώρας γενέσθαι καὶ οἴκους ἐκεῖ, ὅπως δασμοφο-
ρῆταί τε αὐτοῖς δεῦρο, ὅταν τε ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα
5 ἔχωσι κατάγεσθαι. ταῦτα εἶπε καὶ ἔδωκε πολλοῖς τῶν φί-
λων κατὰ πάσας τὰς καταστραφείσας πόλεις οἴκους κα
ὑπηκόους· καὶ νῦν εἰσιν ἔτι τοῖς ἀπογόνοις τῶν τότε λα-
βόντων αἱ χῶραι καταμένουσαι ἄλλαι ἐν ἄλλῃ γῇ· αὐτο
6 δὲ οἰκοῦσι παρὰ βασιλεῖ. Δεῖ δὲ, ἔφη, τοὺς ἰόντας σατρά-
πας ἐπὶ ταύτας τὰς χώρας τοιούτους ἡμᾶς σκοπεῖν οἵτινες
ὅ τι ἂν ἐν τῇ γῇ ἑκάστῃ καλὸν ἢ ἀγαθὸν ᾖ, μεμνήσοντα
καὶ δεῦρο ἀποπέμπειν, ὡς μετέχωμεν καὶ οἱ ἐνθάδε ὄντες
τῶν πανταχοῦ γιγνομένων ἀγαθῶν· καὶ γὰρ ἤν τί ποι
7 δεινὸν γίγνηται, ἡμῖν ἔσται ἀμυντέον. ταῦτ' εἰπὼν τότε
μὲν ἔπαυσε τὸν λόγον, ἔπειτα δὲ οὓς ἐγίγνωσκε τῶν φίλων
ἐπὶ τοῖς εἰρημένοις ἐπιθυμοῦντας ἰέναι, ἐκλεξάμενος αὐτῶν
τοὺς δοκοῦντας ἐπιτηδειοτάτους εἶναι ἔπεμπε σατράπας εἰς
Ἀραβίαν μὲν Μεγάβυζον, εἰς Καππαδοκίαν δὲ Ἀρταβά-

4. φρουροῖς] πρώτοις φρουροῖς D. ἄλλως D. corr. τελέσουσιν A.G μενόντων liber Brodæi, om. A.G. μὲν ὄντων D. παρέχων πέμπω D. πρά ξαντας D. τὰ ἔθνη ταῦτα G.M. δασμοφορῆτέ D. δασμηφορῆται τε L. ὅτα τε] καὶ ὅταν τε D. 5. κατὰ πάσας] καταστάσας fortasse pr. G. πόλεις χώρας D. καὶ ὑπηκόους om. A.G. καὶ νῦν εἰσὶν ἔτι M. καὶ νῦν εἰσιν ἐπὶ A.G καὶ νῦν ἔτι εἰσὶν D. 6. καλὸν ᾖ ἢ ἀγ. D. μετέχομεν D. 7. ἔπαυσε ἔτασσε D. ἐπιτηδιοτ. G. ἐπ. δοκοῦντας D. ἔπεμψε D. ἀραβίαν D. pr. sed ρ s. v. ἀρραβίαν G. καπαδοκίαν G. pr.

4. πέμπων] Intelligi qui s. 16 ἔφοδοι dicantur monuit Zeunius. Hos eosdem in Œcon. 4, 6, dicit: Πιστοὺς πέμπει ἐπισκοπεῖν, aut, ut est s. 8, πιστοὺς πέμπων ἐπισκοπεῖται. SCHN.

5. καὶ νῦν εἰσιν ἔτι] 4, 2, 8: Καὶ νῦν δ' ἔστιν ἔτι ἰδεῖν pro καὶ νῦν δ' ἔτι ἰδεῖν ἔστιν restitui ex melioribus. Infra 7, 17, οὐδέν εἰμι ἐγὼ ἔτι. 8, 3, οὐδὲ νῦν πιστεύει οὐδὲ εἷς ἔτι. Suspecta autem καὶ ὑπηκόους.

6. τοὺς ἰόντας] Intellige, qui profecturi sunt in provincias, tales nos providere et eligere oportet. SCHN.

τοιούτους σκοπεῖν] Hieronis 9, 10: Σκοπεῖν τι ἀγαθόν. Soph. Aj. v. 1165 Σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν τῷδε ubi Theocritei 15, 2: Ὅρη δίφρον αὐτ non immemor fuit Musgravius.

ἀγαθὸν ᾖ] Huc pertinet narratio Polycleti apud Strabonem 15, p. 735 Susis esse thesauros regis et παραθέ σεις ὧν ἐπράττοντο φόρων, ὑπομνήματα τῆς οἰκονομίας· πράττεσθαι δ' ἐκ μὲ τῆς παραλίας ἀργύριον, ἐκ δὲ τῆς μεσο γαίας, ἃ φέρει ἑκάστη χώρα· ὥστε κα χρώματα καὶ φάρμακα καὶ τρίχα, ἐρέαν ἤ τι τοιοῦθ' ἕτερον καὶ θρέμματα ὁμοίως τὸν δὲ διατάξαντα τοὺς φόρους Δαρεῖο εἶναι τὸν μακρόχειρα. SCHN.

ταν, εἰς Φρυγίαν δὲ τὴν μεγάλην Ἀρτακάμαν, εἰς Λυδίαν
δὲ καὶ Ἰωνίαν Χρυσάνταν, εἰς Καρίαν δὲ Ἀδούσιον, ὅνπερ
ᾐτοῦντο, εἰς Φρυγίαν δὲ τὴν παρ' Ἑλλήσποντον καὶ Αἰο-
8 λίδα Φαρνοῦχον. Κιλικίας δὲ καὶ Κύπρου καὶ Παφλαγό-
νων οὐκ ἔπεμψε Πέρσας σατράπας, ὅτι ἑκόντες ἐδόκουν
συστρατεύεσθαι ἐπὶ Βαβυλῶνα· δασμοὺς μέντοι συνέτα-
9 ξεν ἀποφέρειν καὶ τούτους. ὡς δὲ τότε Κῦρος κατεστή- [5]
σατο, οὕτως ἔτι καὶ νῦν βασιλέως εἰσὶν αἱ ἐν ταῖς ἄκραις
φυλακαὶ καὶ οἱ χιλίαρχοι τῶν φυλακῶν ἐκ βασιλέως εἰσὶ
10 καθεστηκότες καὶ παρὰ βασιλεῖ ἀπογεγραμμένοι. προεῖπε
δὲ πᾶσι τοῖς ἐκπεμπομένοις σατράπαις, ὅσα αὐτὸν ἑώρων
ποιοῦντα, πάντα μιμεῖσθαι· πρῶτον μὲν ἱππέας καθιστά-
ναι ἐκ τῶν συνεπισπομένων Περσῶν καὶ συμμάχων καὶ
ἁρματηλάτας· ὁπόσοι δ' ἂν γῆν καὶ ἀρχεῖα λάβωσιν, ἀναγ-
κάζειν τούτους ἐπὶ θύρας ἰέναι καὶ σωφροσύνης ἐπιμελο-
μένους παρέχειν ἑαυτοὺς τῷ σατράπῃ χρῆσθαι, ἤν τι δέ-
ηται· παιδεύειν δὲ καὶ τοὺς γιγνομένους παῖδας ἐπὶ θύραις,
ὥσπερ παρ' αὐτῷ· ἐξάγειν δ' ἐπὶ τὴν θήραν τὸν σατράπην
τοὺς ἀπὸ θυρῶν καὶ ἀσκεῖν αὐτόν τε καὶ τοὺς σὺν ἑαυτῷ
11 τὰ πολεμικά. Ὃς δ' ἂν ἐμοί, ἔφη, κατὰ λόγον τῆς δυνά- [6]
μεως πλεῖστα μὲν ἅρματα, πλείστους δὲ καὶ ἀρίστους ἱπ-
πέας ἀποδεικνύῃ, τοῦτον ἐγὼ ὡς ἀγαθὸν σύμμαχον καὶ ὡς
ἀγαθὸν συμφύλακα Πέρσαις τε καὶ ἐμοὶ τῆς ἀρχῆς τι-
μήσω. ἔστων δὲ παρ' ὑμῖν καὶ ἕδραις ὥσπερ παρ' ἐμοὶ

λυκίαν A.G. ᾔτουν A.G. 8. συστρατεῦσαι D. μέντι A. ἔταξεν D. 9. δὲ om. A.G. s. v. r. κατεστήσατο] κατεσκευάσατο D. ταῖς om. D. 10. ὅσα δυνατὸν ἑώρων ποιοῦντα ἑαυτὸν A.G. et quæ ποιοῦντα αὐτὸν Ald. ὅσα ἑώρων ποιοῦντα ἑαυτὸν O. ὅσα ἑαυτὸν ἑώρων ποιοῦντα D. συνεπισπωμ. G. corr. s. v. r. Libri ἐπιμελουμένους. γιγνομένους] ἐπιγιγνομένους D. θύραις Reiskius. θύρας A.D.G. παρ' αὐτῷ] ἑαυτῷ D. τὴν om. D. θύραν A.G. pr. αὐτὸν D.G. 11. ἐμοὶ om. D. κατὰ λόγον] κατάλογον G. corr. ξύμμαχον G. ἔστωσαν A.G. ὑμῖν] υ et ιν in ras. D. ἕδραις Stephanus. ἕδραι (quasi ἕδρᾳ) A.D.G.

7. Ἀδούσιον] Conf. 7, 4, 7. SCHN.

9. ἀπογεγραμμένοι] *In catalogo scripti*, ut 6, 2, 36, interpretatur Zeunius. Verum dubitatio mihi superest, annon satraparum nomina etiam scripta in catalogo manserint apud regem Persarum. Quodsi satraparum dignitas fuit perpetua et hereditate ad filios perveniebat, tum minor nominum fortasse, sed eadem personarum varietas aderat memoria asservanda. SCHN.

10. αὐτὸν] δυνατὸν, quod addunt A.G., ortum ex αὐτόν. Sic αὐτοῖς in δυνατοῖς corruptum in fragmento Diodori apud G. Sync. p. 267 D.

ὥσπερ παρ' αὐτῷ] 7, 5, 86; 8, 1, 6.

11. ἔστων] Hanc formam 4, 6, 10, ex melioribus restitutam pro ἔστωσαν, recepi ex minus bonis, etsi formæ

οἱ ἄριστοι προτετιμημένοι, καὶ τράπεζα, ὥσπερ ἡ ἐμὴ, τρέ
φουσα μὲν πρῶτον τοὺς οἰκέτας, ἔπειτα δὲ καὶ ὡς φίλοι
μεταδιδόναι ἱκανῶς κεκοσμημένη καὶ ὡς τὸν καλόν τι ποι
12 οῦντα καθ' ἡμέραν ἐπιγεραίρειν. κτᾶσθε δὲ καὶ παραδείσου
καὶ θηρία τρέφετε, καὶ μήτε αὐτοί ποτε ἄνευ πόνου σῖτο
παραθῆσθε μήτε ἵπποις ἀγυμνάστοις χόρτον ἐμβάλλετε
οὐ γὰρ ἂν δυναίμην ἐγὼ εἷς ὢν ἀνθρωπίνῃ ἀρετῇ τὰ πάν
των ὑμῶν ἀγαθὰ διασώζειν, ἀλλὰ δεῖ ἐμὲ μὲν ἀγαθὸν ὄντ
σὺν ἀγαθοῖς τοῖς παρ' ἐμοῦ ὑμῖν ἐπίκουρον εἶναι· ὑμᾶς δ
ὁμοίως αὐτοὺς ἀγαθοὺς ὄντας σὺν ἀγαθοῖς τοῖς μεθ' ὑμῶ
13 ἐμοὶ συμμάχους εἶναι. βουλοίμην δ' ἂν ὑμᾶς καὶ τοῦτ
κατανοῆσαι ὅτι τούτων ὧν νῦν ὑμῖν παρακελεύομαι οὐδὲ
τοῖς δούλοις προστάττω· ἃ δ' ὑμᾶς φημι χρῆναι ποιεῖν
ταῦτα καὶ αὐτὸς πειρῶμαι πάντα πράττειν. ὥσπερ δ' ἐγ
ὑμᾶς κελεύω ἐμὲ μιμεῖσθαι, οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶ
ἀρχὰς ἔχοντας μιμεῖσθαι ὑμᾶς διδάσκετε.
14 Ταῦτα δὲ Κύρου οὕτω τότε τάξαντος ἔτι καὶ νῦ
τῷ αὐτῷ τρόπῳ πᾶσαι μὲν αἱ ὑπὸ βασιλεῖ φυλακα
ὁμοίως φυλάττονται, πᾶσαι δὲ αἱ τῶν ἀρχόντων θύρα
ὁμοίως θεραπεύονται, πάντες δὲ οἱ οἶκοι καὶ μεγάλοι κα
μικροὶ ὁμοίως οἰκοῦνται, πᾶσι δὲ οἱ ἄριστοι τῶν παρόντω
ἕδραις προτετίμηνται, πᾶσι δὲ αἱ πορεῖαι συντεταγμένα
κατὰ τὸν αὐτὸν τρόπον εἰσὶ, πᾶσι δὲ συγκεφαλαιοῦντα
15 πολλαὶ πράξεις ὀλίγοις ἐπιστάταις. ταῦτα δὲ εἰπὼν ὡ

προτετιμημένοις D. ἐπιγεραίρειν Pollux 6, 187. 12. κτᾶσθαι G. pr
ut videtur. δὲ om. D. ἄνευ πόνου] ἄπονοι D. παράθητε D. pr. πα
ράθησθε corr. ἂν om. D. ὑμῶν om. A. 13. τούτων] τούτων ὅι
των D. πάντα om. G., qui hic mg. ἠθικῶς, M. οὕτως D. ἡμῶν D
ἀρχεῖα D. μιμεῖσθε G. pr., ut videtur. 14. οὕτως A.D. οἱ οἶ
κοι] οἶκοι D. σμικροὶ G. ἄριστοι] ἄριστοι ὁμοίως D. πᾶσι] Libr
πᾶσαι. Correxi in ed. a. 1826. πᾶσι] πᾶσαι D. ὀλίγοις ἐπιστάταις
εἰς ὀλίγους ἐπιστάτας D. 15. δὲ om. D.H.

ἕστωσαν exempla non tantum Thucydidis aut Platonis ipsiusque Xenophontis Eq. 12, 4: Τοσαῦται ἕστωσαν, ὥστε στέγειν, libri suppeditant, ut dixi ad Thes. Steph. v. Εἰμὶ, vol. 3, p. 261 C, sed etiam Euripidis, quibus tamen multo certiores esse testes inscriptiones illius ætatis, quæ nunquam aliter quam -ων, dixi ad Anabasin p. xvi. V. ad 7, 2, 14.

ἕδραις] Sic s. 14: Οἱ ἄριστοι τῶν παρόντων ἕδραις προτετίμηνται. SCHN

καὶ τράπεζα] Intellige ἔστω πα
ὑμῖν. Sequens ἐπιγεραίρειν quam vim habeat adjuncta præpositione peculia rem, non intelligo. SCHN.

12. παραδείσους] V. 8, 1, 38.

14. αἱ πορεῖαι—τὸν αὐτὸν τρόπον Qui scilicet c. 5, 1—16, describitur SCHN.

συγκεφ.] Conf. 8, 1, 15. ZEUN.

χρὴ ποιεῖν ἑκάστους καὶ δύναμιν ἑκάστῳ προσθεὶς ἐξέπεμπε, καὶ προεῖπεν ἅπασι παρασκευάζεσθαι ὡς εἰς νέωτα στρατείας ἐσομένης καὶ ἐπιδείξεως ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων καὶ ἁρμάτων.

6 Κατενοήσαμεν δὲ καὶ τοῦτο ὅτι Κύρου κατάρξαντος, ὥς [8]
φασι, καὶ νῦν ἔτι διαμένει· ἐφοδεύει γὰρ ἀνὴρ κατ' ἐνιαυτὸν ἀεὶ στράτευμα ἔχων, ὡς ἢν μέν τις τῶν σατραπῶν ἐπικουρίας δέηται, ἐπικουρῇ, ἢν δέ τις ὑβρίζῃ, σωφρονίζῃ, ἢν δέ τις ἢ δασμῶν φορᾶς ἀμελῇ ἢ τῶν ἐνοίκων φυλακῆς ἢ ὅπως ἡ χώρα ἐνεργὸς ᾖ ἢ ἄλλο τι τῶν τεταγμένων παραλίπῃ, ταῦτα πάντα κατευτρεπίζῃ· ἢν δὲ μὴ δύνηται, βασιλεῖ ἀπαγγέλλῃ· ὁ δὲ ἀκούων βουλεύεται περὶ τοῦ ἀτακτοῦντος. καὶ οἱ πολλάκις λεγόμενοι ὅτι βασιλέως υἱὸς καταβαίνει, βασιλέως ἀδελφὸς, βασιλέως ὀφθαλμὸς, καὶ ἐνίοτε οὐκ ἐκφαινόμενοι, οὗτοι τῶν ἐφόδων εἰσίν· ἀποτρέπεται γὰρ ἕκαστος αὐτῶν ὁπόθεν ἂν βασιλεὺς κελεύῃ.

7 Κατεμάθομεν δὲ αὐτοῦ καὶ ἄλλο μηχάνημα πρὸς τὸ [9]
μέγεθος τῆς ἀρχῆς, ἐξ οὗ ταχέως ᾐσθάνετο καὶ τὰ πάμπολυ ἀπέχοντα ὅπως ἔχοι. σκεψάμενος γὰρ πόσην ἂν ὁδὸν ἵππος κατανύτοι τῆς ἡμέρας ἐλαυνόμενος ὥστε διαρκεῖν,

στρατείας] τῆς στρατείας D. ἀποδείξεως D. καὶ ἁρμάτων om. D. 16. ἔτι καὶ νῦν διαμένοιεν D. ὡς] ὃς A. σατραπῶν] στρατιωτῶν D. σωφρονίζῃ] ει G. s. v. r. L., hic quidem etiam ἐπικουρῇ cum ras. post ῆ. τῶν ἐνοίκων] τῶν G. s. v. r. παραλείπει D. βουλεύεται Aldina. βουλεύηται A.D.G. οὗτοί εἰσι τῶν ἐφ. G.M. 17. καταμάθωμεν G., qui hic mg. περὶ τοῦ δρόμου.

16. κατ' ἐνιαυτὸν ἀεὶ] Thuc. 4. 66: Ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν.

ἐφόδων] Rari usus vox ὁ ἔφοδος de circuitoribus, qui vigilias inspiciunt, est apud Polybium et Pollucem 1, 173.

ἀποτρέπεται] 5, 1, 27. φευγόντων τῶν πολεμίων ἀποτρέπεσθαι dicuntur, qui hostem fugientem omittunt nec persequi perseverant. Hic propria significatione dicuntur ἀποτρέπεσθαι, qui a via cœpta deflectunt, itaque ubi exspectabantur, non apparent. Ita verbum est Anab. 3, 5, 1; 7, 3, 7; 7, 6, 11. SCHN.

κατανύτοι] Nullum in libris Xenophontis vestigium spiritus asperi, quem Atticis in hoc verbo tribuunt grammatici, de quibus Porson. ad Eur. Phœn. 463, Dobr. ad Aristoph. Plut. 607, et nos ad Thes. Steph. v. Ἀνύω et Κατανύω, sed quem ignorasse videntur jam grammatici recentiores, ut Moschop. p. 34, 1 ed. Titz., Joannes Levita post Ammon. p. 211, qui similiter inter se dissentiunt de ἀθροίζω et ἁθροίζω, in uno D. aliquoties servato. Καθήνυσαν ex Soph. Electr. 1451, ubi libri κατήνυσαν, petiisse videri Phrynichum, ut καθανύσαι ponit Hesychius, animadverterunt interpretes.

ἐποιήσατο ἱππῶνας τοσοῦτον διαλείποντας καὶ ἵππους ἐν
αὐτοῖς κατέστησε καὶ τοὺς ἐπιμελομένους τούτων, καὶ
ἄνδρα ἐφ᾽ ἑκάστῳ τῶν τόπων ἔταξε τὸν ἐπιτήδειον παρα-
δέχεσθαι τὰ φερόμενα γράμματα καὶ παραδιδόναι καὶ
παραλαμβάνειν τοὺς ἀπειρηκότας ἵππους καὶ ἀνθρώπους
18 καὶ ἄλλους πέμπειν νεαλεῖς· ἔστι δ᾽ ὅτε οὐδὲ τὰς νύκτας
φασὶν ἵστασθαι ταύτην τὴν πορείαν, ἀλλὰ τῷ ἡμερινῷ
ἀγγέλῳ τὸν νυκτερινὸν διαδέχεσθαι. τούτων δὲ οὕτω
γιγνομένων φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν
πορείαν ἀνύτειν· εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ᾽ ὅτι γε τῶν
ἀνθρωπίνων πεζῇ πορειῶν αὕτη ταχίστη, τοῦτο εὔδηλον.
ἀγαθὸν δὲ ὡς τάχιστα ἕκαστον αἰσθανόμενον ὡς τάχιστα
ἐπιμέλεσθαι.

19 Ἐπεὶ δὲ περιῆλθεν ὁ ἐνιαυτός, συνήγειρε στρατιὰν εἰς
Βαβυλῶνα, καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν
ἱππέων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρεπανηφόρα,
20 πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. ἐπεὶ δὲ ταῦτα συνεσκεύ-
αστο αὐτῷ, ὥρμα δὴ ταύτην τὴν στρατείαν ἐν ᾗ λέγεται
καταστρέψασθαι πάντα τὰ ἔθνη ὅσα Συρίαν ἐκβάντι οἰκεῖ
μέχρι Ἐρυθρᾶς θαλάττης. μετὰ δὲ ταῦτα ἡ εἰς Αἴγυπτον
στρατεία λέγεται γενέσθαι καὶ καταστρέψασθαι Αἴγυπτον.
21 καὶ ἐκ τούτου τὴν ἀρχὴν ὥριζεν αὐτῷ πρὸς ἕω μὲν ἡ
Ἐρυθρὰ θάλαττα, πρὸς ἄρκτον δὲ ὁ Εὔξεινος πόντος, πρὸς
ἑσπέραν δὲ Κύπρος καὶ Αἴγυπτος, πρὸς μεσημβρίαν δὲ
Αἰθιοπία. τούτων δὲ τὰ πέρατα τὰ μὲν διὰ θάλπος, τὰ δὲ

καὶ ἀνθρώπους om. A.G. Zonaras p. 168 A. 18. *ἵστασθαί φασιν* M. *δέχεσθαι* G. *δὲ*] *δὴ* G. *οὕτως* A. Libri *ἐπιμελεῖσθαι.* 19. *συνέγειρε* A. *στρατείαν* D. *στρατεία βαβυλῶνος* G. mg. *ἵππων* A.G. 20. *συνεσκευάσατο* A.G. *στρατείαν*] *στρατείαν ἔχων* D. *στρατιὰν* A.G. *πάντα κατ.* D. *εἰσβάντι* A.G. Zonaras. *οἰκεῖται* D. *θαλάσσης ἐρυθρᾶς* G.M. 21. *ὥριξεν* A.G. pr. *ση. τὸν ὁρισμὸν τῆς κύρου ἀρχῆς* D. mg.

ἱππῶνας] Angaros a Cyro institutos describit etiam Herodotus 8, 98. Conf. Brissonius p. 148. SCHN. Alia Lipsius Opp. vol. 2, p. 603 s. ed. Vesal. Ruinas talis stabuli perantiquas et, ut opinabatur, ab ipso Cyro constructi conspexerat Ker Porter *Travels in Georgia, Persia* etc. vol. 1, p. 482. Herodotus autem tueri videtur *καὶ ἀνθρώπους*.

18. *ἀνύτειν* ponitur absolute.

ἕκαστον] Neutro genere dicitur, si hæc sunt Xenophontis. *ἑκάστου* Steph.

20. *ὥρμα ταύτην τὴν στρατείαν*] Anab. 3, 1, 8: *Μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν.*

Αἴγυπτον] Quam Herodoto 3, 1, Cambyses demum filius Cyri subegisse dicitur. SCHN.

21. *Ἐρυθρὰ θάλαττα*] Apud Herodotum 2, 11, est Oceanus Indicus: hic vero an sinus Arabicus intelligi debeat dubius hæreo. SCHN. Uterque. V. autem 8, 8, 1.

διὰ ψῦχος, τὰ δὲ διὰ ὕδωρ, τὰ δὲ δι' ἀνυδρίαν δυσοίκητα.
2 αὐτὸς δ' ἐν μέσῳ τούτων τὴν δίαιταν ποιησάμενος, τὸν [11]
μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι
ἑπτὰ μῆνας· αὕτη γὰρ ἀλεεινὴ ἡ χώρα· τὸν δὲ ἀμφὶ τὸ
ἔαρ τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ θέρους δύο
μῆνας ἐν Ἐκβατάνοις· οὕτω δὴ ποιοῦντ' αὐτὸν λέγουσιν
3 ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διάγειν ἀεί. οὕτω δὲ διέκειντο

22. ἀλεεινὴ citat Schol. Bodl. Anab. 4, 4, 11.

22. τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον] Quod Cyri institutum reliqui deinceps Persarum reges fere secuti sunt. Xen. Anab. 3, 5, 15: Ἡ δὲ πρὸς ἕω ὅτι ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα φέροι, ἔνθα θερίζειν καὶ ἐαρίζειν λέγεται βασιλεύς. Plutarch. de exil. p. 604 C: Καίτοι τούς γε Περσῶν βασιλέας ἐμακάριζον, ἐν Βαβυλῶνι τὸν χειμῶνα διάγοντας, ἐν δὲ Μηδίᾳ (Ecbatanis) τὸ θέρος, ἐν δὲ Σούσοις τὸ ἥδιστον τοῦ ἔαρος. Apud eund. Mor. p. 78 D. Diogenes etiam suas Athenis Corinthum et Corintho Thebas migrationes παρέβαλε ταῖς βασιλέως ἔαρος μὲν ἐν Σούσοις καὶ χειμῶνος ἐν Βαβυλῶνι, θέρους δ' ἐν Μηδίᾳ διατριβαῖς. Hinc apud Aristidem vol. 1, p. 203 μετανάσται τινὲς βασιλεῖς καὶ πλάνητες. Ælianus quidem N. A. 10, 6 de Persarum rege loquitur tanquam θερίζοντος μὲν ἐν Σούσοις, χειμάζοντος δὲ ἐν Ἐκβατάνοις. At leg. esse ἐν Ἐκβατάνοις—ἐν Σούσοις, post Brissonium animadvertit Spanhemius Obs. ad Juliani Orat. 1, p. 126. Miror autem neque hunc neque illum apud Strabonem idem fere dici animadvertisse 11, p. 524: Καὶ ἦν τὰ Ἐκβάτανα χειμάδιον τοῖς Πέρσαις· mox: Καὶ νῦν ἔτι τοῖς Παρθυαίων βασιλεῦσι τὴν αὐτὴν παρέχεται χρείαν τε καὶ ἀσφάλειαν. Idem tamen 16, p. 743 tradit Ecbatana regibus Parthorum æstiva agentibus sedem esse. Conf. Dion. Chrys. Or. 6, p. 86, Athen. 12, 1, p. 513. HUTCH.

ἐν Ἐκβατάνοις] Qua de urbe, hodie *Amadan, Hamadan, Hémédan,* Olivier *Voyage dans la Perse* vol. 5, p. 53: "Sa position dans la partie de l'Irak-Adjem, qui répond parfaitement à cette partie de la Médie où les anciens plaçaient Ecbatane; sa distance du mont Elvind, qui est aujourd'hui de trois milles ou environ, et qui était de douze stades lorsqu'elle occupait un plus grand espace; les décombres ou les terres rapportées, sur lesquels elle est assise, et qui annoncent son ancienneté; le chemin pratiqué sur la montagne, qui paraît avoir été fait avec plus de soin que n'en mettent les Persans d'aujourd'hui; les eaux très-abondantes qui descendent de cette montagne, et qu'on pourrait, comme autrefois, amener à la ville: en été, le climat le plus doux, le plus tempéré de la Perse: le sol le plus arrosé, le plus fertile, le plus productif: tout concourt à prouver que se n'est point à Tauris, comme quelques-uns l'avaient cru, qu'il faut chercher la position de l'ancienne capitale de la Médie, mais sur le terrain qu'occupe aujourd'hui Amadan. On sait qu'Ecbatane partagea avec Babylone, Suze et Persépolis, l'avantage de recevoir chaque l'année le souverain dans ses murs. Elle le dut encore plus à la salubrité de l'air, qu'à l'abondance de ses eaux et à la variété de ses productions. En effet, cette partie de la Perse, qui produit les meilleurs fruits, où se trouvent les troupeaux les plus nombreux et les plus estimés, où croissent en quantité le riz et toutes les plantes céréales, est bien loin d'éprouver, en été, les chaleurs brûlantes qui se font sentir dans la Babylonie et au sud de la Perse. L'élévation du sol à Kermanchah, à Amadan, à Néhavend et dans tout ce qui formait l'ancienne Médie, contribue puissamment à tempérer les chaleurs de l'été, comme elle est la cause du froid rigoureux qui s'y fait sentir pendant deux ou trois mois de l'hiver."

πρὸς αὐτὸν οἱ ἄνθρωποι ὡς πᾶν μὲν ἔθνος μειονεκτεῖν ἐδόκει, εἰ μὴ Κύρῳ πέμψειεν ὅ τι καλὸν αὐτοῖς ἐν τῇ χώρᾳ ἢ φύοιτο ἢ τρέφοιτο ἢ τεχνῷτο, πᾶσα δὲ πόλις ὡσαύτως, πᾶς δὲ ἰδιώτης πλούσιος ἂν ᾤετο γενέσθαι, εἴ τι Κύρῳ χαρίσαιτο· καὶ γὰρ ὁ Κῦρος λαμβάνων παρ' ἑκάστων ὧν ἀφθονίαν εἶχον οἱ διδόντες ἀντεδίδου ὧν σπανίζοντας αὐτοὺς αἰσθάνοιτο.

ΚΕΦ. Ζ.

Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς· καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δὴ ὥσπερ εἰκὸς ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἔθυσε τὰ νομιζόμενα ἱερὰ καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ
2 *πάτρια καὶ τὰ δῶρα πᾶσι διέδωκεν ὥσπερ εἰώθει. κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ ὄναρ εἶδε τοιόνδε. ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις ἢ κατὰ ἄνθρωπον εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξη-*

23. ὅ] εἴ D. τεχνοῖτο A.G. χαρίσαιτο] αι D. s. v. r. ἑκάστω A. 1. δὲ] δὴ D.M. ἕβδομον] ἕβδομον ἤδη D.M. Libri αὐτοῦ. ἐτελευτήκεσαν A.M. ἔθυσε] ἐλθὼν καὶ ἔθυσε D. ἱερεῖα D.G. mg. r. M. εἰώθη D. pr. 2. ὄναρ] περὶ τοῦ ὀνείρου G. mg.

23. *πέμψειεν*] Similia in imaginibus ruinarum Persepolitanarum expressa notat Ker Porter *Travels* vol. 1, p. 619.

ὅ τι καλὸν αὐτοῖς] Conf. Ælian. V. H. 1, 31, 32. ZEUN.

1. *οὕτω δὲ*] Ita breviter Xenophon transcurrit, quod supererat ex altera parte consilii ejus, quod in Cyri disciplina secutus esse videtur, demonstrandum. Recte igitur Weiskius in Disputatione de natura disciplinæ Cyri p. 125 statuit Xenophontem bene docuisse quomodo bellis fortiter et sapienter gerendis magnum imperium possit acquiri, alterum minus fecisse planum, quomodo idem debeat conservari. Nimis manifesta et molesta est lectori inæqualitas posterioris operis partis cum priore de rebus bellicis tradente comparatæ. SCHN.

πρεσβύτης] Dinone auctore apud Ciceronem de Divinatione 1, 23, annos septuaginta attigit, anno ætatis tricesimo regnare cœpit. Triginta annos regnasse Dinon, uno minus Herodotus 1, 214, tradit. SCHN.

τὸ ἕβδομον] *Septima vice.* De hoc historicorum veterum testimonia ignoramus. SCHN.

ἔθυσε] Conf. 8, 5, 26. ZEUN. Pasargadis hoc factum fuisse disputat Ker Porter *Travels*, vol. 1. p. 487.

χοροῦ] De choro in sacrificiis Persarum usitato supra c. 5, s. 21, nihil relatum nec ab alio traditum ullo legimus. SCHN. Morem Græcum ad Persas transfert Xenophon.

2. *Συσκευάζου*] Anonymus ap. Suidam in *συσκευάζεσθαι* ita: *Ὄναρ ἐφίσταται θεία τις ὄψις, καὶ λέγει δεῖν συσκευάζεσθαι· καλεῖν γὰρ τὸ χρεὼν αὐτόν.* SCHN. Choricius p. 22, 5 ed. Boisson.: *Κύρῳ φασὶ τῷ Καμβύσου καθεύδοντι δόξαι τινὰ προσελθόντα, Σκευάζου* (potius *συσκευάζου*) *λέγειν, ὦ Κῦρε. ἤδη γὰρ εἰς τοὺς κρείττονας ἄπει.*

γέρθη καὶ σχεδὸν ἐδόκει εἰδέναι ὅτι τοῦ βίου ἡ τελευτὴ
3 παρείη. εὐθὺς οὖν λαβὼν ἱερεῖα ἔθυε Διί τε πατρῴῳ καὶ
Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι
θύουσιν, ὧδε ἐπευχόμενος, Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάν-
τες θεοὶ, δέχεσθε τάδε καὶ τελεστήρια πολλῶν καὶ καλῶν
πράξεων καὶ χαριστήρια ὅτι ἐσημήνατέ μοι καὶ ἐν ἱεροῖς
καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις ἅ
τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. πολλὴ δ' ὑμῖν χάρις ὅτι
κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν καὶ οὐδεπώποτε
ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. αἰτοῦμαι δ'
ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ
πατρίδι εὐδαιμονίαν, ἐμοὶ δὲ οἷόνπερ αἰῶνα δεδώκατε, τοι-
4 αύτην καὶ τελευτὴν δοῦναι. ὁ μὲν δὴ τοιαῦτα ποιήσας καὶ [2]
οἴκαδε ἐλθὼν ἔδοξεν ἡδέως ἀναπαύσεσθαι καὶ κατεκλίνη.
ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν
ἐκέλευον. ὁ δ' ἔλεγεν ὅτι ἡδέως ἀναπαύοιτο. οἱ δ' αὖ τε-
ταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ
ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει, καὶ ἔπιεν

εἰδέναι] εὖ εἰδέναι D. 3. ἔθυσεν D. πάντες οἱ θεοὶ D. εὐχαριστή-ρια D. ἐσημαίνετε D. μοι καὶ] μοι M. οὐρανίοις σημείοις] οὐρανίοις A.H.M. οὐνίοις G. καὶ ἐν οἰωνοῖς om. D. οὐκ ἐχρῆν] οὐ χρῆν D. καὶ ἐγὼ D. καὶ νῦν δοῦναι D., qui mox mg. partim resecto οὐ ἐπείχεσθαι .. τρὶ καλὸς λόγος. 4. ἀπελθὼν D. ἔδοξεν ἡδέως ἀναπαύσεσθαι E., ut videtur, Stephanus, et qui ἀναπαύσασθαι A. et qui ἀναπαύεσθαι D. ἔδοξεν ἀνα-παύσασθαι G.M. κατεκλίνη] κατεκλίθη A.D.G. corr., κατεκλήθη D. pr. ἐκέλευον] ἔλεγον D. τῷ] τοῦ M. διψεῖν D.

3. ἄκρων] Herodotus 1, 131: Νομίζουσι Διῒ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. θύουσι δὲ Ἡλίῳ τε καὶ Σελήνῃ καὶ Γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. Strabo 15, p. 732: Πέρσαι ἀγάλματα καὶ βωμοὺς οὐχ ἱδρύονται, θύουσι δὲ ἐν ὑψηλῷ τόπῳ. ZEUN. Τεμένη dicit 8, 3, 1, 24. "This sacrifice, made in a particular place, at some distance from the capital, is mentioned several times in the Cyropedia, and seems to point, without any force, to the *mountain-altar*, or Tact-i-Sulieman at Pasargadæ, in the plain of Mourg-aub." Ker Porter l. c. p. 556.

σημείοις] Suspectum, etsi est 1, 6, 2.

4. ἀναπαύσεσθαι] *Placuit ei requiescere.* Multis in locis Plato habet δοκῶ μοι κατακείσεσθαι et similia, de quibus Heindorf. ad Phædrum p. 200. Præterea Aristoph. Ran. 188: Ποῖ σχήσειν δοκεῖς; Tertiæ personæ exemplum simile nondum reperi. Simile tamen est supra 6, 1, 33: Δοκῶν ὑπηρετήσειν—ἠπείλησε. SCHN.

κατεκλίνη] Quod 5, 2, 15 ex optimis, hic sine libris restitui. Nec dubitandum idem esse faciendum H. Gr. 4, 1, 30, ubi meliores κατεκλίθη, deteriores κατεκλίνθη, Conv. 1, 8, Cyneg. 8, 3, ut ex libris vel sine libris factum apud Aristoph. Vesp. 1211, Lys. 904, qui alibi apud eum rectam formam omnes servant. Inter utramque variant libri Platonis et Dionis Chr. Or. 7, p. 243 R.

5 ἡδέως. ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις· ἐκάλεσε δὲ καὶ τοὺς φίλους καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων ἤρχετο τοιοῦδε λόγου.

6 Παῖδες ἐμοὶ καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ [3
βίου τὸ τέλος ἤδη πάρεστιν· ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω· ὑμᾶς δὲ χρή, ὅταν τελευτήσω, ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι, ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις, τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι· σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ᾐσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ' ἐπιχειρήσας οὔτ' ἐπιθυ-
7 μήσας οἶδα ὅτου ἠτύχησα. καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ νῦν προτετιμημένην καταλείπω· ὧν τ' ἐκτησάμην οὐδὲν οἶδα ὅ τι οὐ διεσωσάμην. καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως ὥσπερ ηὐχόμην· φόβος δέ μοι συμπαρομαρτῶν μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπόν, οὐκ εἴα τελέως μέγα φρο-

ἡδέως. ὡς δὲ] ἡδέως δὲ A. et qui mg. r. ὡς δὲ G. ἡδέως δέ. ὡς δὲ L. 5. ταυτὰ ταῦτα σ. αὐτῷ D., οι s. ταῦ al. m. 6. ση. ὡραῖον. πρόσχες καλῇ A. mg. διαθήκη κύρου D. mg. τὸ om. D. ὡς περὶ] ὥσπερ A.G. ποιεῖν] πράττειν M. ἔπειτα ἡβήσας D. ὥστε καὶ] ὥστε D. οὐπώποτε D. ἐπῃσθόμην D. 7. ὧν τ'] ὥστ' D. εὐχόμην A. τελέως μέγα φρονεῖν D.P. τελέως με φρονεῖν A.G.M. με τελέως μέγα φρονεῖν H.

5. ταῦτα] Inter ταῦτα et τὰ αὐτὰ ταῦτα variatur etiam Anab. 5, 6, 21, ut ταὐτὰ an ταὐτὰ ταῦτα his locis præferendum sit dubites. Hic ταὐτὰ Zeunius.

6. καλὰ] Conf. 1, 2, 15. Similiter Reip. Laced. 3, 3, de Lycurgo: Εἴ τις ταῦτα φύγοι, μηδενὸς ἔτι τῶν καλῶν τυγχάνειν ἐποίησε.

τοὐμὸν γῆρας] Hunc locum expressit Cicero de Senectute c. 9. SCHN. Conf. autem Sueton. Cæs. c. 87.

7. τὴν πατρίδα] Conf. 8, 5, 23. ZEUN.

φόβος] Conf. Herodot. 1, 32, Plut. Solon. c. 27. ZEUN.

τελέως με μέγα φρονεῖν] Duplex loci scriptura est, τελέως μέγα φρ. et τελέως με φρονεῖν, quam pessime interpretatur I. M. Gesnerus "plane sibi mente constare et sua sorte beatum esse." Recte Camerarius: "non sinit me prorsus magno esse animo et effuse lætari." Reddidit igitur libri Budensis μέγα φρονεῖν, et debet emendationem Stephanus Camerario. Hoc est illud ipsum, cujus causa gratias diis agebat Cyrus. s. 3: Οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρό-

8 νεῖν οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. νῦν δ' ἢν τελευ-
τήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδο-
σάν μοι οἱ θεοὶ γενέσθαι· καταλείπω δὲ πατρίδα καὶ φί-
λους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακα-
9 ριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι; δεῖ δὲ καὶ
τὴν βασιλείαν σαφηνίσαντα καταλιπεῖν, ὡς ἂν μὴ ἀμ-
φίλογος γενομένη πράγματα ὑμῖν παράσχῃ. ἐγὼ δὲ νῦν
φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προ-
βουλεύειν καὶ τὸ ἡγεῖσθαι ἐφ' ὅ τι ἂν καιρὸς δοκῇ εἶναι,
τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ καὶ πλειόνων
10 κατὰ τὸ εἰκὸς ἐμπείρῳ. ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ
τῆσδε τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέ-
ροις οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ πολίταις καὶ ὁδῶν καὶ
θάκων καὶ λόγων ὑπείκειν, καὶ ὑμᾶς δέ, ὦ παῖδες, οὕτως ἐξ
ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ
νεωτέρων προτετιμῆσθαι· ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ
11 ἔννομα λέγοντος ἐμοῦ οὕτως ἀποδέχεσθε. καὶ σὺ μέν, ὦ
Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόντων καὶ ἐμοῦ
ὅσον ἐν ἐμοί· σοὶ δ', ὦ Ταναοξάρη, σατράπην εἶναι δί-

8. ἢν] εἰ G.M. ζῶντες G. pr. 9. με ἤδη ante σαφ. om. A.G., ἤδη P.V. καταλειπεῖν D. pr. ἀμφίβολος V. Pith. δὲ νῦν] οὖν D. μὲν] πάντας D. ἀμφ. ὑμᾶς ὁμοίως] ὑμᾶς ἀμφ. D. τὸ ἡγεῖσθαι] προηγεῖσθαι D. Pith. δοκεῖ D.G. τούτῳ D. 10. θώκων D. καὶ θάκων om. M. τοὺς μὲν] ὥστε τοὺς μὲν D. τῶν δὲ] ὑπὸ δὲ τῶν D. παλαιὰ καὶ εἰθισμένα] εἰθισμένα (β) παλαιὰ (α) D. ἀποδέχεσθαι, ut videtur, G. pr. 11. ὦ] ὦ παῖ D. διαδόντων G.M. σατράπῃ Zonaras p. 168 C.

νησα. Si Xenophonteus usus verbi φρονεῖν pro μέγα φρονεῖν exemplis firmari posset, quod fieri posse nego, scripturam με φρονεῖν recte a Schæfero ad L. Bos Ellips. Gr. p. 267, defensam existimarem fuisse. Interim ex utraque scriptura novam composui. SCHN. Qui τελέως με μέγα φρονεῖν. Schneidero quæ alter opposuit ad Demosthenem quum nihil nisi rem minime obscuram nihilo verioribus intricent commentis, sufficit dixisse non solum Xenophontem, sed omnes illius ætatis φρονεῖν nunquam dixisse pro μέγα φρονεῖν, ut corrigendus sit Eur. Herc. F. 774: Ὁ τ' ὄλβος ἄ τ' εὐτυχία φρονεῖν βροτοὺς ἐξάγεται, reposito φρενῶν. Deinde vero φρονεῖν ἐπί τινι dici cœpisse, omisso μέγα, sed ipsa constructione verbi significationem declarante, quo jam Demosthenes usus est p. 836, 10: Τοῦτ' ἐφ' ᾧ φρονεῖ μάλιστα, ubi μάλιστα ad ἐφ' ᾧ pertinet, non ad φρονεῖ. Denique recentiores, qui etiam φρόνησις et φρόνιμος contra quam veteres de superbia dicerent, φρονεῖν quoque de illa dixisse simpliciter, ut pluribus expositum ad Thes. Stephani.

10. τοῖς πρεσβυτέροις] Conf. Comment. 2, 3, 16. ZEUN.

11. Ταναοξάρη] Ctesias c. 8 Ταννοξάρκην nominans δεσπότην Βακτρίων [καὶ τῆς χώρας] καὶ Χοραμνίων καὶ Παρθίων καὶ Καρμανίων fuisse narrat: Herodotus et Aristoteles Smerdim, Æschylus Merdim vel Mardim, Justinus Mergim nominat. SCHN.

δωμι Μήδων τε καὶ Ἀρμενίων καὶ τρίτων Καδουσίων·
ταῦτα δέ σοι διδοὺς νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα
τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ
12 σοὶ ἀλυποτέραν. ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης
ἐπιδεὴς ἔσει οὐχ ὁρῶ· ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀν-
θρώπους εὐφραίνειν παρέσται. τὸ δὲ δυσκαταπρακτοτέρων
τε ἐρᾶν καὶ τὸ πολλὰ μεριμνᾶν καὶ τὸ μὴ δύνασθαι ἡσυ-
χίαν ἔχειν κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονει-
κίας καὶ τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ
βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν, ἃ σάφ'
13 ἴσθι τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχειν. οἶσθα
μὲν οὖν καὶ σύ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν
σκῆπτρον τὸ τὴν βασιλείαν διασῷζόν ἐστιν, ἀλλ' οἱ πι-
στοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφα-
λέστατον. πιστοὺς δὲ μὴ νόμιζε φύεσθαι ἀνθρώπους·
πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα
τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται· ἀλλὰ τοὺς πιστοὺς
τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἔστιν οὐ-
14 δαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. εἰ
οὖν καὶ ἄλλους τινὰς πειράσει συμφύλακας τῆς βασιλείας
ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν
γενομένου. καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότε-

τρίτων] τριτ (with χ above) Juntina. τρίτον A.D.G.M.V. 12. ἐνδεὴς D. ἔσει B. pr. D. ἔσῃ A.B. corr. G. τε om. G. τὸ πολλὰ] τὰ πολλὰ D. τὰ ἐμὰ D. συμπαρομαρτάνειν D. ἃ] ὦ, D. σάφ' ἴσθι] σαΐθι D. corr. s. v. παρέχει D. 13. οὐ τόδε τὸ] οὐδὲ τὸ D. οὐ τὸ Stob. Fl. 84, 24, citans οἶσθα—16. ἐφικνεῖται. ἐστιν post σκῆπτρον D. Stob. πιστοὶ] πολλοὶ A.G. πιστοὺς καὶ ἀσφαλεστάτους Stob., omittens καὶ ἀσφαλέστατον. φύεσθαι ἀνθρώπους A. ἀνθρώπους φύεσθαι G.M. φύσει φύεσθαι ἀνθρώπους Ald. P. Stob. τὰ ἄλλα Stob. τὰ om. A.G.M. πᾶσι τὰ] πᾶσιν Stob. φαίνεσθαι A.G. τοὺς] τοὺς μὲν Stob. αὐτῶν ἔστιν] ἐστὶν αὐτῶν D. 14. Libri πειράσῃ. τῆς β. σ. Stob. ἀπὸ σκηνῶν A.G. pr.

εὐδαιμονίαν ἀλυπ.] Conf. 1, 6, 25; 7, 2, 28. ZEUN.

12. σοῦ μᾶλλον] Dictum pro μᾶλλον ἢ σοὶ Weiskius comparabat cum Anab. 2, 5. 13. Add. Thucyd. 1, 85, Eur. Orest. 548, Plato Legum 2, p. 674 A. SCHN.

τῷ εὐφραίνεσθαι] De Laced. republ. 13, 1: Ὡς μηδεμία ἀσχολία ᾖ αὐτοῖς τῶν πολεμικῶν ἐπιμελεῖσθαι. Supra 8, 1, 13: Ὅτι ἀσχολίαν παρέξοι τῆς τῶν ὅλων σωτηρίας ἐπιμελεῖσθαι. Qui loci mihi casum articuli faciunt suspectum. Ecce enim Comment. 1, 3, 11: Πολλὴν ἀσχολίαν ἔχειν τοῦ ἐπιμελεῖσθαί τινος καλοῦ κἀγαθοῦ. Sine articulo est Œcon. 4, 3, et 6, 9. SCHN. Itaque hic τοῦ malis.

13. οἶσθα] Sequentia exprimit Sallust. B. J. c. 10. HUTCH.

φύεσθαι] φύσει φύεσθαι Ald., ut 5, 1, 23, φύσει πεφυκέναι. ZEUN.

ροι καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρ-
ματος φύντες καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ ἐν
τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγα-
πώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα
15 προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ
οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς
μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε
ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις
ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν
ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν
ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα μέγα δυνά-
μενον οὕτως ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν
16 ἀδελφοῦ μεγάλου ὄντος οὕτως ὡς τὸν ἀδελφόν; μήτε οὖν
θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω μήτε προθυμότερον
παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε ἀγαθὰ
οὔτε δεινὰ ἢ σοί. ἐννόει δὲ καὶ τάδε· τίνι χαρισάμενος ἐλ-
πίσαις ἂν μειζόνων τυχεῖν ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας
ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ
φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προ-
τιμᾶν ἢ τὸν ἀδελφόν; μόνου τοι, ὦ Καμβύση, πρωτεύον-
τος ἀδελφοῦ παρ' ἀδελφῷ οὐδὲ φθόνος παρὰ τῶν ἄλλων
17 ἐφικνεῖται. ἀλλὰ πρὸς θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε
ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ

οἱ δὲ] οἱ δὲ οἱ G.M. καὶ ὑπὸ—τραφέντες om. Stob. μήτρας A. ὑπὸ τῶν] τῶν A.G. 15. ἀδελφοῖς] τοῖς ἀδελφοῖς D. ποιήσηται D. ταῦτα] ταῦθ' D. οὕτως ἀεὶ] οὕτω δὴ Stob. ἄλλοις] ἀλλήλοις A.G.M. om. Stob. ἄλλο D. οὕτως D. δι' D. Trinc. Stob. διὰ A. Stob. δὴ A.G. μεγαλυνάμενον A.G. pr. 16. σοῦ om. G. τὰ τούτου—ἀγαθὰ—δεινὰ] τούτου—τἀγαθὰ—τὰ δεινὰ D. Stob. ἐννόει δὲ] ἐννοεῖτε A.G. τυγχάνειν Stob. τίνα δὲ ἁπάντων—ἀδελφὸν om. D. προτιμᾶν πάντων κάλλιον Stob. πρωτεύοντος D. Stob. πρώτου ὄντος A.G. ἀφικνεῖται A.G., et qui mg. ὅλον ὡραῖον τὸ χωρίον, D. 17. ὦ om. A.G. τοῦ] τότε A.G., corr. mg. r. M. mg. μέλλει D.

15. ἄλλοις] Suspectum et supervacuum, quum ἀνυπέρβλητος simpliciter dici soleat, ut apud Demosth. p. 23, 10, et Lycurgum aliquoties.

τιμήσεται] De usitata apud antiquiores Atticos forma dictum ad Thes. Steph. v. Τιμάω p. 2189 A. Recentioris ætatis est forma τιμηθήσομαι, rejecta ab Atticistis et eximenda Thuc. 6, 80, Demostheni p. 410, 20, quippe sæpe illata ab librariis, ut dixi ibidem.

φοβήσεται] Conf. Comment. 2, 3, 4. ZEUN.

16. ἰσχυρότερον σύμμαχον] Non potentiorem, sed firmiorem, certiorem, ut in inscr. Att. apud Bœckh. vol. 1, p. 111, n. 74, 14: Ξύμμαχοι ἐσόμεθα πιστοὶ καὶ ἰσχυροί.

γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι ὡς οὐδέν εἰμι ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπράττετο,
18 τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν, οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν;
19 οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχὴ ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν· ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχή, ζῶντα παρέχεται.
20 οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτα-

τοῦτό γε] γε τοῦτο D. εἰμι ἐγὼ ἔτι] ἔτι ἐγὼ ἔσομαι D. ἐγὼ] Hic mg. B. ὅρα ἀσεβοῦς δόξαν περὶ ἀθανασίας ψυχῆς καὶ ἀειδιώτητος καὶ τοῖς (sic) τῶν ἐν τῷ παρόντι βίῳ πεπραγμένων ἀνταποδώσεως. γὰρ om. D. 18. μηαιφ. D. pr. διανέμειν D.M. mg. ἔτι ἂν] ὅτι πᾶν D. 19. οὔτοι] οὕτως D. ᾖ ζῇ] ζῇ A. 20. οὐδὲ] ὁ δέ D. τότε φρ. αὐτὸν εἰκὸς εἶναι D.

οὐδὲ γὰρ] Locum Cicero de Senectute ita vertit c. 22: "Nolite arbitrari, o mihi carissimi filii, me, cum a vobis discessero, nusquam aut nullum fore. Nec enim, dum eram vobiscum, animum meum videbatis; sed eum esse in hoc corpore, ex iis rebus, quas gerebam, intelligebatis. Eundem igitur esse creditote, etiamsi nullum videbitis." Conf. Comment. 1, 4, 9. ZEUN.

18. τῶν ἄδικα παθόντων] I. q. ἀδίκως ἀποθανόντων.

τὰς τιμὰς] Cicero l. c. vertit hæc: "Nec vero clarorum virorum post mortem honores permanerent, si nihil eorum ipsorum animi efficerent, quo diutius memoriam sui teneremus." Verum cum priorem sententiam omisisset, sequebatur, ut vim argumenti Cicero infringeret mutando. Consilium Cyri et sermonis omnis in eo versatur vis, ut filiis reverentiam erga memoriam mortui suam commendet, ducto argumento ex natura animi post mortem etiam permanentis nec cum vita vires curamque adeo rerum humanarum necessariorumque deponentis. Recte Camerarius: "Numquid autem arbitramini, permanere potuisse honores, qui habentur mortuis, si nullius rei potestas penes animos illorum esset?" SCHN.

19. οὔτοι ἔγωγε] Cicero hæc vertit: "Mihi quidem nunquam persuaderi potuit, animos, dum in corporibus essent mortalibus, vivere, cum exissent ex iis, emori: nec vero tum animum esse insipientem, cum ex insipienti corpore evasisset, sed cum omni admixtione corporis liberatus, purus et integer esse cœpisset, tum esse sapientem. Atque etiam cum hominis natura morte dissolvitur, cæterarum rerum perspicuum est quo quæque discedant; abeunt enim illuc omnia, unde orta sunt; animus autem solus, nec cum adest, nec cum discedit, apparet." SCHN.

20. ἄκρατος καὶ καθαρὸς] Valckenar. ad Euripidis Hippolyt. p. 283 b, ἀκήρατος ex Ciceronis versione corrigebat. SCHN. Plutarch. Romul. c. 28: Λεκτέον οὖν ἐχομένους τῆς ἀσφαλείας.

τον εἰκὸς αὐτὸν εἶναι. διαλυομένου δὲ ἀνθρώπου δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς·
21 αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δ', ἔφη, ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται καὶ τότε τι τῶν μελλόντων προορᾷ·
22 τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα ὥσπερ ἐγὼ οἶμαι καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀναμάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι μήποτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον
23 μήτε ποιήσητε μήτε βουλεύσητε. μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις ἀναδείξει· εἰ δὲ εἰς ἀλλήλους ἄδικόν τι

21. τῷ ἀνθρωπίνῳ A.G. οὐδέ G. τι τῶν] τι καὶ τῶν D. 22. Libri οἴομαι. ἃ] ὡς D. ἐν τῷ σ. ἡ ψ. D. πάντα om. D. συνέχουσιν] συγκρατοῦσιν D. ἀκριβῆ A.G. ἀκήρατον A.G. καὶ ἀναμάρτητον G. mg. r. κάλλους] τάχους D. μήποτε D.M. μήποι A.G. 23. ἐπιγιγν.] γιν. corr. r. G. αἰδεῖσθαι A. ἢν] εἰ G.M. ἀδίκων] ἀδίκων ἔργων D. εἰς] ἐς A.G.

κατὰ Πίνδαρον ὡς σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον ἐκ θεῶν. ἧκει γὰρ ἐκεῖθεν, ἐκεῖ δ' ἄνεισιν, οὐ μετὰ σώματος, ἀλλ' ἐὰν ὅτι μάλιστα σώματος ἀπαλλαγῇ καὶ διακριθῇ καὶ γένηται καθαρὸν παντάπασι καὶ ἄσαρκον καὶ ἁγιόν. VALCK.

21. ἐννοήσατε] Cicero: "Jam vero videtis, nihil esse morti tam simile quam somnum. Atqui dormientium animi maxime declarant divinitatem suam: multa enim, cum remissi et liberi sunt, futura prospiciunt. Ex quo intelligitur, quales futuri sint, cum se plane corporis vinculis relaxaverint." SCHN.

22. ἡ ψυχὴ συναποθνήσκει] Cicero vertit: "Quare si hæc ita sunt, sic me colitote ut deum: sin una est interiturus animus cum corpore, vos tamen deos verentes, qui hanc omnem pulcritudinem tuentur et regunt, memoriam nostri pie inviolateque servabitis." SCHN.

ἀτριβῆ] Comment. 4, 3, 13: Ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων —καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατον παρέχων. Etiam Pollux 2, 14, ἀγήρατον τάξιν ex h. l. laudavit, ubi ante Ruhnkenii correctionem δόξαν vulgabatur. SCHN.

φρονήσετε, ἐκ πάντων ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ
24 προσήκοντα. εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μή, καὶ παρὰ τῶν προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασκαλία. οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς παισί, φίλοι δὲ ἀδελφοὶ ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλοις ἔπραξαν· ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱρούμενοι ὀρθῶς ἂν
25 βουλεύοισθε. καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μήτε ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλά, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀν-

ἀξιόπιστον A.G. μάλιστα] πάνυ D. 24. ἀρίστη] ἡ ἀρίστη D. ἀδελφοὶ om. A.G. ἐν αἰτίᾳ A. ὁποτέρως D. δὴ αἱρούμενοι] ἂν αἱρούμενοι D. 25. ἀργυρῷ A.G. μήτε] μηδὲ G. μηδ' D. μακαριώτατον A.G. τοῦ] ἢ τὸ D. ἐγὼ δὲ] ἐγὼ G.

24. εἰ μὲν—εἰ δὲ μή] V. ad 7, 5, 54.

25. ἀπόδοτε] Cicero Leg. 2. 22: "Ac mihi quidem antiquissimum sepulturæ genus id fuisse videtur, quo apud Xenophontem Cyrus utitur; redditur enim terræ corpus, et ita locatum ac situm, quasi operimento matris obducitur." E legibus Persarum cadaver mortui cremare non licebat; ignem enim sacrum habebant, teste Herodoto 3, 16, qui 1, 140, de Persis, κατακηρώσαντες γῇ κρύπτουσι, quo respiciens Cicero Tusc. 1, 45: Persæ mortuos cera circumlitos condunt, ut quam maxime permaneant diuturna corpora. Curtii narratio 10, 1, Xenophonteam confirmat. SCHN. Persarum hodiernorum morem mortuos sine loculo sepeliendi describens Chardin *Voyages en Perse* vol. 8, p. 5 ed. Langlès: "Il faut observer qu'en Perse, comme dans le reste de l'Orient, on n'enterre point les corps enfermés dans des bières, mais on les porte en terre dans une bière commune que la mosquée fournit. On y met le corps au moment qu'on le veut emporter, et quand le convoi est arrivé à la fosse, on tire le corps de la bière, et on l'enterre enveloppé dans le drap mortuaire. Les Persans disent que la bière empêche le corps de se réduire assez tôt en poudre, selon que Dieu a ordonné qu'il y retournât." De Cyri sepulcro apud Pasargadas Arrian. Anab. 6, 29, et præter Curtium l. c. Strab. 15, p. 730, citat Zeunius. V. Ker Porter *Travels in Georgia, Persia* etc. vol. 1, p. 502–8.

καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι] Simillimus est locus Œcon. 6, 11: Καὶ ταῦτά μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούειν σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ, μὴ ποιῶμεν. SCHN.

τοῦ εὐεργετοῦντος ἀνθρώπους] Periphrastice dicit terram, et simul reddit rationem cur ante dixerit φιλάνθρωπος ἐγενόμην. ZEUN.

26 θρώπους. ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλείπειν μοι φαίνεται ἡ ψυχὴ ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολείπουσα. εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώ-
27 πων τοὐμὸν σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε, συνησθησομένους ἐμοὶ, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν μετὰ τοῦ θείου γένωμαι μήτε ἢν μηδὲν ἔτι ὦ· ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται ἀποπέμ-
28 πετε. καὶ τοῦτο, ἔφη, μέμνησθέ μου τελευταῖον, τοὺς φίλους εὐεργετοῦντες καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. καὶ χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε. ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσάμενος συνεκαλύψατο καὶ οὕτως ἐτελεύτησεν.

26. περιπαθὲς ὅλον τὸ χωρίον D. mg. ἐκλιπεῖν A.G. ἔρχεται G. corr. s.v.r. τι G. pr. ἢ βούλεται δεξιᾶς G. 27. μετὰ—ἢν om. D. 28. τελευταῖον] ἔπος add. D. εὐεργετοῦντες] εὖ ποιοῦντες D. κολάζεσθαι D. ἀπαγγέλετε D. ἐτελεύτησεν] τελευτὴ κύρου A. mg. G. mg.

26. ἀλλὰ γὰρ] H. e. sed plura dicere prohibeor: nam etc. ZEUN.

ὅθενπερ] H. e. a quibus corporis partibus, v. c. pedibus, manibus, oculis, lingua, etc. ZEUN.

ἔοικε] Ut solet fieri e lege naturæ. ZEUN.

βούλεται—ἐθέλει] Verbi utriusque discrimen recte ita explicant veteres ut βούλεσθαι ἐπὶ λογικοῦ τάττεσθαι, θέλειν vero φυσικὸν esse dicant. (Conf. Maximi Confess. vol. 2, p. 2 seq. disputationem περὶ θελήσεως et βουλήσεως.) Demosth. p. 24, 1: Ἂν οἵ τε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. Eur. Alc. 281: Λέξαι θέλω σοι πρὶν θανεῖν ἃ βούλομαι. Conf. 7, 2, 10. Recte distinguit etiam Eustathius procem. ad Dionys. p. 67, 20: Ὡς μηδὲν εἶναι ὅπερ ἂν ἐμοὶ βουλητὸν, ὃ μὴ καὶ σοὶ θελητόν.

μηδεὶς—ἰδέτω] Nec Socrates voluit corpus suum mortuum lavari a mulieribus. Ergo se ipse lavit. Plat. Phæd. c. 63. ZEUN.

27. ἢν μηδὲν ἔτι ὦ] Eandem sententiam Socraticam tractat ex Platonis Apologia Cicero Tusc. Q. 1, 41. ZEUN. Sic s. 17: Οὐδέν εἰμι ἐγὼ ἔτι. Soph. El. 244: Ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὤν.

τούτους εὖ ποιήσαντες] Quæcunque solent exhiberi in funere viri beati, Gesnerus epulas funebres interpretatur. Forte dona etiam et munera distribuebantur vocatis ad funus, quibus verbum εὖ ποιεῖν melius congruit. SCHN.

28. ὡς παρ' ἐμοῦ] Intellige χαίρειν, salutem nuntiate verbis meis. SCHN.

οὕτως ἐτελεύτησεν] Sic certe mortem subire debuit Cyrus, sed an ipse hoc modo e vita discesserit haud temere dubitatur in tanto scriptorum dissensu. Cicero quidem ex Dinone, ut supra dictum ad c. 7, 1, Cyrum ad septuagesimum ætatis annum pervenisse tradit. Lucianus Macrob. c. 14

[ΚΕΦ. Η.

Ὅτι μὲν δὴ καλλίστη καὶ μεγίστη τῶν ἐν τῇ Ἀσίᾳ ἡ Κύρου βασιλεία ἐγένετο αὐτὴ ἑαυτῇ μαρτυρεῖ. ὡρίσθη γὰρ πρὸς ἕω μὲν τῇ Ἐρυθρᾷ θαλάττῃ, πρὸς ἄρκτον δὲ τῷ Εὐξείνῳ πόντῳ, πρὸς ἑσπέραν δὲ Κύπρῳ καὶ Αἰγύπτῳ, πρὸς μεσημβρίαν δὲ Αἰθιοπίᾳ. τοσαύτη δὲ γενομένη μιᾷ γνώμῃ τῇ Κύρου ἐκυβερνᾶτο, καὶ ἐκεῖνός τε τοὺς ὑφ' ἑαυτῷ ὥσπερ ἑαυτοῦ παῖδας ἐτίμα τε καὶ ἐθεράπευεν, οἵ τε ἀρχόμενοι Κῦρον ὡς πατέρα ἐσέβοντο. ἐπεὶ μέντοι Κῦρος ἐτελεύτησεν,
2 εὐθὺς μὲν αὐτοῦ οἱ παῖδες ἐστασίαζον, εὐθὺς δὲ πόλεις καὶ ἔθνη ἀφίσταντο, πάντα δ' ἐπὶ τὸ χεῖρον ἐτρέπετο. ὡς δ' ἀληθῆ λέγω ἄρξομαι διδάσκων ἐκ τῶν θείων. οἶδα γὰρ ὅτι πρότερον μὲν βασιλεὺς καὶ οἱ ὑπ' αὐτῷ καὶ τοῖς τὰ ἔσχατα [

1. *καλλίστη καὶ μεγίστη*] *ἀρίστη καὶ καλλίστη* D. *κύρου*] *τοῦ κύρου* G. *γὰρ*] *μὲν γὰρ* Muretus. *μὲν* A.D.G. om. I. *μὲν* addunt D.I. om. A.G. *πόντῳ*] *καὶ προποντίδι καὶ ἑλλησπόντῳ* add. D. *κῦρον* post *ἐσέβοντο* D. 2. *εὐθὺς μὲν*] *εὐθὺς* M. *αὐτοὶ οἱ* A. *οἱ αὐτοὶ* G., punctis sub *οἱ* positis a corr., qui *ὁι* (sic) post *αὐτοὶ* s. v. *ἔθνη καὶ πόλεις* D. *ἐτρέποντο* D. *γὰρ*] *μὲν γὰρ* G.M.

narrat domi centesimo ætatis anno eum obiisse. Herodotus 1, 214 scribit anno imperii undetrigesimo in bello adversus Massagetas occisum esse; atque idem fatetur alios aliter de morte Cyri tradere. Ctesias narrat eum ex vulnere periisse, quod Indus ei quidam adversus Derbicas pugnanti inflixerit. Auctore Diodoro l. 2 cruci affixus periit. Joannes Malala Histor. Chron. p. 201 refert eum e prœlio navali cum Samiis commisso fuga elapsum et domum reversum, ibi esse trucidatum. ZEUN.

1. Epilogum hunc Xenophonti suppositum ab aliena manu non dubitanter posuit Valckenarius in Annotatione ad Xen. Memorab. p. 238 edit. Ernestinæ: "Quæ vulgata prostat ut Xenophontis *Σωκράτους ἀπολογία*, est illa hoc ingenio capitali, si quid judico, prorsus indigna, ab eodem conflata, cui finem Cyropædiæ debemus et alia quædam, quæ vulgo leguntur ut Xenophontea." Causas et argumenta suspicionis non edidit vir egregius. SCHN. Idem Valckenarius ad initium hujus capitis non solum antiquiori manu ascripserat: "*Spuria v̄n̄r seqq.*," sed etiam de M.: "*Eodem ductu hæc sequuntur in MS. Meerm.*" V. præfat.

ὡρίσθη γὰρ] Pro *μὲν* restitui *γὰρ* ex Philelpho et lectione Mureti, atque cum libro Gabrielii et Stephano *μὲν* reposui post *ἕω*, ut est 8, 6, 21. ZEUN. Simillima perversitas sublata 1, 3, 1; 1, 6, 39; 7, 2, 28. Conf. etiam var. scr. infra 2, ubi *μὲν γὰρ* sic illatum pro *γὰρ*, et 2, 2, 8.

τῷ Εὐξείνῳ πόντῳ] Sic etiam 8, 6, 21, Euxinus Pontus tantum nominatur. SCHN.

2. *οἱ παῖδες*] Fratrum Cambysis et minoris inimicitias narrat Herodotus 3, 30. Quarum causam Plato Leg. 3, p. 694 s. repetit a neglecta recta educatione et institutione. Cyrum enim ipsum rectæ institutionis expertem et bellicis expeditionibus assidue deditum filios educandos mulieribus eunuchisque reliquisse. ZEUN. Conf. Ctesias Pers. c. 10.

πεποιηκόσιν εἴτε ὅρκους ὀμόσειαν, ἠμπέδουν, εἴτε δεξιὰς
3 δοῖεν, ἐβεβαίουν. εἰ δὲ μὴ τοιοῦτοι ἦσαν καὶ τοιαύτην
δόξαν εἶχον, ὥσπερ οὐδὲ νῦν πιστεύει οὐδὲ εἷς ἔτι, ἐπεὶ
ἔγνωσται ἡ ἀσέβεια αὐτῶν, οὕτως οὐδὲ τότε ἐπίστευσαν
ἂν οἱ τῶν σὺν Κύρῳ ἀναβάντων στρατηγοί· νῦν δὲ δὴ τῇ
πρόσθεν αὐτῶν δόξῃ πιστεύσαντες ἐνεχείρισαν ἑαυτούς,
καὶ ἀναχθέντες πρὸς βασιλέα ἀπετμήθησαν τὰς κεφαλάς.
πολλοὶ δὲ καὶ τῶν συστρατευσάντων βαρβάρων ἄλλοι
4 ἄλλαις πίστεσιν ἐξαπατηθέντες ἀπώλοντο. πολὺ δὲ καὶ [3]
τάδε χείρονες νῦν εἰσι. πρόσθεν μὲν γὰρ εἴ τις ἢ διακινδυ-
νεύσειε πρὸ βασιλέως ἢ πόλιν ἢ ἔθνος ὑποχείριον ποιή-
σειεν ἢ ἄλλο τι καλὸν ἢ ἀγαθὸν αὐτῷ διαπράξειεν, οὗτοι
ἦσαν οἱ τιμώμενοι· νῦν δὲ καὶ ἤν τις ὥσπερ Μιθριδάτης
τὸν πατέρα Ἀριοβαρζάνην προδούς, καὶ ἤν τις ὥσπερ
Ῥεομίθρης τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς τῶν φίλων
παῖδας ὁμήρους παρὰ τῷ Αἰγυπτίῳ ἐγκαταλιπὼν καὶ τοὺς

Libri *ὀμόσαιεν.* *ἠμπέδουν*] *ἐνεπέδουν* D. 3. *εἶχον*] post hoc *οὐδ' ἂν εἷς αὐτοῖς ἐπίστευεν* add. D.P.M. mg. *οὐδὲ εἷς*] *οὐδεὶς* D. *ἂν* om. A.G. *δὴ* om. G. *ἐνεχείρησαν* D. pr. *ἐπετμ.* G. 4. *πολὺ*] *πολλοὶ* G. mg. *διακινδυνεύειε* A. *καλὸν ἢ ἀγαθὸν*] invertit D. *ἤν*] *ἄν* D. *ὥσπερ—ἤν τις* add. D., et liber Brodæi, posueratque Steph. in marg.: *νῦν δὲ ἄν τις, ὥσπερ μ. τὸν π. ἀ. προδούς, καὶ ὥσπερ λεομ.*, et vertit Gabrielius, om. A.G. *ῥεομίθρης*] *ῥωμίθρης* A.G.M. *λεομίθρης* D. *αἰγυπτίων* G. *ἐγκαταλειπὼν* D.

ἠμπέδουν] Eadem forma 3, 1, 21 sine var. SCHN.

δεξιὰς δοῖεν] V. ad 4, 2, 7. ZEUN.

3. *ἐπίστευσαν*] V. Anab. 2, 6, 1.

σὺν Κύρῳ] *τῷ νεωτέρῳ* addendum fuisse recte monuit Heindorf. SCHN.

4. *Ἀριοβαρζάνην*] Diodorus 15, 90: *Ἀριοβαρζάνης μὲν ὁ τῆς Φρυγίας σατράπης, ὃς καὶ Μιθριδάτου τελευτήσαντος τῆς τούτου βασιλείας κεκυριευκὼς ἦν.* Is igitur Ariobarzanes patri Mithridati successit in Phrygia regnanti: contra Xenophontis Mithridates filius est hujus ejusdem Ariobarzanis, quem prodidit regi Persarum. Miror Wesselingium Xenophontis locum non annotasse; nec magis de Rheomithre meminerat hujus loci: de quo Diodorus c. 92, in eadem rebellione satraparum narrat missum a conjuratis ad regem Ægypti Tachum, a quo accepta magna pecunia duces conjuratorum prodidit regi Persarum. Accuratius igitur cognoscere licet ex Xenophonte. Diodorus hæc narrat sub Ol. 104, 3, postquam hæc literis a Xenophonte tradita esse oportet, quem vulgo anno primo Ol. 105, mortuum volunt. V. quæ disputavi de annis Xenophontis in Præf. ad Hist. Gr. [V. ad Vitam Diogenis Anabasi præmissam p. xxiv.] Datamen a Mithridate Ariobarzanis filio interemtum narrat Cornelius Nepos c. 10. De Ariobarzane v. Xenoph. H. Gr. 1, 4, 7; 5, 1, 28, et ad 7, 1, 27 annot. Huc pertinere etiam videtur locus Aristotelis Polit. 5, 10. SCHN.

Ῥεομίθρης] Ita præter Arrianum Anab. 1, 12, 14; 2, 11, 10; 3, 18, 17, Diodorus 17, 19, 34, *Ῥεωμίθρης* 15, 92, ubi *Ῥεομίθρης* scripsi.

Αἰγυπτίῳ] V. ad 1, 1, 4. ZEUN.

μεγίστους ὅρκους παραβὰς βασιλεῖ δόξῃ τι σύμφορον
ποιῆσαι, οὗτοί εἰσιν οἱ ταῖς μεγίσταις τιμαῖς γεραιρόμενοι.
5 ταῦτα οὖν ὁρῶντες οἱ ἐν τῇ Ἀσίᾳ πάντες ἐπὶ τὸ ἀσεβὲς
καὶ τὸ ἄδικον τετραμμένοι εἰσίν· ὁποῖοί τινες γὰρ ἂν οἱ
προστάται ὦσι, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ὡς ἐπὶ τὸ πολὺ
γίγνονται. ἀθεμιστότεροι δὴ νῦν ἢ πρόσθεν ταύτῃ γεγέ-
6 νηνται. εἴς γε μὴν χρήματα τῇδε ἀδικώτεροι· οὐ γὰρ
μόνον τοὺς πολλὰ ἡμαρτηκότας, ἀλλ' ἤδη τοὺς οὐδὲν ἠδι-
κηκότας συλλαμβάνοντες ἀναγκάζουσι πρὸς οὐδὲν δίκαιον
χρήματα ἀποτίνειν· ὥστε οὐδὲν ἧττον οἱ πολλὰ ἔχειν δο-
κοῦντες τῶν πολλὰ ἠδικηκότων φοβοῦνται· καὶ εἰς χεῖρας
οὐδ' οὗτοι ἐθέλουσι τοῖς κρείττοσιν ἰέναι. οὐδέ γε ἀθροίζε-
7 σθαι εἰς βασιλικὴν στρατιὰν θαρροῦσι. τοιγαροῦν ὅστις
ἂν πολεμῇ αὐτοῖς, πᾶσιν ἔξεστιν ἐν τῇ χώρᾳ αὐτῶν ἀνα-
στρέφεσθαι ἄνευ μάχης ὅπως ἂν βούλωνται διὰ τὴν ἐκεί-
νων περὶ μὲν θεοὺς ἀσέβειαν, περὶ δὲ ἀνθρώπους ἀδικίαν.
αἱ μὲν δὴ γνῶμαι ταύτῃ τῷ παντὶ χείρους νῦν ἢ τὸ πα-
λαιὸν αὐτῶν.
8 Ὡς δὲ οὐδὲ τῶν σωμάτων ἐπιμέλονται ὥσπερ πρόσθεν,
νῦν αὖ τοῦτο διηγήσομαι. νόμιμον γὰρ δὴ ἦν αὐτοῖς μήτε
πτύειν μήτε ἀπομύττεσθαι. δῆλον δὲ ὅτι ταῦτα οὐ τοῦ ἐν
τῷ σώματι ὑγροῦ φειδόμενοι ἐνόμισαν, ἀλλὰ βουλόμενοι
διὰ πόνων καὶ ἱδρῶτος τὰ σώματα στερεοῦσθαι. νῦν δὲ τὸ

παραβὰς] *ὀμόσας παρὰ* D. *ὀμόσας καὶ παραβὰς, ἵνα βασιλεῖ* H. 5. *ἐπὶ*] *ὡς ἐπὶ* D. *τὸ ἄδικον*] *ἄδικον* G.M. *ὡς* om. A.G. add. D.M. *δὴ* I. *δὲ* A.G. pro eraso *δὲ νῦν* al. m. *μὲν οὖν* B. *ἀθ. μὲν γὰρ δὴ νῦν* D. 6. *μὴν*] *μὴν δὴ* A.G. *ἤδη*] *ἤδη καὶ* D. *ἀποτείνειν* A.D. *οὐδ'*] *καὶ οὐδ'* A. *ἀθρ.* D. *στρατιὰν* Sturzius Lex. Xen. v. *Στρατεία*. Libri *στρατείαν*. 7. *μὲν* G. s. v. al. m. *θεοὺς*] *τοὺς θεοὺς* G.M. *ταυτὶ* A.L. corr. 8. *ὥσπερ*] *ὡς* G.M. *αὖ*] *αὐτὸ* D. *πτύειν*] *ἀποπτύειν* D. hic et infra. *ἱδρώτων* G.

5. *ὁποῖοι*] V. 8, 1, 8. ZEUN.

ἀθεμιστότεροι] Formam 1, 6, 6 sublatam hic agnoscit grammat. Bekkeri Anecd. p. 353, 6. Nisi hic quoque illata ab librariis, ut apud Herodotum.

6. *οὐδ' οὗτοι*] Divites non magis quam malefici. Aliter hic dici *εἰς χεῖρας ἰέναι* quam 23, quivis sentiat etiam non admonitus loco Anab. 1, 2, 26, ubi de rege Cilicum est *ὁ δ' οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη οὔτε τότε Κύρῳ ἰέναι ἤθελε.*

βασιλικὴν στρατιὰν] Anab. 3, 5, 16: *Ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιάν·* et alibi *στράτευμα*. Ceterum male hæc cum præcedentibus jungebantur, a quibus separavi puncto ante *οὐδέ γε* posito, ut 24; 8, 7, 20.

ἀναστρέφεσθαι—ὅπως ἂν βούλωνται] Hæc tanquam nimia notavit Beckius De probabilitate critica I. Lips. 1823, p. 11. Eadem fere s. 21.

8. *ἱδρῶτος*] Conf. supra 1, 2, 16, et 8, 1, 42. Plur. *ἱδρῶτες ξηροὶ* Platonis Phædro p. 239 C, qui ipsi h. l. intelliguntur. SCHN.

μὲν μὴ πτύειν μηδὲ ἀπομύττεσθαι ἔτι διαμένει, τὸ δ' ἐκπο-
9 *νεῖν οὐδαμοῦ ἐπιτηδεύεται. καὶ μὴν πρόσθεν μὲν ἦν αὐτοῖς μονοσιτεῖν νόμιμον, ὅπως ὅλῃ τῇ ἡμέρᾳ χρῷντο καὶ εἰς τὰς πράξεις καὶ εἰς τὸ διαπονεῖσθαι· νῦν γε μὴν τὸ μὲν μονοσιτεῖν ἔτι διαμένει, ἀρχόμενοι δὲ τοῦ σίτου ἡνίκαπερ οἱ πρῳαίτατα ἀριστῶντες μέχρι τούτου ἐσθίοντες καὶ πίνοντες διάγουσιν ἔστεπερ οἱ ὀψιαίτατα κοιμώμενοι.*

10 *Ἦν δ' αὐτοῖς νόμιμον μηδὲ προχοΐδας εἰσφέρεσθαι εἰς* [6] *τὰ συμπόσια, δῆλον ὅτι νομίζοντες τὸ μὴ ὑπερπίνειν ἧττον ἂν καὶ σώματα καὶ γνώμας σφάλλειν· νῦν δὲ τὸ μὲν μὴ εἰσφέρεσθαι ἔτι αὖ διαμένει, τοσοῦτον δὲ πίνουσιν ὥστε ἀντὶ τοῦ εἰσφέρειν αὐτοὶ ἐκφέρονται, ἐπειδὰν μηκέτι δύνωνται ὀρθούμενοι ἐξιέναι.*

11 *Ἀλλὰ μὴν κἀκεῖνο ἦν αὐτοῖς ἐπιχώριον τὸ μεταξὺ πορευομένους μήτε ἐσθίειν μήτε πίνειν μήτε τῶν διὰ ταῦτα ἀναγκαίων μηδὲν ποιοῦντας φανεροὺς εἶναι· νῦν δ' αὖ τὸ μὲν τούτων ἀπέχεσθαι ἔτι διαμένει, τὰς μέντοι πορείας οὕτω βραχείας ποιοῦνται ὡς μηδέν' ἂν ἔτι θαυμάσαι τὸ ἀπέχεσθαι τῶν ἀναγκαίων.*

12 *Ἀλλὰ μὴν καὶ ἐπὶ θήραν πρόσθεν μὲν τοσαυτάκις ἐξῄ-* [7]
σαν ὥστε ἀρκεῖν αὐτοῖς τε καὶ ἵπποις γυμνάσια τὰς θήρας·

τὸ om. D. *τὸ δ' ἐκπονεῖν* D. *τὸ δὲ πονεῖν* A.G. 9. *καὶ εἰς τὰς*] *εἰς τὰς* D. *περ*] *μὲν* D. Libri *πρωιαίτατα*. *ἔστε*] *ἔσγε* A.G. *ἔστε* D. 10. *μηδὲ*] *μὴ* Athen. 11, p. 496 C, citans *ἦν δὲ—ἐξιέναι*. *ἐκφέρεσθαι* A.G.M. *τὸ συμπόσιον* Athen. cod. Laur. *τὸ*] *τῷ* A.G. *μὲν* om. A.G. *διαμένει*] *καταμένει* D. Athen. 11. *φανερὸν* A. *μηδέν'* Stephanus, *μηδὲν* D. *μηδ'* A.G. 12. Libri *ἐξῄεσαν* hic et infra. *αὐτοῖς τε*] *καὶ αὐτοῖς* D., ut 22.

μονοσιτεῖν] De *μονοσιτίᾳ* Persarum locos 1, 2, 11, et 8, 1, 44, huc non pertinere recte admonuit Fischerus, qui vocem Megacreontis Abderitæ apud Herodotum 7, 120, comparavit, unde intelligitur Xerxen, Darii Hystaspis filium, quotidie tantum cœnasse, non prandisse. Conf. etiam Brissonii Regn. Pers. 1, 85; 2, 136. SCHN. *Μονοσιτεῖν* ex Alexide et Platone Comico affert Athen. 2, p. 47 C, D. Est etiam apud Hippocratem.

οἱ ὀψ. κοιμώμενοι sunt qui de cœna surgunt omnium tardissime. SCHN.

10. *προχοΐδας*] Athen. l. c.: *Ξενοφῶν προχοΐδας τινὰς λέγει κύλικας*, ubi omissum *κύλικας* in C.

ἦν αὐτοῖς νόμιμον—νομίζοντες] Thuc. 7, 42: *Τοῖς Συρακοσίοις κατάπληξις οὐκ ὀλίγη ἐγένετο—ὁρῶντες—*. 70: *Πολλὴ ἡ παρακέλευσις καὶ βοὴ—ἐγίγνετο τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες—*. Ubi locos similes 3, 36; 6, 24 confert Dukerus. V. ad 1, 3, 8.

εἰσφέρειν si esset *εἰσφέρεσθαι* (quod initio sectionis sensu medii verbi positum hic passivi deberet accipi propter sequens *ἐκφέρεσθαι* oppositum) antitheseos saltem ratio constaret melius. Sed jocus ipse frigidus admodum visus est Fischero, insulsus Heindorfio. SCHN.

ἐπεὶ δὲ Ἀρταξέρξης ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἥττους τοῦ οἴνου ἐγένοντο, οὐκέτι ὁμοίως οὔτ' αὐτοὶ ἐξῇσαν οὔτε τοὺς ἄλλους ἐξῆγον ἐπὶ τὰς θήρας· ἀλλὰ καὶ εἴ τινες φιλόπονοι γενόμενοι σὺν τοῖς περὶ αὐτοὺς ἱππεῦσι θαμὰ θηρῷεν, φθονοῦντες αὐτοῖς δῆλοι ἦσαν καὶ ὡς βελτίονας αὑτῶν ἐμίσουν.

13 Ἀλλά τοι καὶ τοὺς παῖδας τὸ μὲν παιδεύεσθαι ἐπὶ ταῖς θύραις ἔτι διαμένει· τὸ μέντοι τὰ ἱππικὰ μανθάνειν καὶ μελετᾶν ἀπέσβηκε διὰ τὸ μὴ ἰέναι ὅπου ἂν ἀποφαινόμενοι εὐδοκιμοῖεν καὶ ὅτι γε οἱ παῖδες ἀκούοντες ἐκεῖ πρόσθεν τὰς δίκας δικαίως δικαζομένας ἐδόκουν μανθάνειν δικαιότητα, καὶ τοῦτο παντάπασιν ἀνέστραπται· σαφῶς γὰρ ὁρῶσι
14 νικῶντας ὁπότεροι ἂν πλεῖον διδῶσιν. ἀλλὰ καὶ τῶν φυομένων ἐκ τῆς γῆς τὰς δυνάμεις οἱ παῖδες πρόσθεν μὲν ἐμάνθανον, ὅπως τοῖς μὲν ὠφελίμοις χρῷντο, τῶν δὲ βλαβερῶν ἀπέχοιντο· νῦν δὲ ἐοίκασι ταῦτα διδασκομένοις,

ἀρτοξ. A. (non B.) et qui α s. v. al. m. G. ὁ βασιλεὺς om. D. εἴ D.E.H. οἵ A.G. γενόμενοι] γένοιντο D. σὺν H. καὶ σὺν A.D.G. αὐτοὺς] αὐτοὺς A.G. ἑαυτοῦ D. ἱππεῦσι θαμὰ θηρῷεν] ἱππεῦσι μαρτυρῶεν A. et pr. G., in quo al. m. ἅ super μ, et α fecit ex αρ, denique θη ex τυ, sed reliquit duo puncta super υ. ἱππεῦσι μα θηρῶεν L. ἱππεῦσιν ἅμα θηρῶεν D. αὐτῶν] αὐτῶν A.G. ἑαυτῶν D. 13. ἀλλά τοι] ἀλλὰ D. θήραις A. μεντοι] μέντοι ἔτι D. ἰέναι] εἶναι D. εὐδοκιμοῖεν] εὐδόκιμοι et εἶ s. οι D. πρόσθε A. δικαιότατα D. διδῶσιν D. διαδῶσιν A.G. 14. τῆς om. D. διδασκόμενοι D.

12. Ἀρταξέρξης] Formæ Ἀρτοξέρξης nullum est vestigium in libris Hist. Gr., in Anabasi Stephanus tantum in suis passim invenerat, ut diximus ad 1, 1, 1, nec minus ludunt libri Herodoti et Thucydidis, non item Diodori et Latinorum, apud quos nullum est vestigium formæ per ο, ut probabilis sit Schweighæuseri ad Herodotum sententia, ο illatum esse ab recentioribus ἄρτος cogitantibus. Nam Ἀρτοξέρξης, quod esse perhibetur in marmore Pario apud Boeckh. Corp. Inscr. vol. 2, p. 302, 89, fortasse est non recte lectum, quum Ἀρταξέρξευς ter sit in inscr. Mylasensi Artaxerxi Mnemoni æquali ibid. p. 468, n. 2691, c, d, e. Quod si est, ne Plutarcho quidem et æqualibus relinquendum ο.

ἥττους τοῦ οἴνου ἐγένοντο] Conf. Herodot. 1, 133, de Persis dicens, οἴνῳ δὲ κάρτα προσκέαται, Heraclides Cum. ap. Athen. 4, p. 145 C, Plut. Artax. c. 6. HUTCH.

θαμὰ] Hoc potius adverbio opus est quam supervacuo et perverse collocato ἅμα, cujus priorem syllabam suspectam faciunt libri optimi.

13. τοὺς παῖδας] Omnia alia Anab. 1, 9, 3.

ἀποφαινόμενοι] I. q. ἐπιδεικνύμενοι.

δικαιότητα] Eadem forma Anab. 2, 6, 26, et aliquoties apud Platonem.

14. δυνάμεις] De viribus herbarum sive medicamentis dictum defendit Antiatt. Bekk. p. 91, 1 exemplo Timostrati Comici recentioris, cui Theophrasti et aliorum nihilo meliorum testium accedunt exempla ad Stephanum memorata.

διδασκομένοις] Ut D., Hist. Gr. 6, 3, 8: Ἐοίκατε ἡδόμενοι. Anab. 3, 5

ὅπως ὅτι πλεῖστα κακοποιῶσιν· οὐδαμοῦ γοῦν πλείους ἢ ἐκεῖ οὔτ' ἀποθνήσκουσιν οὔτε διαφθείρονται ὑπὸ φαρμάκων.

15 Ἀλλὰ μὴν καὶ θρυπτικώτεροι πολὺ νῦν ἢ ἐπὶ Κύρου [8] εἰσί. τότε μὲν γὰρ ἔτι τῇ ἐκ Περσῶν παιδείᾳ καὶ ἐγκρατείᾳ ἐχρῶντο, τῇ δὲ Μήδων στολῇ καὶ ἁβρότητι· νῦν δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην,
16 τὴν δὲ τῶν Μήδων μαλακίαν διασῴζονται. σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. ἐκείνοις γὰρ πρῶτον μὲν τὰς εὐνὰς οὐ μόνον ἀρκεῖ μαλακῶς ὑποστόρνυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ δαπίδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ' ὑπείκωσιν αἱ δάπιδες. καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν ὅσα τε πρόσθεν εὕρητο, οὐδὲν αὐτῶν ἀφῄρηται, ἄλλα τε ἀεὶ καινὰ ἐπιμηχανῶνται· καὶ ὄψα γε ὡσαύτως· καὶ γὰρ καινοποιητὰς ἀμ-
17 φοτέρων τούτων κέκτηνται. ἀλλὰ μὴν καὶ ἐν τῷ χειμῶνι [9] οὐ μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας ἀρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις ταῖς χερσὶ χειρῖδας δασείας

γοῦν] οὖν D. 15. θρυπτικώτερον D. πολὺ νῦν] γε νῦν πολὺ D. ἐχρῶντο ἔτι τότε τῇ ἐκ Περσῶν παιδείᾳ—17. παρεστᾶσι citat Athen. 12, p. 515 A—C. 16. μὲν—ἀρκεῖ] μὲν οὐκέτι τὰς εὐνὰς μόνον ἤρκει D. et qui ἀρκεῖ Athen. ὑποστόρνυσθαι A. Athen. ὑποστρόνυσθαι G. ὑπεστορνύσθαι D. δαπίδων H.N. ταπίδων D. Athen. ταπήδων A. ταπήτων G.M. δάπιδες A.G. τάπιδες D. Athen., qui deinde πρότερον, et καινὰ ἀεί. 17. μὴν om. A.B. Athenæi, non P. σώματα D. ἀρκεῖ αὐτοῖς] αὐτοὺς ἀρκεῖ Athen. περὶ add. D. Athen. om. A.G. χειρῖδας et δακτυλήθρας Pollux 2, 151, 156.

13: Ὅμοιοι ἦσαν θαυμάζοντες. SCHN. Meliores θαυμάζειν. V. præfat. ad Pausan. p. xxxi.

διαφθείρονται] *Abortu pereunt.* V. Steph. Thes. v. Διαφθείρω.

15. θρυπτικώτεροι] De luxu Persarum insano v. Xen. Ages. 9, Plut. Alex. c. 20, Athen. p. 607 s. ZEUN. Mire hæc pugnant cum Xen. 1, 3, 2. Τρυφερὸς autem et τρυφὴ dicunt Attici, non θρυπτικὸς et θρύψις, ut s. 16. Sed utrumque frequentant recentiores.

τῇ Μήδων στολῇ] V. 8, 1, 40; 3, 1.

16. οὐ μόνον ἀρκεῖ] Hist. Gr. 3, 2, 21: Καὶ οὐ μόνον ταῦτ' ἤρκει, ἀλλὰ καὶ—. Ubi v. annot. SCHN. Conf. infra 17.

τοὺς πόδας] Quod Comment. 2, 1, 30, ὑπόβαθρα. ZEUN.

ταπίδων] Probabilius bis scribi δάπις dixi ad Thes. Steph. v. Τάπις.

τὰ πεττόμενα] Panis et placenta. V. Casaub. ad Athen. p. 828. ZEUN. Photius: Πέττουσιν, ἀρτοποιοῦσιν, καὶ Πέττουσα, ἀρτοποιοῦσα.

καινοποιητὰς] Hos intelligebat Clearchus Athenæi 11, p. 514 E: Τοῖς πορίσασί τι αὐτῷ ἡδὺ βρῶμα διδοὺς ἆθλα τοῦ πορισθέντος etc. SCHN. Cic. Tusc. 5, 7, Xerxes, inquit, prœmium proposuit ei qui invenisset novam voluptatem. Conf. Cic. Fin. 2, 34, Xen. Ages. 9, 3. ZEUN. Theophrast. apud Athen. 4, p. 144 E.

καὶ δακτυλήθρας ἔχουσιν. ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς οὔθ' αἱ τῶν δένδρων οὔθ' αἱ τῶν πετρῶν σκιαί, ἀλλ' ἐν ταύταις ἑτέρας σκιὰς ἄνθρωποι μηχα-
18 *νώμενοι αὐτοῖς παρεστᾶσι. καὶ μὴν ἐκπώματα ἢν μὲν ὡς πλεῖστα ἔχωσι, τούτῳ καλλωπίζονται· ἢν δ' ἐξ ἀδίκου φανερῶς ᾖ μεμηχανημένα, οὐδὲν τοῦτο αἰσχύνονται· πολὺ γὰρ ηὔξηται ἐν αὐτοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια.*
19 *Ἀλλὰ καὶ πρόσθεν μὲν ἦν ἐπιχώριον αὐτοῖς μὴ ὁρᾶσθαι πεζῇ πορευομένοις, οὐκ ἄλλου τινὸς ἕνεκα ἢ τοῦ ὡς ἱππικωτάτους γίγνεσθαι· νῦν δὲ στρώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων ἢ ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς ἱππείας οὕτως*
20 *ὥσπερ τοῦ μαλακῶς καθῆσθαι ἐπιμέλονται. τά γε μὴν* [1
πολεμικὰ πῶς οὐκ εἰκότως νῦν τῷ παντὶ χείρους ἢ πρόσθεν εἰσίν; οἷς ἐν μὲν τῷ παρελθόντι χρόνῳ ἐπιχώριον εἶναι ὑπῆρχε τοὺς μὲν τὴν γῆν ἔχοντας ἀπὸ ταύτης ἱππότας παρέχεσθαι, οἳ δὴ καὶ ἐστρατεύοντο, τοὺς δὲ φρουροῦντας πρὸ τῆς χώρας μισθοφόρους εἶναι· νῦν δὲ τούς τε θυρωροὺς καὶ

οὔτε bis D. *σκιάδας* D. Athen. 18. *καὶ μὴν—αἰσχροκέρδεια* citans Athen. 11, p. 465 E. habet *ἐξ ἀδίκων* et *οὐδ' ἐν τῷ* vel *οὐδὲν τῷ αἰσχ.* in libris, *οὐδὲν αἰσχ.* in edd. *αἰσχροκερδία* D., qui in marg. *αἰσχροκερδία ἀττικῶς*, et Athenæi C. *αἰσχροκέρδια* E.L. Athenæi B. 19. *ἦν ἐπιχ.*] invertit D. *νῦν δὲ —ἐπιμέλονται* et 20. *καὶ τοὺς θυρωροὺς—ῥυθμίζουσιν* citat Athen. 12, p. 515 C. *οὕτως*] *μόνον οὕτως* D. *ὥσπερ*] *ὡς* Athen. 20. *τά γε μὴν*] *τά γε μὴν τὰ* D. *ἐπιχ. εἶναι ὑπῆρχε* A.G. *ἐπιχ. ἦν* D. *εἰ δέοι στρατεύεσθαι* post *φρουροῦντας* om. A.G. mg. r.

17. *δακτυλήθρας*] De digitabulorum usu v. Casaub. ad Athen. p. 828 s. ZEUN.

σκιὰς μηχανώμενοι παρεστᾶσιν] Umbellis, qualem ex imaginibus Persepolis exhibet Ker Porter *Travels in Georgia, Persia* etc. vol. 1, p. 656, tab. 48, post Chardin *Voyages en Perse* ad vol. 8, p. 288, tab. 62.

18. *αἰσχροκέρδεια*] Forma *αἰσχροκερδία*, diserte memorata una cum altera ab Etym. M. p. 462, 16, et frequens in libris Demosthenis, a prosa Atticorum aliena videtur.

19. *μὴ ὁρᾶσθαι πεζῇ πορευομένους*] V. ad 4, 3, 22.

ἐπιχώριον εἶναι ὑπῆρχε] Xen. Reip. Athen. 3, 9: *Ὥστε μέντοι ὑπάρχειν δημοκρατίαν μὲν εἶναι, ἀρκούντως δὲ τοῦτο ἐξευρεῖν, ὅπως δὴ βέλτιον πολιτεύσονται, οὐ ῥᾴδιον.* De Venat. 13, 17: *Ὥστε ὑπάρχειν ἐνθυμουμένους τούτων θεοφιλεῖς τ' εἶναι καὶ εὐσεβεῖς τοὺς νέους τοὺς ποιοῦντας, ἃ ἐγὼ παραινῶ.* Conf. supra 1, 6, 15. Andocides p. 88: *Ὥστ' ἔμοιγε καὶ διὰ τὰ τῶν προγόνων ἔργα εἰκότως ὑπάρχει δημοτικῷ εἶναι, εἴπερ τι ἄλλο νῦν γε φρονῶν τυγχάνω*, ubi Sluiter. Lect. Andoc. p. 203, corrigebat *ὑπάρχον—ἄλλοτε*, sententia et obscura et manca. Equidem conjeci *καὶ εἴπερ τι ἡμάρτηκα, ἀλλὰ νῦν γε φρ. τ.* SCHN.

τοὺς μὲν τὴν γῆν ἔχοντας] Qui s. 20 *δυνάσται* dicuntur, sumtibus suis equites ornabant et alebant. SCHN. V. 8, 6, 11.

